2s. (8p.), probably in the hand of J. Adams, tipped-in between pp. 406 & 407, removed (see Ms. 2147, in folder)

John Adams
Library,



IN THE CUSTODY OF THE
BOSTON PUBLIC LIBRARY.



SHELF No
Adams
12.6
v.4

ΠΛΟΥΤΑΡΧΟΥ

ΠΑΡΑΛΛΗΛΑ,

Η

ΒΙΟΙ ΠΑΡΑΛΛΗΛΟΙ.

PLUTARCHI PARALLELA,

SEU

VITÆ PARALLELÆ.

VOLUMEN QUARTUM.

LONDINI:

Ex Officinâ JACOBI TONSON, & JOHANNIS WATTS.

M DCC XXIII.

Adams
12.6
v.4

Hoc Volumine Continentur

ALEXANDER.

CÆSAR.

PHOCION.

CATO Minor.

AGIS & CLEOMENES.

TIB. & C. GRACCHI.

DEMOSTHENES.

CICERO.



Com: Winchelſea. R. G. V.dr Gucht Sculp.

ΑΛΕΞΑΝΔΡΟΣ.

ΤΟΝ Ἀλεξάνδρου τοῦ βασιλέως βίον, καὶ τοῦ Καίσαρος ὑφ' οὗ κατελύθη Πομπήϊος, ἐν τούτῳ τῷ βιβλίῳ γράφοντες, διὰ τὸ πλῆθος τῶν ὑποκειμένων πράξεων οὐδὲν ἄλλο προεροῦμεν, ἢ παραιτησόμεθα τοὺς ἀναγινώσκοντας, ἐὰν μὴ πάντα, μηδὲ καθ' ἕκαστον ἐξειργασμένως τι τῶν περιβοήτων ἀπαγγέλλωμεν, ἀλλὰ ἐπιτέμνοντες τὰ πλεῖστα, μὴ συκοφαντεῖν. οὔτε γὰρ ἱστορίας γράφομεν, ἀλλὰ βίους, οὔτε ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνεστι δήλωσις ἀρετῆς ἢ κακίας, ἀλλὰ πρᾶγμα βραχὺ πολλάκις καὶ ῥῆμα, καὶ παιδιά τις ἔμφασιν ἤθους ἐποίησεν μᾶλλον, ἢ μάχαι μυριόνεκροι, καὶ παρατάξεις αἱ μέγισται, καὶ πολιορκία πόλεων. ὥσπερ οὖν οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ προσώπου, καὶ τῶν περὶ τὴν ὄψιν εἰδῶν, οἷς ἐμφαίνεται τὸ ἦθος, ἀναλαμβάνουσιν, ἐλάχιστα τῶν λοιπῶν μερῶν φροντίζοντες· οὕτως ἡμῖν

ALEXANDRI regis vitam & C. Cæſaris, a quo eſt Pompeius oppreſſus, hoc commentario deſcripturi, ob numeroſas res eorum geſtas, nihil præfabimur aliud quam ab lectoribus poſtulabimus, ſi non omnia, neque ſigillatim factum quoddam celebre ad amuſſim perſequamur, ſed perſtringamus pleraque, ne mihi obſtrepant. Neque enim hiſtorias, ſed vitas conſcribimus: neque ſemper clariſſimæ quæque res virtutes vel vitia repræſentant, ſed exiguum ſubinde factum dictumque, & jocus aliquis citius ſpeciem edat morum, quam funeſtiſſima prœlia, maximæ acies, & urbium expugnationes. Ut ergo pictores ex facie & vultu, ex quibus elucent mores, imaginem deſumunt, nec de cæteris membris laborant magnopere:

ἡμῖν δοτέον εἰς τὰ τῆς ψυχῆς σημεῖα μᾶλλον ἐνδύεσθαι, καὶ διὰ τούτων εἰδοποιεῖν τὸν ἑκάστου βίον, ἐάσαντας ἑτέροις τὰ μεγέθη καὶ τοὺς ἀγῶνας.

Ἀλέξανδρος, ὅτι τῷ γένει πρὸς πατρὸς μὲν ἦν Ἡρακλείδης ἀπὸ Καράνου, πρὸς δὲ μητρὸς, Αἰακίδης ἀπὸ Νεοπτολέμου, τῶν πάνυ πεπιστευμένων ἐστίν. λέγεται δὲ Φίλιππος, ἐν Σαμοθρᾴκῃ τῇ Ὀλυμπιάδι συμμυηθεὶς, αὐτός τε μειράκιον ὢν ἔτι, κἀκείνης παιδὸς ὀρφανῆς γονέων ἐρασθῆναι, καὶ τὸν γάμον οὕτως ἁρμόσαι, πείσας τὸν ἀδελφὸν αὐτῆς Ἀρύμβαν. ἡ μὲν οὖν νύμφη, πρὸ τῆς νυκτὸς ᾗ συνείρχθησαν εἰς τὸν θάλαμον, ἔδοξε βροντῆς γενομένης ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ κεραυνόν· ἐκ δὲ τῆς πληγῆς, πολὺ πῦρ ἀναφθὲν, εἶτα ῥηγνύμενον εἰς φλόγας πάντη φερομένας, διαλυθῆναι. ὁ δὲ Φίλιππος ὑστέρῳ χρόνῳ μετὰ τὸν γάμον, εἶδεν ὄναρ αὐτὸν ἐπιβάλλοντα σφραγῖδα τῇ γαστρὶ τῆς γυναικός. ἡ δὲ γλυφὴ τῆς σφραγῖδος, ὡς ᾤετο, λέοντος εἶχεν εἰκόνα. τῶν δὲ ἄλλων μάντεων ὑφορωμένων τὴν ὄψιν, ὡς ἀκριβεστέρας φυλακῆς δεομένων τῷ Φιλίππῳ τῶν περὶ τὸν γάμον, Ἀρίστανδρος ὁ Τελμησσεὺς κύειν ἔφη τὴν ἄνθρωπον (οὐθὲν γὰρ ἀποσφραγίζεσθαι τῶν κενῶν) καὶ κύειν παῖδα θυμοειδῆ καὶ λεοντώδη τὴν φύσιν. ὤφθη δέ ποτε καὶ δράκων, κοιμωμένης τῆς Ὀλυμπιάδος, παρεκτεταμένος τῷ σώματι. καὶ τοῦτο μάλιστα τοῦ Φιλίππου τὸν ἔρωτα καὶ τὰς φιλοφροσύνας ἀμαυρῶσαι λέγουσιν, ὡς μηδὲ φοιτᾶν ἔτι πολλάκις παρ' αὐτὴν ἀναπαυσόμενον· εἴτε δείσαντά τινας μαγείας ἐπ' αὐτῷ καὶ φάρμακα τῆς γυναικὸς, εἴτε τὴν ὁμιλίαν, ὡς κρείττονι συνούσῃ, ἀφοσιούμενον. ἕτερος δὲ περὶ τούτων ἐστὶ λόγος, ὡς πᾶσαι μὲν αἱ

τῇδε

pere: ita concedendum nobis eſt, animi indicia ut ſcrutemur, ac cujuſque per hæc informemus vitam, aliis molem rerum & certamina permittamus.

Alexander ex gente Herculis per Caranum, & genere materno Æacidem per Neoptolemum fuiſſe pro certo creditur. Fama eſt in Samothrace initiatum cum Olympiade Philippum, quum eſſet ipſe tum adoleſcens, illam item puellam parentibus orbam amaſſe, atque inde parata fratris voluntate Arymbæ nuptias coiſſe. Sponſæ, ante noctem qua thoro geniali juncti fuere, viſus eſt Jove tonante venter ſuus de cœlo tangi, atque ex ictu largum ſuccenſum ignem, qui mox erumpens in flammas paſſim diſperſas diſſiparetur. Philippus ſpatio aliquo poſt nuptias, vidit in ſomnis uxoris ſe ventrem conſignare. Habebat ſigilli ſculptura (ut viſa ei eſt) imaginem leonis. Ea viſione, vatibus interpretantibus cæteris, Philippo cuſtodiis acrioribus ſepiendam conjugem, Ariſtander Telmeſius uterum illam ait ferre, (nihil enim quod inane ſit ſignari) ac concepiſſe eam infantem animoſum & natura leonina. Viſus eſt draco etiam ad dormientis Olympiadis corpus exporrectus: idque præcipue Philippi erga eam amorem & familiarem conſuetudinem aiunt extenuaſſe, ut raro cubitum ad illam commearet, quod vel timeret faſcinationes ejus & veneficia, vel conſuetudinem ejus, ut quæ conſueſceret cum numine quopiam, devitaret. Alii aliter de his memorant, nempe omnes iſtius regionis fœminas

τῇδε γυναῖκες ἔνοχοι τοῖς Ὀρφικοῖς οὖσαι καὶ τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ παλαιοῦ, Κλώδωνές τε καὶ Μιμαλλόνες ἐπωνυμίαν ἔχουσαι, πολλὰ ταῖς Ἠδωνίσιν καὶ ταῖς περὶ τὸν Αἷμον Θρήσσαις ὅμοια δρῶσιν· ἀφ' ὧν δοκεῖ καὶ τὸ θρησκεύειν ὄνομα ταῖς κατακόροις γενέσθαι καὶ περιέργοις ἱερουργίαις. ἡ δ' Ὀλυμπιὰς μᾶλλον ἑτέρων ζηλώσασα τὰς κατοχὰς, καὶ τοὺς ἐνθουσιασμοὺς ἐξάγουσα βαρβαρικώτερον, ὄφεις μεγάλους χειροήθεις ἐφείλκετο τοῖς θιάσοις, οἳ πολλάκις ἐκ τοῦ κιττοῦ καὶ τῶν μυστικῶν λίκνων παραναδυόμενοι, καὶ περιελιττόμενοι τοῖς θύρσοις τῶν γυναικῶν καὶ τοῖς στεφάνοις, ἐξέπληττον τοὺς ἄνδρας.

Οὐ μὴν ἀλλὰ Φιλίππῳ μὲν μετὰ τὸ φάσμα πέμψαντι Χαίρωνα τὸν Μεγαλοπολίτην εἰς Δελφοὺς, χρησμὸν κομισθῆναι λέγουσιν παρὰ τοῦ Θεοῦ, κελεύοντος Ἄμμωνι θύειν καὶ σέβεσθαι μάλιστα τοῦτον τὸν Θεόν· ἀποβαλεῖν δὲ τῶν ὄψεων αὐτὸν τὴν ἑτέραν, ἣν τῷ τῆς θύρας ἁρμῷ προσβαλὼν, κατώπτευσεν ἐν μορφῇ δράκοντος συνευναζόμενον τῇ γυναικὶ τὸν Θεόν. ἡ δ' Ὀλυμπιὰς, ὡς Ἐρατοσθένης φησὶ, προπέμπουσα τὸν Ἀλέξανδρον ἐπὶ τὴν στρατείαν, καὶ φράσασα μόνῳ τὸ περὶ τὴν τέκνωσιν ἀπόρρητον, ἐκέλευεν ἄξια φρονεῖν τῆς γενέσεως. ἕτεροι δέ φασιν αὐτὴν ἀφοσιοῦσθαι καὶ λέγειν, οὐ παύσεταί με διαβάλλων Ἀλέξανδρος πρὸς τὴν Ἥραν. ἐγεννήθη δ' οὖν Ἀλέξανδρος ἱσταμένου μηνὸς Ἑκατομβαιῶνος, ὃν Μακεδόνες Λῷον καλοῦσιν, ἕκτῃ, καθ' ἣν ἡμέραν ὁ τῆς Ἐφεσίας Ἀρτέμιδος ἐνεπρήσθη νεώς· ὡς Ἡγησίας ὁ Μάγνης ἐπιπεφώνηκεν ἐπιφώνημα κατασβέσαι τὴν πυρκαϊὰν ἐκείνην ὑπὸ ψυχρίας

nas Orphicis & Liberi patris ſacris antiquitus contactas, Clodonaſque & Mimallonas cognomento dictas, multa Edonidibus ac Threſſis Æmum accolentibus agere conſimilia. Unde θρησκεύειν dictio tributa eſt immodicis & ſuperſtitioſis ſacrificiis. Olympias autem, præ cæteris motum lymphaticum æmulans, & fanaticum peragens ritum horridiore ſpectaculo, ſerpentes manſuefactos trahebat thiaſis ingentes, qui ex hedera ſubinde & myſticis cunis obiter prorepentes, thyrſoſque & coronas circumjecti percellebant viros.

Verum Philippo, qui poſt eam ſpeciem Megalopolitanum Chæronem Delphos miſit, ſortes referunt fuiſſe ab Apolline allatas, jubente, ut Ammoni ſacrificaret, atque hunc Deum coleret imprimis: amiſiſſe vero eum alterum oculum, quem rimæ oſtii admovens Deum conſpexit ſerpentis figura cum uxore ſua concubantem. Olympias autem (ut Eratoſthenes eſt autor) quum euntem ad bellum proſequeretur Alexandrum, arcanum ortum ejus ſoli detexit, hortata ut pro natalibus gereret animos. Alii hoc illam aiunt abominatam dixiſſe, Non deſinet Alexander in crimen me apud Junonem vocare. Natus Alexander eſt die ſexto menſis Hecatombæonis, quem Loum vocant Macedones: quo die fanum Dianæ Epheſiæ conflagravit, cui rei ita frigidam acclamationem attexuit Hegeſias Magneſius, ut ea incendium illud valuerit

ψυχείας δυνάμενον· εἰκότως γὰρ ἔφη καταφλεχθῆναι τὸν νεών, τῆς Ἀρτέμιδος ἀσχολουμένης περὶ τὴν Ἀλεξάνδρου μαίωσιν. ὅσοι δὲ τῶν μάγων ἐν Ἐφέσῳ διατρίβοντες ἔτυχον, τὸ περὶ τὸν νεὼν πάθος ἡγούμενοι πάθους ἑτέρου σημεῖον εἶναι, διέθεον τὰ πρόσωπα τυπτόμενοι, καὶ βοῶντες ἄτην ἅμα καὶ συμφορὰν μεγάλην τῇ Ἀσίᾳ τὴν ἡμέραν ἐκείνην τετοκέναι. Φιλίππῳ δὲ ἄρτι Ποτίδαιαν ᾑρηκότι τρεῖς ἧκον ἀγγελίαι κατὰ τὸν αὐτὸν χρόνον· ἡ μὲν, Ἰλλυριοὺς ἡττᾶσθαι μάχῃ μεγάλῃ διὰ Παρμενίωνος· ἡ δὲ, Ὀλυμπιάσιν ἵππῳ κέλητι νενικηκέναι· τρίτη δὲ, περὶ τῆς Ἀλεξάνδρου γενέσεως. ἐφ᾽ οἷς ἡδόμενον, ὡς εἰκὸς, ἔτι μᾶλλον οἱ μάντεις ἐπῆραν, ἀποφαινόμενοι τὸν παῖδα τρισὶ νίκαις συγγεγεννημένον, ἀνίκητον ἔσεσθαι.

Τὴν μὲν οὖν ἰδέαν τοῦ σώματος οἱ Λυσίππειοι μάλιστα τῶν ἀνδριάντων ἐμφαίνουσιν, ὑφ᾽ οὗ μόνου καὶ αὐτὸς ἠξίου πλάττεσθαι. καὶ γὰρ μάλιστα πολλοὶ τῶν διαδόχων ὕστερον καὶ τῶν φίλων ἀπεμιμοῦντο, τήν τε ἀνάτασιν τοῦ αὐχένος εἰς εὐώνυμον ἡσυχῇ κεκλιμένου, καὶ τὴν ὑγρότητα τῶν ὀμμάτων διατετήρηκεν ἀκριβῶς ὁ τεχνίτης. Ἀπελλῆς δὲ, γράφων τὸν κεραυνοφόρον, οὐκ ἐμιμήσατο τὴν χρόαν, ἀλλὰ φαιότερον καὶ πεπινωμένον ἐποίησεν. ἦν δὲ λευκὸς, ὥς φασιν, ἡ δὲ λευκότης ἐπεφοίνισσεν αὐτοῦ περὶ τὸ στῆθος μάλιστα καὶ τὸ πρόσωπον. ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει, καὶ τὸ στόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους, ἀνέγνωμεν ἐν ὑπομνήμασιν Ἀριστοξενείοις. αἰτία δὲ ἴσως, ἡ τοῦ σώματος κρᾶσις, πολύθερμος οὖσα καὶ πυρώδης. ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος· ὅθεν οἱ ξηροὶ καὶ διάπυροι

τόποι

luerit reſtinguere. Merito enim arſiſſe ait templum, dum fuit Diana in Alexandri enixu obſtetricando diſtricta. Magi vero, quotquot agebant Epheſi, fani inflammationem exiſtimantes alterius eſſe prodigium cladis, diſcurrerunt, faciemque ceciderunt, clamaveruntque grandem peſtem & perniciem Aſiæ illo die editam. Philippus capta modo Potidæa, eodem die tres nuntios accepit, fuſos a Parmenione ingenti pugna Illyrios, alterum, Olympiis ſe equi pernicitate viciſſe, tertium, natum Alexandrum. His nimirum lætum magis etiam erexere vates, qui affirmaverunt, infantem, in cujus natales triplex concurrerat victoria, fore invictum.

Corporis ejus figuram Lyſippi ſtatuæ maxime demonſtrant, a quo voluit ſolo fingi. Etenim, quam præcipue ſucceſſores ejus complures poſt & amici æmulati ſunt, projectam cervicem & in ſiniſtrum humerum modice propenſam, oculorumque volubilitatem ad unguem expreſſit ille artifex. Alexandrum pingens fulmen tenentem non repræſentavit Apelles colorem ejus: magis fuſcum & ſordidiorem fecit, quum fuerit (ut aiunt) candidus, qui color in pectore & facie potiſſimum purpuraſcebat. Odorem autem ex cute ejus gratiſſimum afflaſſe, os ejus totumque corpus reddidiſſe fragrantiam, quam interiores tunicæ retinebant, in commentariis Ariſtoxeni legimus. In cauſa fuit fortaſſis fervidum & igneum corporis ejus temperamentum. Gignitur enim odoris ſuavitas (ut Theophraſti eſt opinio) concoctis a calore humoribus. Unde aridi & fervidi

tractus

τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἀρωμάτων φέρουσιν. ἐξαίρει γὰρ ὁ ἥλιος τὸ ὑγρὸν, ὥσπερ ὕλην σηπεδόνος, ἐπιπολάζον τοῖς σώμασιν. Ἀλέξανδρον δὲ ἡ θερμότης τοῦ σώματος, ὡς ἔοικεν, καὶ ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. ἔτι δὲ ὄντος αὐτοῦ παιδὸς, ἥ τε σωφροσύνη διεφαίνετο, πρὸς τἆλλα ῥαγδαῖον ὄντα καὶ φερόμενον σφοδρῶς, ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὸ σῶμα δυσκίνητον εἶναι, καὶ μετὰ πολλῆς πρᾳότητος ἅπτεσθαι τῶν τοιούτων· ἥ τε φιλοτιμία παρ' ἡλικίαν ἐμβριθὲς εἶχεν τὸ φρόνημα καὶ μεγαλόψυχον. οὐδὲ γὰρ ἀπὸ παντὸς οὐδὲ πᾶσαν ἠγάπα δόξαν, ὡς Φίλιππος λόγου τε δεινότητι σοφιστικῶς καλλωπιζόμενος, καὶ τὰς ἐν Ὀλυμπίᾳ νίκας τῶν ἁρμάτων ἐγχαράττων τοῖς νομίσμασιν· ἀλλὰ καὶ τῶν περὶ αὐτὸν ἀποπειρωμένων εἰ βούλοιτ' ἂν Ὀλυμπιάσιν ἀγωνίσασθαι στάδιον, (ἦν γὰρ ποδώκης) Εἴ γε, ἔφη, βασιλεῖς ἔμελλον ἕξειν ἀνταγωνιστάς. φαίνεται δὲ καὶ καθόλου πρὸς τὸ τῶν ἀθλητῶν γένος ἀλλοτρίως ἔχων· πλείστους γέ τοι θεὶς ἀγῶνας οὐ μόνον τραγῳδῶν καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἀλλὰ καὶ ῥαψῳδῶν, θήρας τε παντοδαπῆς καὶ ῥαβδομαχίας, οὔτε πυγμῆς, οὔτε παγκρατίου μετά τινος σπουδῆς ἔθηκεν ἆθλον.

Τοὺς δὲ παρὰ τοῦ Περσῶν βασιλέως πρέσβεις ἥκοντας ἀποδημοῦντος Φιλίππου ξενίζων, καὶ γενόμενος συνήθης, οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ, καὶ τῷ μηδὲν ἐρώτημα παιδικὸν ἐρωτῆσαι, μηδὲ μικρὸν, ἀλλ' ὁδῶν τε μήκη, καὶ πορείας τῆς ἄνω τρόπον ἐκπυνθάνεσθαι, καὶ περὶ αὐτοῦ βασιλέως, ὁποῖος εἴη πρὸς τοὺς πολεμίους, καὶ τίς ἡ Περσῶν ἀλκὴ καὶ δύναμις· ὥστε θαυμά-

ζειν

tractus plurimas & optimas ſpecies aromatum edunt. Exhaurit enim ſol humorem in ſummis corporibus exiſtentem, ut putredinis materiam. Alexandrum autem calor corporis vinoſum reddidit & iracundum. A prima pueritia forte eluxit temperantia ejus. Nam quum ad alia vehemens eſſet & ardens, haud facile movebatur corporis voluptatibus, ac ſumma cum moderatione eas deguſtabat. At gloriæ cupiditas ejus ſupra ætatem ſpiritus habebat ſolidos & celſos. Neque enim undique neque gloriam aucupabatur omnem, ut Philippus, qui ſophiſtarum more facundiam ſuam oſtentabat, & victoriis curruum Olympiacis ſuis nummos ſignabat: ſed quum tentarent eum miniſtri, quia pernix erat pedibus, an Olympiis certare curriculo vellet, Sane, ſi habiturus ſim, inquit, adverſarios reges. Apparet autem abhorruiſſe eum prorſus ab athletarum natione; quippe qui agonas ediderit plurimos tragœdorum, tibicinum, fidicinum, immo etiam rhapſodorum, venationis cujuſque generis, & fuſtuariarum pugnarum: neque pugilatus, neque pancratii ſtudioſe certamen exhibuit.

Legatos ab rege Perſarum miſſos abſente Philippo accipiens hoſpitio, factuſque his familiaris, ita cepit comitate ſua, & quod nihil interrogaret puerile vel demiſſum, ſed prolixitates viarum exquireret, atque itineris in ſuperioribus regionibus rationem; ac de rege, qui adverſus hoſtes, quæ denique vires & potentia eſſent Perſarum: ut ſtuperent

rent

ζειν ἐκείνους, καὶ τὴν λεγομένην Φιλίππου δεινότητα μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην. ὁσάκις γοῦν ἀπαγγελθείη Φίλιππος ἢ πόλιν ἔνδοξον ᾑρηκὼς, ἢ μάχην τινὰ περιβόητον νενικηκὼς, οὐ πάνυ φαιδρὸς ἦν ἀκούων, ἀλλὰ πρὸς τοὺς ἡλικιώτας ἔλεγεν, ὦ παῖδες, πάντα προλήψεται ὁ πατήρ· ἐμοὶ δὲ οὐδὲν ἀπολείψει μεθ' ὑμῶν ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν. οὐ γὰρ ἡδονὴν ζηλῶν, οὐδὲ πλοῦτον, ἀλλ' ἀρετὴν καὶ δόξαν, ἐνόμιζεν, ὅσῳ πλείονα λήψεται παρὰ τοῦ πατρὸς, ἐλάττονα κατορθώσειν δι' ἑαυτοῦ. διὸ τοῖς πράγμασιν αὐξομένοις καταναλίσκεσθαι τὰς πράξεις εἰς ἐκεῖνον ἡγούμενος, ἐβούλετο μὴ χρήματα μηδὲ τρυφὰς καὶ ἀπολαύσεις, ἀλλ' ἀγῶνας καὶ πολέμους καὶ φιλοτιμίας ἔχουσαν ἀρχὴν παραλαβεῖν. πολλοὶ μὲν οὖν περὶ τὴν ἐπιμέλειαν, ὡς εἰκὸς, ἦσαν αὐτοῦ, τροφεῖς καὶ παιδαγωγοὶ καὶ διδάσκαλοι λεγόμενοι· πᾶσιν δ' ἐφειστήκει Λεωνίδας, ἀνὴρ τό,τε ἦθος αὐστηρὸς, καὶ συγγενὴς Ὀλυμπιάδος· αὐτὸς μὲν οὖν φεύγων τὸ τῆς παιδαγωγίας ὄνομα, καλὸν ἔργον ἐχούσης καὶ λαμπρὸν, ὑπὸ δὲ τῶν ἄλλων διὰ τὸ ἀξίωμα καὶ τὴν οἰκειότητα τροφεὺς Ἀλεξάνδρου καὶ καθηγητὴς καλούμενος. ὁ δὲ τὸ σχῆμα τοῦ παιδαγωγοῦ καὶ τὴν προσηγορίαν ὑποποιούμενος, ἦν Λυσίμαχος, τὸ γένει Ἀκαρνὰν, ἄλλο μὲν οὐδὲν ἔχων ἀστεῖον, ὅτι δ' ἑαυτὸν μὲν ὠνόμαζεν Φοίνικα, τὸν δὲ Ἀλέξανδρον, Ἀχιλλέα, Πηλέα δὲ, τὸν Φίλιππον, ἠγαπᾶτο, καὶ δευτέραν εἶχε χώραν.

Ἐπεὶ

rent illi, celebratamque Philippi ſolertiam & vim nihil putarent cum hujus pueri comparandam alacritate & magnificis factis, quæ promittebat. Itaque quum allatum eſſet aut nobilem urbem a Philippo captam, aut illum inſigni potitum victoria, non uſque adeo gaudebat iis nuntiis, verum ad æquales dicebat, Omnia præripiet, ſodales, pater, neque ullum mihi inſigne & illuſtre relinquet vobiſcum perpetrandum facinus. Quum enim neque delicias concupiſceret neque opes, ſed virtutem & gloriam, quo plura acciperet a parente, eo arbitrabatur ſe per ſe deſignaturum pauciora. Quare increſcente imperio, abſumi ſibi materiam præclararum actionum judicans, geſtiebat non pecuniam, non luxum, non voluptates; ſed certaminum, ſed bellorum, ſed gloriæ refertum imperium accipere ab eo. Multi ejus inſtitutionis nimirum appoſiti fuerunt nutritii, pædagogi, & magiſtri appellati: quibus omnibus impoſitus Leonidas erat, vir & moribus ſeverus & propinquitate Olympiada contingens. Hic pædagogi nomen cum honeſto & ſpecioſo conjunctum officio repudiabat, atque ab aliis dignitatis & neceſſitudinis cauſa nutritius Alexandri & rector vocabatur: ille qui ſpeciem pædagogi & vocabulum ſumebat Lyſimachus, natione Acarnan, urbanitate nulla præditus erat alia, ſed, quod Phœnicem nominaret ſe, Alexandrum, Achillem, & Philippum, Peleum, ideo gratus erat, & ſecundum locum tenebat.

Quum

Ἐπεὶ δὲ Φιλονείκου τοῦ Θεσσαλοῦ τὸν Βουκέφαλον ἀγαγόντος ὤνιον τῷ Φιλίππῳ τρισκαίδεκα ταλάντων, κατέβησαν εἰς τὸ πεδίον δοκιμάσοντες τὸν ἵππον· ἐδόκει τε χαλεπὸς εἶναι καὶ κομιδῇ δύσχρηστος, οὔτε ἀναβάτην προσιέμενος, οὔτε φωνὴν ὑπομένων τινὸς τῶν περὶ τὸν Φίλιππον, ἀλλ' ἁπάντων κατεξανιστάμενος· δυσχεραίνοντος δὲ τοῦ Φιλίππου, καὶ κελεύοντος ἀπάγειν ὡς παντάπασιν ἄγριον καὶ ἀκόλαστον· παρὼν Ἀλέξανδρος εἶπεν, οἷον ἵππον ἀπολλύουσιν, δι' ἀπειρίαν καὶ μαλακίαν χρήσασθαι μὴ δυνάμενοι. τὸ μὲν οὖν πρῶτον ὁ Φίλιππος ἐσιώπησεν· πολλάκις δ' αὐτοῦ παραφθεγγομένου καὶ περιπαθοῦντος, Ἐπιτιμᾷς σὺ, ἔφη, πρεσβυτέροις, ὥς τι πλέον αὐτὸς εἰδὼς, ἢ μᾶλλον ἵππῳ χρήσασθαι δυνάμενος; Τούτῳ γοῦν, ἔφη, χρησαίμην ἂν ἑτέρου βέλτιον. ἂν δὲ μὴ χρήσῃ, τίνα δίκην τῆς προπετείας ὑφέξεις; Ἐγὼ, νὴ Δία, εἶπεν, ἀποτίσω τοῦ ἵππου τὴν τιμήν. γενομένου δὲ γέλωτος, εἶτα ὁρισμοῦ πρὸς ἀλλήλους εἰς τὸ ἀργύριον, εὐθὺς προσδραμὼν τῷ ἵππῳ, καὶ παραλαβὼν τὴν ἡνίαν ἐπέστρεψε πρὸς τὸν ἥλιον· ὡς ἔοικεν, ἐννοήσας ὅτι τὴν σκιὰν προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ, διαταράττοιτο. μικρὰ δὲ οὕτω παρακαλπάσας καὶ καταψήσας, ὡς ἑώρα πληρούμενον θυμοῦ καὶ πνεύματος, ἀποῤῥίψας ἡσυχῇ τὴν χλαμύδα, καὶ μετεωρίσας αὑτὸν, ἀσφαλῶς περιέβη. καὶ μικρὰ μὲν περιλαβὼν ταῖς ἡνίαις τὸν χαλινὸν ἄνευ πληγῆς καὶ σπαραγμοῦ προσανέστειλεν· ὡς δὲ ἑώρα τὸν ἵππον ἀφεικότα τὴν ἀπειλὴν, ὀργῶντα δὲ πρὸς τὸν δρόμον, ἀφεὶς ἐδίωκεν, ἤδη φωνῇ θρασυτέρᾳ, καὶ ποδὸς κρούσει χρώμενος. τῶν δὲ περὶ τὸν Φίλιππον

Quum Bucephalum Philonicus Theſſalus ad Philippum duxiſſet tredecim talentis venalem, deſcenderunt ad equum probandum in campum. Videbatur autem moroſus & perquam tractatu difficilis, neque quenquam admittebat in ſedem, nec vocem ferebat ullius Philippi comitum, verum in omnes inſurgebat. Igitur ubi pertæſus Philippus abduci juſſit quaſi omnino ferum & indomitum, aſſiſtens Alexander ait, Quem equum perdunt iſti, qui propter imperitiam & mollitiem tractare eum nequeunt! Id primum tacitus Philippus tulit. At crebrius quum obloqueretur & angeretur, Culpas tu, inquit, majores natu, quaſi peritior ſis, aut tractare equum noveris rectius? Hunc certe melius, inquit, aliis tractem. Si non tractes, inquit Philippus, quam pœnam pendes temeritatis? Ego hercle, infit, pretium equi dependam, Alexander. Hic riſus conſequutus eſt, inde ſponſio inter eos de pecunia. Mox accurrit ad equum Alexander, correptiſque habenis convertit eum adverſus ſolem. Adverterat nimirum, quod incurrentem & agitatam ante oculos umbram cernens percelleretur. Tum molliter eum palpavit manuque leniter ducta permulſit: quem ubi ferocientem vidit & exultantem, abjecta leniter chlamyde inſiliit in eum, & nullo negotio conſcendit. Frænum autem placide habenis adducens, ſine verberibus vel calcaribus impetum ejus repreſſit. Ut ferocia lenita equum currere geſtientem vidit, admiſit jam eum, vocemque ferociorem ac pedum pulſum adhibuit. Hic Philippi

που ἦν ἀγωνία καὶ σιγὴ τὸ πρῶτον· ὡς δὲ κάμψας ἐπέστρεψεν ὀρθῶς, σοβαρὸς καὶ γεγηθὼς, οἱ μὲν ἄλλοι πάντες ἠλάλαξαν, ὁ δὲ πατὴρ καὶ δακρῦσαί τι λέγεται πρὸς τὴν χαρὰν, καὶ καταβάντος αὐτοῦ τὴν κεφαλὴν φιλήσας, ὦ παῖ, φάναι, ζήτει σεαυτῷ βασιλείαν ἴσην· Μακεδονία γάρ σε οὐ χωρεῖ.

Καθορῶν δὲ τὴν φύσιν αὐτοῦ δυσκίνητον μὲν οὖσαν, ἐρείσαντος μὴ βιασθῆναι, ῥᾳδίως δὲ ἀγομένην ὑπὸ λόγου πρὸς τὸ δέον, αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον ἢ προστάττειν, καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια παιδευταῖς οὐ πάνυ τι πιστεύων τὴν ἐπιστασίαν αὐτοῦ καὶ κατάρτισιν, ὡς μείζονος οὖσαν πραγματείας, καὶ κατὰ τὸν Σοφοκλέα,

Πολλῶν χαλινῶν ἔργον οἰάκων θ' ἅμα,

μετεπέμψατο τῶν φιλοσόφων τὸν ἐνδοξότατον καὶ λογιώτατον, Ἀριστοτέλην, καλὰ καὶ πρέποντα διδασκάλια τελέσας αὐτῷ. τὴν γὰρ Σταγειριτῶν πόλιν, ἐξ ἧς ἦν Ἀριστοτέλης, ἀνάστατον ὑπ' αὐτοῦ γεγενημένην, συνῴκισε πάλιν, καὶ τοὺς διαφυγόντας ἢ δουλεύοντας τῶν πολιτῶν ἀποκατέστησεν. σχολὴν μὲν οὖν αὐτοῖς καὶ διατριβὴν τὸ περὶ Μίεζαν νυμφαῖον ἀπέδειξεν, ὅπου μέχρι νῦν Ἀριστοτέλους ἕδρας τε λιθίνας, καὶ ὑποσκίους περιπάτους δεικνύουσιν. ἔοικεν δὲ Ἀλέξανδρος οὐ μόνον τὸν ἠθικὸν καὶ πολιτικὸν παραλαβεῖν λόγον, ἀλλὰ καὶ τῶν ἀπορρήτων καὶ βαρυτέρων διδασκαλιῶν, ἃς οἱ ἄνδρες ἰδίως ἀκροαματικὰς καὶ ἐποπτικὰς προσαγορεύοντες, οὐκ ἐξέφερον εἰς πολλοὺς μετασχεῖν. ἤδη γὰρ εἰς Ἀσίαν διαβεβηκὼς, καὶ πυθόμενος λόγους τινὰς ἐν βιβλίοις

pi comitatum ſolicitudo primum ac ſilentium inceſſit: ut vero flexit & rite convertit equum glorians, ovanſque, cæteri omnes applauſere: patri vero manaſſe etiam aliquantulum gaudio lacrymas ferunt: at poſtquam deſiliit ex equo, caput ejus oſculatus, Quære, inquit, fili, par tibi regnum: ſiquidem non capit te Macedonia.

Porro ingenium ejus conſiderans non facile impelli, quod reluctaretur cogentibus, ſed rationibus prompte ad officium duci, etiam ipſe ſuadere pŏtius quam imperare tentavit ei. Muſicæ & trivialium artium doctoribus non facile credens inſtitutionem & expolitionem ejus, quŏd rem duceret magis arduam, atque eam quæ haberet, ut apud Sophoclem eſt,

Multis opus frænis, etiam clavis ſimul:

philoſophorum clariſſimum & eruditiſſimum accivit, Ariſtotelem, præmiumque ei dedit inſtitutionis præclarum & decorum. Stagiram nempe patriam Ariſtotelis, quam exciderat, iterum frequentavit incolis, civeſque, qui in exilio aut in ſervitute erant, reduxit domum. Ludum eis & ſtudii locum Nymphæum prope Miezam aſſignavit: ubi & hac ætate ſedes Ariſtotelis lapideas & ambulationes umbroſas monſtrant. Probabile eſt autem Alexandrum ab eo non ethica modo & politica præcepta percepiſſe, verum etiam ex interioribus & gravioribus diſciplinis, quas acroamaticas & epopticas illi peculiariter nuncupant, neque efferebant in vulgus, attigiſſe. Quum enim jam in Aſiam tranſiſſet, atque ad ſe eſſet delatum commen-

βλίοις περὶ τούτων ὑπὸ Ἀριστοτέλους ἐκδεδόσθαι, γράφει πρὸς αὐτὸν ὑπὲρ φιλοσοφίας παῤῥησιαζόμενος ἐπιστολὴν, ἧς ἀντίγραφόν ἐστιν· Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν. οὐκ ὀρθῶς ἐποίησας, ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. τίνι γὰρ δὴ διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ' οὓς ἐπαιδεύθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί; ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις, ἢ ταῖς δυνάμεσι διαφέρειν. ἔῤῥωσο. ταύτην μὲν οὖν τὴν φιλοτιμίαν αὐτοῦ παραμυθούμενος Ἀριστοτέλης, ἀπολογεῖται περὶ τῶν λόγων ἐκείνων, ὡς ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων. ἀληθῶς γὰρ, ἡ μετὰ τὰ φυσικὰ πραγματεία, πρὸς διδασκαλίαν καὶ μάθησιν οὐδὲν ἔχουσα χρήσιμον, ὑπόδειγμα τοῖς πεπαιδευμένοις ἀπ' ἀρχῆς γέγραπται.

Δοκεῖ δέ μοι καὶ τὸ φιλιατρεῖν Ἀλεξάνδρῳ προστρίψασθαι μᾶλλον ἑτέρων Ἀριστοτέλης. οὐ γὰρ μόνον τὴν θεωρίαν ἠγάπησεν, ἀλλὰ καὶ νοσοῦσιν ἐβοήθει τοῖς φίλοις, καὶ συνέταττε θεραπείας τινὰς καὶ διαίτας, ὡς ἐκ τῶν ἐπιστολῶν λαβεῖν ἐστιν. ἦν δὲ καὶ φύσει φιλολόγος καὶ φιλομαθὴς καὶ φιλαναγνώστης· καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, ἔλαβεν μὲν Ἀριστοτέλους διορθώσαντος, ἣν ἐκ τοῦ νάρθηκος καλοῦσιν· εἶχεν δὲ ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησικράτης ἱστόρηκεν. τῶν δὲ ἄλλων βιβλίων οὐκ εὐπορῶν ἐν τοῖς ἄνω τόποις, Ἅρπαλον ἐκέλευσε πέμψαι. κἀκεῖνος ἔπεμψεν αὐτῷ τάς τε Φιλίστου βίβλους, καὶ τῶν Εὐριπίδου καὶ Σοφοκλέους καὶ Αἰσχύλου τραγῳδιῶν συχνὰς, καὶ Τελέστου καὶ Φιλοξένου

mentarios de his ab Ariſtotele editos, philoſophiæ nomine expoſtulans ſcribit ad eum literas, quarum hoc eſt exemplum. Alexander Ariſtoteli ſalutem. Parum recte feciſti quod diſciplinas acroamaticas vulgaveris. Ubi enim cæteris præſtabimus, ſi hæ in quibus inſtituti ſumus, omnibus promiſcuæ erunt diſciplinæ? Ego vero optimarum rerum ſcientia mallem me quam potentia præcellere. Vale. Quam illius ambitionem Ariſtoteles leniens, purgat ſe de illis diſciplinis, aſſerens ita eſſe in lucem prolatas ut non eſſent prolatæ. Revera enim commentarius ille de rebus metaphyſicis ad docendum vel diſcendum nihil habet compendii. Eſt autem ea ſcriptus mente, ſpecimen modo ut eſſet eruditis.

Ego quidem arbitror medicinæ quoque ſtudio imbutum præcipue ab Ariſtotele Alexandrum. Namque non tantum commentatione ejus delectatus eſt, verum multis etiam amicis ſuccurrit in morbis, præſcripſitque certa remedia & rationem victus; quod ex epiſtolis ejus diſcas. Fuit præterea natura ſtudioſus & multæ lectionis. Iliada autem virtutis bellicæ & credens & appellans inſtitutionem, accepit ab Ariſtotele correctam, quam ex narthecio vocant. Eam ſemper cum pugione (ut prodidit Oneſicritus) repoſitam habebat ſub pulvino. Aliorum librorum quum in ſuperioribus provinciis non eſſet ei facultas, mandavit Harpalo ut mitteret. Ille miſit ei Philiſti libros, Euripidiſque & Sophoclis, & Æſchyli tragœdiarum magnam vim: Teleſtis quoque Philoxenique

λοξένου διθυράμβους. Ἀριστοτέλη δὲ θαυμάζων ἐν ἀρχῇ, καὶ ἀγαπῶν οὐχ ἧττον, ὡς αὐτὸς ἔλεγεν, τοῦ πατρὸς, ὡς δι' ἐκεῖνον μὲν ζῶν, διὰ τοῦτον δὲ καλῶς ζῶν, ὕστερον ὑποπτότερον ἔσχεν, οὐχ ὥστε ποιῆσαί τι κακὸν, ἀλλ' αἱ φιλοφροσύναι τὸ σφοδρὸν ἐκεῖνο καὶ στερκτικὸν οὐκ ἔχουσαι πρὸς αὐτὸν, ἀλλοτριότητος ἐγένοντο τεκμήριον. ὁ μέντοι πρὸς φιλοσοφίαν ἐμπεφυκὼς καὶ συντεθραμμένος ἀπ' ἀρχῆς αὐτῷ ζῆλος καὶ πόθος οὐκ ἐξερρύη τῆς ψυχῆς, ὡς ἡ περὶ Ἀνάξαρχόν τε τιμὴ, καὶ τὰ πεμφθέντα Ξενοκράτει πεντήκοντα τάλαντα, καὶ Δάνδαμις καὶ Κάλανος οὕτω σπουδασθέντες μαρτυροῦσιν.

Φιλίππου δὲ στρατεύοντος ἐπὶ Βυζαντίους, ἦν μὲν ἑκκαιδεκέτης ὁ Ἀλέξανδρος· ἀπολειφθεὶς δὲ κύριος ἐν Μακεδονίᾳ τῶν πραγμάτων καὶ τῆς σφραγῖδος, Μεδάρων τε τοὺς ἀφεστῶτας κατεστρέψατο, καὶ πόλιν ἑλὼν αὐτῶν, τοὺς μὲν βαρβάρους ἐξαπήλασεν, συμμίκτους δὲ κατοικίσας, Ἀλεξανδρόπολιν προσηγόρευσεν. ἐν δὲ Χαιρωνείᾳ τῆς πρὸς τοὺς Ἕλληνας μάχης παρὼν μετέσχεν, καὶ λέγεται πρῶτος ἐνσεῖσαι τῷ ἱερῷ λόχῳ τῶν Θηβαίων. ἔτι δὲ καὶ καθ' ἡμᾶς ἐδείκνυτο παλαιὰ παρὰ τὸν Κηφισὸν Ἀλεξάνδρου καλουμένη δρῦς, πρὸς ἣν τότε κατεσκήνωσεν, καὶ τὸ πολυάνδρειον οὐ πόρρω τῶν Μακεδόνων ἐστίν. ἐκ μὲν οὖν τούτων, ὡς εἰκὸς, Φίλιππος ὑπερηγάπα τὸν υἱόν, ὥστε καὶ χαίρειν, τῶν Μακεδόνων Ἀλέξανδρον μὲν, βασιλέα, Φίλιππον δὲ, στρατηγὸν καλούντων. αἱ δὲ περὶ τὴν οἰκίαν ταραχαὶ διὰ τοὺς γάμους καὶ τοὺς ἔρωτας αὐτοῦ, τρόπον τινὰ τῆς βασιλείας τῇ γυναικωνίτιδι συννοσούσης, πολλὰς αἰτίας καὶ μεγάλας διαφορὰς παρεῖχον· ἃς ἡ τῆς Ὀλυμπιάδος χαλε-

loxenique dithyrambos. Ariſtotelem vero, quem initio ſuſpexit & charum habuit non ſecus (ut ipſe dictitabat) quam parentem, quod hujus beneficio viveret, illius, honeſte viveret, habuit poſt ſuſpectiorem: non quo illum ulla in re læderet, ſed familiaritas priſtinum ardorem & dilectionem non retinens, notam prætulit alienationis. Hic tamen erga ſapientiæ ſtudium innatus & innutritus a prima ætate amor deſideriumque non effluxit ex animo ejus: quod habitus Anaxarcho honos, & quinquaginta miſſa talenta Xenocrati, Dandamiſque & Calanus ita ab eo culti teſtantur.

Movente in Byzantinos Philippo annum ætatis gerebat Alexander ſextum decimum. Demandata ei Macedoniæ & ſigilli cum libera poteſtate cura, Medaros rebellantes ſubegit, captoque oppido expulit barbaros, ac deducta illuc colonia miſtorum, Alexandropolin id appellavit. Prœlio adverſus Græcos ad Cheroneam commiſſo interfuit, ac primus dicitur in ſacram Thebanorum cohortem incurriſſe. Annoſa quercus adhuc noſtra memoria prope Cephiſum oſtendebatur, Alexandri dicta, ad quam tunc tetendit, neque procul tumulus Macedonum abeſt. Hinc filium non immerito Philippus admodum dilexit, ut etiam gauderet, quum Alexandrum Macedones regem, Philippum appellarent ducem. At domeſtici ex nuptiis & amoribus ejus fluctus, contacto aliquatenus ſimul gynæcei ægritudine regno, multa jurgia inter eos magnaſque invexere diſſenſiones, quas Olympiadis acer-

χαλεπότης, δυσζήλου καὶ βαρυθύμου γυναικὸς, ἔτι μείζονας ἐποίει, παροξυνούσης τὸν Ἀλέξανδρον. ἐκφανέστατα δὲ Ἄτταλος παρέσχεν ἐν τοῖς Κλεοπάτρας γάμοις, ἣν ὁ Φίλιππος ἠγάγετο παρθένον, ἐρασθεὶς παρ' ἡλικίαν τῆς κόρης. θεῖος γὰρ ὢν αὐτῆς ὁ Ἄτταλος, ἐν τῷ πότῳ μεθύων, παρεκάλει τοὺς Μακεδόνας αἰτεῖσθαι παρὰ θεῶν γνήσιον ἐκ Φιλίππου καὶ Κλεοπάτρας γενέσθαι διάδοχον τῆς βασιλείας. ἐπὶ τούτῳ παροξυνθεὶς ὁ Ἀλέξανδρος, καὶ εἰπὼν, ἡμεῖς δέ σοι, κακὴ κεφαλὴ, νόθοι δοκοῦμεν; ἔβαλε σκύφον ἐπ' αὐτόν. ὁ δὲ Φίλιππος ἐπ' ἐκεῖνον ἐξανέστη, σπασάμενος τὸ ξίφος· εὐτυχίᾳ δὲ ἑκατέρου, διὰ τὸν θυμὸν καὶ τὸν οἶνον ἔπεσεν σφαλείς. ὁ δὲ Ἀλέξανδρος ἐφυβρίζων, Οὗτος μέντοι, εἶπεν, ἄνδρες, εἰς Ἀσίαν ἐξ Εὐρώπης παρεσκευάζετο διαβαίνειν, ὃς ἐπὶ κλίνην ἀπὸ κλίνης διαβαίνων ἀνατέτραπται. μετὰ ταύτην τὴν παροινίαν, ἀναλαβὼν τὴν Ὀλυμπιάδα, καὶ καταστήσας εἰς Ἤπειρον, αὐτὸς ἐν Ἰλλυριοῖς διέτριβεν. ἐν τούτῳ δὲ Δημάρατος ὁ Κορίνθιος, ξένος ὢν τῆς οἰκίας, καὶ παῤῥησίας μετέχων, ἀφίκετο πρὸς Φίλιππον, μετὰ δὲ τὰς πρώτας δεξιώσεις καὶ φιλοφροσύνας, ἐπερωτῶντος τοῦ Φιλίππου πῶς ἔχουσιν ὁμονοίας πρὸς ἀλλήλους οἱ Ἕλληνες, Πάνυ γοῦν, ἔφη, σοὶ προσήκει Φίλιππε κήδεσθαι τῆς Ἑλλάδος, ὃς τὸν οἶκον τὸν σεαυτοῦ στάσεως τοσαύτης καὶ κακῶν ἐμπέπληκας. οὕτω δὴ συμφρονήσας ὁ Φίλιππος, ἔπεμψε καὶ κατήγαγε, πείσας διὰ τοῦ Δημαράτου τὸν Ἀλέξανδρον.

Ἐπεὶ δὲ Πιξόδωρος ὁ Καρίας σατράπης, ὑποδυόμενος δι' οἰκειότητος εἰς τὴν Φιλίππου συμμαχίαν, ἐβούλετο τὴν πρεσβυτάτην τῶν θυγατέρων

acerbitas, ſuſpicioſæ mulieris & triſtis, quod incenderet Alexandrum, exaggeravit. Exagitavit maxime eas Attalus in nuptiis Cleopatræ, quam Philippus virginem, amore præter ætatem captus, duxit. Nam quum in convivio Attalus, qui illius fuit avunculus, vino incaluiſſet, hortatus eſt Macedonas ut expoſcerent a Diis juſtum ex Philippo & Cleopatra regni ſucceſſorem. Exarſit inde Alexander: ac quum dixiſſet, Quid nos tibi, ſcelus, num adulterini videmur? ſcypho eum petiit. In eum Philippus ſtricto enſe exiliit, ſed bona utriuſque fortuna, impacto per iram & vinum pede eſt prolapſus. Cui Alexander inſultans, Hic vero Macedones, inquit, in Aſiam parabat ex Europa tranſmittere, qui ex lecto in lectum tranſgrediens procidit. Poſt hanc inſolentiam abduxit ſecum Olympiada, quam in Epiro collocavit. Ipſe contulit ſe in Illyricum. Interea Corinthius Demaratus hoſpes familiæ regiæ, & libere loqui apud regem ſolitus, inviſit Philippum. Poſtquam primæ ſalutationes & amplexus defluxere, percunctante Philippo, qui conveniret inter Græcos, Scilicet tibi, inquit, convenit Philippe, ſolicitudinem gerere Græciæ, qui domum tuam tanta ſeditione & malis obruiſti. Ita ad ſe reverſus Philippus, miſſis nuntiis flexum Demarati opera Alexandrum revocavit.

Quum autem Pexodorus, Cariæ ſatrapa, neceſſitudinis vinculo ſe in Philippi ſocietatem inſinuans, cuperet filiam ſuæ ſtirpis maxi-

ρων Ἀρριδαίῳ τῷ Φιλίππου γυναῖκα δοῦναι, καὶ περὶ τούτων Ἀριστόκριτον εἰς Μακεδονίαν ἀπέστειλεν, αὖθις ἐγίνοντο λόγοι καὶ διαβολαὶ παρὰ τῶν φίλων καὶ τῆς μητρὸς πρὸς Ἀλέξανδρον, ὡς Ἀρριδαῖον ἐπὶ τῇ βασιλείᾳ Φιλίππου γάμοις λαμπροῖς καὶ πράγμασι μεγάλοις εἰσοικειοῦντος. ὑφ᾽ ὧν διαταραχθεὶς, πέμπει Θεσσαλὸν εἰς Καρίαν τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν, Πηξοδώρῳ διαλεξόμενον, ὡς χρὴ τὸν νόθον ἐάσαντα, καὶ οὐ φρενήρη, μεθαρμόσασθαι τὸ κῆδος εἰς Ἀλέξανδρον. καὶ Πηξοδώρῳ μὲν οὐ παρὰ μικρὸν ἤρεσκε ταῦτα τῶν προτέρων μᾶλλον· ὁ δὲ Φίλιππος αἰσθόμενος ὄντα τὸν Ἀλέξανδρον εἰς τὸ δωμάτιον, παραλαβὼν τῶν φίλων αὐτοῦ καὶ συνήθων ἕνα Φιλώταν τὸν Παρμενίωνος, ἐπετίμησεν ἰσχυρῶς, καὶ πικρῶς ἐλοιδόρησεν ὡς ἀγεννῆ καὶ τῶν ὑπαρχόντων περὶ αὐτὸν ἀγαθῶν ἀνάξιον, εἰ Καρὸς ἀνθρώπου, καὶ βαρβάρῳ βασιλεῖ δουλεύοντος, ἀγαπᾷ γαμβρὸς γενέσθαι. τὸν δὲ Θετταλὸν ἔγραψε Κορινθίοις ὅπως ἀναπέμψωσιν ἐπὶ πέδαις δεδεμένον. τῶν δὲ ἄλλων ἑταίρων Ἅρπαλον καὶ Νέαρχον, ἔτι δὲ Φρύγιον καὶ Πτολεμαῖον, ἐκ Μακεδονίας μετέστησεν· οὓς ὕστερον Ἀλέξανδρος καταγαγὼν, ἐν ταῖς μεγίσταις εἶχε τιμαῖς. ἐπεὶ δὲ Παυσανίας Ἀττάλου γνώμῃ καὶ Κλεοπάτρας ὑβρισθεὶς καὶ μὴ τυχὼν δίκης ἀνεῖλε Φίλιππον, τὸ μὲν πλεῖστον εἰς Ὀλυμπιάδα τῆς αἰτίας διῆλθεν, ὡς θυμουμένῳ τῷ νεανίσκῳ προσεγκελευσαμένην καὶ παροξύνασαν· ἥψατο δέ τις καὶ Ἀλεξάνδρου διαβολή. λέγεται γὰρ, ἐντυχόντος αὐτῷ τοῦ Παυσανίου μετὰ τὴν ὕβριν ἐκείνην, καὶ ἀποδυρομένου, προενέγκασθαι τὸ τῆς Μηδείας ἰαμβεῖον,

Τὸν

maximam Aridæo Philippi filio deſpondere, atque Ariſtocritum hac de re in Macedoniam miſiſſet, ſermones denuo agitati & calumniæ ſunt apud Alexandrum ab amicis & matre, id agere Philippum ut ſplendidis nuptiis & inſignibus ſubſidiis imponeret regno Aridæum. Hinc commotus Theſſalum, tragœdiarum hiſtrionem, in Cariam legat ad agendum cum Pexodoro, ut miſſo adulterino & mentis impote, traduceret ad Alexandrum affinitatem, quæ conditio longe magis Pexodoro quam prior arriſit. Id Philippus quum olfeciſſet, Alexandrum in cubiculo, adhibito uno ex amicis & familiaribus ejus Philota, Parmenionis filio, graviter increpavit, & amare objurgavit ut degenerem, & ſpe, quæ eum manebat, indignum, qui hominis Caris & regi ſervientis barbaro ambiret gener fieri. Theſſalum autem ſcripſit Corinthiis ut vinctum ad ſe mitterent: ex cæteris vero amicis ejus Harpalum, Nearchum, Phrygium inſuper & Ptolemæum ex Macedonia relegavit, quos reduxit deinceps Alexander, atque in ſummo honore habuit. At poſtquam Pauſanias ex Attali & Cleopatræ conſilio ſtuprum perpeſſus, quod jus ſuum exequi non valuiſſet, occidit Philippum, maxima pars criminis apud Olympiada hæſit, quod flagrantem ira adhortata eſſet & ſtimulaſſet hunc adoleſcentem. Neque extitit immunis a calumnia Alexander: quippe quum appellaſſet eum poſt ſtuprum ſibi illatum Pauſanias, vicemque ſuam doleret, dicitur protuliſſe hunc Medeæ iambum,

Τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην.

οὐ μὴν ἀλλὰ καὶ τοὺς συναιτίους τῆς ἐπιβουλῆς ἀναζητήσας ἐκόλασεν, καὶ τὴν Κλεοπάτραν ἀποδημοῦντος αὐτοῦ τῆς Ὀλυμπιάδος ὠμῶς μεταχειρισαμένης ἠγανάκτησεν.

Παρέλαβε μὲν οὖν ἔτη γεγονὼς εἴκοσι τὴν βασιλείαν, φθόνους μεγάλους καὶ δεινὰ μίση καὶ κινδύνους πανταχόθεν ἔχουσαν. οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα ἔθνη τὴν δούλωσιν ἔφερεν, ποθοῦντα τὰς πατρίους βασιλείας· οὔτε τὴν Ἑλλάδα κρατήσας τοῖς ὅπλοις ὁ Φίλιππος, οἷον καταζεῦξαι καὶ τιθασσεῦσαι χρόνον ἔσχεν, ἀλλὰ μόνον μεταβαλὼν καὶ ταράξας τὰ πράγματα, πολλὴν σάλον ἔχοντα καὶ κίνησιν ὑπὸ ἀηθείας, ἀπέλιπεν. φοβουμένων δὲ τῶν Μακεδόνων τὸν καιρὸν, καὶ τὰ μὲν Ἑλληνικὰ πάντως ἀφεῖναι, καὶ μὴ προσβιάζεσθαι τὸν Ἀλέξανδρον οἰομένων δεῖν, τοὺς δὲ ἀφισταμένους τῶν βαρβάρων ἀνακαλεῖσθαι πρᾴως, καὶ θεραπεύειν τὰς ἀρχὰς τῶν νεωτερισμῶν, αὐτὸς ἀπ' ἐναντίων λογισμῶν ὥρμησε τόλμῃ καὶ μεγαλοφροσύνῃ κτᾶσθαι τὴν ἀσφάλειαν καὶ σωτηρίαν τοῖς πράγμασιν· ὡς, κἂν ὁτιοῦν ὑφιέμενος ὀφθῇ τοῦ φρονήματος, ἐπιβησομένων ἁπάντων. τὰ μὲν οὖν βαρβαρικὰ κινήματα καὶ τοὺς ἐκεῖ πολέμους κατέπαυσεν ὀξέως ἐπιδραμὼν στρατῷ μέχρι πρὸς τὸν Ἴστρον· ᾗ καὶ Σύρμον ἐνίκησε μάχῃ μεγάλῃ τὸν βασιλέα τῶν Τριβαλλῶν. Θηβαίους δὲ ἀφεστάναι πυθόμενος, καὶ συμφρονεῖν αὐτοὺς Ἀθηναίοις, ἐθέλων ἀνὴρ φανῆναι, εὐθὺς ἦγε διὰ πυλῶν τὴν δύναμιν, εἰπὼν ὅτι Δημοσθένει, παῖδα μὲν αὐτὸν, ἕως ἦν ἐν Ἰλ-

λυριοῖς

Dantemque ducentemque, ſponſam quoque neca. Veruntamen conſcios inſidiarum requiſivit & punivit: & quod de Cleopatra Olympias abſente ſe atrociter conſuluiſſet, indignatus eſt.

Igitur annos natus viginti regnum accepit, magna invidia, gravi odio & periculis preſſum undique. Quippe & vicinæ gentes domeſticorum deſiderio regum ſervitutem tentabant excutere: neque Philippus Græciæ, quam ſubjugaverat armis, domandæ & pacandæ ſpatium habuerat, tantum converſas & commiſtas res in magnis undis & jactatione ob inſolentiam reliquit. Timentibus ergo articulum Macedonibus, ac negotia Græciæ prorſus abjicienda Alexandro, nec vim ſentibus afferendam, deficientes autem barbaros leniter ad officium revocandos, principiiſque medendum novationum, ipſe ex diverſis conſiliis adortus eſt audacia & animi magnitudine rebus ſuis ſecuritatem & ſalutem quærere: exiſtimans, ſi paulum modo animum demiſiſſe videretur, cunctos ſe ſuperfuſuros ipſi. Barbarorum igitur motus & ſuſpecta inde bella compeſcuit, ſubito cum exercitu incurrens uſque ad Iſtrum, ubi Syrmum magno prœlio Triballorum regem fudit. Thebanos autem accipiens rebellare, atque cum eis conſpirare Athenienſes, quo virum ſe oſtenderet, confeſtim exercitum per Thermopylas traduxit, dicens Demoſtheni, qui puerum ſe, dum in Il-

λυριοῖς καὶ Τριβαλλοῖς, ἀποκαλοῦντι, μειράκιον δὲ περὶ Θετταλίαν γενόμενον, βούλεσθαι πρὸς τοῖς Ἀθηναίων τείχεσιν ἀνὴρ φανῆναι. προσμίξας δὲ ταῖς Θήβαις, καὶ διδοὺς ἔτι τῶν πεπραγμένων μετάνοιαν, ἐξῄτει Φοίνικα καὶ Προθύτην· καὶ τοῖς μεταβαλλομένοις πρὸς αὐτὸν ἄδειαν ἐκήρυττεν. τῶν δὲ Θηβαίων ἀντεξαιτούντων μὲν παρ' αὐτοῦ Φιλώταν καὶ Ἀντίπατρον, κηρυττόντων δὲ, τοὺς τὴν Ἑλλάδα βουλομένους συνελευθεροῦν, τάττεσθαι μετ' αὐτῶν, οὕτως ἔτρεψε τοὺς Μακεδόνας πρὸς πόλεμον. ἠγωνίσθη μὲν οὖν ὑπὲρ δύναμιν ἀρετῇ καὶ προθυμίᾳ τὰ παρὰ τῶν Θηβαίων πολλαπλασίοις οὖσι τοῖς πολεμίοις ἀντιταχθέντων. ἐπεὶ δὲ καὶ τὴν Καδμείαν ἀφέντες οἱ φρουροὶ τῶν Μακεδόνων ἐπέπιπτον αὐτοῖς ἐξόπισθεν, κυκλωθέντες οἱ πλεῖστοι κατὰ τὴν μάχην αὐτὴν ἔπεσον· ἡ δὲ πόλις ἥλω, καὶ διαρπασθεῖσα κατεσκάφη· τὸ μὲν ὅλον, προσδοκήσαντος αὐτοῦ τοὺς Ἕλληνας ἐκπλαγέντας πάθει τηλικούτῳ καὶ πτήξαντας ἀτρεμήσειν, ἄλλως δὲ καλλωπισαμένου χαρίζεσθαι τοῖς τῶν συμμάχων ἐγκλήμασιν· καὶ γὰρ Φωκεῖς καὶ Πλαταιεῖς τῶν Θηβαίων κατηγόρησαν. ὑπεξελόμενος δὲ τοὺς ἱερεῖς, καὶ τοὺς ξένους τῶν Μακεδόνων ἅπαντας, καὶ τοὺς ἀπὸ Πινδάρου γεγονότας, καὶ τοὺς ὑπεναντιωθέντας τοῖς ψηφισαμένοις τὴν ἀπόστασιν, ἀπέδοτο τοὺς ἄλλους, περὶ τρισμυρίους γενομένους· οἱ δὲ ἀποθανόντες, ὑπὲρ ἑξακισχιλίους ἦσαν.

Ἐν δὲ τοῖς πολλοῖς πάθεσι καὶ χαλεποῖς ἐκείνοις, ἃ τὴν πόλιν κατεῖχεν, Θρᾷκές τινες ἐκκόψαντες οἰκίαν Τιμοκλείας γυναικὸς ἐνδόξου καὶ σώφρονος, αὐτοὶ μὲν τὰ χρήματα διήρπαζον, ὁ δὲ ἡγεμὼν τῇ γυναικὶ πρὸς βίαν

lyrico & Triballis ageret, appellaverat, & adoleſcentulum, quum Theſſaliam iniſſet, velle ſub Athenienſium mœnibus virum ſe monſtrare. Ubi pervenit ad portas Thebanorum, permiſſa iis adhuc præteritorum pœnitentia, expoſcit Phœnicem & Prothytam, & ſi quis ad ſe tranſiiſſet, impunitatem pronuntiat. Ex altera parte depoſcentibus ab eo Thebanis Philotam & Antipatrum, pronuntiantibuſque per præconem, qui aſſerere una in libertatem Græciam vellent, hi ut ipſis ſe aſſociarent, tum convertit Macedonas ad bellum. Certatum eſt igitur ſupra vires ex parte Thebanorum, qui cum multis hoſtibus comparati ſinguli erant. Ubi vero præſidiarii Macedones Cadmia relicta terga eorum cædere cœperunt, circumventi plerique in ipſa acie cecidere. Urbs capta direptaque & diruta, quod exſpectaret eo exemplo perculſos & trepidantes quietem acturos Græcos. Colore tamen uſus alioquin hoc eſt, non potuiſſe id ſe ſociorum querimoniis denegare: quippe criminabantur eos Phocenſes & Platæenſes. Sacerdotibus igitur Macedonumque hoſpitibus omnibus exceptis, & Pindari ſtirpe, iiſque qui defectionem ſciſcentibus repugnaverant, cæteros ad triginta millia ſub corona vendidit. Occubuerant ſupra ſex millia.

Inter multas illas & atroces calamitates, quæ eam civitatem preſſere, Thraces aliquot domum Timocleæ illuſtris fœminæ & caſtæ exciderunt. Prædam autem hauſerunt milites. Præfectus vero ubi ei per vim

βίαν συγγενόμενος καὶ καταισχύνας, ἀνέκρινεν εἴ που χρυσίον ἔχοι κεκρυμμένον ἢ ἀργύριον. ἡ δὲ ἔχειν ὡμολόγησεν, καὶ μόνον εἰς τὸν κῆπον ἀγαγοῦσα, καὶ δείξασα φρέαρ, ἐνταῦθα ἔφη τῆς πόλεως ἁλισκομένης καταβαλεῖν αὐτὴ τὰ τιμιώτατα τῶν χρημάτων. ἐγκύπτοντος δὲ τοῦ Θρᾳκὸς, καὶ κατασκεπτομένου τὸν τόπον, ἔωσεν αὐτὸν ἐξόπισθεν γενομένη, καὶ τῶν λίθων ἐπεμβαλοῦσα πολλοὺς, ἀπέκτεινεν. ὡς δὲ ἀνήχθη πρὸς τὸν Ἀλέξανδρον ὑπὸ τῶν Θρᾳκῶν δεδεμένη, πρῶτον μὲν ἀπὸ τῆς ὄψεως καὶ τῆς βαδίσεως ἐφάνη τις ἀξιωματικὴ καὶ μεγαλόφρων, ἀνεκπλήκτως καὶ ἀδεῶς ἑπομένη τοῖς ἄγουσιν. ἔπειτα τοῦ βασιλέως ἐρωτήσαντος ἥτις εἴη γυναικῶν, ἀπεκρίνατο Θεαγένους ἀδελφὴ γεγονέναι, τοῦ παραταξαμένου πρὸς Φίλιππον ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας, καὶ πεσόντος ἐν Χαιρωνείᾳ στρατηγοῦντος. θαυμάσας οὖν ὁ Ἀλέξανδρος αὐτῆς καὶ τὴν ἀπόκρισιν καὶ τὴν πρᾶξιν, ἐκέλευσεν ἐλευθέραν ἀπιέναι μετὰ τῶν τέκνων.

Ἀθηναίοις δὲ διηλλάγη, καίπερ οὐ μετρίως ἐνεγκοῦσι τὸ περὶ Θήβας δυστύχημα. καὶ γὰρ τὴν τῶν μυστηρίων ἑορτὴν ἐν χερσὶν ἔχοντες, ὑπὸ πένθους ἀφῆκαν, καὶ τοῖς καταφυγοῦσιν ἐπὶ τὴν πόλιν ἁπάντων μετεδίδοσαν τῶν φιλανθρώπων. ἀλλ᾽ εἴτε μεστὸς ὢν ἤδη τὸν θυμὸν, ὥσπερ οἱ λέοντες, εἴτε ἐπιεικὲς ἔργον ὠμοτάτῳ καὶ σκυθρωποτάτῳ παραβαλεῖν βουλόμενος, οὐ μόνον ἀφῆκεν αἰτίας πάσης, ἀλλὰ καὶ προσέχειν ἐκέλευσε τοῖς πράγμασι τὸν νοῦν τὴν πόλιν, ὡς, εἴ τι συμβαίη περὶ αὐτὸν, ἄρξουσαν τῆς Ἑλλάδος. ὕστερον μέντοι πολλάκις αὐτὸν ἡ Θηβαίων ἀνιάσαι συμφορὰ λέγεται, καὶ πρᾳό-

τερον

vim ſtuprum obtulit, quæſivit ecquid alicubi auri vel argenti occuluiſſet. Illa habere confeſſa, ſolum in hortos duxit, monſtratoque puteo, In hunc, inquit, dum expugnatur urbs, chariſſimas quaſque res meas projeci. Inclinantem caput Thracem & deſpicientem locum, impulit ſtans a tergo hominem, multiſque in eum provolutis ſaxis oppreſſit. Ut rapta a Thracibus eſt in vinculis ad Alexandrum, primum ille ex ore & inceſſu dignitatem mulieris & magnanimitatem animadvertit, imperterrite & conſtanter ducentes ſequentis. Deinde interrogata a rege quænam mulier eſſet, Theagenis reſpondit ſororem ſe eſſe, ejus qui dimicaſſet acie pro libertate Græcorum contra Philippum, & dux Chæroneæ cecidiſſet. Cujus Alexander admiratus & reſponſum & factum, liberam abire cum liberis juſſit.

At cum Athenienſibus rediit in gratiam, quamvis Thebanorum cladem non modice tuliſſent. Nam myſteriorum ſolenne, quod in manibus erat, ob luctum prætermiſere, refugienteſque ad urbem ſuam omnibus officiis coluere. Cæterum, ſive ira ejus fuerit jam exſatiata ut leonis, ſive clementiæ exemplum ſæviſſimo & triſtiſſimo facinori voluerit conjungere, non modo omni culpa liberavit eos, ſed & civitatem adhortatus eſt, ſuſciperet rerum curam, quod ad ipſam devolvendum imperium eſſet Græciæ, ſiquid ſibi accidiſſet humanitus. Poſtmodum tamen ſæpius dicitur clades Thebanorum eum torſiſſe, atque in cauſa fuiſſe

iſſe

τερον οὐκ ὀλίγοις παρασχεῖν. ὅλως δὲ καὶ τὸ περὶ Κλεῖτον ἔργον ἐν οἴνῳ γενόμενον, καὶ τὴν πρὸς Ἰνδοῖς τῶν Μακεδόνων ἀποδειλίασιν, ὥσπερ ἀτελῆ τὴν στρατείαν καὶ δόξαν αὐτοῦ προεμένων, εἰς μῆνιν ἀνῆγεν Διονύσου καὶ νέμεσιν. ἦν δὲ Θηβαίων οὐδεὶς τῶν περιγενομένων, ὃς ἐντυχών τι καὶ δεηθεὶς ὕστερον οὐ διεπράξατο παρ' αὐτοῦ. ταῦτα μὲν τὰ περὶ Θήβας.

Εἰς δὲ τὸν Ἰσθμὸν τῶν Ἑλλήνων συλλεγέντων, καὶ ψηφισαμένων ἐπὶ Πέρσας μετ' Ἀλεξάνδρου στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη. πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ, καὶ συνηδομένων, ἤλπιζε καὶ Διογένη τὸν Σινωπέα ταυτὸ ποιήσειν, διατρίβοντα περὶ Κόρινθον. ὡς δὲ ἐκεῖνος ἐλάχιστον Ἀλεξάνδρου λόγον ἔχων, ἐν τῷ Κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν. ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ, καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνθρώπων τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν Ἀλέξανδρον· ὡς δὲ ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν ἠρώτησεν εἴ τινος τυγχάνει δεόμενος, μικρὸν, εἶπεν, ἀπὸ τοῦ ἡλίου μετάστηθι. πρὸς τοῦτο λέγεται τὸν Ἀλέξανδρον οὕτω διατεθῆναι καὶ θαυμάσαι καταφρονηθέντα τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρὸς, ὥστε τῶν περὶ αὐτὸν, ὡς ἀπήεσαν, διαγελώντων καὶ σκωπτόντων, ἀλλὰ μὴν ἐγὼ, εἶπεν, εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην. βουλόμενος δὲ τῷ θεῷ χρήσασθαι περὶ τῆς στρατείας, ἦλθεν εἰς Δελφούς· καὶ κατὰ τύχην ἡμερῶν ἀποφράδων οὐσῶν, ἐν αἷς οὐ νενόμισται θεμιστεύειν, πρῶτον μὲν ἔπεμπεν παρακαλῶν τὴν πρόμαν-

τιν·

iſſe quod non paucis præbuerit ſe mitiorem. Prorſus vero admiſſum per temulentiam in Clitum facinus, illamque contra Indos Macedonum ignaviam, quaſi rudem relinquentium expeditionem ſuam & gloriam, ad iram & invidiam retulit Liberi patris. Neque vero quiſquam fuit Thebanorum, qui incolumes forent, qui poſtea rem ullam fruſtra ab eo poſtularet, aut oraret. Hactenus de rebus Thebanis.

Agentibus conventum Græcis in Iſthmo, ubi bellum cum Alexandro contra Perſas decrevere, dux eſt declaratus. Quem quum viri reſpub. tractantes philoſophique frequentes obviam irent ſalutatum gratulatumque, idem officium exſpectavit ab Sinopenſi Diogene, qui apud Corinthum agebat. Ut hic in Cranio otium agens minime de Alexandro laboravit, profectus ipſe ad illum eſt. Forte apricabatur tunc in ſole ſtratus. Paululum autem allevavit corpus tanta hominum accedente caterva, atque Alexandrum intuitus eſt. Qui ubi eum ſalutavit, affatuſque requiſivit ecqua re haberet opus: Recede, inquit, pauliſper ex ſole. Perhibetur hinc adeo permotus Alexander fuiſſe & obſtupuiſſe contemplatus deſpicientiam hominis & animi celſitudinem, ut quum comites ſui inter abeundum ipſum riderent luderentque, Atqui ego, inquit, niſi Alexander eſſem, Diogenes eſſe vellem. Delphos ad Apollinem de bello conſulendum profectus, quod forte dies nefaſti eſſent, quibus non erat ſolenne oracula edere, primo miſit certos, qui vatem orarent ut veniret.

τιν· ὡς δὲ ἀρνουμένης, καὶ προϊσχομένης τὸν νόμον, αὐτὸς ἀναβὰς βίᾳ πρὸς τὸν ναὸν εἷλκεν αὐτήν· ἡ δὲ, ὥσπερ ἐξηττημένη τῆς σπουδῆς, εἶπεν, ἀνίκητος εἶ, ὦ παῖ· τοῦτο ἀκούσας Ἀλέξανδρος, οὐκ ἔτι ἔφη χρήσειν ἑτέρου μαντεύματος, ἀλλ᾽ ἔχειν ὃν ἐβούλετο παρ᾽ αὐτῆς χρησμόν. ἐπεὶ δὲ ὥρμησεν πρὸς τὴν στρατείαν, ἄλλα τε δοκεῖ σημεῖα παρὰ τοῦ δαιμονίου γενέσθαι, καὶ τὸ περὶ Λείβηθρα τοῦ Ὀρφέως ξόανον (ἦν δὲ κυπαρίττινον) ἱδρῶτα πολὺν ὑπὸ τὰς ἡμέρας ἐκείνας ἀφῆκεν. φοβουμένων δὲ πάντων τὸ σημεῖον, Ἀρίστανδρος ἐκέλευε θαῤῥεῖν, ὡς ἀοιδίμους καὶ περιβοήτους κατεργασόμενον πράξεις, αἳ πολὺν ἱδρῶτα καὶ πόνον ὑμνοῦσι ποιηταῖς καὶ μουσικοῖς παρέξουσι.

Τῆς δὲ στρατιᾶς τὸ πλῆθος, οἱ μὲν ἐλάχιστον λέγοντες, τρισμυρίους πεζοὺς, καὶ πεντακισχιλίους ἱππεῖς· οἱ δὲ πλεῖστον, πεζοὺς μὲν τετρακισχιλίους καὶ τρισμυρίους, ἱππέας δὲ τετρακισχιλίους ἀναγράφουσιν. ἐφόδιον δὲ τούτοις, οὐ πλέον ἑβδομήκοντα ταλάντων ἔχειν αὐτὸν Ἀριστόβουλος ἱστορεῖ· Δοῦρις δὲ, τριάκοντα μόνον ἡμερῶν διατροφήν· Ὀνησίκριτος δὲ, καὶ διακόσια τάλαντα προσοφείλειν. ἀλλὰ καίπερ ἀπὸ μικρῶν καὶ στενῶν οὕτως ὁρμώμενος, οὐ πρότερον ἐπέβη τῆς νεὼς, ἢ τὰ τῶν ἑταίρων πράγματα σκεψάμενος, ἀπονεῖμαι τῷ μὲν ἀγρὸν, τῷ δὲ κώμην, τῷ δὲ συνοικίας πρόσοδον ἢ λιμένος. ἤδη δὲ κατηναλωμένων καὶ διαγεγραμμένων σχεδὸν ἁπάντων τῶν βασιλικῶν, ὁ Περδίκκας, σεαυτῷ δὲ, εἶπεν, ὦ βασιλεῦ, τί καταλείπεις; τοῦ δὲ φήσαντος, ὅτι τὰς ἐλπίδας, Οὐκοῦν, ἔφη, καὶ ἡμεῖς τούτων κοινωνήσομεν, οἱ

μετ

niret. Recuſante illa & legem prætendente, aſcendit ipſe, atque vi traxit eam ad templum. Quæ illius expugnata contentione ait, Invictus es, fili. Id audiens Alexander, negavit ſe alias ſortes quærere, ſed habere quod peteret ab ea oraculum. Poſtquam ad bellum movit, cum alia prodigia Deorum nuntiata ſunt, tum Orphei ſignum apud Libethra, quod cupreſſinum erat, ſub ea tempeſtate copioſo manavit ſudore. Eo portento omnibus exterritis, bono animo juſſit illum Ariſtander eſſe, res eum geſturum nunquam obliterandas, ac celebres; quæ multum ſudoris & laboris decantantibus eas poetis & muſicis eſſent præbituræ.

Copiarum ejus numerum, qui minimum edunt, peditum triginta millia, equitum quinque: qui maximum, peditum quatuor & triginta millia, equitum quatuor tradunt. Stipendium his ſeptuaginta talenta, non amplius eum Ariſtobulus habuiſſe memoriæ prodidit: Duris triginta duntaxat dierum cibaria; Oneſicritus inſuper talenta ducenta eum habuiſſe æris alieni. Ille autem quamvis ſubſidiis rem ſuſcepit adeo exiguis & anguſtis, non ante tamen conſcendit navem, quam conſideratis rationibus amicorum erogaſſet huic agrum, illi pagum, alteri vici proventum vel portus. Quum jam eſſent vectigalia pene omnia diſtributa regia & diplomatibus conſignata, Perdiccas, Tibi ipſi, rex, inquit, quid reliquum feciſti? Cui quum ille reſpondiſſet, Spes meas: Ergo nos quoque, inquit, qui

auſpicia

μετὰ σοῦ στρατευόμενοι; παραιτησαμένου δὲ τοῦ Περδίκκου τὴν διαγεγραμμένην κλῆσιν αὐτῷ, καὶ τῶν ἄλλων φίλων ἔνιοι τὸ αὐτὸ ἐποίησαν· τοῖς δὲ λαμβάνουσι καὶ δεομένοις προθύμως ἐχαρίζετο, καὶ τὰ πλεῖστα τῶν ἐν Μακεδονίᾳ διανέμων οὕτω κατηνάλωσεν. τοιαύτῃ μὲν ὁρμῇ καὶ παρασκευῇ διανοίας τὸν Ἑλλήσποντον διεπέρασεν. ἀναβὰς δὲ εἰς Ἴλιον, ἔθυσε τῇ Ἀθηνᾷ, καὶ τοῖς ἥρωσιν ἔσπεισεν. τὴν δὲ Ἀχιλλέως στήλην ἀλειψάμενος λίπα, καὶ μετὰ τῶν ἑταίρων συναναδραμὼν γυμνὸς, ὥσπερ ἔθος ἐστὶν, ἐστεφάνωσεν, μακαρίσας αὐτὸν, ὅτι καὶ ζῶν φίλου πιστοῦ, καὶ τελευτήσας μεγάλου κήρυκος ἔτυχεν. ἐν δὲ τῷ περιϊέναι καὶ θεᾶσθαι τὰ κατὰ τὴν πόλιν, ἐρομένου τινὸς αὐτὸν εἰ βούλεται τὴν Ἀλεξάνδρου λύραν ἰδεῖν, ἐλάχιστα φροντίζειν ἐκείνης ἔφη· τὴν δ' Ἀχιλλέως ζητεῖν, ᾗ τὰ κλέα καὶ τὰς πράξεις ὕμνει τῶν ἀγαθῶν ἀνδρῶν ἐκεῖνος.

Ἐν δὲ τούτῳ τῶν Δαρείου στρατηγῶν μεγάλην δύναμιν ἠθροικότων, καὶ παρατεταγμένων ἐπὶ τῇ διαβάσει τοῦ Γρανικοῦ, μάχεσθαι μὲν ἴσως ἀναγκαῖον ἦν, ὥσπερ ἐν πύλαις τῆς Ἀσίας, περὶ τῆς εἰσόδου καὶ ἀρχῆς· τοῦ δὲ ποταμοῦ τὸ βάθος, καὶ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν πέραν ὄχθων, πρὸς οὓς ἔδει γίνεσθαι τὴν ἀπόβασιν μετὰ μάχης, τῶν πλείστων δεδιότων, ἐνίων δὲ καὶ τῶν περὶ τὸν μῆνα νενομισμένων οἰομένων δεῖν φυλάξασθαι· Δαισίου γὰρ οὐκ εἰώθεισαν οἱ βασιλεῖς τῶν Μακεδόνων ἐξάγειν τὴν στρατιάν· τοῦτο μὲν ἐπηνωρθώσατο, κελεύσας δεύτερον Ἀρτεμίσιον ἄγειν. τοῦ δὲ Παρμενίωνος, ὡς ὀψὲ τῆς ὥρας οὔσης, οὐκ ἐῶντος ἀποκινδυνεύειν, εἰπὼν αἰ-

σχύνεσθαι

auſpicia ſequimur tua, harum erimus conſortes. Repudiantem aſſignatum ſibi diplomate prædium Perdiccam nonnulli alii ex amicis ſunt imitati. Accipientibus & petentibus largitus eſt benigne, ac patrimonium quidem Macedonicum diſtributum hoc modo profudit. Hoc impetu & alacritate animi tranſmiſit Helleſpontum. Ilium aggreſſus Minervæ ſacrificavit, heroibuſque libavit, Achillis cippum unctus circum eum una cum amicis de more cucurrit nudus, eique coronam impoſuit, beatum prædicans Achillem, quod & dum viveret, fidum amicum, & poſt fata eſſet nactus magnum præconem. In obeundo & viſendo oppido, quum quæreret quiſpiam ex eo, velletne Alexandri lyram contemplari: Non morari ait ſe illam, ſed Achillis quærere eam, qua decora & res geſtas ille clarorum virorum celebraverat.

Interea Darii duces ingentem manum conſcripſere, aciemque inſtruxerunt in ripa Granici. Ibi, velut in porta Aſiæ, de ingreſſu & limine quodammodo erat dimicandum. Quum autem amnis altitudinem, iniquitatemque atque ſalebras plerique timerent ulterioris ripæ, quo pugnando evadendum erat, pars etiam ſolennia illius menſis in religionem traherent (menſe enim Dæſio non erat moris regum Macedonum ſigna movere) hoc correxit, edicens ut denuo agerent Artemiſium. Monente etiam Parmenione, quod veſper eſſet, ne ſe committeret periculo, rubore ſuf-

fuſum

χωῦσθαι τὸν Ἑλλήσποντον, εἰ φοβήσεται τὸν Γρανικὸν, διαβεβηκὼς ἐκεῖνον, ἐμβάλλει τῷ ῥεύματι σὺν ἴλαις ἱππέων τρισκαίδεκα· καὶ πρὸς ἐναντία βέλη καὶ τόπους ἀπορρῶγας, ὅπλοις καταπεφραγμένους καὶ ἵππους ἐλαύνων, καὶ διὰ ῥεύματος παραφερόμενος καὶ περικλυζόμενος, ἔδοξεν μανικῶς καὶ πρὸς ἀπόνοιαν μᾶλλον ἢ γνώμῃ στρατηγεῖν. οὐ μὴν ἀλλ᾽ ἐμφὺς τῇ διαβάσει, καὶ κρατήσας τῶν τόπων χαλεπῶς καὶ μόλις, ὑγρῶν καὶ περισφαλῶν γενομένων διὰ τὸν πηλὸν, εὐθὺς ἠναγκάζετο φύρδην μάχεσθαι, καὶ κατ᾽ ἄνδρα συμπλέκεσθαι τοῖς ἐπιφερομένοις, πρὶν εἰς τάξιν τινὰ καταστῆναι τοὺς διαβαίνοντας. ἐνέκειντο γὰρ κραυγῇ, καὶ τοὺς ἵππους παραβάλλοντες τοῖς ἵπποις, ἐχρῶντο δόρασι, καὶ ξίφεσι, τῶν δοράτων συντριβέντων. ὠσαμένων δὲ πολλῶν ἐπ᾽ αὐτὸν (ἦν δὲ τῇ πέλτῃ καὶ τοῦ κράνους τῇ χαίτῃ διαπρεπὴς, ἧς ἑκατέρωθεν εἱστήκει πτερὸν λευκότητι καὶ μεγέθει θαυμαστὸν) ἀκοντισθεὶς μὲν ὑπὸ τὴν ἐπιπτυχίδα τοῦ θώρακος οὐκ ἐτρώθη· Ῥοισάκου δὲ καὶ Σπιθριδάτου τῶν στρατηγῶν προσφερομένων ἅμα, τὸν μὲν ἐκκλίνας, Ῥοισάκῃ δὲ προεμβαλὼν τεθωρακισμένῳ τὸ δόρυ, καὶ κατακλάσας τοῦτο, ἐπὶ τὸ ἐγχειρίδιον ὥρμησεν. συμπεπτωκότων δὲ αὐτῶν, ὁ Σπιθριδάτης ὑποστήσας ἐκ πλαγίων τὸν ἵππον, καὶ μετὰ σπουδῆς συνεξαναστὰς, κοπίδι βαρβαρικῇ κατήνεγκεν· καὶ τὸν μὲν λόφον ἀπήρραξεν μετὰ θατέρου πτεροῦ, τὸ δὲ κράνος πρὸς τὴν πληγὴν ἀκριβῶς καὶ μόλις ἀντέσχεν, ὥστε τῶν πρώτων ψαῦσαι τριχῶν τὴν πτέρυγα τῆς κοπίδος. ἑτέραν δὲ τὸν Σπιθριδάτην πάλιν ἐπαιρόμενον, ἔφθασε Κλεῖτος ὁ μέγας, τῷ ξυστῷ διελάσας μέσον. ὁμοῦ δὲ καὶ Ῥοισάκης

ἐπε-

fuſum iri ait Helleſpontum, hunc ſi formidaret, quum trajecerit illum; ſimulque irrupit in flumen turmis equitum tredecim, ruenſque in infeſta tela & loca prærupta, quæ armis ſtipata & equis erant, perque undam tranſverſos auferentem & obruentem, videbatur furore & inſania magis quam conſilio rem gerere. Attamen urgens tranſitum, ſuperatis ægre magnoque cum labore locis madidis lubricisque ob limum, e veſtigio coactus eſt, priuſquam in ordinem aliquem collocare tranſeuntes valeret, incondito agmine confligere, ac viritim manus cum inferentibus ſe hoſtibus conſerere. Inſtiterunt enim clamore illi, equoſque equis conferentes, lanceis, & poſt eas infractas gladiis pugnaverunt. Quum multi imminerent illi (erat enim pelta inſignis & galeæ juba, quæ hinc inde pinnas directas habebat candore & magnitudine ſingulares) jaculo ſub loricæ compagine percuſſus non accepit vulnus. At Rhœſace & Spithridate ducibus ſimul in ipſum invehentibus, hunc declinavit, Rhœſaci prævenit lanceam loricato infligere. Ea præfracta, gladium ſtrinxit. His manus conſerentibus adigit Spithridates ex latere equum, atque Alexandrum omni conatu aſſurgens copide barbarica ferit, criſtamque cum altera avellit pinna. Galea probe quidem, ſed ægre tamen reſtitit ictui, ac mucro copidis ſupremos capillos ejus perſtrinxit. Alterum ictum librantem Spithridatem occupavit Clitus Magnus haſta medium transfigere. Simul Rhœſaces enſe

ἔπεσεν, ὑπὸ Ἀλεξάνδρου ξίφει πληγείς. ἐν τούτῳ δὲ κινδύνου καὶ ἀγῶνος ὄντος τῆς ἱππομαχίας, ἥ τε φάλαγξ διέβαινε τῶν Μακεδόνων, καὶ συνῆγον αἱ πεζαὶ δυνάμεις. οὐ μὴν ὑπέστησαν εὐρώστως οὐδὲ πολὺν χρόνον, ἀλλ' ἔφυγον τραπόμενοι, πλὴν τῶν μισθοφόρων Ἑλλήνων. οὗτοι δὲ πρός τινι λόφῳ συστάντες, ἤτουν τὰ πιστὰ τὸν Ἀλέξανδρον. ὁ δὲ θυμῷ μᾶλλον ἢ λογισμῷ πρῶτος ἐμβαλὼν, τόν τε ἵππον ἀποβάλλει, ξίφει πληγέντα διὰ τῶν πλευρῶν (ἦν δὲ ἕτερος, οὐχ ὁ Βουκεφάλας) καὶ τοὺς πλείστους τῶν ἀποθανόντων καὶ τραυματισθέντων ἐκεῖ συνέβη κινδυνεῦσαι καὶ πεσεῖν, πρὸς ἀνθρώπους ἀπεγνωκότας καὶ μαχίμους συμπλεκομένους. λέγονται δὲ πεζοὶ μὲν δισμύριοι τῶν βαρβάρων, ἱππεῖς δὲ δισχίλιοι πεντακόσιοι πεσεῖν. τῶν δὲ περὶ τὸν Ἀλέξανδρον, Ἀριστόβουλος φησὶν τέσσαρας καὶ τριάκοντα νεκροὺς γενέσθαι τοὺς πάντας, ὧν ἐννέα πεζοὺς εἶναι. τούτων μὲν οὖν ἐκέλευσεν εἰκόνας ἀνασταθῆναι χαλκᾶς, ἃς Λύσιππος εἰργάσατο. κοινούμενος δὲ τὴν νίκην τοῖς Ἕλλησιν, ἰδίᾳ μὲν τοῖς Ἀθηναίοις ἔπεμψεν τῶν αἰχμαλώτων τριακοσίας ἀσπίδας, κοινῇ δὲ τοῖς ἄλλοις λαφύροις ἐκέλευσεν ἐπιγράψαι φιλοτιμοτάτην ἐπιγραφὴν, ΑΛΕΞΑΝΔΡΟΣ Ο ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΟΙ ΕΛΛΗΝΕΣ ΠΛΗΝ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΑΠΟ ΤΩΝ ΒΑΡΒΑΡΩΝ ΤΩΝ ΤΗΝ ΑΣΙΑΝ ΚΑΤΟΙΚΟΥΝΤΩΝ. ἐκπώματα δὲ καὶ πορφύρας καὶ ὅσα τοιαῦτα τῶν Περσικῶν ἔλαβεν, πάντα τῇ μητρὶ, πλὴν ὀλίγων, ἔπεμψεν.

Οὗτος

ſe ab Alexandro ictus concidit. Dum eo in diſcrimine & certamine equeſtris pugna verſatur, phalanx Macedonum trajecit, & pedeſtres copiæ concurrerunt: haud ſtrenue tamen neque diu locum tenuerunt hoſtes, ſed terga dederunt omnes præter mercenarios Græcos. Hi enim in tumulo quodam globo facto in fidem recipi ab Alexandro petiere, quî ira potius quam conſilio primus in eos impreſſionem faciens, confoſſum lateribus equum amiſit. Alius fuit hic, non Bucephalas: & qui interfecti ſunt aut vulnera acceperunt, his ibi contigit in præcipitem caſum venire & cadere, dum cum viris fortibus & deſperatis confligunt. De barbaris peditum viginti millia, equitum duo millia quingenti cecidiſſe dicuntur. De Alexandri exercitu deſiderati (ut Ariſtobulus autor eſt) in totum quatuor & triginta, inter quos pedites novem fuere. His ſtatuas ex ære erexit, quas finxit Lyſippus. Participans autem Græcis victoriam, Athenienſibus extra ordinem trecentos clypeos miſit de ſpoliis. Cæteris manubiis in communi glorioſiſſimum titulum inſcribi juſſit, ALEXANDER PHILIPPI, ET GRAECI, PRAETER LACEDAEMONIOS, DE BARBARIS ASIATICIS. Pocula, purpuram, atque ejus generis Perſicam prædam paucis exceptis matri cuncta miſit.

Hoc

Οὗτος ὁ ἀγὼν μεγάλην εὐθὺς ἐποίησεν τῶν πραγμάτων μεταβολὴν πρὸς Ἀλέξανδρον· ὥστε καὶ Σάρδεις τὸ πρόσχημα τῆς ἐπὶ θαλάσσῃ τῶν βαρβάρων ἡγεμονίας παραλαβεῖν, καὶ τἄλλα προστίθεσθαι. μόνη δὲ Ἁλικαρνασσὸς ἀντέστη καὶ Μίλητος, ἃς ἑλὼν κατὰ κράτος, καὶ τὰ περὶ αὐτὰς πάντα χειρωσάμενος, ἀμφίβολος ἦν πρὸς τὰ λοιπὰ τῇ γνώμῃ. καὶ πολλάκις μὲν ἔσπευδεν Δαρείῳ συμπεσὼν ἀποκινδυνεῦσαι περὶ τῶν ὅλων, πολλάκις δὲ τοῖς ἐπὶ θαλάσσῃ πράγμασι καὶ χρήμασι διενοεῖτο πρῶτον οἷον ἐνασκήσας καὶ ῥώσας αὐτὸν, οὕτως ἀναβαίνειν ἐπ᾽ ἐκεῖνον. ἔστιν δὲ τῆς Λυκίας κρήνη περὶ τὴν Ξανθίων πόλιν, ἧς τότε λέγουσιν αὐτομάτως περιτραπείσης καὶ ὑπερβαλούσης, ἐκ βυθοῦ δέλτον ἐκπεσεῖν χαλκῆν, τύπους ἔχουσαν ἀρχαίων γραμμάτων, ἐν οἷς ἐδηλοῦτο παύσεσθαι τὴν Περσῶν ἀρχὴν ὑπὸ Ἑλλήνων καταλυθεῖσαν. τούτοις ἐπαρθεὶς, ἠπείγετο τὴν παραλίαν ἀνακαθήρασθαι μέχρι τῆς Φοινίκης καὶ Κιλικίας. ἡ δὲ τῆς Παμφυλίας παραδρομὴ, πολλοῖς γέγονε τῶν ἱστορικῶν ὑπόθεσις γραφικὴ πρὸς ἔκπληξιν καὶ ὄγκον, ὡς θείᾳ τινὶ τύχῃ παραχωρήσασαν Ἀλεξάνδρῳ τὴν θάλασσαν, ἄλλως ἀεὶ τραχεῖαν ἐκ πελάγους προσφερομένην, σπανίως δὲ λεπτοὺς καὶ προσηχεῖς ὑπὸ τὰ κρημνώδη καὶ παρεῤῥωγότα τῆς ὀρεινῆς πάγους διακαλύπτουσαν. δηλοῖ δὲ καὶ Μένανδρος, ἐν κωμῳδίᾳ παίζων πρὸς τὸ παράδοξον,

Ὡς Ἀλεξανδρῶδες ἤδη τοῦτο. κἂν ζητῶ τινα,
Αὐτόματος οὗτος παρέσται. κἂν διελθεῖν δηλαδὴ

Διὰ

Hoc prœlio immenſa rerum inclinatio eſt ad Alexandrum inſequuta, adeoque imperii maritimi barbarorum domicilium permiſere ſe ei Sardeis, ac cætera ad eum defecere. Una reſtitit Halicarnaſſus & Miletus: quibus expugnatis, circaque omnibus ſubactis, ſuſpenſus animo fuit ad reliqua. Subinde properabat cum Dario quam primum confligere, ac de ſumma rerum aleam jacere. Subinde deliberabat viribus & opibus maritimis prius quaſi exercere ſe & roborare, inde in illum movere. Fons eſt Lyciæ prope Xanthum oppidum. Hujus id temporis aiunt exundatione inflati ſpontanea tabulam ab imo æream erupiſſe: figuram ea repræſentavit vetuſtarum literarum, quibus ſignificabatur imperium Perſarum everſum a Græcis deſiturum. His erectus ad oram maritimam pacandam uſque ad Phœniciam & Ciliciam perrexit. Pamphyliæ percurſus iſte compluribus ſuppeditavit hiſtoricis elegans ad miraculum excitandum & pompam argumentum, quaſi divina quadam ſorte cederet Alexandro mare, quod ſævum alias ex alto littus verberaret, raro autem tenuia & reſonantia ſub abruptis & confragoſis rupibus aperiret ſaxa. Id quod Menander quoque indicat in comœdia ad rei novitatem alludens,

Quantum Alexandrina jam iſta: quod ſi forte quempiam
Quæro, is ultro adeſt: quod ſi videlicet me oporteat

 Per-

Διὰ θαλάσσης δέῃ τόπον τιν', οὗτος ἔσαι μοι βατός.
αὐτὸς δὲ Ἀλέξανδρος ἐν ταῖς ἐπιστολαῖς, οὐδὲν τοιοῦτον τερατευσάμενος, ὁδοποιῆσαι φησὶν τὴν λεγομένην Κλίμακα, καὶ διελθεῖν, ὁρμήσας ἐκ Φασήλιδος. διὸ καὶ πλείονας ἡμέρας ἐν τῇ πόλει διέτριψεν· ἐν αἷς καὶ Θεοδέκτου τεθνηκότος (ἦν δὲ Φασηλίτης) ἰδὼν εἰκόνα ἀνακειμένην ἐν ἀγορᾷ, μετὰ δεῖπνον ἐπεκώμασε μεθύων, καὶ τῶν στεφάνων ἐπέῤῥιψεν πολλούς· οὐκ ἄχαριν ἐν παιδιᾷ ἀποδιδοὺς τιμὴν τῇ γενομένῃ δι' Ἀριστοτέλην καὶ φιλοσοφίαν ὁμιλίᾳ πρὸς τὸν ἄνδρα.

Μετὰ ταῦτα Πισιδῶν τε τοὺς ἀντιστάντας ᾕρει, καὶ Φρυγίαν ἐχειροῦτο· καὶ Γόρδιον πόλιν, ἑστίαν Μίδου τοῦ παλαιοῦ γενέσθαι λεγομένην, παραλαβὼν, τὴν θρυλλουμένην ἅμαξαν εἶδεν φλοιῷ κρανείας ἐνδεδεμένην, καὶ λόγον ἐπ' αὐτῇ πιστευόμενον ὑπὸ τῶν βαρβάρων ἤκουσεν, ὡς τῷ λύσαντι τὸν δεσμὸν εἵμαρται βασιλεῖ γενέσθαι τῆς οἰκουμένης. οἱ μὲν οὖν πολλοί φασι, τῶν δεσμῶν τυφλὰς ἐχόντων τὰς ἀρχὰς καὶ δι' ἀλλήλων πολλάκις σκολιοῖς ἑλιγμοῖς ὑποφερομένων, τὸν Ἀλέξανδρον ἀμηχανοῦντα λῦσαι, διατεμεῖν τῇ μαχαίρᾳ τὸ σύναμμα, καὶ πολλὰς ἐξ αὐτοῦ κοπέντος ἀρχὰς φανῆναι· Ἀριστόβουλος δὲ καὶ πάνυ λέγει ῥᾳδίαν αὐτῷ τὴν λύσιν γενέσθαι ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἕστορα καλούμενον, ὁ συνεῖχε τὸ ζυγόδεσμον, εἶθ' οὕτως ὑφελκύσαντι τὸν ζυγόν. ἐντεῦθεν Παφλαγόνας τε καὶ Καππαδόκας προσαγαγόμενος, καὶ τὴν Μέμνονος ἀκούσας τελευτὴν, ὃς τῶν ἐπὶ θαλάττῃ Δαρείου στρατηγῶν ἐπίδοξος ἦν Ἀλεξάνδρῳ πολλὰ πράγματα καὶ μυρίας ἀντι-

Pertranſire aliquem maris locum, patebit tranſitus. Alexander autem ipſe in epiſtolis ſuis nihil portenti ejuſcemodi jactans, iter narrat feciſſe ſe per Climaca appellatam, atque ex Phaſelide progreſſum eam peragraſſe. Unde dies complures in eo oppido ſubſtitit: quibus quum Theodecti jam fato functi (fuit autem Phaſelites) ſtatuam vidiſſet in foro locatam, perrexit eo ſaltatum a cœna temulentus, crebraſque coronas ei injecit; haud invenuſtum tribuens per ludum honorem conſuetudini, quæ per Ariſtotelem & philoſophiam ei cum illo interceſſerat.

Hinc Piſidas, quos in armis reperit, opprimit, Phrygiam ſubjugat. Gordium oppidum, quod veteris Midæ fertur domicilium fuiſſe, in fidem accipiens, nobilitatum illud ſpectavit vehiculum cortice revinctum corneo: ac pro vero a barbaris accepit credi in fatis eſſe, qui vinculum id ſolviſſet, is ut imperio orbis terræ potiretur. Commemorant quidem multi, vinculum, quod tortuoſis orbibus nodi in ſemetipſis identidem implicati celarent loramentorum capita, Alexandrum ſolvere deſperantem, gladio nexum diſſecuiſſe, atque multa eo reſoluto capita inveniſſe. Ariſtobulus vero ſane quam expedite nodum ait eum ſolviſſe, quum exemiſſet ex temone clavum, quem vocant, qui temoni alligat jugum, atque ita inde jugum ſubtraxiſſet. Hinc Paphlagonas & Cappadocas in ditionem accepit. Adfertur etiam Memnonis exitus, qui Darii præfectus claſſis, multum Alexandro laboris exhibiturus, ſexcentaſque diffi-

ἀντιλήψεις καὶ ἀσχολίας παρέξειν, ἐπερρώσθη πρὸς τὴν ἄνω στρατείαν μᾶλλον. ἤδη δὲ καὶ Δαρεῖος ἐκ Σούσων κατέβαινεν, ἐπαιρόμενός τε τῷ πλήθει τῆς δυνάμεως (ἑξήκοντα γὰρ ἦγε μυριάδας στρατοῦ) καί τινος ὀνείρου θαρρύνοντος αὐτὸν, ὃν οἱ μάγοι πρὸς χάριν ἐξηγοῦντο μᾶλλον ἢ κατὰ τὸ εἰκός. ἔδοξε γὰρ πυρὶ νέμεσθαι πολλῷ τὴν Μακεδόνων φάλαγγα· τὸν δὲ Ἀλέξανδρον ἔχοντα στολὴν, ἣν αὐτὸς ἐφόρει πρότερον, ἀσγάνδης ὢν βασιλέως, ὑπηρετεῖν αὐτῷ· παρελθόντα δὲ εἰς τὸ τοῦ Βήλου τέμενος, ἀφανῆ γενέσθαι. διὰ τούτων, ὡς ἔοικεν, ὑπεδηλοῦτο παρὰ τοῦ Θεοῦ, λαμπρὰ γενέσθαι καὶ περιφανῆ τὰ τῶν Μακεδόνων· Ἀλέξανδρον δὲ τῆς μὲν Ἀσίας κρατήσειν, ὥσπερ ἐκράτησε Δαρεῖος, ἐξ ἀσγάνδου βασιλεὺς γενόμενος, ταχὺ δὲ σὺν δόξῃ τὸν βίον ἀπολείψειν.

Ἔτι δὲ μᾶλλον ἐθάρρησεν, καταγνοὺς δειλίαν Ἀλεξάνδρου πολὺν χρόνον ἐν Κιλικίᾳ διατρίψαντος. ἦν δὲ ἡ διατριβὴ διὰ νόσον, ἣν οἱ μὲν ἐκ κόπων, οἱ δὲ λουσαμένῳ ἐν τῷ τοῦ Κύδνου ῥεύματι καταπαγέντι προσπεσεῖν λέγουσι. τῶν μὲν οὖν ἄλλων ἰατρῶν οὐδεὶς ἐθάρρει βοηθήσειν, ἀλλὰ τὸν κίνδυνον οἰόμενοι πάσης ἰσχυρότερον εἶναι βοηθείας, ἐφοβοῦντο τὴν ἐκ τοῦ σφαλῆναι διαβολὴν πρὸς τοὺς Μακεδόνας· Φίλιππος δὲ ὁ Ἀκαρνὰν μοχθηρὰ μὲν ἑώρα τὰ περὶ αὐτὸν ὄντα, τῇ δὲ φιλίᾳ πιστεύων, καὶ δεινὸν ἡγούμενος εἰ κινδυνεύοντι μὴ συγκινδυνεύσει, μέχρι τῆς ἐσχάτης πείρας βοηθῶν καὶ παραβαλλόμενος, ἐπεχείρησε φαρμακείᾳ· καὶ συνέπεισεν αὐτὸν ὑπομεῖναι καὶ πιεῖν, σπεύ-

difficultates & negotia putabatur. Ita magis ad bellum in ſuperiores provincias promovendum eſt confirmatus. Jam Darius e Suſis moverat, tum copiarum ſubnixus multitudine (quippe ſexcenta millia militum ſub ſignis habebat) tum fretus ſomnio quodam, quod blandientes ei magis quam pro veriſimilitudine interpretati fuerant magi. Macedonum agmen magno ignis fulgore viſum eſt collucere: Alexander autem, quo ante ipſe cultu fuerat indutus, quum regis eſſet aſgandes, ſibi miniſtrare, ac quum in Beli templum eſſet ingreſſus, ex oculis eſſe ſubductus. His nimirum portendit Deus magnificas & claras res Macedonas geſturos, & potiturum Aſia Alexandrum, ſicut potitus ea Darius fuerat, ex aſgande factus rex; verum brevi vitam cum gloria depoſiturum.

Multo vero magis eſt animatus, quod Alexandrum pro ignavo duceret, qui multum temporis triviſſet in Cilicia. Detinuit eum morbus, quo alii eum ex laboribus, alii, quum in amni Cydno gelidiſſimo corpus abluiſſet, correptum referunt. Hic quum ex cæteris medicis remedium nemo promitteret, ſed periculum exiſtimantes omnis ſuperius opis eſſe, timerent, ſi titubaſſent, obtrectationem apud Macedonas: Philippus Acarnan ſpem ſalutis quidem in præcipiti videbat eſſe, verum amicitia ejus fretus, & indignum ratus ſi cum rege in diſcrimine poſito non una diſcrimen ſubiret, nec ultima remedia tentaret vel cum periculo, aggreſſus eſt remedium ei afferre, adhortatuſque eum ut admitteret id & hauriret, ſi feſtinaret valetudinem recipe-

 re,

σπεύδοντα ῥωσθῆναι πρὸς τὸν πόλεμον. ἐν τούτῳ δὲ Παρμενίων ἔπεμψεν ἐπιστολὴν ἀπὸ στρατοπέδου, διακελευόμενος αὐτῷ φυλάξασθαι τὸν Φίλιππον, ὡς ὑπὸ Δαρείου πεπεισμένον ἐπὶ δωρεαῖς μεγάλαις καὶ γάμῳ θυγατρὸς ἀνελεῖν Ἀλέξανδρον. ὁ δὲ, τὴν ἐπιστολὴν ἀναγνοὺς, καὶ μηδενὶ δείξας τῶν φίλων, ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν. ὡς δὲ τοῦ καιροῦ παρόντος εἰσῆλθεν μετὰ τῶν ἑταίρων ὁ Φίλιππος τὸ φάρμακον ἐν κύλικι κομίζων, ἐκείνῳ μὲν ἐπέδωκεν τὴν ἐπιστολὴν, αὐτὸς δὲ τὸ φάρμακον ἐδέξατο προθύμως καὶ ἀνυπόπτως· ὥστε θαυμαστὴν καὶ θεατρικὴν τὴν ὄψιν εἶναι, τοῦ μὲν, ἀναγινώσκοντος, τοῦ δὲ, πίνοντος· εἶτα ἅμα πρὸς ἀλλήλους ἀποβλεπόντων οὐχ ὁμοίως, ἀλλὰ τοῦ μὲν Ἀλεξάνδρου φαιδρῷ τῷ προσώπῳ καὶ διακεχυμένῳ τὴν πρὸς τὸν Φίλιππον εὐμένειαν καὶ πίστιν ἀποφαίνοντος· ἐκείνου δὲ πρὸς τὴν διαβολὴν ἐξισταμένου, καὶ πότε μὲν θεοκλυτοῦντος καὶ πρὸς τὸν οὐρανὸν ἀνατείνοντος τὰς χεῖρας, ποτὲ δὲ τῇ κλίνῃ περιπίπτοντος, καὶ παρακαλοῦντος τὸν Ἀλέξανδρον εὐθυμεῖν καὶ προσέχειν αὐτῷ. τὸ γὰρ φάρμακον ἐν ἀρχῇ κρατῆσαν τοῦ σώματος, οἷον ἀπέωσε καὶ κατέδυσεν εἰς βάθος τὴν δύναμιν, ὥστε καὶ φωνὴν ἐπιλείπειν καὶ τὰ περὶ τὴν αἴσθησιν ἀσαφῆ καὶ μικρὰ κομιδῇ γενέσθαι, λειποθυμίας ἐπιπεσούσης. οὐ μὴν ἀλλὰ ταχέως ἀναληφθεὶς ὑπὸ τοῦ Φιλίππου, καὶ ῥώσας αὐτὸν ἐπέδειξε τοῖς Μακεδόσιν. οὐ γὰρ ἐπαύοντο πρὶν ἰδεῖν τὸν Ἀλέξανδρον ἀθυμοῦντες.

Ἦν δέ τις ἐν τῷ Δαρείου στρατῷ πεφευγὼς ἐκ Μακεδονίας, ἀνὴρ Μακεδὼν, Ἀμύντας, οὐκ ἄπειρος τῆς Ἀλεξάνδρου φύσεως. οὗτος ὡρμημένον ἰδὼν

re, ut ad bellum pergeret. Inter hæc a Parmenione accepit ex caſtris literas, quibus ei denuntiat ne ſalutem ſuam committat Philippo, magnis muneribus eum a Dario & nuptiis filiæ ejus eſſe ad interficiendum Alexandrum redemptum. Hic poſtquam epiſtolam accepit, nulli eam amicorum oſtendit, ſed ſubjecit eam pulvino. Ubi tempus offerendi medicamenti advenit, & Philippus cum amicis ejus & poculo, in quo diluerat medicamentum, intravit, tradidit illi epiſtolam, ipſe medicinam accepit alacriter & intrepide. Fuit mirificum & viſendum ſpectaculum tum hujus bibentis tum illius legentis, inde ſimul inter ſe diſpari modo contuentium: verum Alexandri læto vultu & exporrecto ſuam in Philippum benevolentiam & fidem præferentis, indignantis illius ob calumniam, & nunc Deorum fidem inclamantis, manuſque ad cœlum tendentis, nunc in lectum incumbentis, & Alexandrum omiſſo metu ſibi hortantis ut fidem haberet. Medicamen enim ſuperato initio corpore, quaſi impulit & demerſit in imum vires, ut vox quoque intercluderetur, atque interveniente inſuper animi defectu, ſenſus ſupereſſet exilis & perexiguus. Cito tamen ſanitati a Philippo reſtitutus, viribuſque recuperatis in conſpectum Macedonum venit. Neque enim prius a conſternatione diſceſſerunt quam aſpexiſſent Alexandrum.

Erat in Darii præſidiis Macedo quidam extorris Macedonia, Amyntas, ingenii Alexandri non rudis. Hic molientem cernens

ἰδὼν Δαρεῖον εἴσω τῶν στενῶν βαδίζειν ἐπ᾽ Ἀλέξανδρον, ἐδεῖτο κατὰ χώραν ὑπομένειν, ἐν πλάτος ἔχουσι πεδίοις καὶ ἀναπεπταμένοις πρὸς ἐλάττονας πλήθει τοσούτῳ διαμαχούμενον. ἀποκριναμένου δὲ Δαρείου δεδιέναι μὴ φθάσωσιν αὐτὸν ἀποδράντες οἱ πολέμιοι, καὶ διαφυγὼν Ἀλέξανδρος, Ἀλλὰ τούτου γε, εἶπεν, ὦ βασιλεῦ, χάριν, θάῤῥει· βαδιεῖται γὰρ ἐκεῖνος ἐπί σε, καὶ σχεδὸν ἤδη βαδίζει. ταῦτα λέγων Ἀμύντας οὐκ ἔπειθεν, ἀλλ᾽ ἀναστὰς ἐπορεύετο Δαρεῖος εἰς Κιλικίαν, ἅμα δ᾽ Ἀλέξανδρος εἰς Συρίαν ἐπ᾽ ἐκεῖνον. ἐν δὲ τῇ νυκτὶ διαμαρτόντες ἀλλήλων, αὖθις ἀνέστρεφον, Ἀλέξανδρος μὲν ἡδόμενός τε τῇ συντυχίᾳ, καὶ σπεύδων ἀπαντῆσαι περὶ τὰ στενὰ, Δαρεῖος δὲ, τὴν προτέραν ἀναλαβεῖν στρατοπεδείαν, καὶ τῶν στενῶν ἐξελίξαι τὴν δύναμιν. ἤδη γὰρ ἐγνώκει παρὰ τὸ συμφέρον ἐμβεβληκὼς ἑαυτὸν εἰς χωρία θαλάττῃ καὶ ὄρεσι καὶ ποταμῷ διὰ μέσου ῥέοντι τῷ Πινδάρῳ δύσιππα, καὶ διεσπασμένα πολλαχοῦ, καὶ πρὸς τῆς ὀλιγότητος τῶν πολεμίων ἔχοντα τὴν θέσιν. Ἀλεξάνδρῳ δὲ τὸν μὲν τόπον ἡ τύχη παρέσχεν· ἐστρατήγησεν δὲ τῶν ἀπὸ τῆς τύχης ὑπαρχόντων πρὸς τὸ νικῆσαι βέλτιον. ὅσγε τοσούτῳ πλήθει τῶν βαρβάρων λειπόμενος, ἐκείνοις μὲν οὐ παρέσχε κύκλωσιν, αὐτὸς δὲ τῷ δεξιῷ τὸ εὐώνυμον ὑπερβαλὼν, καὶ γενόμενος κατὰ κέρας, φυγὴν ἐποίησεν τῶν καθ᾽ αὐτὸν βαρβάρων, ἐν πρώτοις ἀγωνιζόμενος· ὥστε τρωθῆναι ξίφει τὸν μηρὸν, ὡς μὲν Χάρης φησὶν, ὑπὸ Δαρείου (συμπεσεῖν γὰρ αὐτοὺς εἰς χεῖρας) Ἀλέξανδρος δὲ περὶ τῆς μάχης ἐπιστέλλων τοῖς περὶ τὸν Ἀντίπατρον, οὐκ εἴρηκεν ὅστις ἦν ὁ τρώσας, ὅτι δὲ τρωθείη τὸν μηρὸν ἐγχειριδίῳ,

δυσχε-

nens Darium intra anguſtias in Alexandrum contendere, oravit eum ut ſubſiſteret, atque operiretur illum in liberis & patentibus campis, qui tanto pluribus copiis aggreſſurus pauciores eſſet. Cui ut reſpondit Darius, vereri ſe ne maturarent hoſtes fugam capeſſere, & Alexander ſe ſubducere, Atqui, quod ad id pertinet, inquit, nihil eſt, rex, quod timeas: movebit enim in te ille, & prope jam movet. His dictis nihil movit Amyntas Darium, ſed motis ſignis ille in Ciliciam perrexit, ſimul Alexander contra illum in Syriam. Nocte quum a mutuo occurſu in itinere aberraſſent, retro ſe recepere. Fuit eo caſu Alexander lætus, qui occurrere intra fauces properabat hoſti, Darius ſuperiora repetere caſtra, atque ex anguſtiis copias explicare. Jam enim intelligebat ſuo incommodo in loca ſe conjeciſſe, ob mare, montes, & amnem interlabentem Pindarum, equitatui incommoda & paſſim interrupta, hoſtiumque paucitati opportuna. Locum quidem Alexandro fortuna præbuit: verum hic acie inſtruenda ad victoriam obtinendam vicit beneficia fortunæ. Qui quum tanto barbarorum numero eſſet inferior, non dedit illis facultatem circundandi ſe. Ipſe dextro cornu ſiniſtrum eorum ita præteriit, ut ex obliquo irruens, oppoſitos ſibi barbaros avertit ante ſigna dimicans, ac vulnus in femore accepit (ut Chares ait) a Dario, cum quo manus contuliſſet Alexander. Cæterum Alexander de hac pugna ad Antipatrum ſcribens, non meminit ejus qui ſauciaverat ipſum. Vulneratum quidem femur gladio,

ſed

δυσχερὲς δ' οὐδὲν ἀπὸ τοῦ τραύματος συμβαίη, γέγραφεν. νικήσας δὲ λαμπρῶς, καὶ καταβαλὼν ὑπὲρ ἕνδεκα μυριάδας τῶν πολεμίων, Δαρεῖον μὲν οὐχ εἷλεν, τέτταρας σταδίους ἢ πέντε προλαβόντα τῇ φυγῇ, τὸ δὲ ἅρμα καὶ τὸ τόξον αὐτοῦ λαβὼν ἐπανῆλθεν· καὶ κατέλαβεν τοὺς Μακεδόνας τὸν μὲν ἄλλον πλοῦτον ἐκ τοῦ βαρβαρικοῦ στρατοπέδου φέροντας καὶ ἄγοντας ὑπερβάλλοντα πλήθει, καίπερ εὐζώνων πρὸς τὴν μάχην παραγενομένων, καὶ τὰ πλεῖστα τῆς ἀποσκευῆς ἐν Δαμασκῷ καταλιπόντων, τὴν δὲ Δαρείου σκηνὴν ἐξῃρηκότας ἐκείνῳ, θεραπείας τε λαμπρᾶς καὶ παρασκευῆς καὶ χρημάτων πολλῶν γέμουσαν. εὐθὺς οὖν ἀποδυσάμενος τὰ ὅπλα, πρὸς τὸ λουτρὸν ἐβάδιζεν, εἰπών, Ἴωμεν ἀπολουσόμενοι τὸν ἀπὸ τῆς μάχης ἱδρῶτα τῷ Δαρείου λουτρῷ. καί τις τῶν ἑταίρων, Μὰ τὸν Δία, εἶπεν, ἀλλὰ τῷ Ἀλεξάνδρου· τὰ γὰρ τῶν ἡττωμένων εἶναί τε δεῖ καὶ προσαγορεύεσθαι τοῦ κρατοῦντος. ὡς δὲ εἶδεν μενόλκια καὶ κρωσσοὺς καὶ πυέλους καὶ ἀλαβάστρους, πάντα χρυσοῦ ἠσκημένα περιττῶς, ὠδώδει δὲ θεσπέσιον οἷον ὑπὸ ἀρωμάτων καὶ μύρων ὁ οἶκος· ἐκ δὲ τούτου παρῆλθεν εἰς σκηνὴν ὕψει τε καὶ μεγέθει, καὶ τῶν περὶ τὴν στρωμνὴν καὶ τραπέζας καὶ τὸ δεῖπνον αὐτοῦ κόσμῳ θαύματος ἄξια, διαβλέψας πρὸς τοὺς ἑταίρους, Τοῦτο ἦν, ὡς ἔοικεν, ἔφη, τὸ βασιλεύειν.

Τρεπομένῳ δὲ πρὸς τὸ δεῖπνον αὐτῷ, φράζει τὶς ἐν τοῖς αἰχμαλώτοις ἀγομένας μητέρα καὶ γυναῖκα Δαρείου, καὶ θυγατέρας δύο παρθένους, ἰδούσας τὸ ἅρμα καὶ τὰ τόξα κόπτεσθαι καὶ θρηνεῖν, ὡς ἀπολωλότος ἐκείνου. συχνὸν οὖν ἐπισχὼν χρόνον Ἀλέξανδρος, καὶ ταῖς ἐκείνων τύ-

χαις

ſed nihil ex vulnere periculi ſcribit accidiſſe. Inſigni parta victoria, & plus centum & viginti millibus interfectis, non cepit Darium, qui quatuor aut quinque ſtadia fuga præceperat, ſed curru & arcu ejus potitus, recepit ſe, offenditque Macedonas cæteram opulentiam ex barbarorum caſtris immenſam egerentes, tametſi expediti illi ad pugnam veniſſent, maximamque impedimentorum partem reliquiſſent Damaſci. Tabernaculum Darii reſervarant illi refertum egregio famulitio, inſtrumento regio & magna vi auri & argenti. Ibi confeſtim armis exutis ad balneum proceſſit, dicens, Eamus ad abluendum Darii balneo contractum ex pugna ſudorem. Ibi quidam ex amicis, Minime vero, inquit, immo Alexandri: quæ enim ad victos pertinuere, ea & eſſe & dici debent victoris. Ut vero pyxides vidit, guttos, ampullas, alabaſtros, ex auro fabrefacta omnia, domuſque excitatiſſimo odore & aromatibus & unguentis fragravit, inde in tabernaculum tranſiit faſtigio, laxitate, lecti menſarumque & cœnæ illius nitore admirandum, oculos ad amicos intendens: Hoc nimirum, inquit, erat regnare.

Verſo ad cœnam nuntiat quiſpiam matrem uxoremque Darii, & duas filias virgines, quæ inter captivas ducebantur, ubi viderunt currum & arcum illius, plangere & lamentari eum quaſi peremptum. Diu ibi Alexander obticeſcens, atque illarum magis

quam

χαις μᾶλλον ἢ ταῖς ἑαυτοῦ ἐμπαθὴς γενόμενος, πέμπει Λεοννάτον, ἀπαγγεῖλαι κελεύσας ὡς οὔτε Δαρεῖος τέθνηκεν, οὔτε Ἀλέξανδρον δεδιέναι χρή· Δαρείῳ γὰρ ὑπὲρ ἡγεμονίας πολεμεῖν, ἐκείναις δὲ πάντα ὑπάρξειν ὧν καὶ Δαρείου βασιλεύοντος ἠξιοῦντο. τοῦ δὲ λόγου ταῖς γυναιξὶν ἡμέρου καὶ χρηστοῦ φανέντος, ἔτι μᾶλλον γενομέναις αἰχμαλώτοις τὰ ἀπὸ τῶν ἔργων ἀπήντα φιλάνθρωπα. θάψαι γὰρ ὅσους ἐβούλοντο Περσῶν ἔδωκεν, ἐσθῆτι καὶ κόσμῳ χρησαμέναις ἐκ τῶν λαφύρων· θεραπείας τε καὶ τιμῆς ἣν εἶχον, οὐδ' ὁτιοῦν ἀφεῖλεν, συντάξεις δὲ μείζονας ἐκαρποῦντο τῶν προτέρων. ἡ δὲ καλλίστη καὶ βασιλικωτάτη χάρις ἦν παρ' αὐτοῦ, γυναιξὶ γενναίαις γενομέναις αἰχμαλώτοις καὶ σώφροσι, μήτε ἀκοῦσαί τι, μήτε ὑπονοῆσαι, μήτε προσδοκῆσαι τῶν αἰσχρῶν, ἀλλ', ὥσπερ οὐκ ἐν στρατοπέδῳ πολεμίων, ἀλλ' ἐν ἱεροῖς καὶ ἁγίοις φυλαττομένας παρθενῶσιν, ἀπόρρητον ἔχειν καὶ ἀόρατον ἑτέροις δίαιταν. καίτοι λέγεταί γε τὴν Δαρείου γυναῖκα πολὺ πασῶν τῶν βασιλίδων εὐπρεπεστάτην γενέσθαι, καθάπερ καὶ αὐτὸς Δαρεῖος ἀνδρῶν κάλλιστος καὶ μέγιστος· τὰς δὲ παῖδας ἐοικέναι τοῖς γονεῦσιν. ἀλλ' Ἀλέξανδρος, ὡς ἔοικεν, τοῦ νικᾶν τοὺς πολεμίους, τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος, οὔτε τούτων ἔθιγεν, οὔτε ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου, πλὴν Βαρσήνης. αὕτη δὲ μετὰ τὴν Μέμνονος τελευτὴν χήρα γενομένη, περὶ Δαμασκὸν ἐλήφθη. πεπαιδευμένη δὲ παιδείαν Ἑλληνικήν, καὶ τὸν τρόπον ἐπιεικὴς οὖσα, καὶ πατρὸς Ἀρταβάζου, γεγονότος ἐκ βασιλέως θυγατρὸς, ἐγνώσθη, Παρμενίωνος προτρεψαμένου τὸν Ἀλέξανδρον, ὥς φησιν Ἀρι-

quam ſua permotus fortuna, Leonatum mittit, imperatque ut nuntiet eis nec Darium mortuum, nec eſſe quod Alexandrum timeant: quippe bellum cum Dario Alexandrum de imperio gerere, neque illis quicquam ex priſtina fortuna, quæ regnante fuerat Dario, defore. His dictis allevatæ ſunt & recreatæ fœminæ: multo vero magis jam captivæ facta benigna comperere. Quoſcunque enim vellent permiſit eis Perſas ſepelire, utque veſtem & apparatum ſumerent de præda: neque de cultu aut dignatione quam habuerant vel minimum detraxit: reditus eis etiam prioribus ampliores attribuit. At pulcherrimum & maxime rege dignum beneficium ejus in fœminas generoſas captivas & caſtas extitit, quod nihil neque audirent, neque ſuſpicarentur, neque exſpectarent turpe; ſed quaſi non in hoſtium caſtris, verum in ſacris & ſanctis virginum domiciliis ſervatæ in abdito extra aliorum oculos vitam agerent. Quanquam quidem perhibetur Darii conjunx longe omnium reginarum fuiſſe venuſtiſſima, ut virorum ille pulcherrimus & eminentiſſimus: filiæ etiam ſimiles fuiſſe parentum. Sed Alexander profecto, temperare ſibi quam hoſtes vincere magis regium ducens, nec has attigit, nec mulierem ante nuptias cognovit ullam, excepta Barſene. Hæc poſt Memnonis mortem vidua Damaſci capta eſt. Cum ea, quæ literis Græcis inſtituta & moribus erat placida, patre Artabazo ex filia regis prognato, concubuit Alexander, incitante eum (ut Ariſtobulus autor

Ἀριστοβούλου, καλῆς καὶ γενναίας καὶ τὸ κάλλος ἅψασθαι γυναικός. τὰς δὲ ἄλλας αἰχμαλώτους ὁρῶν ὁ Ἀλέξανδρος κάλλει καὶ μεγέθει διαφερούσας ἔλεγε παίζων, ὡς εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ Περσίδες. ἀντεπιδεικνύμενος δὲ πρὸς τὴν ἰδέαν τὴν ἐκείνων τὸ τῆς ἰδίας ἐγκρατείας καὶ σωφροσύνης κάλλος, ὥσπερ ἀψύχους εἰκόνας ἀγαλμάτων παρέπεμπεν.

Ἐπεὶ δὲ Φιλόξενος, ὁ τῆς ἐπὶ θαλάττης στρατηγὸς, ἔγραψεν εἶναι παρ' αὐτῷ Θεόδωρόν τινα Ταραντῖνον, ἔχοντα παῖδας ὠνίους δύο, τὴν ὄψιν ὑπερφυεῖς, καὶ πυνθανόμενος εἰ πρίηται, χαλεπῶς ἐνεγκὼν, ἐβόα πολλάκις πρὸς τοὺς φίλους ἐρωτῶν, τί πώποτε Φιλόξενος αἰσχρὸν αὐτῷ συνεγνωκὼς, τοιαῦτα ὀνείδη προξενῶν κάθηται. τὸν δὲ Φιλόξενον αὐτὸν ἐν ἐπιστολῇ πολλὰ λοιδορήσας, ἐκέλευεν αὐτοῖς φορτίοις τὸν Θεόδωρον εἰς τὸν ὄλεθρον ἀποστέλλειν. ἐπέπληξεν δὲ καὶ Ἄγνωνι νεανίσκῳ, γράψαντι πρὸς αὐτὸν, ὅτι Κρωβύλον εὐδοκιμοῦντα ἐν Κορίνθῳ βούλεται πριάμενος ἀγαγεῖν πρὸς αὐτόν. πυνθανόμενος δὲ μισθοφόρων τινῶν γύναια διεφθαρκέναι Δάμωνα καὶ Τιμόθεον Μακεδόνας τῶν ὑπὸ Παρμενίωνι στρατευομένων, ἔγραψε Παρμενίωνι, κελεύων, ἐὰν ἐλεγχθῶσιν, ὡς θηρία ἐπὶ καταφθορᾷ τῶν ἀνθρώπων γεγονότα τιμωρησάμενον ἀποκτεῖναι. καὶ περὶ ἑαυτοῦ κατὰ λέξιν ἐν ταύτῃ τῇ ἐπιστολῇ γέγραφε, Ἐγὼ γὰρ οὐχ ὅτι ἑωρακὼς ἂν εὑρεθείην τὴν Δαρείου γυναῖκα, ἢ βεβουλευμένος ἰδεῖν, ἀλλ' οὔτε τῶν λεγόντων περὶ τῆς εὐμορφίας αὐτῆς προσδεδεγμένος τὸν λόγον. ἔλεγεν δὲ μάλιστα συνιέναι θνητὸς

tor eſt) Parmenione, ut elegantem mulierem, & præter formam generoſam attingeret. Cæteras captivas ut vidit Alexander ſpecie & ſtatura eximias, dixit joco, Quam magni oculorum dolores ſunt Perſides! Ad æmulationem vero illarum formæ oſtentans ſuæ continentiæ & moderationis pulchritudinem, ſicut inanimatas ſignorum imagines tranſmittebat eas.

Quum oræ maritimæ præfectus ad eum Philoxenus ſcripſiſſet, eſſe apud ſe Theodorum quendam Tarentinum, qui pueros duos haberet forma præcellenti, quærens an emeret eos, indignatus, atque identidem ad amicos exclamans, rogavit quam unquam in ſe turpitudinem deprehendiſſet Philoxenus, qui, deſidens ibi, talia opprobria procuraret ſibi. Ipſi Philoxeno, in epiſtola multis proſciſſo convitiis, Theodorum juſſit ut cum mercibus ſuis in malam rem ablegaret. Agnonem adoleſcentem etiam caſtigavit, quod ſibi ſcripſiſſet Crobylum velle ſe celebris apud Corinthios nominis puerum comparare atque ad ipſum mittere. Quum ad eum delatum eſſet mercenariorum quorundam militum uxores a Damone & Timotheo Macedonibus, qui ſub Parmenione merebant, ſtupratas, Parmenioni per litteras mandavit, ſi manifeſti criminis forent, ut eos tanquam natas ad hominum corruptelam belluas puniret atque interficeret. Ac de ſemetipſo in hac epiſtola ad verbum ſcripſit, Ego enim non ſolum non vidiſſe inveniar Darii uxorem, aut videre cogitaſſe, verum nec verba facientes de ejus decore ſuſtinuiſſe audire. Dicebat mortalem ſe eſſe

θνητὸς ὢν, ἐκ τοῦ καθεύδειν καὶ συνουσιάζειν· ὡς ἀπὸ μιᾶς ἐγγινόμενον ἀσθενείας τῇ φύσει καὶ τὸ πονοῦν καὶ τὸ ἡδόμενον. Ἦν δὲ καὶ γαστρὸς ἐγκρατέστατος, ὡς καὶ τοῦτο ἄλλοις τε πολλοῖς ἐδήλωσεν, καὶ τοῖς πρὸς Ἄδαν λεχθεῖσιν, ἣν ἐποιήσατο μητέρα, καὶ Καρίας βασίλισσαν ἀπέδειξεν. ὡς γὰρ ἐκείνη φιλοφρονουμένη πολλὰ μὲν ὄψα καθ' ἡμέραν ἀπέστελλεν αὐτῷ καὶ πέμματα, τέλος δὲ, τοὺς δοκοῦντας εἶναι δεινοτάτους ὀψοποιοὺς καὶ ἀρτοποιοὺς, ἔφη τούτων μηδὲν δεῖσθαι· βελτίονας γὰρ ὀψοποιοὺς ἔχειν ὑπὸ τοῦ παιδαγωγοῦ Λεωνίδου δεδομένους αὐτῷ, πρὸς μὲν τὸ ἄριστον, νυκτοπορίαν, πρὸς δὲ τὸ δεῖπνον, ὀλιγαριστίαν. Ὁ δ' αὐτὸς οὗτος ἀνὴρ, ἔφη, καὶ τῶν στρωμάτων ἐπιὼν τὰ ἀγγεῖα καὶ τῶν ἱματίων ἔλυσεν, ἐπισκοπῶν μή τι μοι τρυφερὸν ἢ περισσὸν ἡ μήτηρ συντέθεικεν.

Ἦν δὲ καὶ πρὸς οἶνον ἧττον ἢ ἐδόκει καταφερής. ἔδοξε δὲ, διὰ τὸν χρόνον, ὃν οὐ πίνων μᾶλλον ἢ λαλῶν εἷλκεν, ἐφ' ἑκάστης κύλικος ἀεὶ μακρόν τινα λόγον διατιθέμενος, καὶ ταῦτα, πολλῆς σχολῆς οὔσης. ἐπεὶ πρός γε τὰς πράξεις, οὐκ οἶνος ἐκεῖνον, οὐχ ὕπνος, οὐ παιδιά τις, οὐ γάμος, οὐ θέα, καθάπερ ἄλλους στρατηγοὺς, ἐπέσχεν. δηλοῖ δὲ ὁ βίος, ὃν βιώσας βραχὺν παντάπασιν, πλείστων καὶ μεγίστων πράξεων ἐνέπλησεν. ἐν δὲ ταῖς σχολαῖς, πρῶτον μὲν ἀναστὰς καὶ θύσας τοῖς Θεοῖς, εὐθὺς ἠρίστα καθήμενος, ἔπειτα διημέρευεν κυνηγῶν, ἢ συντάττων, ἢ δικάζων τι τῶν πολεμικῶν, ἢ ἀναγινώσκων. εἰ δὲ ὁδὸν βαδίζοι μὴ λίαν ἐπείγουσαν, ἐμάνθανεν ἅμα πορευόμενος ἢ τοξεύειν, ἢ ἐπιβαίνειν ἅρματος ἐλαυνομένου καὶ ἀποβαίνειν.

πολ-

eſſe intelligere ſe potiſſimum ex ſomno & concubitu, quod ab eadem imbecillitate naturam inceſſat laſſitudo & voluptas. Fuit & gulæ temperantiſſimus, quod cum aliis ſignis oſtendit, tum ſuis ad Adan verbis, quam matrem adoptaverat, & Cariæ deſignaverat reginam. Nam quum comiter illa multa quotidie fercula ei & bellaria mitteret, coquos denique & piſtores, quos putabat intelligentiſſimos, nihil ait his ſibi eſſe opus, meliores habere ſe coquos a pædagogo donatos Leonida, ad prandium iter antelucanum, ad cœnam anguſtum prandium. Idem ille, inquit, ſtragulorum meorum repoſitorium ſolitus erat adire veſtiariumque, atque ea ſolvere, inſpiciens numquid mihi ad mollitiem mater vel ad luxum addidiſſet.

Jam in vinum quoque fuit minus opinione effuſus. Habitus eſt tamen, ob ſpatium quod non bibendo magis quam fabulando producebat, ſingulis calicibus prolixum ſermonem interponens ſemper, idque quum abundaret otio; quando a negotiis quidem non vinum illum, non ſomnus, nullus ludus, non nuptiæ, non ſpectaculum (ſicut alios duces) abduxit. Teſtatur vita, quam, etſi egit breviſſimam, plurimis maximiſque rebus geſtis implevit. Quum vacuus eſſet negotiis, ubi primum ſurrexit, & ſacra Diis fecit, mox prandebat ſedens: inde tempus traducebat vel venando, vel commentando, vel aliquid inter milites diſceptando, vel legendo. Si iter faceret minus urgens, diſcebat ſimul in progrediendo aut jaculari, aut in currum concitatum inſilire & deſilire.

Crebro

πολλάκις δὲ παίζων καὶ ἀλώπεκας ἐθήρευεν, καὶ ὄρνιθας, ὡς ἔστι λαβεῖν ἐκ τῶν ἐφημερίδων. καταλύσας δὲ καὶ τρεπόμενος πρὸς λουτρὸν ἢ ἄλειμμα, τοὺς ἐπὶ τῶν σιτοποιῶν καὶ μαγείρων ἀνέκρινεν, εἰ τὰ πρὸς τὸ δεῖπνον εὐπρεπῶς ἔχουσι· καὶ δειπνεῖν μὲν ὀψὲ καὶ σκότους ἤδη κατακλινόμενος ἤρχετο. θαυμαστὴ δὲ ἦν ἡ ἐπιμέλεια καὶ περίβλεψις ἐπὶ τῆς τραπέζης, ὅπως μηδὲν ἀνίσως, μηδὲ ὀλιγώρως διανέμοιτο· τὸν δὲ πότον, ὥσπερ εἴρηται, μακρὸν ὑπὸ ἀδολεσχίας ἐξέτεινεν. καὶ τἄλλα πάντων ἥδιστος ὢν βασιλέων συνεῖναι, καὶ χάριτος οὐδεμιᾶς ἀμοιρῶν, τότε ταῖς μεγαλαυχίαις ἀηδὴς ἐγίνετο, καὶ λίαν στρατιωτικὸς, αὐτός τε πρὸς τὸ κομπῶδες ὑποφερόμενος, καὶ τοῖς κόλαξιν ἑαυτὸν ἀνεικῶς ἱππάσιμον, ὑφ᾽ ὧν οἱ χαριέστατοι τῶν παρόντων ἐπετρίβοντο, μήτε ἁμιλλᾶσθαι τοῖς κόλαξι μήτε λείπεσθαι βουλόμενοι τῶν αὐτῶν ἐπαίνων. τὸ μὲν γὰρ, αἰσχρὸν ἐδόκει, τὸ δὲ, κίνδυνον ἔφερεν. μετὰ δὲ τὸν πότον λουσάμενος ἐκάθευδε πολλάκις μέχρι μέσης ἡμέρας· ἔστιν δ᾽ ὅτε καὶ διημέρευεν ἐν τῷ καθεύδειν. αὐτὸς μὲν οὖν καὶ ὄψων ἐγκρατὴς ἦν, ὥστε καὶ τὰ σπανιώτατα πολλάκις τῶν ἀπὸ θαλάττης αὐτῷ κομιζομένων ἀκροδρύων καὶ ἰχθύων, ἑκάστῳ διαπεμπόμενος τῶν ἑταίρων, πολλάκις ἑαυτῷ μόνῳ μηδὲν καταλιπεῖν. τὸ μέντοι δεῖπνον ἦν ἀεὶ μεγαλοπρεπὲς, καὶ τοῖς εὐτυχήμασι τῆς δαπάνης ἅμα συναυξανομένης, τέλος εἰς μυρίας δραχμὰς προῆλθεν. ἐνταῦθα δὲ ἔστη, καὶ τοσοῦτον ὡρίσθη τελεῖν τοῖς ὑποδεχομένοις Ἀλέξανδρον.

Μετὰ

Crebro præterea animi cauſa vulpes venabatur & aucupabatur: quod diſcas ex diario ejus. Ubi ad diverſorium venit, & ad balneum ungendumque vertit ſe, rogabat paniſicum & coquorum magiſtros, ecquid cœna recte & ordine parata eſſet. Ad cœnam ſero & ſub tenebras jam accumbebat. Erat mirifica ejus ſedulitas & circumſpectio in menſa, nequid inæqualiter aut incuria diſtribueretur. Conpotationem (uti diximus) in longum fabulando trahebat. Et qui alioquin omnium regum erat in conſuetudine feſtiviſſimus, neque ullius exſors leporis, tunc jactantia odioſus evadebat, & plus ſatis caſtrenſis: atque cum ipſe ad arrogantiam delabebatur, tum mancipabat ſeipſum adulatoribus tanquam equitandum, a quibus optimi convivæ obterebantur, qui neque certare volebant cum adulatoribus, neque minus quam illi eum audebant prædicare. Hoc enim periculum adferebat, illud ducebant turpe. A poculis lotus conferebat ſe dormitum uſque in meridiem ſubinde. Interdum totum diem cubabat. Fuit inſuper obſonii temperans. Ac rariſſimas ſæpe, quæ a mari ad ipſum afferebantur, delicias fructuum arboreorum & piſcium cuique amicorum mittebat, adeo ut ſibi uni admodum nihil reſervaret. Cœna erat ſemper ſplendida tamen, atque una cum ſecunda fortuna ſumptus aſſurgebat, poſtremo ad decem millia drachmarum progreſſus eſt. Hic ſubſtitit, tantæque impenſæ Alexandrum invitantibus fuerunt præfinitæ.

Secun-

Μετὰ δὲ τὴν μάχην τὴν ἐν Ἰσσῷ, πέμψας εἰς Δαμασκὸν, ἔλαβεν τὰ χρήματα καὶ τὰς ἀποσκευὰς, καὶ τὰ τέκνα καὶ τὰς γυναῖκας τῶν Περσῶν· καὶ πλεῖστα μὲν ὠφελήθησαν οἱ τῶν Θεσσαλῶν ἱππεῖς. τούτους γὰρ ἄνδρας ἀγαθοὺς διαφερόντως ἐν τῇ μάχῃ γενομένους, ἔπεμψεν ἐπίτηδες ὠφεληθῆναι βουλόμενος. ἐνεπλήσθη δὲ καὶ τὸ λοιπὸν εὐπορίας στρατόπεδον· καὶ γευσάμενοι τότε πρῶτον οἱ Μακεδόνες χρυσοῦ καὶ ἀργύρου καὶ γυναικῶν καὶ διαίτης βαρβαρικῆς, ὥσπερ κύνες, ἔσπευδον ἀψάμενοι στίβου διώκειν καὶ ἀνιχνεύειν τὸν Περσῶν πλοῦτον. οὐ μὴν ἀλλ᾽ Ἀλεξάνδρῳ πρῶτον ἐδόκει κρατυνέσθαι τὰ πρὸς θαλάσσῃ. Κύπρον μὲν οὖν εὐθὺς οἱ βασιλεῖς ἧκον ἐγχειρίζοντες αὐτῷ, καὶ Φοινίκην, πλὴν Τύρου. Τύρον δὲ πολιορκῶν ἑπτὰ μῆνας χώμασι καὶ μηχαναῖς καὶ τριήρεσι διακοσίαις ἐκ θαλάττης, ὄναρ εἶδε τὸν Ἡρακλέα δεξιούμενον αὐτὸν ἀπὸ τοῦ τείχους καὶ καλοῦντα. τῶν δὲ Τυρίων πολλοῖς κατὰ τοὺς ὕπνους ἔδοξεν ὁ Ἀπόλλων λέγειν, ὡς ἄπεισι πρὸς Ἀλέξανδρον· οὐ γὰρ ἀρέσκειν αὐτῷ τὰ πρασσόμενα κατὰ τὴν πόλιν. ἀλλ᾽ αὐτοὶ μὲν, ὥσπερ ἄνθρωπον αὐτομολοῦντα πρὸς τοὺς πολεμίους ἐπ᾽ αὐτοφώρῳ τὸν Θεὸν εἰληφότες, σειράς τε τῷ κολοσσῷ περιέβαλον αὐτοῦ, καὶ καθήλουν πρὸς τὴν βάσιν, Ἀλεξανδριστὴν καλοῦντες. ἑτέραν δὲ ὄψιν Ἀλέξανδρος εἶδεν κατὰ τοὺς ὕπνους· σάτυρος αὐτῷ φανεὶς ἐδόκει προσπαίζειν πόρρωθεν, εἶτα βουλομένου λαβεῖν, ὑπεξέφυγεν· τέλος δὲ, πολλὰ λιπαρήσαντος καὶ περιδραμόντος, ἦλθεν εἰς χεῖρας. οἱ δὲ μάντεις τοὔνομα διαιροῦντες, οὐκ ἀπιθάνως ἔφασαν αὐτῷ, σὴ γενήσεται Τύρος. καὶ κρήνην δέ τινα δεικνύουσιν, πρὸς ἣν κατὰ

Secundum pugnam ad Iſſum, Damaſcum miſit ad pecuniam, ſarcinas, liberoſque & conjuges Perſarum accipiendas. Ingenti præda ibi Theſſali equites potiti ſunt. Hos enim illuc, quod eorum fortiſſima opera uſus in prœlio fuiſſet, ex compoſito, quod diteſcerent, miſit: cæterum reliquus quoque exercitus opulentia eſt refertus. Ibi Macedones primum guſtato auro, argento, mulieribus & vita barbarica, ſicut canes olfactis veſtigiis, maturabant inſequi atque inveſtigare Perſarum divitias. At Alexandro primum viſum eſt oram maritimam in poteſtatem ſuam redigere. Atque illi qui in Cypro regnabant, venerunt ad inſulam ei dedendam & Phœnicen, præter Tyrum. Eam urbem dum per menſes ſeptem aggeribus, machinis atque ex mari triremibus ducentis oppugnat, per quietem Herculem vidit ex muro ſibi manus tendentem invitantemque. Tyriorum multis viſus in ſomniis Apollo eſt dicere ad Alexandrum ſe tranſire: neque enim ſibi cordi eſſe ea quæ in urbe agerentur. Illi vero, ſicut transfugæ ſceleris comperti, Apollinis ſimulacrum devinxere catenis, claviſque baſi affixere, Alexandri fautorem appellantes. Alia ſpecies eſt noctu Alexandro obverſata. Satyrus ei oblatus eſt: viſus eſt hic procul ei alludere. Quem quum corripere conaretur, ſubducere ſe: tandem poſt preces multas ſuas & circumcurſitationes venire in manus ſuas. Ei vates diſſecto nomine non abſurde reſponderunt, Tua erit Tyrus: ita enim vox græca bipartita ſignificat. Oſtendunt fontem, apud quem videre

κατὰ τοὺς ὕπνους ἰδεῖν ἔδοξεν τὸν σάτυρον. διὰ μέσου δὲ τῆς πολιορκίας, ἐπὶ τοὺς Ἄραβας τοὺς προσοικοῦντας τῷ Ἀντιλιβάνῳ στρατεύσας, ἐκινδύνευσεν διὰ τὸν παιδαγωγὸν Λυσίμαχον· ἐξηκολούθησε γὰρ αὐτῷ, λέγων τοῦ Φοίνικος οὐκ εἶναι χείρων οὐδὲ πρεσβύτερος. ἐπεὶ δὲ πλησιάσας τοῖς ὀρεινοῖς, καὶ τοὺς ἵππους ἀπολιπὼν, πεζὸς ἐβάδιζεν, οἱ μὲν ἄλλοι πολὺ προῆλθον, αὐτὸς δὲ τὸν Λυσίμαχον, ἑσπέρας ἤδη καταλαμβανούσης, καὶ τῶν πολεμίων ἐγγὺς ὄντων, ἀπαγορεύοντα καὶ βαρυνόμενον οὐχ ὑπομένων ἀπολιπεῖν, ἀλλ' ἀνακαλούμενος καὶ παρακομίζων, ἔλαθεν τοῦ στρατεύματος ἀποσπασθεὶς μετ' ὀλίγων, καὶ σκότους ἅμα καὶ ῥίγους σφοδροῦ νυκτερεύων ἐν χωρίοις χαλεποῖς. εἶδεν οὖν πόῤῥω πυρὰ πολλὰ καιόμενα σποράδην τῶν πολεμίων. θαῤῥῶν δὲ τοῦ σώματος τῇ κουφότητι, καὶ τῷ πονεῖν αὐτὸς ἀεὶ, παραμυθούμενος τὴν ἀπορίαν τῶν Μακεδόνων, προσέδραμε τοῖς ἔγγιστα πῦρ καίουσιν· καὶ παρακαθημένους τῇ πυρᾷ δύο βαρβάρους πατάξας τῷ ἐγχειριδίῳ, καὶ δαλὸν ἁρπάσας, ἧκεν πρὸς τοὺς ἑαυτοῦ κομίζων. ἐγκαύσαντες δὲ πῦρ πολὺ, τοὺς μὲν εὐθὺς ἐφόβησαν, ὥστε φυγεῖν, τοὺς δ' ἐπιόντας ἐτρέψαντο, καὶ κατηυλίσθησαν ἀκινδύνως. ταῦτα μὲν οὖν Χάρης ἱστόρηκεν.

Ἡ δὲ πολιορκία τοιοῦτον ἔσχε πέρας· Ἀλεξάνδρου τὴν μὲν πολλὴν τῆς δυνάμεως ἀναπαύοντος ἀπὸ πολλῶν ἀγώνων τῶν ἔμπροσθεν, ὀλίγους δέ τινας, ὡς μὴ σχολάζοιεν οἱ πολέμιοι, τοῖς τείχεσι προσάγοντος, Ἀρίστανδρος ὁ μάντις ἐσφαγιάζετο· καὶ τὰ σημεῖα κατιδὼν, θρασύτερον διωρίσατο πρὸς τοὺς παρόντας, ἐν ἐκείνῳ τῷ μηνὶ πάντως ἁλώσεσθαι τὴν πόλιν.

γενομένου

videre ſecundum quietem viſus eſt Satyrum. Dum tenet obſidio, movet in Arabas qui Antilibanum accolunt. Ibi in periculum venit pædagogi cauſa Lyſimachi, qui comitabatur eum, jactans ſe Phœnice neque virtute inferiorem neque ætate eſſe graviorem. Poſtquam jam ad montana pervenit, ac relictis equis, iter fecit pedibus, alii longe præceſſerant, ipſe vero nocte ingruente atque non longe ab hoſtibus fatiſcentem & defeſſum haud ſuſtinens deſerere Lyſimachum, dum excitat eum & promovet, ab exercitu imprudens cum paucis eſt diſtractus, noctemque in tenebris & acri gelu aſperis locis egit. Quum autem frequentes ignes apud hoſtes ſparſim lucentes videret, fretus corporis ſui agilitate, atque in partem ipſe laboris ſemper veniendo perplexitatem Macedonum leniens, accurrit ad proximum ignem, barbariſque duobus, qui aſſidebant, gladio confoſſis, ac correpto titione rediit ad ſuos. Tum ingenti accenſo igne alios extemplo exterruerunt, ut fugam capeſſerent: alios, qui ipſos invaſere, profligaverunt, ac tutam noctem tranſegere. Hæc ſcripta reliquit Chares.

Porro obſidio hunc habuit exitum. Dum exercitum pene totum reficit a ſuperioribus laboribus Alexander, paucos autem, ne reſpirarent hoſtes, mœnibus admovet, vates Ariſtander victimis cæſis quum inſpiceret exta, confidentius aſſeruit apud coronam, urbem illo menſe haud dubie expugnandam.

Qua

γινομένου δὲ χλευασμοῦ καὶ γέλωτος (ἦν γὰρ ἡ τελευταία τοῦ μηνὸς ἡμέρα) διηπορημένον αὐτὸν ἰδὼν ὁ βασιλεὺς, καὶ συμφιλοτιμούμενον ἀεὶ τοῖς μαντεύμασιν, ἐκέλευε μηκέτι τριακάδα τὴν ἡμέραν ἐκείνην, ἀλλὰ τρίτην φθίνοντος ἀριθμεῖν· καὶ τῇ σάλπιγγι σημήνας, ἀπεπειρᾶτο τῶν τειχῶν ἐῤῥωμενέστερον ἤπερ ἐξ ἀρχῆς διενοήθη. γινομένης δὲ λαμπρᾶς ἐπιβολῆς, καὶ μηδὲ τῶν ἀπὸ στρατοπέδου καρτερούντων, ἀλλὰ συντρεχόντων καὶ προσβοηθούντων, ἀπεῖπον οἱ Τύριοι· καὶ τὴν πόλιν εἷλεν κατ' ἐκείνην τὴν ἡμέραν. μετὰ δὲ ταῦτα πολιορκοῦντι Γάζαν αὐτῷ, τῆς Συρίας μεγίστην πόλιν, ἐμπίπτει βῶλος εἰς τὸν ὦμον, ἀφεθεὶς ἄνωθεν ὑπὸ ὄρνιθος. ὁ δὲ ὄρνις ὑφ' ἓν τῶν μηχανημάτων καθίσας, ἔλαθεν ἐνσχεθεὶς τοῖς νευρίνοις κεκρυφάλοις, οἷς πρὸς τὰς ἐπιστροφὰς τῶν σχοινίων ἐχρῶντο. καὶ τὸ σημεῖον ἀπέβη κατὰ τὴν Ἀριστάνδρου πρόῤῥησιν· ἐτρώθη μὲν γὰρ Ἀλέξανδρος εἰς τὸν ὦμον, ἔλαβεν δὲ τὴν πόλιν. ἀποστέλλων δὲ πολλὰ τῶν λαφύρων Ὀλυμπιάδι καὶ Κλεοπάτρᾳ καὶ τοῖς φίλοις, κατέπεμψε καὶ Λεωνίδῃ τῷ παιδαγωγῷ τάλαντα λιβανωτοῦ πεντακόσια, καὶ σμύρνης ἑκατὸν, ἀναμνησθεὶς παιδικῆς ἐλπίδος. ὁ γὰρ Λεωνίδης, ὡς ἔοικεν, ἐν θυσίᾳ ποτὲ πρὸς τὸν Ἀλέξανδρον, ἐπιδραξάμενον ἀμφοτέραις ταῖς χερσὶν καὶ καθαγίσαντα τοῦ θυμιάματος, Ὅταν, ἔφη, τῆς ἀρωματοφόρου κρατήσῃς Ἀλέξανδρε, πλουσίως οὕτως ἐπιθυμιάσεις· νῦν δὲ φειδομένως χρῶ τοῖς παροῦσιν. τότε οὖν Ἀλέξανδρος ἔγραψε πρὸς αὐτὸν, Ἀπέσταλκα μέν σοι λιβανωτὸν ἄφθονον καὶ σμύρναν, ὅπως παύσῃ πρὸς τοὺς Θεοὺς μικρολογούμενος.

Κι-

Qua dictum ejus ludibrio & riſu excipiente, quod dies ea noviſſima eſſet, cernens rex perplexum, favenſque ſemper vaticiniis, vetuit deinceps, trigeſimum illum diem, ſed vigeſimum octavum menſis numerari, ſignoque tuba dato, murum acrius, quam ab initio inſtituerat, eſt adortus. Quum urbs oppugnaretur impigre, neque illi qui in caſtris erant, quieſcerent, ſed concurrerent ad opem ferendam, fracti Tyrii ſunt, urbemque Alexander illo cepit die. Poſtea circumſidenti Gazam urbem Syriæ maximam, gleba à ſupervolante emiſſa alite in humerum delapſa eſt. Avis in una machina conſidens, ſubito nervorum nexibus, quibus ad verſandos utebantur funes, eſt irretita. Hoc portentum Ariſtandri prædictioni eventum habuit reſpondentem. Nam accepit in humero Alexander vulnus, & urbem recepit. Quum Olympiadi, Cleopatræ, & amicis multa de præda mitteret, Leonidæ quoque miſit pædagogo thuris talenta quingenta, & myrrhæ centum, ubi ſpei puerilis ſubiit eum recordatio. Quippe Leonidas ingerenti in ſacrificio ambabus manibus & libanti ſuffitum Alexandro, Ubi potitus eris, inquit, regione odorifera, tum munifice adolebis, nunc modice utere præſentibus. Hic ergo ſcripſit ei Alexander, Thus tibi & myrrham affatim miſimus, quo tandem deſinas eſſe in Deos adſtrictus.

Quum

Κιβωτίου δέ τινος αὐτῷ προσενεχθέντος, οὗ πολυτελέστερον οὐδὲν ἐφάνη τοῖς τὰ Δαρείου χρήματα καὶ τὰς ἀποσκευὰς παραλαμβάνουσιν, ἠρώτα τοὺς φίλους ὅ, τι δοκοίη μάλιστα τῶν ἀξίων σπουδῆς εἰς αὐτὸ καταθέσθαι. πολλὰ δὲ πολλῶν λεγόντων, αὐτὸς ἔφη τὴν Ἰλιάδα φρουρήσειν ἐνταῦθα καταθέμενος. καὶ ταῦτα μὲν οὐκ ὀλίγοι τῶν ἀξιοπίστων μεμαρτυρήκασιν. εἰ δ' ὅπερ Ἀλεξανδρεῖς λέγουσιν, Ἡρακλείδῃ πιστεύοντες, ἀληθές ἐστιν, οὔκουν οὐκ ἀργὸς οὐδὲ ἀσύμβολος αὐτῷ συστρατεύειν ἔοικεν Ὅμηρος. λέγουσι γὰρ ὅτι τῆς Αἰγύπτου κρατήσας, ἐβούλετο πόλιν μεγάλην καὶ πολυάνθρωπον Ἑλληνίδα συνοικίσας, ἐπώνυμον ἑαυτοῦ καταλιπεῖν· καί τινα τόπον γνώμῃ τῶν ἀρχιτεκτόνων ὅσον οὐδέπω διεμετρεῖτο καὶ περιέβαλεν. εἶτα νύκτωρ κοιμώμενος, ὄψιν εἶδεν θαυμαστήν· ἀνὴρ πολιὸς εὖ μάλα τὴν κόμην, καὶ γεραρὸς τὸ εἶδος, ἔδοξεν αὐτῷ παραστὰς λέγειν τὰ ἔπη τάδε,

> Νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ,
> Αἰγύπτου προπάροιθε· Φάρον δέ ἑ κικλήσκουσιν.

εὐθὺς οὖν ἐξαναστὰς ἐβάδιζεν ἐπὶ τὴν Φάρον, ἣ τότε μὲν ἔτι νῆσος ἦν, τοῦ Κανωβικοῦ μικρὸν ἀνωτέρω στόματος, νῦν δὲ διὰ χώματος ἀνείληπται πρὸς τὴν ἤπειρον. ὡς οὖν εἶδε τόπον εὐφυΐᾳ διαφέροντα (ταινία γάρ ἐστιν ἰσθμῷ πλάτος ἔχοντι σύμμετρον ἐπιεικῶς διείργουσα λίμνην τε πολλὴν καὶ θάλασσαν ἐν λιμένι μεγάλῳ τελευτῶσαν) εἰπὼν, ὡς Ὅμηρος ἦν ἄρα τά τε ἄλλα θαυμαστός, καὶ σοφώτατος ἀρχιτέκτων, ἐκέλευσε διαγράψαι τὸ σχῆμα τῆς πόλεως τῷ τόπῳ συναρμόττοντα. καὶ γῆ μὲν οὐ παρῆν λευκή· τῶν δὲ ἀλ-

Quum oblatum ei ſcrinium, quo nihil viſum pretioſius eſt iis qui Darii opes & ſarcinas in cuſtodiam accipiebant, rogavit amicos, quid potiſſimum ex rebus charis in eo reponeret: aliis alia proponentibus, ipſe Iliadem illius repoſitorio affirmat ſe ſervaturum. Hæc teſtes magnæ fidei non pauci confirmavere. Si vero, quod Alexandrini commemorant Heraclidis fide, verum eſt, haud otioſum vel inutilem apparet Homerum eum comitatum eſſe commilitonem. Ferunt enim eum Ægypto recepta amplam voluiſſe & populoſam Græcam urbem condere, eique indere nomen ſuum. Mox de architectorum conſilio locum metato & complexo mira ſpecies nocte inſequenti eſt per quietem oblata. Vir veneranda canicie atque facie viſus eſt ei aſſiſtens hæc carmina promere,

> *Exinde undoſo quædam jacet inſula ponto*
> *Ægypto prætenta, Pharum quam nomine dicunt.*

Ac confeſtim ſurgens perrexit ad Pharum, quæ id temporis inſula adhuc erat paulo ſupra Canobicum oſtium, nunc cum continente commiſſa eſt aggere. Ut loci præcellens viſa eſt commoditas (eſt enim longa cervice ſatis patenti laxam diſterminans paludem terminanſque in ſpatioſum portum mare) Homerum dixit cum cætera eximium, tum prudentiſſimum eſſe architectum, juſſitque formam urbis delineari loco congruentem. Quia vero ad manum non erat creta, polenta in cam-

ἀλφίτων λαμβάνοντες ἐν πεδίῳ μελαγγείῳ κυκλοτερῆ κόλπον ἦγον, οὗ τὴν ἐντὸς περιφέρειαν εὐθεῖαι βάσεις, ὥσπερ ἀπὸ κρασπέδων εἰς σχῆμα χλαμύδος ὑπελάμβανον, ἐξ ἴσου συνάγουσαι τὸ μέγεθος. ἡδομένου δὲ τῇ διαθέσει τοῦ βασιλέως, αἰφνίδιον ὄρνιθες ἀπὸ τοῦ ποταμοῦ καὶ τῆς λίμνης, πλήθει τε ἄπειροι, καὶ κατὰ γένος παντοδαποὶ καὶ μεγάλοι, ἐπὶ τὸν τόπον καταίροντες, νέφεσιν ἐοικότες, οὐδὲ μικρὸν ὑπελίποντο τῶν ἀλφίτων· ὥστε καὶ τὸν Ἀλέξανδρον διαταραχθῆναι πρὸς τὸν οἰωνόν. οὐ μὴν ἀλλὰ καὶ τῶν μάντεων θαῤῥεῖν παραινούντων (πολυαρκεστάτην γὰρ οἰκίζεσθαι πόλιν ὑπ' αὐτοῦ, καὶ παντοδαπῶν ἀνθρώπων ἐσομένην τροφὸν) ἔργου κελεύσας ἔχεσθαι τοὺς ἐπιμελητὰς, αὐτὸς ὥρμησεν εἰς Ἄμμωνος ὁδὸν μακρὰν, καὶ πολλὰ μὲν ἔχουσαν ἐργώδη καὶ ταλαίπωρα, κινδύνους δὲ δύο, τὸν μὲν, ἀνυδρίας, δι' ἣν ἔρημός ἐστιν οὐκ ὀλίγων ἡμερῶν· τὸν δὲ, εἰ λάβρος ἐν ἄμμῳ βαθείᾳ καὶ ἀχανεῖ πορευομένοις ἐπιπέσοι νότος· ὥς που καὶ πάλαι λέγεται περὶ τὸν Καμβύσου στρατὸν, ἀναστήσας θῖνα μεγάλην, καὶ κυματώσας τὸ πεδίον, μυριάδας ἀνθρώπων πέντε καταχῶσαι καὶ διαφθεῖραι. ταῦτα πάντα σχεδὸν πάντες ἐλογίζοντο, χαλεπὸν δὲ ἦν Ἀλέξανδρον ἀποστρέψαι πρὸς ὁτιοῦν ὡρμημένον. ἥτε γὰρ τύχη ταῖς ἐπιβολαῖς ὑπείκουσα τὴν γνώμην ἰσχυρὰν ἐποίει, καὶ τὸ θυμοειδὲς ἄχρι τῶν πραγμάτων ἐπεξέφερε τὴν φιλονεικίαν ἀήττητον, οὐ μόνον πολεμίους, ἀλλὰ καὶ τόπους καὶ καιροὺς καταβιαζομένην.

Ἐν γοῦν τῇ τότε πορείᾳ, τὰ συντυχόντα ταῖς ἀπορίαις παρὰ τοῦ Θεοῦ βοηθήματα, τῶν ὑστέρων χρησμῶν ἐπιστεύθη μᾶλλον· τρόπον δέ τινα καὶ τοῖς χρησ-

campo nigro uſi ad effigiem metati ſunt chlamydis orbe gyrato laciniosæ ſinum, cujus eſſet ab directis baſibus æqualis procurſus. Hæc deſcriptio quum regi placeret, aves repente a flumine & lacu innumero grege omniſque generis & grandes inſtar nubium eum in locum delatæ polentam ſunt omnem depaſtæ. Quo augurio obtorpeſcenti Alexandro augures animum dedere: quippe copioſam urbem oſtenderunt ab eo condi, multarumque nationum futuram alumnam. Tunc inſtare operi, quibus id demandaverat, juſſis, ad Ammonis oraculum profectus eſt. Iter prolixum erat, ac cum multorum laborum ærumnarumque plenum, tum cum duobus conjunctum periculis, uno ob aquæ penuriam, ex qua deſolata regio non paucorum dierum via eſt: altero, ſi procelloſus in alto & vaſto ſabulo progredientes Auſter occupaverit, ut quondam dicitur Cambyſis exercitui accidiſſe, quum arenæ ingentem cumulum excitavit, volvitque per campum fluctus, ut quinquaginta millia capitum obruerit oppreſſeritque. Cuncta hæc reputabant fere omnes: cæterum arduum erat, Alexandrum, quodcunque intendiſſet, ab eo deflectere. Siquidem & fortuna cœptis aſpirans animum ejus firmabat, animique magnitudo uſque ad facta progrediebatur pervicacia invicta, quæ non hoſtibus modo, ſed locis etiam & temporibus afferret vim.

Quas illo in itinere difficultatibus ejus Dii opes attulerunt, hæ quam inſequuta oracula fidem meruere majorem: immo oraculis hæ quo-

χρησμοῖς ἡ πίστις ἐκ τούτων ὑπῆρξεν. πρῶτον μὲν γὰρ ἐκ Διὸς ὕδωρ πολὺ καὶ διαρκεῖς ὑετοὶ γενόμενοι τόν τε τῆς δίψης φόβον ἔλυσαν, καὶ τὴν ξηρότητα κατασβέσαντες τῆς ἄμμου νοτερᾶς γενομένης, καὶ πρὸς αὐτὴν ξυμπεσούσης, εὔπνουν τὸν ἀέρα καὶ καθαρώτερον παρέσχον. ἔπειτα τῶν ὅρων οἵπερ ἦσαν τοῖς ὁδηγοῖς συγχυθέντων, καὶ πλάνης οὔσης καὶ διασπασμοῦ τῶν βαδιζόντων διὰ τὴν ἄγνοιαν, κόρακες ἐκφανέντες ὑπελάμβανον τὴν ἡγεμονίαν τῆς πορείας, ἑπομένων μὲν, ἔμπροσθεν πετόμενοι καὶ σπεύδοντες, ὑστεροῦντας δὲ καὶ βραδύνοντας ἀναμένοντες. ὃ δὲ ἦν θαυμασιώτατον, ὡς Καλλισθένης φησὶν, ταῖς φωναῖς ἀνακαλούμενοι τοὺς πλανωμένους νύκτωρ, καὶ κλάζοντες, εἰς ἴχνος καθίστασαν τῆς πορείας. ἐπεὶ δὲ διεξελθὼν τὴν ἔρημον ἧκεν εἰς τὴν πόλιν, ὁ μὲν προφήτης αὐτὸν ὁ Ἄμμωνος, ἀπὸ τοῦ Θεοῦ χαίρειν, ὡς ἀπὸ πατρὸς, προσεῖπεν· ὁ δὲ ἐπήρετο μή τις αὐτὸν εἴη διαπεφευγὼς τῶν τοῦ πατρὸς φονέων. εὐφημεῖν δὲ τοῦ προφήτου κελεύσαντος, οὐ γὰρ εἶναι πατέρα θνητὸν αὐτῷ, μεταβαλὼν ἐπυνθάνετο τοὺς Φιλίππου φονεῖς εἰ πάντας εἴη τετιμωρημένος· εἶτα περὶ τῆς ἀρχῆς, εἰ πάντων αὐτῷ δίδωσιν ἀνθρώπων κυρίῳ γενέσθαι. χρήσαντος δὲ τοῦ Θεοῦ καὶ τοῦτο διδόναι, καὶ Φίλιππον ἀπέχειν ἔκπλεω τὴν δίκην, ἐδωρεῖτο τὸν Θεὸν ἀναθήμασι λαμπροῖς, καὶ χρήμασι τοὺς ἀνθρώπους. ταῦτα περὶ τῶν χρησμῶν οἱ πλεῖστοι γράφουσιν· αὐτὸς δὲ Ἀλέξανδρος ἐν ἐπιστολῇ πρὸς τὴν μητέρα φησὶν γεγονέναι τινὰς αὐτῷ μαντείας ἀπορρήτους, ἃς αὐτὸς ἐπανελθὼν φράσει πρὸς μόνην ἐκείνην. ἔνιοι δέ φασιν, τὸν μὲν προφήτην, Ἑλληνιστὶ βουλόμενον προσειπεῖν μετά τινος φιλο-

quodammodo fidem aſtruxere. Primum enim cœleſtes aquæ & largi excuſſi imbres, ſitis timorem diſcuſſerunt, ariditateque extincta ſabuli irrigati & jam compactioris liquidum aera reddiderunt & puriorem. Deinde confuſis, quibus duces itineris utebantur, notis, quum erraret agmen per ignorantiam atque ab itinere deflecteret, corvi oblati duces præbuerunt ſe profectionis. Si agmen ſequebatur, incitatis antecedebant pennis: ſin incederet lentius & tardius, operiebantur. Quod vero miraculum ſuperabat omne (ut autor eſt Calliſthenes) vocibus & crocitatione, ſiqui nocte aberrarent, hos revocabant, atque ad veſtigium viæ reducebant. Ut emenſus ſolitudinem, quo tendebat venit ad urbem, vates Ammonis eum Dei nomine ut parentis ſalutavit. Ille quæſivit an interfectores parentis ſui omnes pœnas dediſſent. Cui vates, Dii meliora, inquit: neque enim tuus mortalis parens eſt. Ita varians rogavit, omneſne Philippi puniviſſet percuſſores. Hinc de imperio, an dominatum ſibi omnium gentium concederet. Quum Deus oſtendiſſet & hoc annuere ſe, & Philippi peractam plene ultionem: Deum magnificis donis & ſacerdotes honoravit pecunia. Hæc de oraculis tradunt plerique. Ipſe in epiſtola ad matrem Alexander ſortes quaſdam ſibi ait arcanas redditas, quas reverſus ſoli ei relaturus eſſet. Sunt qui dictitant, vatem, quum appellare comiter Alexandrum Græce vellet

φροσύνης, ὦ παιδίον, ἐν τῷ τελευταίῳ τῶν φθόγγων ὑπὸ βαρβαρισμοῦ πρὸς τὸ σίγμα ἐξενεχθῆναι, καὶ εἰπεῖν, ὦ παιδίος, ἀντὶ τοῦ ν, τῷ σ χρησάμενον. ἀσμένῳ δὲ τῷ Ἀλεξάνδρῳ τὸ σφάλμα τῆς φωνῆς γενέσθαι, καὶ διαδοθῆναι λόγον, ὡς παῖδα Διὸς αὐτὸν τοῦ Θεοῦ προσειπόντος. λέγεται δὲ καὶ Ψάμμωνος ἐν Αἰγύπτῳ τοῦ φιλοσόφου διακούσας, ἀποδέξασθαι μάλιστα τῶν λεχθέντων, ὅτι πάντες ἄνθρωποι βασιλεύονται ὑπὸ Θεοῦ· τὸ γὰρ ἄρχον ἐν ἑκάστῳ καὶ κρατοῦν, θεῖόν ἐστιν. ἔτι δὲ μᾶλλον αὐτὸς περὶ τούτων φιλοσοφώτερον δοξάζειν, καὶ λέγειν, ὡς πάντων μὲν ὄντα κοινὸν ἀνθρώπων πατέρα, τὸν Θεὸν, ἰδίους δὲ ποιούμενον ἑαυτοῦ, τοὺς ἀρίστους.

Καθόλου δὲ πρὸς μὲν τοὺς βαρβάρους σοβαρὸς ἦν, καὶ σφόδρα πεπεισμένῳ περὶ τῆς ἐκ Θεοῦ γενέσεως καὶ τεκνώσεως ὅμοιος, τοῖς δὲ Ἕλλησι μετρίως καὶ ὑποφειδόμενος ἑαυτὸν ἐξεθείαζεν· πλὴν, περὶ Σάμου γράφων Ἀθηναίοις, Ἐγὼ μὲν οὐκ ἂν, φησὶν, ὑμῖν ἐλευθέραν πόλιν ἔδωκα καὶ ἔνδοξον· ἔχετε δὲ αὐτὴν λαβόντες παρὰ τοῦ τότε κυρίου καὶ πατρὸς ἐμοῦ προσαγορευομένου, λέγων τὸν Φίλιππον. ὕστερον δὲ πληγῇ περιπεσὼν ὑπὸ τοξεύματος, καὶ περιαλγὴς γενόμενος, Τοῦτο μὲν, εἶπεν, ὦ φίλοι τὸ ῥέον, αἷμα καὶ οὐκ ἰχὼρ,

——οἷός πέρ τε ῥέει μακάρεσσι Θεοῖσιν.

ἐπεὶ δὲ μεγάλης ποτὲ βροντῆς γενομένης, καὶ πάντων ἐκπλαγέντων, Ἀνάξαρχος ὁ σοφιστὴς παρὼν ἔφη πρὸς αὐτὸν, μή τι σὺ τοιοῦτον ὁ τοῦ Διός; γελάσας ἐκεῖνος, Οὐ βούλομαι γὰρ, εἶπεν, φοβερὸς εἶναι τοῖς φίλοις, ὥσπερ σύ με κελεύεις, ὁ καταφαυλίζων μου τὸ δεῖπνον, ὅτι ταῖς τραπέζαις ἰχθύας

ὁρᾷς

let Ὦ παιδίον, *id eſt filiole*, poſtremam ſyllabam ut barbarum, per ς pronuntiaſſe, ac dixiſſe Ὦ παῖ Διός, loco ν uſurpantem ς: neque invito claudicaſſe in voce Alexandro, increbuiſſeque ſermonem, Jovis eum a Deo appellatum filium. Perhibetur etiam, quum Pſammonem philoſophum audiviſſet in Ægypto, ex dictis ejus præcipue probaſſe, omnes mortales a Deo regi: quippe quod in quaque re imperat & dominatur, eſſe divinum. Et vero opinionem habuiſſe eum de his multo ſapientiorem, ac pronuntiaſſe, cunctorum quidem eſſe mortalium Deum communem parentem, ſed peculiariter ſibi adoptare optimum quemque.

Omnino autem adverſus barbaros inflatus erat, & mire præ ſe ferebat probatum ſibi ortum & ſtirpem ſuam divinam. Ad Græcos vero divinitatem uſurpabat modice & parcius, extra quam ſcribens de Samo Athenienſibus, Equidem liberam vobis, infit, urbem tam claram non donaverim: verum eam beneficio tenetis illius qui tunc dominus & parens meus appellabatur: Philippum ſignificans. Poſtea ſagitta ictus atque ingenti preſſus dolore, Hic, amici, inquit, qui fluit, ſanguis eſt humanus, non talis,

—— *Diis ut ſolitus manare beatis.*

Quum aliquando per magna tonitrua omnibus conſternatis, ſophiſta Anaxarchus, qui apud eum erat, diceret ei, Num quid tu tale Jovis filius? Ridens ille, Nolo vero, inquit, formidoloſus eſſe, ſicut tu me vis, amicis; qui cœnam faſtidis meam, quod piſces videas in men-

ὁρᾷς ἐπικειμένους, οὐ σατραπῶν κεφαλάς. τῷ γὰρ ὄντι λέγεται τὸν Ἀνάξαρχον, ἰχθυδίων Ἡφαιστίωνι πεμφθέντων ὑπὸ τοῦ βασιλέως, τὸν προειρημένον ἐπιφθέγξασθαι λόγον, οἷον ἐξευτελίζοντα καὶ κατειρωνευόμενον τοὺς τὰ περίβλεπτα μεγάλοις πόνοις καὶ κινδύνοις διώκοντας, ὡς οὐδὲν ἢ μικρὸν ἐν ἡδοναῖς καὶ ἀπολαύσεσι πλέον ἔχοντας τῶν ἄλλων. ὅ γ' οὖν Ἀλέξανδρος καὶ ἀπὸ τῶν εἰρημένων δῆλός ἐστιν αὐτὸς οὐδὲν πεπονθὼς, οὐδὲ τετυφωμένος, ἀλλὰ τοὺς ἄλλους καταδουλούμενος τῇ δόξῃ τῆς θειότητος.

Εἰς δὲ Φοινίκην ἐπανελθὼν ἐξ Αἰγύπτου, θυσίας τοῖς Θεοῖς καὶ πομπὰς ἐπετέλει, καὶ χορῶν ἐγκυκλίων καὶ τραγικῶν ἀγῶνας, οὐ μόνον ταῖς παρασκευαῖς, ἀλλὰ καὶ ταῖς ἁμίλλαις λαμπροὺς γενομένους. ἐχορήγουν γὰρ οἱ βασιλεῖς τῶν Κυπρίων, ὥσπερ Ἀθήνησιν οἱ κληρούμενοι τὰς φυλάς· καὶ ἠγωνίζοντο θαυμαστῇ φιλοτιμίᾳ πρὸς ἀλλήλους. μάλιστα δὲ Νικοκρέων ὁ Σαλαμίνιος καὶ Πασικράτης ὁ Σόλιος διεφιλονείκησαν. οὗτοι γὰρ ἔλαχον τοῖς ἐνδοξοτάτοις ὑποκριταῖς χορηγεῖν, Πασικράτης μὲν, Ἀθηνοδόρῳ, Νικοκρέων δὲ, Θεσσαλῷ, περὶ ὃν ἐσπουδάκει καὶ αὐτὸς Ἀλέξανδρος. οὐ μὴν διέφηνε τὴν σπουδὴν πρότερος ἢ ταῖς ψήφοις ἀναγορευθῆναι νικῶντα τὸν Ἀθηνόδωρον. τότε δὲ, ὡς ἔοικεν, ἀπιὼν, ἔφη τοὺς μὲν κριτὰς ἐπαινεῖν, αὐτὸς μέντοι μέρος ἂν ἡδέως προέσθαι τῆς βασιλείας ἐπὶ τῷ μὴ Θεσσαλὸν ἰδεῖν νενικημένον. ἐπεὶ δὲ Ἀθηνόδωρος ὑπὸ τῶν Ἀθηναίων ζημιωθεὶς ὅτι πρὸς τὸν ἀγῶνα τῶν Διονυσίων οὐκ ἀπήντησεν, ἠξίου γράψαι περὶ αὐτοῦ τὸν βασιλέα, τοῦτο μὲν οὐκ ἐποίησεν, τὴν δὲ ζημίαν ἀπέστειλεν παρ' ἑαυτοῦ. Λύκωνος δὲ τοῦ

Σκαρ-

menſis, non ſatraparum capita appoſita. Siquidem vera fama eſt Anaxarchum miſſis a rege Hephæſtioni piſciculis dictum illud jactaſſe, quaſi contemnentem deridentemque eos qui magnis laboribus & periculis venantur ſpecioſa, quum nihil aut parum in deliciis & voluptatibus habeant præ aliis præcipui. Ex iis ergo quæ commemoravimus, liquet nihil ſibi Alexandrum perſuaſiſſe, vani aut inflatum fuiſſe, verum intendiſſe divinitatis opinione reddere ſibi obnoxios alios.

In Phœniciam ex Ægypto regreſſus, Diis honorem habuit, pompaſque egit, chorum etiam encyclium & tragicorum ludos, concertationibus etiam, nedum apparatu celebres. Quippe fuerunt Cypriorum reges choragi, ſicut ii qui apud Athenienſes ſorte ex tribubus ad id ſunt electi. Certaverunt mira inter ſe contentione. Nicocreon præſertim Salaminius & Solius Paſicrates ſtudio decertavere acri: quando his ſorte evenerat ut hiſtriones maxime conſpicuos exhiberent, Paſicrates Athenodorum: Theſſalum, cui ipſe favebat Alexander, Nicocreon. Non ante detexit tamen ſtudium ſuum quam ſuffragiis victor eſſet renuntiatus Athenodorus. Tunc vero (uti fertur) in digreſſu laudare ait judices ſe: ſed maluiſſe portionis regni facere jacturam, quam vidiſſe Theſſalum victum. Quum autem eſſet Athenodoro ab Athenienſibus mulcta dicta, quod ad Bacchanalium ludos non occurriſſet, atque a rege ille, ut pro ſe deprecaretur literis, poſtulaſſet, id ei denegavit, ſed mulctam miſit de ſuo. Quum Lycon

Scar-

Σκαρφέως εὐημερῶν ἐν τῷ θεάτρῳ, καὶ στίχον εἰς τὴν κωμῳδίαν ἐμβαλόντος αἴτησιν περιέχοντα δέκα ταλάντων, γελάσας ἔδωκεν. Δαρείου δὲ πέμψαντος ἐπιστολὴν πρὸς αὐτὸν, καὶ φίλους δεομένους μύρια μὲν ὑπὲρ τῶν ἑαλωκότων λαβεῖν τάλαντα, τὴν δὲ ἐντὸς Εὐφράτου πᾶσαν ἔχοντα, καὶ γήμαντα μίαν τῶν θυγατέρων, φίλον εἶναι καὶ σύμμαχον, ἐκοινοῦτο τοῖς ἑταίροις· καὶ Παρμενίωνος εἰπόντος, ἐγὼ μὲν, εἰ Ἀλέξανδρος ἤμην, ἔλαβον ἂν ταῦτα, Κἀγὼ νὴ Δία, εἶπεν ὁ Ἀλέξανδρος, εἰ Παρμενίων. πρὸς δὲ τὸν Δαρεῖον ἔγραψεν, ὡς οὐδενὸς ἀτυχήσει τῶν φιλανθρώπων ἐλθὼν πρὸς αὐτὸν, εἰ δὲ μὴ, αὐτὸς ἐπ' ἐκεῖνον ἤδη πορεύεσθαι.

Ταχὺ μέντοι μετεμελήθη, τῆς τοῦ Δαρείου γυναικὸς ἀποθανούσης ἐν ὠδῖσιν· καὶ φανερὸς ἦν ἀνιώμενος, ὡς ἐπίδειξιν οὐ μικρὰν ἀφῃρημένος χρηστότητος. ἔθαψεν οὖν τὴν ἄνθρωπον, οὐδεμιᾶς πολυτελείας φειδόμενος. τῶν δὲ θαλαμηπόλων τις εὐνούχων, οἳ συνεαλώκεισαν ταῖς γυναιξὶν, ἀποδρὰς ἐκ τοῦ στρατοπέδου, καὶ πρὸς Δαρεῖον ἀφιππασάμενος, Τίρεως ὄνομα, φράζει τὸν θάνατον αὐτῷ τῆς γυναικός. ὡς δὲ πληξάμενος τὴν κεφαλὴν καὶ ἀνακλαύσας, Φεῦ τοῦ Περσῶν, ἔφη, δαίμονος, εἰ τὴν βασιλέως γυναῖκα καὶ ἀδελφὴν, οὐ μόνον αἰχμάλωτον γενέσθαι ζῶσαν, ἀλλὰ καὶ τελευτήσασαν, ἄμοιρον κεῖσθαι ταφῆς βασιλικῆς· ὑπολαβὼν ὁ θαλαμηπόλος, Ἀλλὰ ταφῆς γε χάριν, εἶπεν, ὦ βασιλεῦ, καὶ τιμῆς ἁπάσης καὶ τοῦ πρέποντος, οὐδὲν ἔχεις αἰτιάσασθαι τὸν πονηρὸν δαίμονα Περσῶν. οὔτε γὰρ ζώσῃ τῇ δεσποίνῃ Στατείρᾳ, καὶ μητρὶ σῇ, καὶ τέκνοις, ἐν ἔδει τῶν πρόσθεν ἀγαθῶν καὶ

κα-

Scarphenſis in theatro placeret, intexuiſſetque in comœdia verſum, qui petitionem continebat decem talentorum, arridens, largitus eſt ea. Miſſa a Dario ad Alexandrum epiſtola & amicis, qui orarent ut pretio decem millium talentorum redderet ſibi captivos, offerretque ad amicitiam ejus & ſocietatem impetrandam quicquid terrarum citra Euphratem eſſet, atque unius filiarum ſuarum nuptias, retulit id ad conſilium amicorum. Quum Parmenio diceret, Equidem, ſi Alexander eſſem, has conditiones acciperem: Et ego quoque hercule, inquit Alexander, ſi Parmenio eſſem. Dario vero reſcripſit, ſi ad ſe veniſſet, omni genere humanitatis ſe eum proſequuturum: ſin minus, ſe jam moturum in illum.

Brevi tamen pœnituit eum, mortua ex partu Darii uxore, nec diſſimulavit dolorem, quód magna demonſtrandæ clementiæ eſſet occaſione fraudatus. Extulit autem eam immenſo ſumptu. At e ſpadonibus cubiculariis, qui circa reginam erant cum fœminis capti, elapſus ex caſtris unus eſt, Tireus nomine. Hic, equum nactus & ad Darium profectus, mortem nuntiat ei conjugis ſuæ: qui quum caput offenſans ejulanſque diceret, Hem Perſarum fortunam! regiſne conjugem & ſororem non tantum vivam captam, ſed & defunctam regiarum exequiarum jacere expertem? Excipiens cubicularius, Atqui exequiarum nomine, inquit, rex, omniſque honoris & ornamenti, nihil eſt quod fortunam Perſarum malignam incuſes. Nihil enim vivæ dominæ Statiræ, vel matri tuæ liberiſque ex priſtina

fortuna

καλῶν ἢ τὸ σὸν ὁρᾷν φῶς, ὃ πάλιν ἀναλάμψει λαμπρὸν ὁ κύριος Ὡρομάσδης· οὔτε ἀποθανοῦσα κόσμου τινὸς ἄμοιρος γέγονεν, ἀλλὰ καὶ πολεμίων τετίμηται δάκρυσιν. οὕτω γάρ ἐστι χρηστὸς κρατήσας Ἀλέξανδρος, ὡς δεινὸς μαχόμενος. ταῦτα ἀκούσαντα Δαρεῖον ἡ ταραχὴ καὶ τὸ πάθος ἐξέφερον πρὸς ὑποψίας ἀτόπους· καὶ τὸν εὐνοῦχον ἐνδοτέρω τῆς σκηνῆς ἀπαγαγὼν, Εἰ μὴ καὶ σὺ μετὰ τῆς Περσῶν, ἔφη, τύχης μακεδονίζεις, ἀλλ' ἔτι σοὶ δεσπότης ἐγὼ Δαρεῖος, εἰπέ μοι, σεβόμενος Μίθρου τε φῶς μέγα καὶ δεξιὰν βασίλειον, ἆρα μὴ τὰ μικρότατα τῶν Στατείρας κλαίω κακῶν, οἰκτρότερα δὲ ζώσης ἐπάσχομεν, καὶ μᾶλλον ἂν κατ' ἀξίαν ἐδυστυχοῦμεν, ὠμῷ καὶ σκυθρωπῷ περιπεσόντες ἐχθρῷ; τί γὰρ εὐπρεπὲς ἀνδρὶ νέῳ πρὸς ἐχθροῦ γυναῖκα μέχρι τιμῆς τοσαύτης συμβόλαιον; ἔτι λέγοντος αὐτοῦ, καταβαλὼν ἐπὶ τοὺς πόδας Τείρεως αὐτὸν, ἱκέτευεν εὐφημεῖν, καὶ μήτε Ἀλέξανδρον ἀδικεῖν, μήτε τὴν τεθνεῶσαν ἀδελφὴν καὶ γυναῖκα καταισχύνειν· μήτε αὐτοῦ τὴν μεγίστην ὧν ἔπταικεν ἀφαιρεῖσθαι παραμυθίαν, τὸ δοκεῖν ὑπ' ἀνδρὸς ἡττῆσθαι κρείττονος ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν· ἀλλὰ καὶ θαυμάζειν Ἀλέξανδρον, ὡς πλείονα ταῖς Περσῶν γυναιξὶ σωφροσύνην, ἢ Πέρσαις ἀνδρείαν ἐπιδεδειγμένον. ἅμα δὲ ὅρκους τε φρικώδεις τοῦ θαλαμηπόλου κινοῦντος ὑπὲρ τούτων, καὶ περὶ τῆς ἄλλης ἐγκρατείας καὶ μεγαλοψυχίας τοῦ Ἀλεξάνδρου λέγοντος, ἐξελθὼν πρὸς τοὺς ἑταίρους ὁ Δαρεῖος, καὶ χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν, ἐπεύξατο, Θεοὶ γενέθλιοι καὶ βασίλειοι, μάλιστα μὲν ἐμοὶ διδοίητε

τὴν

fortuna abfuit, niſi tuum videre lumen, quod iterum illuſtrabit ſummus Oromaſdes: nec ornatus mortuæ defuit ullus. Immo hoſtium quoque decorata eſt lacrymis: quippe ita eſt indulgens victor Alexander, ut bellator acris. Hæc audientem Darium conſternatio & dolor animi ad ſuſpiciones detorſerunt abſonas: qui abducto in tabernaculum interius Tireo, Niſi tu quoque cum Perſarum, inquit, fortuna pro Macedonibus facis: ſed ſi ulla tibi ſupereſt regis reverentia Darii, noli me celare per Mithræ ingens jubar & regiam dextram, num minimam partem deploro Statiræ calamitatum, qua viva magis noſtra miſeranda fortuna erat, minuſque dolenda pro noſtra majeſtate aſperitas ejus eſſet, ſi in hoſtem incidiſſemus ſæviorem & triſtiorem? Quodnam enim juveni cum hoſtis uxore uſque ad tantos honores commercium honeſtum? Nondum finierat ille ſermonem, quum ad pedes ejus Tireus abjecit ſe, ac ſupplex petiit, abſtineret iis verbis, neque Alexandrum afficeret injuria, neve defunctam ſororem & conjugem conſpurcaret, neque maximam ſibi omnis adverſitatis præcideret conſolationem, quod a viro eſſet humana ſorte majore ſuperatus: verum ſuſpiceret etiam Alexandrum, qui Perſarum uxoribus continentiam quam virtutem oſtendiſſet Perſis majorem. Simul horrenda ſacramenta Tireus hiſce de rebus concepit, moderationemque & animi celſitudinem reliquam Alexandri commemoravit. Tum progreſſus ad amicos Darius, atque ad cœlum manus tendens, haſce fudit preces, Dii patrii & regnorum præſides, primum mihi concedite ut fortu-

5 nam

τὴν Περσῶν τύχην εἰς ὀρθὸν αὖθις σαθεῖσαν, ἐφ᾽ οἷς ἐδεξάμην ἀγαθοῖς, ἀπολιπεῖν, ἵνα κρατήσας ἀμείψωμαι τὰς Ἀλεξάνδρου χάριτας, ὧν εἰς τὰ φίλτατα πταίσας ἔτυχον. εἰ δ᾽ ἄρα τις οὗτος εἱμαρτὸς ἥκει χρόνος ὀφειλόμενος νεμέσει, καὶ μεταβολῇ παύσασθαι τὰ Περσῶν, μηδεὶς ἄλλος ἀνθρώπων καθίσειεν εἰς τὸν Κύρου θρόνον πλὴν Ἀλεξάνδρου. ταῦτα μὲν οὕτω γενέσθαι τε καὶ λεχθῆναι φασὶν οἱ πλεῖστοι τῶν συγγραφέων.

Ἀλέξανδρος δὲ τὴν ἐντὸς τοῦ Εὐφράτου πᾶσαν ὑφ᾽ ἑαυτῷ ποιησάμενος, ἤλαυνεν ἐπὶ Δαρεῖον ἑκατὸν μυριάσιν στρατοῦ καταβαίνοντα. καί τις αὐτῷ φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους παίζοντας, εἰς δύο μέρη διῃρημένους σφᾶς αὐτοὺς, ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα, τὸν μὲν, Ἀλέξανδρον, τὸν δὲ, Δαρεῖον ὑπ᾽ αὐτῶν προσαγορευόμενον· ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαῖς, τέλος ἐκκεκαῦσθαι τῇ φιλονεικίᾳ, καὶ μέχρι λίθων καὶ ξύλων πολλοὺς δυσκαταπαύσους γεγονότας. ταῦτα ἀκούσας, ἐκέλευσεν αὐτοὺς μονομαχῆσαι τοὺς ἡγεμόνας, καὶ τὸν μὲν Ἀλέξανδρον αὐτὸς ὥπλισεν, τὸν δὲ Δαρεῖον Φιλώτας. ἐθεᾶτο δὲ ὁ στρατὸς ἐν οἰωνῷ τινι τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης, ἐνίκησεν ὁ καλούμενος Ἀλέξανδρος, καὶ δωρεὰν ἔλαβεν δώδεκα κώμας, καὶ στολῇ Περσικῇ χρῆσθαι. ταῦτα μὲν οὖν Ἐρατοσθένης ἱσόρηκεν. τὴν δὲ μεγάλην μάχην πρὸς Δαρεῖον οὐκ ἐν Ἀρβήλοις, ὥσπερ οἱ πολλοὶ γράφουσιν, ἀλλὰ ἐν Γαυσαμήλοις

nam Perſarum in gradum reſtitutam, quo eam accepi ſplendore, relinquam; quo Alexandro gratiam referam eorum quæ in meo adverſo caſu chariſſimis meis præſtitit pignoribus. Quod ſi fato hoc adeſt tempus Deorum invidiæ & rerum viciſſitudini præfinitum, de Perſarum regno ut ſit tranſactum, ne quis mortalium alius in Cyri ſolio ſedeat quam Alexander. Hæc ita geſta & dicta plerique ſcriptores tradunt.

At Alexander omni cis Euphratem ſubacta Aſia, ſigna in adventantem Darium decies centenis millibus militum movit. Hic ex amicis quidam retulit ei pro ridiculo, ſervitia, quæ caſtra ſequebantur, per ludum ſe in duas partes diviſiſſe, utrique eſſe ducem & imperatorem, uni Alexandrum, alteri ab iis nuncupatum Darium, cœpiſſe glebis inter ſe velitari, mox pugnis, tandem exarſiſſe certamine, atque ad lapides ſudeſque multos progreſſos, nec dirimi eos facile potuiſſe. Quod ubi accepit, ipſos juſſit ſolos congredi duces. Alexandrum ipſe armavit, Philotas Darium. Spectavit exercitus pugnam, omen ex eventu capturus. Acri conſerta pugna, ille qui Alexander dicebatur, tulit palmam, donoque duodecim vicos & jus ſtola Perſica utendi accepit. Hoc ſcriptum reliquit Eratoſthenes. Magnum autem cum Dario prœlium non apud Arbela, (ut multi prodidere) ſed fuit apud Gauſamela

λοις γενέσθαι συνέπεσεν. σημαίνειν δέ φασιν οἶκον καμήλου τὴν διάλεκτον, ἐπεὶ τῶν πάλαι τὶς βασιλέων ἐκφυγὼν πολεμίους ἐπὶ καμήλου δρομάδος, ἐνταῦθα καθίδρυσεν αὐτὴν, ἀποτάξας τινὰς κώμας καὶ προσόδους εἰς τὴν ἐπιμέλειαν. ἡ μὲν οὖν σελήνη τοῦ Βοηδρομιῶνος ἐξέλιπεν, περὶ τὴν τῶν μυστηρίων τῶν Ἀθήνῃσιν ἀρχήν. ἑνδεκάτῃ δ' ἀπὸ τῆς ἐκλείψεως νυκτὶ, τῶν στρατοπέδων ἐν ὄψει γεγονότων, Δαρεῖος μὲν ἐν ὅπλοις συνεῖχε τὴν δύναμιν, ὑπὸ λαμπάδων ἐπιπορευόμενος τὰς τάξεις· Ἀλέξανδρος δὲ, τῶν Μακεδόνων ἀναπαυομένων, αὐτὸς πρὸ τῆς σκηνῆς μετὰ τοῦ μάντεως Ἀριστάνδρου διετέλεσεν, ἱερουργίας τινὰς ἀποῤῥήτους ἱερουργούμενος, καὶ τῷ Φόβῳ σφαγιαζόμενος. οἱ δὲ πρεσβύτεροι τῶν ἑταίρων, καὶ μάλιστα Παρμενίων, ὡς τὸ μὲν πεδίον τὸ μεταξὺ τοῦ Νιφάτου καὶ τῶν ὀρῶν τῶν Γορδυαίων, ἅπαν ἑωρᾶτο καταλαμπόμενον τοῖς βαρβαρικοῖς φέγγεσιν, ἀτέκμαρτος δέ τις φωνὴ συμμεμιγμένη καὶ θόρυβος καὶ φόβος ἐκ τοῦ στρατοπέδου, καθάπερ ἐξ ἀχανοῦς προσήχει πελάγους, θαυμάσαντες τὸ πλῆθος, καὶ πρὸς ἀλλήλους διαλεχθέντες, ὡς μέγα καὶ χαλεπὸν ἔργον εἴη, συμπεσόντας ἐκ προφανοῦς τοσοῦτον ὤσασθαι πόλεμον, ἀπὸ τῶν ἱερῶν γενομένῳ τῷ βασιλεῖ προσελθόντες, ἔπειθον αὐτὸν ἐπιχειρῆσαι νύκτωρ τοῖς πολεμίοις, καὶ τῷ σκότῳ τὸ φοβερώτατον συγκαλύψαι τοῦ μέλλοντος ἀγῶνος. ὁ δὲ τὸ μνημονευόμενον εἰπὼν, οὐ κλέπτω τὴν νίκην, ἐνίοις μὲν ἔδοξε μειρακιώδη καὶ κενὴν ἀπόκρισιν πεποιῆσθαι, παίζων πρὸς τοσοῦτον κίνδυνον· ἐνίοις δὲ, καὶ τῷ παρόντι θαῤῥεῖν, καὶ στοχάζεσθαι τοῦ μέλλοντος ὀρθῶς, μὴ διδοὺς πρόφασιν ἡττηθέντι Δαρείῳ πρὸς

la commiſſum. Eam vocem denotare domum cameli aiunt, quod rex quidam olim, qui hoſtes effugerat camelo curſoria, hoc loco repoſuerit eam, certis vicis vectigalibuſque ad curam ejus attributis. Porro luna menſe Boedromione defecit ſub initium myſteriorum, ut ea Athenis agunt. Undecimo a defectione die, quum exercitus utrinque in conſpectu eſſent, continuit Darius copias ſuas in armis, ad faces ordines ſuos luſtrans. Alexander, quieſcentibus Macedonibus, cum vate Ariſtandro egit pro tabernaculo ſuo ſacris quibuſdam arcanis operans, atque Apollini immolans. Majores autem natu amici ejus, Parmenio potiſſimum, ut campum interjacentem inter Niphatem monteſque Gordiæos barbaricis luminibus omnem contemplati ſunt collucere, incondita autem & confuſa vox ſtrepituſque horrendus ab exercitu quaſi ex vaſto reſonabat pelago, multitudinem ſtupentes, atque inter ſe colloquuti, magnam rem & arduam fore, ſi aperto Marte tantum belli fluctum aggrederentur impellere, regreſſum a ſacris regem adeunt, ſuadentque hoſtem ut nocte adoriatur, contegatque tenebris ſummum inſtantis terrorem certaminis. Ille enimvero celebratum hoc dictum fatus, Non furor victoriam, temerarium viſus quibuſdam eſt & arrogans reſponſum dediſſe, qui tanto in periculo luderet: aliis & in præſentia recte animo conſtitiſſe, & vere conjicere de futuro, quod victo Dario anſam

πρὸς ἄλλην αὖθις ἀναθαῤῥῆσαι πεῖραν, αἰτιωμένῳ τούτων νύκτα καὶ σκότος, ὡς ὄρη καὶ στενὰ καὶ θάλασσαν τῶν προτέρων. οὐ γὰρ ὅπλων οὐδὲ σωμάτων ἀπορίᾳ παύσεσθαι πολεμοῦντα Δαρεῖον ἀπὸ τηλικαύτης δυνάμεως, καὶ χώρας τοσαύτης, ἀλλ' ὅταν ἀφῇ τὸ φρόνημα καὶ τὴν ἐλπίδα, δι' ἐμφανοῦς ἥττης κατὰ κράτος ἐξελεγχθείς.

Ἀπελθόντων δὲ τούτων κατακλιθεὶς ὑπὸ σκηνὴν, λέγεται τὸ λοιπὸν μέρος τῆς νυκτὸς ὕπνῳ βαθεῖ κρατηθῆναι παρὰ τὸ εἰωθός· ὥστε θαυμάζειν ἐπελθόντας ὄρθρου τοὺς ἡγεμόνας, καὶ παρ' αὐτῶν ἐξενεγκεῖν παράγγελμα πρῶτον, ἀριστοποιεῖσθαι τοὺς στρατιώτας· ἔπειτα τοῦ καιροῦ κατεπείγοντος, εἰσελθόντα Παρμενίωνα, καὶ παραστάντα τῇ κλίνῃ, δὶς ἢ τρὶς αὐτοῦ φθέγξασθαι τοὔνομα· καὶ διεγερθέντος, οὕτως ἐρωτᾷν ὅ,τι δὴ πεπονθὼς ὕπνον καθεύδοι νενικηκότος, οὐχὶ μέλλοντος ἀγωνιεῖσθαι τὸν μέγιστον τῶν ἀγώνων· τὸν γοῦν Ἀλέξανδρον εἰπεῖν διαμειδιάσαντα, τί γὰρ οὐκ ἤδη σοὶ νενικηκέναι δοκοῦμεν, ἀπηλλαγμένοι τοῦ πλανᾶσθαι καὶ διώκειν ἐν πολλῇ καὶ κατεφθαρμένῃ φυγομαχοῦντα χώρᾳ Δαρεῖον; οὐ μόνον δὲ πρὸ τῆς μάχης, ἀλλὰ καὶ παρὰ τὸν κίνδυνον αὐτὸν ἐπεδείξατο μέγαν καὶ συνεστηκότα τῷ λογίζεσθαι καὶ θαῤῥεῖν ἑαυτόν. εἶχεν γὰρ ὁ ἀγὼν ἀποτροπὴν καὶ σάλον ἐν τῷ εὐωνύμῳ κέρατι κατὰ Παρμενίωνα, τῆς Βακτριανῆς ἵππου ῥόθῳ πολλῷ καὶ μετὰ βίας παρεμπεσούσης εἰς τοὺς Μακεδόνας, Μαζαίου δὲ περιπέμψαντος ἔξω τῆς φάλαγγος ἱππεῖς τοῖς σκευοφυλακοῦσι προσβαλόντας. διὸ καὶ θορυβούμενος ὑπ' ἀμφοτέρων ὁ Παρμενίων, ἀπέστειλεν πρὸς Ἀλέξανδρον ἀγγέλους φράζοντας οἴχεσθαι τὸν χάρα-

κα

anſam non daret aliam denuo pugnæ aleam reſpiciendi, hujus cladis cauſam in noctem & tenebras conferenti, ut in montes, fauces, & mare, ſuperioris. Quippe non armorum Darium penuria neque hominum, poſiturum bellum, tanto imperio & ditione ſuccinctum tam vaſta, verum ubi extorta aperta acie victoria convictus animum & ſpem abjeciſſet.

Poſtquam hi digreſſi ſunt, contulit ſe in tentorium cubitum, ubi dicitur reliquum noctis alto ſopore fuiſſe præter ſolitum oppreſſus: adeo ut mirarentur duces, qui primo diluculo eum adierunt, militibuſque ſuo nomine primum, ut pranderent, pronuntiavere. Deinde urgente articulo, ingreſſus Parmenio, & cubili aſſiſtens, bis terve nomine eum compellat. Ubi eum excitavit, rogat quid hoc rei ſit, quod ſomno indulgeat perinde ac ſi vicerit, non autem maximum prœlium ſit initurus. Tum arridens Alexander, Num tibi, inquit, non jam viciſſe videamur, liberati a vagando, Dariumque in laxa & evaſtata tergiverſantem regione conſectando? At non ante pugnam modo, ſed in ipſo etiam diſcrimine magnum virum ſe & ſolido conſilio animoque eſſe probavit. Siquidem ſiniſtrum cornu, ubi agebat Parmenio, fluctuavit, ac pedem retulit, quum equitatus Bactrianus magna impreſſione & vi invectus in Macedonas fuiſſet, Mazæuſque turmas aliquot equitum aciem circumvectos invadere juſſiſſet impedimenta. Ita utraque re conſternatus Parmenio, miſit ad Alexandrum nuntios, qui ſignificarent ei tranſ-

actum

κα καὶ τὰς ἀποσκευὰς, εἰ μὴ κατὰ τάχος βοήθειαν ὀχυρὰν ἀπὸ τοῦ στόματος πέμψειεν τοῖς ὄπισθεν. ἔτυχε μὲν οὖν κατ' ἐκεῖνο καιροῦ τοῖς περὶ αὐτὸν ἐφόδου διδοὺς σημεῖον. ὡς δὲ ἤκουσεν τὰ παρὰ τοῦ Παρμενίωνος, οὐκ ἔφη σωφρονεῖν αὐτὸν, οὐδὲ ἐντὸς εἶναι τῶν λογισμῶν, ἀλλ' ἐπιλελῆσθαι ταραττόμενον, ὅτι νικῶντες μὲν προσκτήσονται καὶ τὰ τῶν πολεμίων· ἡττωμένοις δὲ φροντιστέον οὐ χρημάτων οὐδὲ ἀνδραπόδων, ἀλλ' ὅπως ἀποθανοῦνται καλῶς καὶ λαμπρῶς ἀγωνιζόμενοι. ταῦτα ἐπιστείλας Παρμενίωνι, τὸ κράνος περιέθετο, τὸν δὲ ἄλλον ὁπλισμὸν εὐθὺς ἀπὸ σκηνῆς εἶχεν, ἐπένδυμα τῶν Σικελικῶν ζωστόν· ἐπὶ δὲ τούτῳ, θώρακα διπλοῦν λινοῦν, ἐκ τῶν ληφθέντων ἐν Ἰσσῷ. τὸ δὲ κράνος, ἦν μὲν σιδηροῦν· ἔστιλβε δὲ ὥσπερ ἄργυρος καθαρὸς, ἔργον Θεοφίλου. συνήρμοστο δὲ αὐτῷ περιτραχήλιον ὁμοίως σιδηροῦν, λιθοκόλλητον, μάχαιραν δὲ θαυμαστὴν βαφῇ καὶ κουφότητι, δωρησαμένου τοῦ Κιτιέων βασιλέως, ἣν εἶχεν ἠσκημένος τὰ πολλὰ χρῆσθαι μαχαίρᾳ παρὰ τὰς μάχας. ἐπιπόρπαμα δὲ ἐφόρει, τῇ μὲν ἐργασίᾳ σοβαρώτερον ἢ κατὰ τὸν ἄλλον ὁπλισμόν. ἦν γὰρ ἔργον Ἑλικῶνος τοῦ παλαιοῦ, τιμὴ δὲ τῆς Ῥοδίων πόλεως, ὑφ' ἧς ἐδόθη δῶρον. ἐχρῆτο δὲ καὶ τούτῳ πρὸς τοὺς ἀγῶνας. ἄχρι μὲν οὖν συντάττων τι τῆς φάλαγγος, ἢ παρακελευόμενος ἢ διδάσκων ἢ ἐφορῶν παρεξήλαυνεν, ἄλλον ἵππον εἶχεν, τοῦ Βουκεφάλου φειδόμενος, ἤδη παρήλικος ὄντος· χωροῦντι δὲ πρὸς ἔργον ἐκεῖνος προσήγετο, καὶ μεταβὰς εὐθὺς ἦρχεν ἐφόδου.

Τότε

actum eſſe de caſtris & impedimentis, ni propere firmum ſubſidium ex prima acie noviſſimis ſubmiſiſſet. Sub idem autem tempus jam dederat ſuis ſignum pugnæ. Ut vero Parmenionis mandata audivit, negavit eum ſanum eſſe, neque conſtare mente, ſed præ conſternatione oblitum acquirere victores etiam hoſtium opes, victis vero laborandum eſſe non de ſarcinis, neque de mancipiis, verum ut pugnantes cadant quam honeſtiſſime & fortiſſime. His datis ad Parmenionem mandatis, galeam ſumpſit. Reliquum munimentum corporis jam in tabernaculo induerat, amiculum Siculi operis cinctum, ſuper eum thoracem lineum duplicem ex præda Iſſenſi. Galea erat ferrea, quæ tamen inſtar candidi argenti refulgebat, Theophili opus. Jam collare habebat ex ferro item compactum quod gemmis erat diſtinctum: gladium mira tinctura & levitate, regis Citieorum donum, quo accinctus erat, aſſuetus fere gladio uti in prœlio. Balteum geſtabat opere ſuperbiore quam pro reliquæ ratione armaturæ. Opificium fuit veteris Heliconis, Rhodiorum donum, quo eum illa honoraverat civitas: hoc in conflictibus utebatur. Tantiſper autem dum in acie inſtruenda vel dandis imperiis vel monendo vel inſpiciendo obequitabat aciem, alio vehebatur equo: quod Bucephalæ, qui jam gravi ætate erat, parceret. Ubi prœlium iniret, admovebatur ille: in quem quum tranſiſſet, illico ſigna juſſit canere.

Ibi

Τότε δὲ τοῖς Θετταλοῖς πλεῖστα διαλεχθεὶς, καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἐπέῤῥωσαν αὐτὸν, βοῶντες ἄγειν ἐπὶ τοὺς βαρβάρους, τὸ ξυστὸν εἰς τὴν ἀριστερὰν μεταβαλὼν, τῇ δεξιᾷ παρεκάλει τοὺς Θεοὺς, ὡς Καλλισθένης φησὶν, ἐπευχόμενος, εἴπερ ὄντως Διόθεν γεγονὼς, ἀμῦναι καὶ συνεπιῤῥῶσαι τοὺς Ἕλληνας. ὁ δὲ μάντις Ἀρίστανδρος, χλανίδα λευκὴν ἔχων καὶ χρυσοῦν στέφανον, ἐπεδείκνυτο παριππεύων ἀετὸν ὑπὲρ κεφαλῆς Ἀλεξάνδρου συναιωρούμενον, καὶ κατευθύνοντα τῇ πτήσει ὄρθιον ἐπὶ τοὺς πολεμίους· ὥστε πολὺ μὲν θάρσος ἐγγενέσθαι τοῖς ὁρῶσιν, ἐκ δὲ τοῦ θαῤῥεῖν καὶ παρακαλεῖν ἀλλήλους, δρόμῳ τοῖς ἱππεῦσιν ἱεμένοις ἐπὶ τοὺς πολεμίους ἐπικυμαίνειν τὴν φάλαγγα. πρὶν δὲ συμμίξαι τοὺς πρώτους, ἐξέκλιναν οἱ βάρβαροι, καὶ διωγμὸς ἦν πολὺς, εἰς τὰ μέσα συνελαύνοντος Ἀλεξάνδρου τὸ νικώμενον, ὅπου Δαρεῖος ἦν. πόῤῥωθεν γὰρ αὐτὸν κατεῖδεν διὰ τῶν προτεταγμένων ἐν βάθει τῆς βασιλικῆς ἴλης ἐκφανέντα, καλὸν ἄνδρα καὶ μέγαν ἐφ' ἅρματος ὑψηλοῦ βεβῶτα, πολλοῖς ἱππεῦσιν καὶ λαμπροῖς καταπεφραγμένον, εὖ μάλα συνεσπειραμένοις περὶ τὸ ἅρμα, καὶ παρατεταγμένοις δέχεσθαι τοὺς πολεμίους. ἀλλὰ δεινὸς ὀφθεὶς ἐγγύθεν Ἀλέξανδρος, καὶ τοὺς φεύγοντας ἐμβαλὼν εἰς τοὺς μένοντας, ἐξέπληξε καὶ διεσκέδασε τὸ πλεῖστον. οἱ δὲ ἄριστοι καὶ γενναιότατοι πρὸ τοῦ βασιλέως φονευόμενοι, καὶ κατ' ἀλλήλων πίπτοντες, ἐμποδὼν τῆς διώξεως ἦσαν, ἐμπλεκόμενοι καὶ περισπαίροντες αὐτοῖς καὶ ἵπποις. Δαρεῖος δὲ, τῶν δεινῶν ἁπάντων ἐν ὀφθαλμοῖς ὄντων, καὶ τῶν προτεταγμένων δυνάμεων ἐρειπομένων εἰς αὐτὸν, ὡς

Ibi Theſſalos longa oratione adhortatus atque alios Græcos, ubi alacres oſtenderunt ſe conclamantes, duceret in barbaros, trajecta in ſiniſtram lancea, Deorum opem invocavit, ut autor eſt Calliſthenes, precatus, ſi vere ſatus Jove eſſet, ut Græcis adeſſent dextri & propitii. Vates Ariſtander candida læna amictus, coronamque auream geſtans, qui juxta Alexandrum vehebatur, oſtendit ſuper verticem ejus aquilam in aere ſe librare, curſumque volatu recta dirigere in hoſtes. Unde ingens ſpectantes inceſſit alacritas, ex alacritate autem & mutua adhortatione admiſſo in hoſtem equitatu inſtar fluctus ingruit phalanx. Cæterum priuſquam frontes concurrerunt, inclinavit barbarorum acies. Magna erat impulſio, quod redigeret cedentes Alexander in mediam aciem, ubi Darius agebat. Procul enim per anteſignanos conſpexit media in cohorte regia conſpicuum pulchrum virum & eminentem, qui curru vehebatur excelſo, frequentibus fortibuſque equitibus ſeptus arcte conglobatis circa currum, paratiſque hoſtem excipere. Sed Alexander, cujus terribilis ex propinquo apparebat aſpectus, dum fugientes conjicit in eos qui locum adhuc tenebant, perculit eos maxima ex parte diſturbavitque. Optimorum ac fortiſſimorum quorumque, quum pro rege contrucidarentur, cumulus exaggeratus cadentium, qui comprehendebant moribundi pedes virorum equorumque, inſectationem inhibuit. Darius vero, quum omnes terrores ante oculos eſſent, & copiæ quas ante ſe habebat, corruerent in eum, haud

ὡς οὐκ ἦν ἀποστρέψαι τὸ ἅρμα καὶ διεξελάσαι ῥᾴδιον, ἀλλ' οἵ τε τροχοὶ συνείχοντο πτώμασι πεφυρμένοι τοσούτοις, οἵ τε ἵπποι καταλαμβανόμενοι καὶ ἀποκρυπτόμενοι τῷ πλήθει τῶν νεκρῶν ἐξήλλοντο καὶ συνετάραττον τὸν ἡνίοχον, ἀπολείπει μὲν τὸ ἅρμα καὶ τὰ ὅπλα, θήλειαν δὲ, ὥς φασιν, νεοτόκον ἵππον περιβὰς ἔφυγεν. οὐ μὴν τότε γ' ἂν ἐδόκει διαφεύγειν, εἰ μὴ πάλιν ἧκον ἕτεροι παρὰ τοῦ Παρμενίωνος ἱππεῖς, μετακαλοῦντες Ἀλέξανδρον, ὡς συνεστώσης ἔτι πολλῆς δυνάμεως ἐκεῖ, καὶ τῶν πολεμίων οὐκ ἐνδιδόντων. ὅλως γὰρ αἰτιῶνται Παρμενίωνα κατ' ἐκείνην τὴν μάχην νωθρὸν γενέσθαι καὶ δύσεργον· εἴτε τοῦ γήρως ἤδη τι παραλύοντος τῆς τόλμης, εἴτε τὴν ἐξουσίαν καὶ τὸν ὄγκον, ὡς Καλλισθένης φησὶν, τῆς Ἀλεξάνδρου δυνάμεως βαρυνόμενον καὶ προσφθονοῦντα. τότε δ' οὖν ὁ βασιλεὺς ἀνιαθεὶς τῇ μεταπέμψει, τοῖς μὲν στρατιώταις οὐκ ἔφρασε τὸ ἀληθὲς, ἀλλ' ὡς ἀνέχων τοῦ φονεύειν, καὶ σκότους ὄντος, ἀνάκλησιν ἐσήμανεν. ἐλαύνων δὲ πρὸς τὸ κινδυνεῦον μέρος, ἤκουσεν καθ' ὁδὸν ἡττῆσθαι παντάπασιν καὶ φεύγειν τοὺς πολεμίους.

Τοῦτο τῆς μάχης ἐκείνης λαβούσης τὸ πέρας, ἡ μὲν ἀρχὴ παντάπασιν ἡ Περσῶν ἐδόκει καταλελύσθαι· βασιλεὺς δὲ τῆς Ἀσίας Ἀλέξανδρος ἀνηγορευμένος, ἔθυε τοῖς Θεοῖς μεγαλοπρεπῶς, καὶ τοῖς φίλοις ἐδωρεῖτο πλούτους καὶ οἴκους καὶ ἡγεμονίας. φιλοτιμούμενος δὲ πρὸς τοὺς Ἕλληνας, ἔγραψεν τὰς τυραννίδας πάσας καταλυθῆναι, καὶ πολιτεύειν αὐτονόμους· ἰδίᾳ δὲ Πλαταιεῦσι, τὴν πόλιν ἀνοικοδομεῖν, ὅτι τὴν χώραν οἱ πατέρες αὐτῶν ἐναγωνίσασθαι τοῖς Ἕλλησιν ὑπὲρ τῆς ἐλευθερίας παρέσχον. ἔπεμψε δὲ καὶ Κροτωνιάταις

haud facile currum flectere & pervadere valebat, ſed quia rotæ retinebantur, tanto acervo intricatæ cadaverum, equi autem ſtrage illa diſtenti & operti exiliebant conſternabantque aurigam, curru armiſque relictis equam (ut ferunt) recens enixam conſcendens effudit ſe in fugam, non evaſurus in præſentia tamen, uti videbatur, niſi alii iterum a Parmenione equites miſſi ad Alexandrum fuiſſent retrahendum, quod magna manus adhuc illa parte ſtaret in acie, neque hoſtes pedem referrent. Inſimulant ſane Parmenionis omnino illo in conflictu ignaviam & ſegniciem, ſive audaciam ſenium ejus jam reſolvebat, ſive potentiam Alexandri (ut tradit Calliſthenes) ille gravabatur & æmulabatur gliſcentem & inſurgentem. Tunc igitur revocari ſe rex etſi ægre ferret, veruntamen non indicavit id militibus, ſed quaſi cædem inhibens ac præcipite in noctem die receptui cecinit. In itinere, dum pergit ad periclitantes ſuos, accepit omni ex parte fuſos fugatoſque hoſtes.

Hoc pugnæ illius eventu imperium Perſarum pro ſemel ſubverſo habitum, atque Aſiæ rex renuntiatus Alexander, Diis magnifice ſacra peregit, amicis opes, domos, provincias eſt largitus. Ad Græcos ambitioſe ſe efferens ſcripſit, ut omnes tollerentur injuſti dominatus, & immunes ipſi ſuis legibus viverent; privatim autem ad Platæenſes, ut oppidum ipſorum inſtauraretur, quod agrum Græcis majores eorum ad decertandum in eo pro libertate cum barbaris præbuiſſent. Ad hæc Crotoniatis

τωνιάταις εἰς Ἰταλίαν μέρος τῶν λαφύρων, τὴν Φαΰλου τοῦ ἀθλητοῦ τιμῶν προθυμίαν καὶ ἀρετήν, ὃς περὶ τὰ Μηδικὰ τῶν ἄλλων Ἰταλιωτῶν ἀπεγνωκότων τοὺς Ἕλληνας, ἰδιόστολον ἔχων ναῦν ἔπλευσεν εἰς Σαλαμῖνα, τοῦ κινδύνου τι μεθέξων. οὕτω τις εὐμενὴς ἦν πρὸς ἅπασαν ἀρετήν, καὶ καλῶν ἔργων φύλαξ καὶ οἰκεῖος.

Ἐπιὼν δὲ τὴν Βαβυλωνίαν ἅπασαν εὐθὺς ἐπ' αὐτῷ γενομένην, ἐθαύμασε μάλιστα τό,τε χάσμα τοῦ πυρὸς ἐν Ἐκβατάνοις, ὥσπερ ἐκ πηγῆς συνεχῶς ἀναφερομένου, καὶ τὸ ῥεῦμα τοῦ νάφθα λιμνάζοντος διὰ τὸ πλῆθος, οὐ πόῤῥω τοῦ χάσματος. ὃς τἄλλα μὲν ἀσφάλτῳ προσέοικεν, οὕτω δὲ εὐπαθὴς πρὸς τὸ πῦρ ἐστιν, ὥστε πρὶν ἢ θίγειν τὴν φλόγα, δι' αὐτῆς τῆς περὶ τὸ φῶς ἐξαπτομένης αὐγῆς, τὸν μεταξὺ πολλάκις ἀέρα συνεκκάιοι. ἐπιδεικνύμενοι δὲ τὴν δύναμιν αὐτοῦ καὶ φύσιν οἱ βάρβαροι, τὸν ἄγοντα πρὸς τὴν κατάλυσιν τοῦ βασιλέως στενωπὸν ἐλαφρῷ τῷ φαρμάκῳ κατεψέκασαν· εἶτα στάντες ἐπ' ἄκρῳ τοὺς λαμπτῆρας τοῖς βεβρεγμένοις προσέθηκαν· ἤδη γὰρ συνεσκόταζεν. τῶν δὲ πρώτων εὐθὺς ἁψαμένων, οὐκ ἔσχεν ἡ νομὴ χρόνον αἰσθητόν, ἀλλ' ἅμα νοήματι διῆκτο πρὸς θάτερον πέρας, καὶ πῦρ ἐγεγόνει συνεχὴς ὁ στενωπός. ἦν δέ τις Ἀθηνοφάνης Ἀθηναῖος, τῶν περὶ ἄλειμμα καὶ λουτρὸν εἰωθότων τὸ σῶμα θεραπεύειν τοῦ βασιλέως, καὶ τὴν διάνοιαν ἐμμελῶς ἀπάγειν ἐπὶ τὸ ῥάθυμον· οὗτος ἐν τῷ λουτρῶνι τότε παιδαρίου τῷ Ἀλεξάνδρῳ παρεστῶτος εὐτελοῦς σφόδρα καὶ γελοίου τὴν ὄψιν, ᾄδοντος δὲ χαριέντως, ὃς Στέφανος ἐκαλεῖτο, Βούλει, φησίν, ὦ βασιλεῦ, διάπειραν

ἐν

toniatis in Italia prædam impertivit ad Phayli athletæ honorandum ſtudium virtutemque, qui bellis Medicis, quum Itali cæteri res Græcorum haberent pro deploratis, Salamina navi ſuis impenſis inſtructa fuerat ad periculi ſocietatem profectus. Uſque adeo candidus erga omnem virtutem erat, factorumque ad memoriam cuſtos & fautor honeſtorum.

Caſtra inde movit in Babyloniam, quæ protinus dedidit ſe ei tota. Miraculo ei fuit in Ecbatanis terræ hiatus ignem perpetuo ſicut ex fonte ſubvehens, & ſcaturigo naphthæ ex abundantia non longe illo hiatu ſtagnantis; qui cætera bitumen repræſentat, cæterum cognationem habet cum igne adeo magnam, ut priuſquam contingat flammam, interfuſum aera frequenter ſolo ſplendore circa flammam elucente accendat. Quo vim ejus & indolem oſtenderent barbari, viam ad regis tentorium tendentem irroravere minutis hujus medicamenti ſtillis, ſtanteſque in extremo faculas irrigatis naptha particulis admovere. Jam enim tenebræ erant. Capite itaque accenſo, mox flamma puncto temporis depaſta reliqua eſt, atque momento ad alterum percurrit terminum, ac via continuo colluxit igne. Athenophanes erat Athenienſis ex iis qui inungendo & balneo curare regis corpus ſolebat, mentemque ejus ſcite abducere ad remiſſionem. Hic in balneo aſſiſtente tunc regi puero facie ridicula, ſed qui caneret lepide, Stephanum dicebant, Vis, inquit,

in

ἐν Στεφάνῳ τοῦ φαρμάκου λάβωμεν; ἂν γὰρ ἅψηται τούτου καὶ μὴ κατασβεσθῇ, παντάπασιν ἂν φαίην ἄμαχον καὶ δεινὴν αὐτοῦ τὴν δύναμιν εἶναι. προθύμως δέ πως καὶ τοῦ παιδαρίου διδόντος ἑαυτὸν πρὸς τὴν πεῖραν, ἅμα τῷ περιαλεῖψαι καὶ θίγειν, ἐξώθησε φλόγα τοσαύτην τὸ σῶμα, καὶ πυρὶ κατεσχέθη πᾶν, ὥστε τὸν Ἀλέξανδρον εἰς πᾶν ἀπορίας καὶ δέους ἐλθεῖν. εἰ δὲ μὴ κατὰ τύχην πολλὰ παρῆσαν ἀγγεῖα πρὸς τὸ λουτρὸν ὕδατος διὰ χειρῶν ἔχοντες, οὐκ ἂν ἔφθασεν ἡ βοήθεια τὴν ἐπινομήν. ἀλλὰ καὶ τότε μόγις κατέσβεσαν τὸ σῶμα τοῦ παιδὸς δι' ὅλου πῦρ γινόμενον, καὶ μετὰ ταῦτα χαλεπῶς ἔσχεν. εἰκότως οὖν ἔνιοι τὸν μῦθον ἀνασώζοντες πρὸς τὴν ἀλήθειαν, τοῦτο φασὶν εἶναι τὸ τῆς Μηδείας φάρμακον, ᾧ τὸν τραγῳδούμενον στέφανον καὶ τὸν πέπλον ἔχρισεν· οὐ γὰρ ἐξ αὐτῶν ἐκείνων, οὐδὲ ἀπ' αὐτομάτου λάμψαι τὸ πῦρ, ἀλλὰ φλογὸς ἐκεῖθεν παρατεθείσης, ὀξεῖαν ὁλκὴν καὶ συναφὴν ἄδηλον αἰσθήσει γενέσθαι. τὰς γὰρ ἀκτῖνας καὶ τὰ ῥεύματα τοῦ πυρὸς ἄπωθεν ἐπερχόμενα, τοῖς μὲν ἄλλοις σώμασιν φῶς καὶ θερμότητα προσβάλλειν μόνον, ἐν δὲ τοῖς ἄλλοις ξηρότητα πνευματικὴν καὶ νοτίδα λιπαρὰν καὶ διαρκῆ κεκτημένοις ἀθροιζόμενα καὶ πυριμανοῦντα μεταβάλλειν ὀξέως τὴν ὕλην. παρεῖχεν δὲ ἀπορίαν ἡ γένεσις, εἴτε μᾶλλον ὑπέκκαυμα τῆς φλογὸς ὑποῤῥεῖ τὸ ὑγρὸν ἐκ τῆς γῆς φύσιν λιπαρὰν καὶ πυριγόνον ἐχούσης. καὶ γάρ ἐστιν ἡ Βαβυλωνία σφόδρα πυρώδης, ὥστε τὰς μὲν κριθὰς χαμόθεν ἐκπηδᾶν καὶ ἀποπάλλεσθαι πολλάκις, οἷον ὑπὸ φλεγμονῆς τῶν τόπων σφυγμοὺς

in Stephano, rex, periculum faciamus naphthæ? Nam hunc ſi attigerit, nec fuerit exſtinctus, dicam vires ejus plane inexſuperabiles & eximias eſſe. Quum prompte puer offerret ſe ad experimentum, ſimul atque inunctus fuit, & attigit eum medicamentum, flammam corpus ejus tam ingentem effudit, & igne occupatum eſt totum, ut ad extremam perplexitatem trepidationemque reciderit Alexander. Quod ni adfuiſſent qui multa vaſa aquæ in balnei uſum ad manum habebant, nulla ope prohiberi potuiſſet quin corpus pueri eſſet ambuſtum. Sed & tunc corpus ejus undequaque inflammatum fuit, & ignem extinxerunt ægre, ac poſt male habuit. Itaque haud abſurde fabulam quidam ad veritatem reducentes, hoc illud eſſe dictitant Medeæ medicamentum, quo decantatam illam coronam flammeumque inunxit. Quippe haud ex ſemetipſis neque ſponte concepiſſe illa ignem, ſed quum adjecta illinc fuiſſet flamma, citam ejus & continentem contagionem, quæ ſenſum effugeret, fuiſſe. Nam radios & profluvia ignis eminus ingruentia lumen aliis corporibus & fervorem tantummodo adjungere, in aliis ariditate halituoſa, pinguique & ſaturo præditis liquore collecta atque vi gliſcentia flammea ſtatim ipſam mutare materiam. Movit generatio ejus dubitationes varias, an potius flammæ fomes liquor hic ex ſolo emanet vi oleoſa inflammanteque prædito. Eſt enim perquam Babylonia ignea, ut hordeum ex humo ſubſultet & regeratur frequenter, quod ea regio quaſi nimia inflammatione

μοὺς ἐχόντων· τοὺς δ' ἀνθρώπους ἐν τοῖς καύμασιν ἐπ' ἀσκῶν πεπληρωμένων ὕδατος καθεύδειν. Ἅρπαλος δὲ τῆς χώρας ἀπολειφθεὶς ἐπιμελητὴς, καὶ φιλοκαλῶν Ἑλληνικαῖς φυτείαις διακοσμῆσαι τὰ βασίλεια καὶ τοὺς περιπάτους, τῶν μὲν ἄλλων ἐκράτησεν, τὸν δὲ κιττὸν οὐκ ἔστεξεν ἡ γῆ μόνον, ἀλλ' ἀεὶ διέφθειρεν, οὐ φέροντα τὴν κρᾶσιν· ὁ μὲν γὰρ πυρώδης, ὁ δὲ φιλόψυχρος. τῶν μὲν οὖν τοιούτων παρεκβάσεων, ἂν μέτρον ἔχωσιν, ἧττον ἴσως οἱ δύσκολοι κατηγοροῦσιν.

Ἀλέξανδρος δὲ Σούσων κυριεύσας, παρέλαβεν ἐν τοῖς βασιλείοις τετρακισμύρια τάλαντα νομίσματος, τὴν δ' ἄλλην κατασκευὴν καὶ πολυτέλειαν ἀδιήγητον. ὅπου φησὶν καὶ πορφύρας Ἑρμιονικῆς εὑρεθῆναι τάλαντα πεντακισχίλια, συγκειμένης μὲν ἐκ τῶν δέκα δεόντων διακοσίων, πρόσφατον δὲ τὸ ἄνθος ἔτι καὶ νεαρὸν φυλαττούσης. αἴτιον δὲ τούτου φασὶν εἶναι, τὸ τὴν βαφὴν διὰ μέλιτος γίνεσθαι τῶν ἁλουργῶν, δι' ἐλαίου δὲ λευκοῦ, τῶν λευκῶν· καὶ γὰρ τούτων τὸν ἴσον χρόνον ἐχόντων τὴν λαμπρότητα καθαρὰν καὶ στίλβουσαν ὁρᾶσθαι. Δίνων δέ φησιν καὶ ὕδωρ ἀπὸ τοῦ Νείλου καὶ τοῦ Ἴστρου μετὰ τῶν ἄλλων μεταπεμπομένους εἰς τὴν γάζαν ἀποτίθεσθαι τοὺς βασιλεῖς, οἷον ἐκβεβαιουμένους τὸ μέγεθος τῆς ἀρχῆς, καὶ τὸ κυριεύειν ἁπάντων.

Τῆς δὲ Περσίδος οὔσης διὰ τραχύτητα δυσεμβόλου, καὶ φυλαττομένης ὑπὸ γενναιοτάτων Περσῶν (Δαρεῖος μὲν γὰρ ἐπεφεύγει) γίγνεται τινὸς περιόδου κύκλον ἐχούσης οὐ πολὺν ἡγεμὼν αὐτῷ δίγλωσσος ἄνθρωπος, ἐκ πατρὸς Λυκίου, μητρὸς δὲ Περσίδος γεγονώς· ὅν φασιν ἔτι παιδὸς ὄντος Ἀλεξάν-

δρου

matione palpitet, habeantque homines per ſervores in utribus aqua impletis cubilia. Harpalo, qui regionis hujus relictus præfectus fuit, ſtudenti Græcis plantationibus regiam & ambulationes excolere, cætera reſponderunt, unam reſpuit tellus hederam, quam ſemper corrupit impatientem ejus temperiei, quod hæc frigidis gaudeat, illa ferveat. Cæterum hujuſcemodi digreſſus, ſi modum ſervent, minus fortaſſis reprehendent moroſi.

Alexander Suſis potitus, quadraginta millia talentorum argenti ſignati invenit, præterea inſtrumentum regium aliud, & res pretioſas innumerabiles: ubi etiam purpuræ Hermionicæ quinque millia talentorum narrat inventa, annos ſervatæ decem minus ducentos, quæ florem recentem adhuc ac novitium retineret. Cujus ferunt cauſam eſſe, quod puniceorum infectura melle perfecta fuerit, & candido oleo candidorum: quippe horum in pari ætate ſplendorem integrum & fulgentem conſpici. Ad hæc ex Nilo & Iſtro hauſtum inter cætera Dinon memorat ſolenne fuiſſe, ut afferri imperarent atque in theſaurum reconderent reges, tanquam in pignus amplitudinis imperii & rerum ſe dominos eſſe.

Quum autem Perſis ob aſperitatem eſſet aditu difficilis, præſidiumque haberet delectiſſimorum Perſarum (namque confugerat eo Darius) quidam utriuſque linguæ peritus, qui patre Lycio, Perſide matre ortus erat, quem puero etiamnum Alexandro præcinuiſſe

δρου τὴν Πυθίαν προειπεῖν, ὡς Λύκος ἔσται καθηγεμὼν Ἀλεξάνδρῳ τῆς ἐπὶ Πέρσας πορείας. Φόνον μὲν οὖν ἐνταῦθα πολὺν τῶν ἁλισκομένων γενέσθαι συνέπεσεν. γράφει γὰρ αὐτὸς, ὡς νομίζων αὐτῷ τοῦτο λυσιτελεῖν ἐκέλευεν ἀποσφάττεσθαι τοὺς ἀνθρώπους· νομίσματος δὲ εὑρεῖν πλῆθος ὅσον ἐν Σούσοις, τὴν δὲ ἄλλην κατασκευὴν καὶ τὸν πλοῦτον ἐκκομισθῆναί φασιν μυρίοις ὀρικοῖς ζεύγεσιν καὶ πεντακισχιλίαις καμήλοις. Ξέρξου δὲ ἀνδριάντα μέγαν θεασάμενος ὑπὸ πλήθους τῶν ὠθουμένων εἰς τὰ βασίλεια πλημμελῶς ἀνατετραμμένον, ἐπέστη, καὶ καθάπερ ἔμψυχον προσαγορεύσας, Πότερόν σε, εἶπεν, διὰ τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν κείμενον παρέλθωμεν, ἢ διὰ τὴν ἄλλην μεγαλοφροσύνην καὶ ἀρετὴν ἐγείρωμεν; τέλος δὲ, πολὺν χρόνον πρὸς ἑαυτῷ γενόμενος καὶ σιωπήσας, παρῆλθεν. βουλόμενος δὲ τοὺς στρατιώτας ἀναλαβεῖν (καὶ γὰρ ἦν χειμῶνος ὥρα) τέσσαρας μῆνας αὐτόθι διήγαγεν. λέγεται δὲ, καθίσαντος αὐτοῦ τὸ πρῶτον ὑπὸ τὸν χρυσοῦν οὐρανίσκον ἐν τῷ βασιλικῷ θρόνῳ, τὸν Κορίνθιον Δημάρατον, εὔνουν ὄντα ἄνδρα καὶ πατρῷον φίλον Ἀλεξάνδρου, πρεσβυτικῶς ἐπιδακρῦσαι, καὶ εἰπεῖν, ὡς μεγάλης ἡδονῆς στεροῖντο τῶν Ἑλλήνων οἱ τεθνηκότες, πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον.

Ἐκ τούτου μέλλων ἐξελαύνειν ἐπὶ Δαρεῖον, ἔτυχεν μὲν εἰς μέθην τινὰ καὶ παιδιὰν τοῖς ἑταίροις ἑαυτὸν δεδωκὼς, ὥστε καὶ γύναια συμπίνειν ἐπὶ κῶμον ἥκοντα πρὸς τοὺς ἐραστάς. ἐν δὲ τούτοις εὐδοκιμοῦσα μάλιστα Θαΐς, ἡ Πτολεμαίου τοῦ βασιλεύσαντος ὕστερον ἑταίρα, γένος Ἀττικὴ, τὰ μὲν ἐμ-

με-

nuiſſe perhibent Pythiam, nempe Lycium ducem Alexandro itineris in Perſas fore, modico circuitu duxit eum in Perſidem. Strages illic ingens captivorum edita: ſiquidem ſcribit ipſe ratum ſe id e re ſua eſſe, imperaſſe ut hoſtes contrucidarentur. Argenti reperit ibi parem ac Suſis ſummam. Reliquum inſtrumentum regium & opes decem millibus jugorum mularium & quinque millibus camelorum egeſta. Statuam ingentem Xerxis a turba contemplatus in regiam irrumpentium imprudenter everſam, ſubſtitit, ac ſicut ſpirantem compellans, Utrum te, inquit, ob illatum Græcis bellum præteribimus proſtratum, an ob cæteram animi tui celſitudinem & virtutem attollemus? Poſtremo, ut diu cogitabundus & tacitus reſtitit, prætergreſſus eſt. Quatuor menſes ibi, quo exercitum reficeret, quod eſſet hyemis tempeſtas, tranſegit. Fama eſt, quum primum ſub aurea teſtudine Alexander in ſolio regio conſideret, Corinthium Demaratum Alexandri familiarem & amicum paternum, ſenili more illacrymaſſe, ac dixiſſe, fraudatos magna voluptate Græcos, qui ante quam in Darii ſolio Alexandrum ſpectaſſent ſedentem, vita eſſent functi.

Hinc in Darium moturus, compotationem & luſum cum amicis iniit, interfueruntque meretrices, quæ comeſſatum venerant ad amatores ſuos. Inter has nobilis imprimis Thais, Ptolemæi, qui poſt regnavit, amica, ex Attica oriunda, partim ſcite

ce-

μελῶς ἐπαινοῦσα, τὰ δὲ παίζουσα πρὸς τὸν Ἀλέξανδρον, ἅμα τῇ μέθῃ λόγον εἰπεῖν προήχθη, τῷ μὲν τῆς πατρίδος ἤθει πρέποντα, μείζονα δὲ ἢ καθ' αὑτήν. ἔφη γὰρ, ὧν πεπόνηκε πεπλανημένη τὴν Ἀσίαν, ἀπολαμβάνειν χάριν ἐκείνης τῆς ἡμέρας, ἐντρυφῶσα τοῖς ὑπερηφάνοις Περσῶν βασιλείοις· ἔτι δ' ἂν ἥδιον ὑποπρῆσαι κωμάσασα τὸν Ξέρξου τοῦ κατακαύσαντος τὰς Ἀθήνας οἶκον, αὐτὴ τὸ πῦρ ἅψασα, τοῦ βασιλέως ὁρῶντος· ὡς ἂν λόγος ἔχῃ πρὸς ἀνθρώπους, ὅτι τῶν ναυμάχων καὶ πεζομάχων ἐκείνων στρατηγῶν τὰ μετὰ Ἀλεξάνδρου γύναια μείζονα δίκην ἐπέθηκεν Πέρσαις ὑπὲρ τῆς Ἑλλάδος. ἅμα δὲ τῷ λόγῳ τούτῳ κρότου καὶ θορύβου γενομένου, καὶ παρακελεύσεως τῶν ἑταίρων καὶ φιλοτιμίας, ἐπισπασθεὶς ὁ βασιλεὺς καὶ ἀναπηδήσας, ἔχων στέφανον καὶ λαμπάδα προῆγεν· οἱ δὲ ἑπόμενοι κώμῳ καὶ βοῇ περιίσταντο τὰ βασίλεια· καὶ τῶν ἄλλων Μακεδόνων οἱ πυνθανόμενοι συνέτρεχον μετὰ λαμπάδων χαίροντες. ἤλπιζον γὰρ ὅτι τοῖς οἴκοι προσέχοντος ἐστὶ τὸν νοῦν, καὶ μὴ μέλλοντος ἐν βαρβάροις οἰκεῖν, τὸ πιμπράναι τὰ βασίλεια καὶ διαφθείρειν. οἱ μὲν οὕτω ταῦτα γενέσθαι φασὶν, οἱ δὲ ἀπὸ γνώμης· ὅτι δ' οὖν μετενόησεν ταχὺ καὶ κατασβέσαι προσέταξεν, ὁμολογεῖται.

Φύσει δὲ ὢν μεγαλοδωρότατος, ἔτι μᾶλλον ἐπέδωκεν εἰς τοῦτο τῶν πραγμάτων αὐξανομένων. καὶ προσῆν ἡ φιλοφροσύνη, μεθ' ἧς μόνης ὡς ἀληθῶς οἱ διδόντες χαρίζονται. μνησθήσομαι δὲ ὀλίγων ἀρίστων. ὁ τῶν Παιόνων ἡγούμενος, ἀποκτείνας πολέμιον ἄνδρα καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐ-

celebrans Alexandrum, partim jocis alludens, in ſermonem eſt temulenta provecta, patriæ quidem ejus congruentem moribus, ſed ſupra ejus conditionem. Quippe laborum ait ſibi in peragranda Aſia exantlatorum illo die fructum recipere ſe, ſuperbæ Perſarum regiæ inſultantem: verum multo libentius per ludum & laſciviam domicilium Xerxis, qui inflammavit Athenas, ſuccenſuram, faceſque manibus ſuis inſpectante ſubdituram rege: quo inter mortales vulgaretur, ſequentes Alexandri caſtra mulierculas majores pœnas a Perſis ob violatam Græciam, quam Græcos illos navalium & terreſtrium copiarum duces expetiiſſe. Quum dicentem eſſet aſſenſus & admurmuratio conſequuta, adhortatioque & contentio amicorum, impulſus rex in eam ſententiam exiliit, coronatuſque & facem manu tenens progreſſus eſt. Alii ſequentes ludibundi conclamanteſque regiam cinxere: reliquorumque Macedonum, ubi id intellexerunt, concurſus illuc cum lampadibus exultantium factus eſt. Sperabant enim domum reſpicientis eſſe ſignum, nec commoraturi inter barbaros, quod regiam eorum incenderet everteretque. Atque hæc ita aliqui autores ſunt geſta fuiſſe, alii conſulto. Atqui cito illum pœnituiſſe facti, atque ut reſtinguerent flammam imperaſſe, in confeſſo eſt.

Munificentia vero, quæ inſita ei erat, multo magis excitata eſt rerum incremento. Adjuncta erat comitas, cujus unius acceſſione ſane ſunt munera grata. Hujus pauca exempla recenſebo. Pæonibus præfectus Ariſto, quum hoſtem obtruncaſſet, oſtendiſſetque ei ca-

αὐτῷ, Τοῦτο, εἶπεν, ὦ βασιλεῦ, παρ' ἡμῖν ἐκπώματος χρυσοῦ τιμᾶται τὸ δῶρον. ὁ δὲ Ἀλέξανδρος γελάσας, κενοῦ γε, εἶπεν, ἐγὼ δέ σοι μεστὸν ἀκράτου προπίομαι. τῶν δὲ πολλῶν τις Μακεδόνων ἤλαυνεν ἡμίονον, βασιλικὸν χρυσίον κομίζοντα· κάμνοντος δὲ τοῦ κτήνους, αὐτὸς ἀράμενος ἐκόμιζε τὸ φορτίον. ἰδὼν οὖν ὁ βασιλεὺς θλιβόμενον αὐτὸν σφόδρα, καὶ πυθόμενος τὸ πρᾶγμα, μέλλοντος κατατίθεσθαι, Μὴ κάμῃς, εἶπεν, ἀλλὰ πρόσθες ἔτι τὴν λοιπὴν ὁδὸν, ἐπὶ τὴν σκηνὴν σεαυτῷ τοῦτο κομίσας. ὅλως δὲ ἤχθετο τοῖς μὴ λαμβάνουσι μᾶλλον ἢ τοῖς αἰτοῦσιν. καὶ Φωκίωνι μὲν ἔγραψεν ἐπιστολὴν, ὡς οὐ χρησόμενος αὐτῷ φίλῳ τὸ λοιπὸν, εἰ διωθοῖτο τὰς χάριτας. Σεραπίωνι δὲ τῶν ἀπὸ σφαίρας τινὶ νεανίσκων οὐδὲν ἐδίδου, διὰ τὸ μηδὲν αἰτεῖν. ὡς οὖν εἰς τὸ σφαιρίζειν παραγινόμενος Σεραπίων, ἄλλοις ἔβαλε τὴν σφαῖραν· εἰπόντος δὲ τοῦ βασιλέως, ἐμοὶ δὲ οὐ δίδως; οὐ γὰρ αἰτεῖς, εἶπεν. τούτῳ μὲν δὴ γελάσας, πολλὰ δέδωκεν. Πρωτέᾳ δέ τινι τῶν περὶ σκώμματα καὶ πότον οὐκ ἀμούσων, ἔδοξεν δι' ὀργῆς γεγονέναι. τῶν δὲ φίλων δεομένων, κἀκείνου δακρύοντος, ἔφη διαλλάττεσθαι· κἀκεῖνος, οὐκοῦν, εἶπεν, ὦ βασιλεῦ, δός τι μοι πιστὸν πρῶτον. ἐκέλευσεν οὖν αὐτῷ πέντε τάλαντα δοθῆναι. περὶ δὲ τῶν τοῖς φίλοις καὶ τοῖς σωματοφύλαξι νεμομένων πλούτων, ἡλίκον εἶχεν ὄγκον, ἐμφαίνει δι' ἐπιστολῆς Ὀλυμπιὰς, ἣν ἔγραψεν πρὸς αὐτόν. ἄλλως, φησὶν, εὖ ποίει τοὺς φίλους καὶ ἐνδόξους ἄγε· νῦν δ' ἰσοβασιλέας πάντας ποιεῖς, καὶ πολυφιλίας παρασκευάζεις αὐτοῖς, σεαυτὸν δὲ ἐρημοῖς. πολλάκις δὲ τοιαῦτα τῆς Ὀλυμπιάδος γραφούσης, ἐφύλαττεν ἀπόρ-

caput, Hoc donum, rex, inquit, apud nos poculo aureo penſatur. Arridens Alexander, Nempe vacuo, inquit; Ego vero plenum mero tibi propino. Gregarius quidam Macedo mulum onuſtum auro regio agebat. Defeſſo jumento ſarcinam ipſe in humeros ſublatam portabat. Vidit rex onere oppreſſum, ac re intellecta, quum ille id depoſiturus eſſet, Ne defatigeris, inquit, ſed abſolve reliquum itineris, atque in tentorium tuum hoc defer. Omnino ſuccenſebat magis, ſi non acciperes, quam ſi poſceres. Phocioni enim per literas mandavit, ſi non admitteret dona ſua, renuntiare ei ſe amicitiam. Serapioni uni ex grege eorum qui ſecum luſitabant pila, quia nihil petebat, nihil largiebatur. Quum autem ad ludum acceſſiſſet Serapion, adjecit pilam aliis: cui ubi dixit rex, Quin mihi das? Non petis, inquit. Riſit rex, atque ampla largitione eſt eum proſequutus. Proteæ cuidam in dicteriis inter pocula non infeſtivo videbatur infenſus. Quum deprecarentur amici pro eo, atque ille lacrymas profunderet, redire dixit ſe cum eo in gratiam. Tum ille, Igitur rex, inquit, pignus primum mihi aliquod ejus rei dato. Atque huic quinque talenta juſſit numerari. In ditandis amicis & ſtipatoribus ſuis quam fuerit prolixus declarat Olympias epiſtola quam ad eum ſcripſit: Bene merere alias, inquit, de amicis, & ſplendore utere. Enimvero nunc omnes regi efficis pares, multoſque amicos eis paras, temetipſum vero reddis ſolitarium. Ea quum identidem ad illum ſcriberet Olympias, ſervabat

ἀπόῤῥητα τὰ γράμματα. πλὴν ἅπαξ Ἡφαιστίων, ὥσπερ εἰώθει, λυθεῖσαν ἐπιστολὴν αὐτῷ συναναγινώσκοντος, οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον ἀφελόμενος τὸν αὑτοῦ, προσέθηκεν τῷ ἐκείνου στόματι τὴν σφραγῖδα. Μαζαίου δὲ τοῦ μεγίστου παρὰ Δαρείῳ γενομένου παιδὶ σατραπείαν ἔχοντι, δευτέραν προσετίθει μείζονα. παραιτούμενος δὲ ἐκεῖνος εἶπεν, ὦ βασιλεῦ, τότε μὲν ἦν εἷς Δαρεῖος, νῦν δὲ σὺ πολλοὺς πεποίηκας Ἀλεξάνδρους. Παρμενίωνι μὲν οὖν τὸν Βαγώου ἔδωκεν οἶκον, ἐν ᾧ λέγεται τῶν περὶ Σοῦσων, χιλίων ταλάντων εὑρεθῆναι ἱματισμόν. πρὸς δ' Ἀντίπατρον ἔγραφεν κελεύων ἔχειν φύλακας τοῦ σώματος, ὡς ἐπιβουλευόμενον. τῇ δὲ μητρὶ πολλὰ μὲν ἐδωρεῖτο καὶ κατέπεμπεν, οὐκ εἴα δὲ πολυπραγμονεῖν, οὐδὲ παραστρατηγεῖν· ἐγκαλούσης δὲ, πράως ἔφερεν τὴν χαλεπότητα. πλὴν ἅπαξ ποτὲ μακρὰν Ἀντιπάτρου κατ' αὐτῆς γράψαντος ἐπιστολὴν ἀναγνοὺς, ἀγνοεῖν εἶπεν Ἀντίπατρον, ὅτι μυρίας ἐπιστολὰς ἓν δάκρυον ἀπαλείφει μητρός.

Ἐπεὶ δὲ τοὺς περὶ αὐτὸν ἑώρα παντάπασιν ἐκτετρυφηκότας, καὶ φορτικοὺς ταῖς διαίταις καὶ πολυτελείαις ὄντας, ὥστε Ἅγνωνα μὲν τὸν Τήϊον ἀργυροῦς ἐν ταῖς κρηπῖσιν ἥλους φορεῖν, Λεοννάτῳ δὲ πολλαῖς καμήλοις ἀπ' Αἰγύπτου κόνιν εἰς τὰ γυμνάσια παρακομίζεσθαι, Φιλώτᾳ δὲ πρὸς θήρας σταδίων ἑκατὸν αὐλαίας γεγονέναι, μύρῳ δὲ χρωμένους ἰέναι πρὸς ἄλειμμα καὶ λουτρὸν ὅσους οὐδὲ ἐλαίῳ, τρίπτας δὲ καὶ κατευναστὰς περιαγομένους, ἐπετίμησεν πράως καὶ φιλοσόφως, θαυμάζειν φάμενος, εἰ τοσούτους ἠγωνισμένοι καὶ τηλικούτους ἀγῶνας, οὐ μνημονεύουσιν ὅτι τῶν κα-

τα-

bat in abdito epiſtolas: niſi ſemel Hephæſtioni (ut aſſueverat) ſolutam epiſtolam ſecum legenti non vetuit, verum detracto digito anulo ſigillum ori illius admovit. Mazæi, cujus apud Darium ſumma fuerat gratia, filio ſatrapiæ præfecto, alteram adjecit ampliorem. At ille recuſans ait, Tunc, O rex, unus erat Darius, nunc tu multos effeciſti Alexandros. Parmenioni donavit Bagoæ domum, in qua ad cultum pertinentium veſtiarium mille talentorum invenit. Antipatro per literas mandavit ut cuſtodes corporis adverſus inſidias adhiberet. Matri dona multa miſit: cæterum interdixit ei rebus ſe ingerere, vel ducis munera vendicare. Expoſtulantis ſecum leniter tulit acerbitatem. Semel autem quum prolixas literas Antipatri illam criminantis perlegiſſet, latere dixit Antipatrum, ſexcentas epiſtolas una deleri matris lacrymula.

Quum autem amicos ſuos in totum cerneret luxu perditos, victuque & ſumptibus licentiores, atque Agnonem Teium clavis argenteis ſuffigere crepidas, Leonato multis camelis pulverem ex Ægypto uſque ad exercitationes ſupportari, Philotam ad venationem centum ſtadiorum aulæas habere, unguento plures quam oleo delibutos ad lavationes & unctiones ire, trahere eos ſecum frictores & cubicularios, caſtigavit eos placide & philoſophice, mirari ſe dicens ipſis, qui tot & tanta certamina decertaviſſent, memoria excidiſſe,

ταπονηθέντων οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν· οὐδὲ ὁρῶσι, τοῖς Περσῶν βίοις τοὺς ἑαυτῶν παραβάλλοντες, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ τὸ πονεῖν. καίτοι πῶς ἄν τις, ἔφη, δι' ἑαυτοῦ θεραπεύσειεν ἵππον, ἢ λόγχην ἀσκήσειεν, ἢ κράνος, ἀπειθικὼς τοῦ φιλτάτου σώματος ἅπτεσθαι τὰς χεῖρας; οὐκ ἴστε, εἶπεν, ὅτι τοῦ κρατεῖν πέρας ἡμῖν ἐστι τὸ μὴ ταὐτὰ ποιεῖν τοῖς κεκρατημένοις; ἐπέτεινεν οὖν ἔτι μᾶλλον αὐτὸς ἑαυτὸν ἐν ταῖς στρατείαις καὶ ταῖς κυνηγεσίαις, κακοπαθῶν καὶ παραβαλλόμενος· ὥστε καὶ Λάκωνα πρεσβευτὴν παραγενόμενον αὐτῷ λέοντα καταβάλλοντι μέγαν εἰπεῖν, καλῶς γε Ἀλέξανδρε πρὸς τὸν λέοντα ἠγώνισαι περὶ τᾶς βασιλείας. τοῦτο τὸ κυνήγιον Κρατερὸς εἰς Δελφοὺς ἀνέθηκεν, εἰκόνας χαλκᾶς ποιησάμενος τοῦ λέοντος καὶ τῶν κυνῶν, καὶ τοῦ βασιλέως τῷ λέοντι συνεστῶτος, καὶ αὐτοῦ προσβοηθοῦντος· ὧν τὰ μὲν Λύσιππος ἔπλασεν, τὰ δὲ Λεωχάρης.

Ἀλέξανδρος μὲν οὖν ἑαυτὸν ἀσκῶν ἅμα καὶ τοὺς ἄλλους παρορμῶν πρὸς ἀρετὴν ἐκινδύνευεν· οἱ δὲ φίλοι διὰ πλοῦτον καὶ ὄγκον ἤδη τρυφᾶν βουλόμενοι καὶ σχολάζειν, ἐβαρύνοντο τὰς πλάνας καὶ τὰς στρατείας, καὶ κατὰ μικρὸν οὕτω προῆλθον εἰς τὸ βλασφημεῖν καὶ κακῶς λέγειν αὐτόν. ὁ δὲ καὶ πάνυ πράως ἐν ἀρχῇ πρὸς ταῦτα διέκειτο, φάσκων βασιλικὸν εἶναι τὸ κακῶς ἀκούειν εὖ ποιοῦντα. καίτοι τὰ μὲν μικρότατα τῶν γινομένων τοῖς συνήθεσι παρ' αὐτοῦ, σημεῖα μεγάλης ὑπῆρχεν εὐνοίας καὶ τιμῆς· ὧν ὀλίγα παραθήσομαι. Πευκέστᾳ μὲν ἔγραψεν, μεμφόμενος ὅτι δηχθεὶς ὑπ' ἄρκτου, τοῖς

μὲν

Eos jucundius alios qui fatigant quam fatiſcentes quieſcere: neque animadvertere Perſarum moribus æquiparantes ſuos, nihil eſſe ſervile magis quam indulgere deliciis, nec magis regium quam labores ſuſcipere. Et quidem qui cures, inquit, tua opera equum, vel haſtam galeamve polias, ſi inducere animum non potes ut corpori, quo nihil charius, admoveas manus? An ignoratis finem nobis vincendi eſſe, ne eadem ac victi faciamus? Igitur laborem ipſe intendit, in expeditionibus & venationibus ſubigens corpus ſuum & periculis exponens: ut Spartanus quidam legatus, qui aſſiſtebat, quum conficeret grandem leonem, diceret, Macte Alexander iſta cum leone de regno pugna. Hanc venationem Craterus Delphis dedicavit, ac ſimulacra ex ære leonis, canum, regis cum leone congreſſi, & ſuum ei ſuccurrentis, facienda locavit: quorum Lyſippus partem, partem fecit Leochares.

Ita Alexander quidem dum ſemetipſum pariter exercet, & incendit alios ad virtutem, in præcipites caſus dabat ſe. Amici vero ejus ob opes & faſtum voluptatibus indulgere & otio affectantes, tædebat errorum & expeditionum. Unde paulatim ad obtrectandum ei & allatrandum ſunt progreſſi. Quod ille primum tulit leniter, regium eſſe ferens, quum beneſeceris, male audire. Et quidem benefacta minima ejus in amicos ingentis fuerunt benevolentiæ & honoris, quem illis habebat, ſignificationes: quorum pauca attexam. Moleſtum ſibi eſſe mandavit per literas Peuceſtæ, morſum ab urſo

ipſum,

μὲν ἄλλοις ἔγραψεν, αὐτῷ δὲ οὐκ ἐδήλωσεν, Ἀλλὰ νῦν γε, φησὶν, γράψον τὸ πῶς ἔχεις, καὶ μὴ τίνες σε τῶν συγκυνηγετούντων ἐγκατέλιπον, ἵνα δίκην δῶσιν. τοῖς δὲ περὶ Ἡφαιστίωνα διὰ πράξεις τινὰς ἀποῦσιν ἔγραψεν, ὅτι παιζόντων αὐτῶν πρὸς ἰχνεύμονα, τῷ Περδίκκου δορατίῳ περιπεσὼν Κρατερὸς τοὺς μηροὺς ἐτρώθη. Πευκέστα δὲ σωθέντος ἔκ τινος ἀσθενείας, ἔγραψεν πρὸς Ἀλέξιππον τὸν ἰατρὸν εὐχαριστῶν. Κρατεροῦ δὲ νοσοῦντος, ὄψιν ἰδὼν καθ' ὕπνον, αὐτός τε τινὰς θυσίας ἔθυεν ὑπὲρ αὐτοῦ, κἀκεῖνον θῦσαι ἐκέλευσεν. ἔγραψε δὲ καὶ Παυσανίᾳ τῷ ἰατρῷ βουλομένῳ τὸν Κρατερὸν ἐλλεβορίσαι, τὰ μὲν ἀγωνιῶν, τὰ δὲ παραινῶν ὅπως χρήσηται τῇ φαρμακείᾳ. τοὺς δὲ πρώτους τὴν Ἁρπάλου φυγὴν καὶ ἀπόδρασιν ἀπαγγείλαντας ἔδησεν, Ἐφιάλτην καὶ Κίσσον, ὡς καταψευδομένους τοῦ ἀνδρός. ἐπεὶ δὲ τοὺς ἀσθενοῦντας αὐτοῦ καὶ γέροντας εἰς οἶκον ἀποστέλλοντος, Εὐρύλοχος Αἰγαῖος ἀνέγραψεν ἑαυτὸν εἰς τοὺς νοσοῦντας, εἶτα φωραθεὶς ἔχων οὐδὲν κακὸν, ὡμολόγησεν Τελεσίππας ἐρᾶν, καὶ συνεπακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσης ἐκείνης, ἠρώτησεν τίνων ἀνθρώπων ἐστὶ τὸ γύναιον. ἀκούσας δὲ ὅτι τῶν ἐλευθέρων ἑταιρῶν, Ἡμᾶς μὲν, εἶπεν, ὦ Εὐρύλοχε, συνερῶντας ἔχεις· ὅρα δὲ ὅπως πείθωμεν ἢ δώροις ἢ λόγοις τὴν Τελεσίππαν, ἐπειδήπερ ἐξ ἐλευθέρας ἐστίν.

Θαυμάσαι δὲ αὐτόν ἐστιν, ὅτι καὶ μέχρι τοιούτων ἐπιστολῶν τοῖς φίλοις ἐσχόλασεν, οἷα γράφει, παῖδα Σελεύκου εἰς Κιλικίαν ἀποδεδρακότα κε-

λεύων

ipſum, quod aliis ſcripſiſſet, ſibi non ſignificaſſet; At nunc certe, inquit, ſcribe, ut vales, & num qui te ſociorum in venatione deſeruerunt, ut pœnas dent. Hephæſtioni ob certa negotia abſenti, pugnantibus per ludum ipſis cum ichneumone, Craterum ſcripſit in lanceam Perdiccæ induiſſe ſe, vulneratumque in utroque femore fuiſſe. Quum Peuceſtas ex morbo quodam revaluiſſet, ad medicum Alexippum ſcripſit agere ſe ei gratias. Cratero ægrotante, quum viſio eſſet ei per quietem oblata, & ipſe pro ſalute ejus ſacrificavit, & illum juſſit idem facere. Pauſaniæ medico ſcripſit, ubi elleboro eum purgare Craterum accepit velle, partim æſtuans, partim admonens quemadmodum medicamentum propinaret. Illos qui Harpali fugam primi nuntiaverunt in vincula conjecit, Ephialtem & Ciſſum, tanquam mendacia de eo nuntiantes. Quum infirmos & ætate graves domum remitteret, Eurylochus autem Ægæus retuliſſet ſe inter ægrotos, inde compertus nullo morbo teneri, Teleſippæ amore confeſſus eſſet ſe deperire, ac comitari ad mare velle abeuntem, quæſivit cujus conditionis mulier eſſet. Audito meretricem liberam eſſe, Habes nos Euryloche, inquit, tibi in amore faventes: at tu da operam, quandoquidem libera eſt Teleſippa, ut vel donis vel verbis eam inducamus.

Mirum vero eſt vacaſſe eum etiam hactenus amicis, literas ut hujuſcemodi mitteret, cujuſcemodi ſcripſit: Seleuci puerum qui in Ciliciam profugerat, impe-

rans

λεύων ἀναζητῆσαι, καὶ Πευκέσταν ἐπαινῶν, ὅτι Νίκωνα Κρατεροῦ δοῦλον συνέλαβεν· καὶ Μεγαβύζῳ περὶ τοῦ θεράποντος τοῦ ἐν τῷ ἱερῷ καθεζομένου, κελεύων αὐτὸν, ἂν δύνηται, συλλαβεῖν ἔξω τοῦ ἱεροῦ προκαλεσάμενος, ἐν δὲ τῷ ἱερῷ μὴ προσάπτεσθαι. λέγεται δὲ καὶ τὰς δίκας διακρίνων ἐν ἀρχῇ τὰς θανατικὰς, τὴν χεῖρα τῶν ὤτων τῷ ἑτέρῳ προστιθέναι τοῦ κατηγόρου λέγοντος, ὅπως τῷ κινδυνεύοντι καθαρὸν φυλάττηται καὶ ἀδιάβλητον. ἀλλ' ὕστερόν γε αὐτὸν ἐξετράχυναν αἱ πολλαὶ διαβολαὶ, διὰ τῶν ἀληθῶν παρόδων πίστιν ἐπὶ τὰ ψευδῆ λαβοῦσαι. καὶ μάλιστα κακῶς ἀκούων, ἐξίστατο τοῦ φρονεῖν, καὶ χαλεπὸς ἦν καὶ ἀπαραίτητος, ἅτε δὴ τὴν δόξαν ἀντὶ τοῦ ζῆν καὶ τῆς βασιλείας ἠγαπηκώς. τότε δὴ ἐξήλαυνεν ἐπὶ Δαρεῖον, ὡς πάλιν μαχούμενος· ἀκούσας δὲ τὴν ὑπὸ Βήσσου γενομένην αὐτοῦ σύλληψιν, ἀπέλυσεν τοὺς Θεσσαλοὺς οἴκαδε, δισχίλια τάλαντα δωρεὰν ἐπιμετρήσας ταῖς μισθοφοραῖς. πρὸς δὲ τὴν δίωξιν ἀργαλέαν καὶ μακρὰν γενομένην (ἕνδεκα γὰρ ἡμέραις ἱππάσατο τρισχιλίους καὶ τριακοσίους σταδίους) ἀπηγόρευσαν μὲν οἱ πλεῖστοι, καὶ μάλιστα κατὰ τὴν ἀνυδρίαν. ἔνθα δὴ Μακεδόνες τινὲς ἀπήντησαν αὐτῷ, ὕδωρ ἐν ἀσκοῖς ἐφ' ἡμιόνων κομίζοντες ἀπὸ τοῦ ποταμοῦ· καὶ θεασάμενοι τὸν Ἀλέξανδρον ἤδη μεσημβρίας οὔσης κακῶς ὑπὸ δίψους ἔχοντα, ταχὺ πλησάμενοι κράνος προσήνεγκαν. πυθομένου δὲ αὐτοῦ τίσιν κομίζοιεν, υἱοῖς, ἔφασαν, ἰδίοις· ἀλλὰ σοῦ ζῶντος, ἑτέρους ποιησόμεθα, κἂν ἐκείνους ἀπολέσωμεν. ταῦτα ἀκούσας, ἔλαβεν εἰς τὰς χεῖρας τὸ κράνος· περιβλέψας δὲ καὶ θεασάμενος τοὺς περὶ αὐτὸν ἱππεῖς ἅπαντας ἐγκεκλι-

κότας

rans requiri: Peuceſtam commendans, quod ſervum Crateri Niconem corripuiſſet: Megabyzo de ſervo qui ad ædem ſacram confugerat, jubens, ſi queat, extra templum ut invitatum occuparet, in templo ne ei injiceret manum. Jam initio quum judicia capitalia diſceptaret, fama tenet manum eum alteri auri dum diceret accuſator admovere ſolitum, reo ut alteram integram & intactam ſervaret a calumniis. Cæterum poſt crebræ calumniæ per veros tramites ad mendacia fidem accipientes exaſperaverunt eum: præcipue vero quum ſermonibus ſuorum carperetur, mentis impos fiebat, ſævuſque erat atque inexorabilis: nempe qui gloriam vitæ & regno anteferret. Porro ea tempeſtate in Darium, quaſi prœlium denuo initurus, perrexit. Quem ut vinctum accepit a Beſſo, Theſſalos remiſit in patriam, ac duo millia talentorum ſtipendiis eorum cumuli dono adjecit. Dum conſectatur Darium in itinere laborioſo & prolixo (nam diebus undecim tria millia trecenta ſtadia confecit,) plerique laſſitudine ſunt confecti, & præſertim aquæ penuria. Ibi occurrerunt ei Macedones quidam, qui aquam in utribus a flumine mulis portabant: conſpicienteſque Alexandrum medio jam die ſiti maceratum, impleverunt confeſtim galeam, eique obtulere. Requirente eo quibuſnam aquam afferrent: Liberis noſtris, reſpondere: verum te incolumi alios gignemus, etiamſi hos amiſerimus. Sub quorum dicta accepit galeam. Cæterum circumlatis oculis, ubi vidit qui ipſum comitabantur equi-

tes

κότας ταῖς κεφαλαῖς, καὶ πρὸς ποτὸν βλέποντας, ἐπέδωκεν, οὐ πιών, ἀλλὰ ἐπαινέσας τοὺς ἀνθρώπους, Ἂν γὰρ αὐτός, ἔφη, πίω μόνος, ἀθυμήσουσιν οὗτοι. θεασάμενοι δὲ τὴν ἐγκράτειαν αὐτοῦ καὶ μεγαλοψυχίαν οἱ ἱππεῖς, ἄγειν ἀνέκραγον θαῤῥοῦντα, καὶ τοὺς ἵππους ἐμάστιζον· οὔτε γὰρ κάμνειν, οὔτε διψᾷν, οὔθ᾽ ὅλως θνητοὺς εἶναι νομίζειν αὑτούς, ἕως ἂν ἔχωσι βασιλέα τοιοῦτον.

Ἡ μὲν οὖν προθυμία πάντων ἦν ὁμοία, μόνους δέ φασιν ἑξήκοντα συνεκπεσεῖν εἰς τὸ στρατόπεδον τῶν πολεμίων. ἔνθα δὴ πολὺν μὲν ἄργυρον καὶ χρυσὸν ἐῤῥιμμένον ὑπερβαίνοντες, πολλὰς δὲ παίδων καὶ γυναικῶν ἁρμαμάξας ἡνιόχων ἐρήμους διαφερομένας παρεξερχόμενοι, τοὺς πρώτους ἐδίωκον, ὡς ἐν ἐκείνοις Δαρεῖον ὄντα. μόλις δὲ εὑρίσκεται πολλῶν ἀκοντισμάτων κατάπλεως τὸ σῶμα, κείμενος ἐν ἁρμαμάξῃ, μικρὸν ἀπολείπων τοῦ τελευτᾷν. ὅμως δὲ καὶ πιεῖν ᾔτησεν, καὶ πιὼν ὕδωρ ψυχρόν, εἶπεν πρὸς τὸν δόντα Πολύστρατον, Ὦ ἄνθρωπε, τοῦτό μοι πέρας γέγονεν δυστυχίας ἁπάσης, εὖ παθεῖν, ἀμείψασθαι μὴ δυνάμενον· ἀλλὰ Ἀλέξανδρος ἀποδώσει σοι τὴν χάριν· Ἀλεξάνδρῳ δὲ οἱ Θεοί, τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τοὺς ἐμοὺς ἐπιεικείας, ᾧ ταύτην δίδωμι τὴν δεξιὰν διὰ σοῦ. ταῦτα εἰπὼν καὶ λαβόμενος τῆς τοῦ Πολυστράτου χειρὸς ἐξέλιπεν. Ἀλέξανδρος δὲ ὡς ἐπῆλθεν, ἀλγῶν τε τῷ πάθει φανερὸς ἦν, καὶ τὴν ἑαυτοῦ χλαμύδα λύσας ἐπέβαλεν τῷ σώματι, καὶ περιέστειλεν. καὶ Βῆσσον μὲν ὕστερον εὑρὼν διεσφενδόνησεν, ὀρθίων δένδρων εἰς ταὐτὸ καμφθέντων ἑκατέρῳ μέρος προσαρτήσας

tes capite inclinato potum reſpicientes, reddidit illis aquam non guſtatam, laudavitque eos. Nam ego, inquit, ſi ſolus bibero, hi elangueſcent. Regis conſpicati equites continentiam & magnitudinem animi, duceret, & bono animo eſſet, vociferati ſunt, & equos verberarunt: neque fatigari ſe neque ſitire, ſed nec mortales ducere eſſe, quod talem haberent regem.

Alacritas erat quidem omnium par, ſed ſolos ſexaginta ferunt Alexandrum in caſtra hoſtium perſequutos. Ibi vim magnam auri & argenti projecti ſupergredientes, multa vehicula puerorum mulierumque aurigis deſtituta & vagantia prætervecti, primorum tergis inhæſerunt, in illis rati Darium eſſe. Vix tandem invenitur corpore multis confoſſo jaculis, in curru jacens prope jam moribundus: potum tamen poſtulavit. Ut frigidam hauſit, illum qui porrexerat, Polyſtratum affatus eſt, Hic mihi terminus, quicunque es, omnis eſt infelicitatis, quod beneficium acceptum nequeam rependere. Verum referet Alexander tibi gratiam: Alexandro Dii immortales, quod tam humanus in genitricem, uxorem & liberos meos fuerit; cui hanc dextram te interprete porrigo. Ita fatus, apprehenſa Polyſtrati manu exſpiravit. Poſtquam ſupervenit Alexander, non obſcure indoluit huic miſero caſui, chlamydemque ſuam ſolvit, eaque injecta corpus involvit. Beſſum poſt comprehenſum dilaceravit, directis arboribus duabus in unum deflexis, quarum utrique corporis partem alli-

σας τοῦ σώματος· εἶτα μεθεὶς ἑκάτερον, ὡς ὥρμητο ῥύμῃ φερόμενον, τὸ προσῆκον αὐτῷ μέρος νείμασθαι. τότε δὲ τοῦ Δαρείου τὸ μὲν σῶμα κεκοσμημένον βασιλικῶς πρὸς τὴν μητέρα ἀπέστειλεν, τὸν δὲ ἀδελφὸν Ἐξάθρην εἰς τοὺς ἑταίρους ἀνέλαβεν.

Αὐτὸς δὲ μετὰ τῆς ἀκμαιοτάτης δυνάμεως εἰς Ὑρκανίαν κατέβαινε· καὶ πελάγους ἰδὼν κόλπον, οὐκ ἐλάττονα μὲν τοῦ Πόντου φανέντα, γλυκύτερον δὲ τῆς ἄλλης θαλάττης, σαφὲς μὲν οὐδὲν ἔχεν πυθέσθαι περὶ αὐτοῦ, μάλιστα δὲ εἴκασε τῆς Μαιώτιδος λίμνης ἀνακοπὴν εἶναι. καίτοι τοὺς γε φυσικοὺς ἄνδρας οὐκ ἔλαθε τἀληθὲς, ἀλλὰ πολλοῖς ἔτεσιν ἔμπροσθεν τῆς Ἀλεξάνδρου στρατείας ἱστορήκασιν, ὅτι τεσσάρων κόλπων εἰσεχόντων ἀπὸ τῆς ἔξω θαλάσσης, βορειότατος οὗτός ἐστιν, τὸ Ὑρκάνιον πέλαγος καὶ Κάσπιον ὁμοῦ προσαγορευόμενον. ἐνταῦθα τῶν βαρβάρων τινὲς ἀπροσδοκήτως περιτυχόντες τοῖς ἄγουσι τὸν ἵππον αὐτοῦ τὸν Βουκεφάλαν λαμβάνουσιν. ὁ δὲ ἤνεγκεν οὐ μετρίως, ἀλλὰ κήρυκα πέμψας, ἠπείλησεν πάντας ἀποκτενεῖν μετὰ τέκνων καὶ γυναικῶν, εἰ τὸν ἵππον αὐτῷ μὴ ἀναπέμψειαν. ἐπεὶ δὲ καὶ τὸν ἵππον αὐτῷ ἄγοντες ἧκον, καὶ τὰς πόλεις ἐγχειρίζοντες, ἐχρήσατο φιλανθρώπως πᾶσι, καὶ τοῦ ἵππου λύτρα τοῖς λαβοῦσιν ἔδωκεν.

Ἐντεῦθεν εἰς τὴν Παρθικὴν ἀναζεύξας καὶ σχολάζων, πρῶτον ἐνεδύσατο τὴν βαρβαρικὴν στολὴν, εἴτε βουλόμενος αὑτὸν συνοικειοῦν τοῖς ἐπιχωρίοις νόμοις, ὡς μέγα πρὸς ἐξημέρωσιν ἀνθρώπων τὸ σύνηθες καὶ ὁμόφυλον· εἴτ᾽ ἀπόπειράν τις ὑφεῖτο τῆς προσκυνήσεως αὕτη τοῖς Μακεδόσι, κατὰ μικρὸν

alligavit: inde laxatæ ambæ, atque impetu in ſedem ſuam relatæ, partem ſibi annexam retinuere. Corpus Darii regio cultum more ad matrem ejus miſit. Fratrem ejus Exathrem in cohortem recepit amicorum.

Hinc cum robore exercitus deſcendit in Hyrcaniam. Sinum illic maris Ponto (ut apparebat) invenit non minorem, ſed cætero mari dulciorem. Verum certi nihil habuit de eo diſcere. Omnino conjecit Mæotin lacum illuc reſtagnare. Atqui non præteriit rerum naturalium ſtudioſos veritas, ſed multis ante Alexandri expeditionem annis ſcripſerunt de quatuor ſinubus, qui ex Oceano ſubeunt continentem, hunc maxime ad Boream vergere. Hyrcanum pelagus & Caſpium pariter nuncupant. Ibi barbari repentino incurſu exceperunt eos qui equum Alexandri Bucephalan ducebant. Quod ille haud moderate tulit, ſed miſſo caduceatore, ni remiſiſſent ſibi equum, omnibus necem cum liberis & conjugibus denuntiavit. Quibus equum ad eum reducentibus, urbeſque ſuas dedentibus, præbuit ſe omnibus humanum: atque illis qui ceperant equum, pretium dedit redemptionis.

Hinc Parthiam petens, quum in otio ageret, primum veſtem barbaricam ſumpſit, incertum, ut accommodaret ſe incolarum moribus, multum exiſtimans valiturum ad manſuefaciendos homines, ſi conſuetudinem & patrios mores eorum uſurparet: an tentare hac re Macedonas, atque ad adorandum

μικρὸν ἀναχέασθαι τὴν ἐκδιαίτησιν αὐτοῦ καὶ μεταβολὴν ἐθιζομένοις. οὐ μὴν τήν γε Μηδικὴν προσήκατο παντάπασιν, βαρβαρικὴν καὶ ἀλλόκοτον οὖσαν, οὐδὲ ἀναξυρίδας, οὐδὲ κάνδυν, οὐδὲ τιάραν ἔλαβεν, ἀλλὰ ἐν μέσῳ τινὰ τῆς Περσικῆς καὶ τῆς Μηδικῆς μιξάμενος εὖ πως, ἀτυφοτέραν μὲν ἐκείνης, ταύτης δὲ σοβαρωτέραν οὖσαν. ἐχρῆτο δὲ τὸ μὲν πρῶτον ἐντυγχάνων τοῖς βαρβάροις καὶ τοῖς ἑταίροις κατ᾽ οἶκον, εἶτα τοῖς πολλοῖς οὕτως ἐξελαύνων καὶ χρηματίζων ἑωρᾶτο. καὶ λυπηρὸν μὲν ἦν τοῖς Μακεδόσι τὸ θέαμα· τὴν δὲ ἄλλην αὐτοῦ θαυμάζοντες ἀρετὴν, ᾤοντο δεῖν ἔνια τῶν πρὸς ἡδονὴν αὐτῷ καὶ δόξαν ἐπιχωρεῖν. ὅσγε πρὸς ἅπασιν τοῖς ἄλλοις, ἔναγχος τόξευμα μὲν εἰς τὴν κνήμην λαβὼν, ὑφ᾽ οὗ τῆς κερκίδος ὀστέον ἀποθραυσθὲν ἐξέπεσε, λίθῳ δὲ πληγεὶς πάλιν εἰς τὸν τράχηλον, ὥστε καὶ ταῖς ὄψεσιν ἀχλὺν ὑποδραμεῖν, παραμείνασαν οὐκ ὀλίγον χρόνον, ὅμως οὐκ ἐπαύετο χρώμενος ἑαυτῷ πρὸς τοὺς κινδύνους ἀφειδῶς, ἀλλὰ καὶ τὸν Ὀρεξάρτην διαβὰς ποταμὸν, ὃν αὐτὸς ᾤετο Τάναϊν εἶναι, καὶ τοὺς Σκύθας τρεψάμενος, ἐδίωξεν ἐπὶ σταδίους ἑκατὸν, ἐνοχλούμενος ὑπὸ διαῤῥοίας.

Ἐνταῦθα δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν Ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ Κλείταρχός ἐστιν καὶ Πολύκριτος, καὶ Ὀνησίκριτος, καὶ Ἀντιγένης, καὶ Ἴστρος· Ἀριστόβουλος δὲ, καὶ Χάρης ὁ εἰσαγγελεὺς, καὶ Πτολεμαῖος, καὶ Ἀντικλείδης, καὶ Φίλων ὁ Θηβαῖος, καὶ Φίλιππος ὁ εἰσαγγελεύς· πρὸς δὲ τούτοις, Ἑκαταῖος ὁ Ἐρετριεὺς, καὶ Φίλιππος ὁ Χαλκιδεὺς, καὶ Δοῦρις ὁ Σάμιος, πλάσμα φασὶ γεγονέναι τοῦτο. καὶ μαρτυρεῖν αὐτοῖς ἔοικεν Ἀλέξανδρος. Ἀντιπάτρῳ

γρά

dum ſe traducere, morumque patriorum ferre converſionem & tranſitum in alienos voluerit aſſuefacere. Habitum Medicum tamen, quod prorſus barbaricus eſſet & alienus, repudiavit, nec anaxyridas vel candyn tiaramve ſumpſit, ſed medium inter Perſicum & Medicum ſcite temperavit, minus hoc tumidum, & inſolentiorem illo. Uſurpavit eum primum agens cum barbaris, ac ſub tecto cum amicis, deinde eo cultu prodiit in publicum, ac quum vacaret poſtulationibus, conſpiciendum ita dedit ſe omnibus. Erat acerbum id Macedonibus ſpectaculum: ſed miraculo ducti reliquæ ejus virtutis, quædam putabant libidini & oſtentationi concedenda ejus, qui præter omnia alia quum nuper ſagitta in crure ictus, ut os radii infractum excideret, rurſus lapide ſecundum cervicem afflictus, ut caligo oculis ejus offunderetur, quæ non parvo ſpatio tenuit eum, nuſquam tamen parceret ſibi in periculis; ſed & tranſmiſſo Orexarte amne, quem ipſe eſſe arbitrabatur Tanaim, fuſos fugatoſque Scythas, quamvis ventris fluore infeſtaretur, ad centum ſtadia eſt inſectatus.

Eo veniſſe ad eum Amazonem perhibent multi, inter quos Clitarchus, Polycritus, Oneſicritus, Antigenes, Iſter ſunt. Ariſtobulus vero, Chares Iſangelus, Ptolemæus, Anticlides, Philo Thebanus, Philippus Iſangelus, inſuper Eretrienſis Hecatæus, Philippus Chalcidenſis, Duris Samius, eſſe hoc aſſerunt commentum; quibus adſtipulari videtur Alexander: ſiquidem Antipatro omnia

γὰρ ἅπαντα γράφων ἀκριβῶς, τὸν μὲν Σκύθην φησὶν αὐτῷ διδόναι τὴν θυγατέρα πρὸς γάμον, Ἀμαζόνος δὲ οὐ μνημονεύει. λέγεται δὲ πολλοῖς χρόνοις Ὀνησίκριτος ὕστερον ἤδη βασιλεύοντι Λυσιμάχῳ τῶν βιβλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ᾧ γέγραπται περὶ τῆς Ἀμαζόνος· τὸν οὖν Λυσίμαχον ἀτρέμα μειδιάσαντα, καὶ ποῦ, φάναι, τότε ἤμην ἐγώ; ταῦτα μὲν οὖν ἄν τις οὔτε ἀπιστῶν, ἧττον, οὔτε πιστεύων, μᾶλλον Ἀλέξανδρον θαυμάσειεν.

Φοβούμενος δὲ τοὺς Μακεδόνας, μὴ εἰς τὰ ὑπόλοιπα τῆς στρατείας ἀπαγορεύσωσιν, τὸ μὲν ἄλλο πλῆθος εἴασε κατὰ χώραν· τοὺς δὲ ἀρίστους ἔχων ἐν Ὑρκανίᾳ μεθ' ἑαυτοῦ, δισμυρίους πεζοὺς καὶ τρισχιλίους ἱππεῖς, προσέβαλε, λέγων, ὡς νῦν μὲν αὐτοὺς ἐνύπνιον τῶν βαρβάρων ὁρώντων· ἂν δὲ μόνον ταράξαντες τὴν Ἀσίαν ἀπίωσιν, ἐπιθησομένων εὐθὺς ὥσπερ γυναιξίν. οὐ μὴν ἀλλ' ἀπιέναι γε τοὺς βουλομένους ἔφη, καὶ μαρτυράμενος ὅτι τὴν οἰκουμένην τοῖς Μακεδόσι κτώμενος ἐγκαταλέλειπται μετὰ τῶν φίλων καὶ τῶν ἐθελόντων στρατεύειν. ταῦτα σχεδὸν αὐτοῖς ὀνόμασιν ἐν τῇ πρὸς Ἀντίπατρον ἐπιστολῇ γέγραπται, καὶ ὅτι ταῦτα εἰπόντος αὐτοῦ πάντες ἐξέκραγον, ὅπου βούλεται τῆς οἰκουμένης ἄγειν. δεξαμένων δὲ τούτων τὴν πεῖραν, οὐκ ἔτι ἦν χαλεπὸν προαχθῆναι τὸ πλῆθος, ἀλλὰ ῥᾳδίως ἐπηκολούθησεν. οὕτω δὴ καὶ τὴν δίαιταν ἔτι μᾶλλον ὡμοίου τοῖς ἐπιχωρίοις ἑαυτὸν, ἐκεῖνά τε προσῆγε τοῖς Μακεδονικοῖς ἔθεσιν, ἀνακράσει καὶ κοινωνίᾳ μᾶλλον δι' εὐνοίας καταστήσεσθαι τὰ πράγματα νομίζων ἢ βίᾳ, μακρὰν ἀπαίροντος αὐτοῦ. διὸ

καὶ

nia exacte ſcribens, Scytham ait filiæ ſibi nuptias obtuliſſe, Amazonis nuſquam meminit. Fama eſt multis annis poſt Lyſimacho jam regnanti Oneſicritum quartum librum ſuum recitaviſſe, in quo meminit Amazonis, ac Lyſimachum ſubridentem dixiſſe, Et ubi tunc ego eram? His ſive fidem detrahas, non eo Alexandrum minus, ſive adjungas, pluris facias.

Porro timens ne ad reliqua expeditionis torpeſcerent Macedones, reliquam multitudinem reliquit in ſtativis. Delectiſſimos vero quum in Hyrcania ſecum haberet ad viginti millia peditum & tria equitum, propoſuit his a barbaris nunc ipſos per ſomnium tantum viſos eſſe. Quod ſi commota tantum deceſſiſſent Aſia, mox adorituros illos velut fœminas. Veruntamen abire juſſit, ſiquis vellet, conteſtatuſque dum Macedonibus orbem terræ ſubigit, ipſo in negotio ſe cum amicis & voluntariis militibus deſtitutum. Hæc pene ad verbum in epiſtola ad Antipatrum perſequutus eſt: quæ quum dixiſſet, omnes conclamaſſe, duceret quo terrarum vellet. Horum explorata voluntate, proclive jam fuit inducere vulgus: quod facile eſt aſſenſum. Tum vero multo magis ſe barbarorum moribus accommodavit, illoſque cum inſtitutis commiſcuit Macedonicis, temperatura & communione ſtabiliturum firmius ſe per benevolentiam imperium exiſtimans, quam vi, quum procul abſcederet. Itaque

καὶ τρισμυρίους παῖδας ἐπιλεξάμενος, ἐκέλευσε γράμματά τε μανθάνειν Ἑλληνικὰ, καὶ Μακεδονικοῖς ὅπλοις ἐντρέφεσθαι, πολλοὺς ἐπιστάτας καταστήσας. καὶ τὰ περὶ Ῥωξάνην ἔρωτι μὲν ἐπράχθη, καλὴν καὶ ὡραίαν ἔν τινι χορῷ παρὰ πότον ὀφθεῖσαν· ἔδοξεν δὲ οὐκ ἀνάρμοστα τοῖς ὑποκειμένοις εἶναι πράγμασιν. ἐθάῤῥησαν γὰρ οἱ βάρβαροι τῇ κοινωνίᾳ τοῦ γάμου, καὶ τὸν Ἀλέξανδρον ὑπερηγάπησαν, ὅτι σωφρονέστατος περὶ ταῦτα γεγονὼς, οὐδὲ ἧς μόνης ἡττήθη γυναικὸς ἄνευ νόμου θιγεῖν ὑπέμεινεν. ἐπεὶ δὲ καὶ τῶν φίλων ἑώρα τῶν μεγίστων, Ἡφαιστίωνα μὲν ἐπαινοῦντα καὶ συμμετακοσμούμενον αὐτῷ, Κρατερὸν δὲ τοῖς πατρίοις ἐμμένοντα· δι' ἐκείνου μὲν ἐχρημάτιζε τοῖς βαρβάροις, διὰ τούτου δὲ τοῖς Ἕλλησι καὶ τοῖς Μακεδόσι· καὶ ὅλως, τὸν μὲν ἐφίλει μάλιστα, τὸν δὲ ἐτίμα· νομίζων καὶ λέγων ἀεὶ, τὸν μὲν Ἡφαιστίωνα, φιλαλέξανδρον εἶναι, τὸν δὲ Κρατερὸν, φιλοβασιλέα. διὸ καὶ πρὸς ἀλλήλους ὑπούλως ἔχοντες συνέκρουον πολλάκις. ἅπαξ δὲ περὶ τὴν Ἰνδικὴν καὶ εἰς χεῖρας ἦλθον, σπασάμενοι τὰ ξίφη· καὶ τῶν φίλων ἑκατέρῳ παραβοηθούντων, προσελάσας Ἀλέξανδρος ἐλοιδόρει τὸν Ἡφαιστίωνα φανερῶς, ἔμπληκτον καλῶν καὶ μαινόμενον, εἰ μὴ συνίησιν ὡς ἐάν τις αὐτοῦ τὸν Ἀλέξανδρον ἀφέληται, μηδέν ἐστιν. ἰδίᾳ δὲ καὶ τοῦ Κρατεροῦ πικρῶς καθήψατο· καὶ συναγαγὼν αὐτοὺς καὶ διαλλάξας, ἐπώμοσε τὸν Ἄμμωνα καὶ τοὺς ἄλλους Θεοὺς, ἦ μὴν μάλιστα φιλεῖν ἀνθρώπων ἁπάντων ἐκείνους· ἂν δὲ πάλιν αἴσθηται διαφερομένους, ἀποκτενεῖν ἀμφοτέρους, ἢ τὸν

ἀρξά-

que triginta millia delectorum puerorum literis Græcis imbui ac Macedonicis inſtitui armis curavit, quibus præpoſuit multos præceptores. Atque Roxanes quidem nuptias conciliavit præ amore, cujus eum ſpecies & forma aliquando inter pocula cepit; non alienæ præſentibus negotiis habitæ ſunt tamen. Quippe harum fœdere nuptiarum erexerunt ſe barbari, miroque amore ſunt Alexandrum proſequuti, quod qui eſſet in his continentiſſimus, ne eam quidem, cui ſuccubuit uni, attingere mulierem niſi legitime ſuſtinuerit. Quum autem ex primis amicis cerneret his aſſentientem Hephæſtionem, atque ad inſtitutum ſuum ſe accommodantem, Craterum vero patriis inſiſtentem moribus, hoc interprete Græcis & Macedonibus reſponſa dabat, illo barbaris. Et omnino hunc in maximo honore habebat, illum maxime diligebat; exiſtimans & dicens perpetuo Hephæſtionem Alexandri amantem, Craterum regis eſſe. Quapropter exiſtebant inter hos invicem æmulos crebræ offenſiones. Semel in India etiam ad manus venere diſtrictis enſibus. Subvenientibus utrique amicis accurrens Alexander, probris increpavit Hephæſtionem, propalam ſtolidum eum & amentem vocans, niſi intelligeret, ſi quis ei detraheret Alexandrum, actum de ipſo eſſe. Privatim Craterum corripuit amare, reconciliataque ac reſtituta inter eos gratia, per Ammonem atque omnes Deos ſancte juravit eos ſibi ſupra omnes mortales charos eſſe: quos tamen ſi iterum concertare perciperet, ambos necaturum ſe, aut eum initium

 qui

ἀρξάμενον. ὅθεν ὕστερον οὐδὲ παίζοντες εἰπεῖν τι οὐδὲ πρᾶξαι πρὸς ἀλλήλους λέγονται.

Φιλώτας δὲ ὁ Παρμενίωνος, ἀξίωμα μὲν εἶχεν ἐν τοῖς Μακεδόσι μέγα. καὶ γὰρ ἀνδρεῖος ἐδόκει καὶ καρτερικὸς εἶναι· φιλόδωρος δὲ οὕτω καὶ φιλέταιρος μετ' αὐτὸν Ἀλέξανδρον οὐδείς. λέγεται δ' οὖν ὅτι τῶν συνήθων τινὸς αἰτοῦντος ἀργύριον, ἐκέλευσε δοῦναι· φήσαντος δὲ τοῦ διοικητοῦ μὴ ἔχειν, Τί λέγεις, εἶπεν, οὐδὲ ποτήριον ἔχεις, οὐδ' ἱμάτιον; ὄγκῳ δὲ φρονήματος καὶ βάρει πλούτου, καὶ τῇ περὶ τὸ σῶμα θεραπείᾳ καὶ διαίτῃ χρώμενος ἐπαχθέστερον ἢ κατ' ἰδιώτην, καὶ τότε δὴ τὸ σεμνὸν καὶ ὑψηλὸν οὐκ ἐμμελῶς, ἀλλ' ἄνευ χαρίτων τῷ σολοίκῳ καὶ παρασήμῳ μιμούμενος, ὑποψίαν καὶ φθόνον ἔσχεν· ὥστε καὶ Παρμενίωνα ποτὲ εἰπεῖν πρὸς αὐτὸν, Ὦ παῖ, χείρων μοι γίνου. πρὸς δὲ αὐτὸν Ἀλέξανδρον ἐκ πάνυ πολλῶν χρόνων ἐτύγχανε διαβεβλημένος. ὅτε γὰρ τὰ περὶ Δαμασκὸν ἑάλω χρήματα, Δαρείου νικηθέντος ἐν Κιλικίᾳ, πολλῶν σωμάτων κομισθέντων εἰς τὸ στρατόπεδον, εὑρέθη γύναιον ἐν τοῖς αἰχμαλώτοις, τῷ μὲν γένει Πυδναῖον, εὐπρεπὲς δὲ τὴν ὄψιν· ἐκαλεῖτο δὲ Ἀντιγόνη. τοῦτο ἔσχεν ὁ Φιλώτας· οἷα δὲ νέος πρὸς ἐρωμένην, καὶ σὺν οἴνῳ πολλὰ φιλότιμα καὶ στρατιωτικὰ παῤῥησιαζόμενος, ἑαυτοῦ τὰ μέγιστα τῶν ἔργων ἀπέφαινεν καὶ τοῦ πατρός· Ἀλέξανδρον δὲ, μειράκιον ἀπεκάλει, δι' αὐτοὺς τὸ τῆς ἀρχῆς ὄνομα καρπούμενον. ταῦτα τῆς γυναικὸς ἐκφερούσης πρός τινα τῶν συνήθων, ἐκείνου δὲ, ὡς εἰκὸς, πρὸς ἕτερον, περιῆλθεν εἰς Κρατερὸν ὁ λόγος· καὶ λαβὼν τὸ γύναιον, εἰσήγαγεν κρύφα πρὸς Ἀλέξανδρον.

qui dediſſet. Unde ne per jocum quidem deinceps alter alterum ullo dicto vel facto dicitur laceſſiviſſe.

At Philotas Parmenionis filius autoritate inter Macedonas ſumma erat. Etenim ſtrenuus habebatur & laboris tolerans, munificus autem & effuſus in amicos adeo, ut ſecundum Alexandrum alius nemo. Ac fertur quum neceſſarius quidam illius argentum ab ipſo poſceret, juſſiſſe dari. Negante procuratore eſſe, Quid ais, inquit, ne poculum quidem aut veſtem habes? Cæterum animi tumore & opum ſupercilio, corporiſque cultu & victu inſolentior erat quam pro privati conditione. Et ſane iſtam gravitatem tunc amplitudinemque non urbanitate, ſed ſine gratiis inepte & inſulſe exprimens, ſuſpiciones ſibi conciliavit & invidiam: ut Parmenio etiam ei aliquando diceret, Fac mihi, fili, ut deterior videaris. Hic jamdudum delatus apud Alexandrum fuerat. Quum enim Dario in Cilicia ſuperato, præda capta Damaſci fuiſſet, multis capitibus in caſtra adductis, mulier inter captivos reperta fuit genere Pydnæa, eximia forma, Antigone dicta. Hanc tenebat Philotas. Ut vero juvenis apud amicam & per vinum, multa ambitioſe & militari effutiens ferocia arrogavit, quicquid præclare eſſet geſtum ſibi & patri: Alexandrum appellavit adoleſcentulum, qui ipſorum beneficio nomen regis teneret. Hæc mulier illa familiari cuidam enuntiavit, ille (ut fit) alteri: ita ad Craterum ſermo tandem eſt perlatus. Ille mulierem clam introduxit ad Alexandrum:

δρον. ἀκούσας δὲ ἐκεῖνος, ἐκέλευσεν φοιτᾶν εἰς ταὐτὸ τῷ Φιλώτᾳ, καὶ πᾶν ὅ,τι ἂν ἐκπύθηται, τοῦτο πρὸς αὐτὸν ἀπαγγέλλειν βαδίζουσαν.

Ὁ μὲν οὖν Φιλώτας ἐπιβουλευόμενος οὕτως ἠγνόει, καὶ συνὼν τῇ Ἀντιγόνῃ, πολλὰ καὶ πρὸς ὀργὴν καὶ μεγαλαυχίαν κατὰ τοῦ βασιλέως ῥήματα καὶ λόγους ἀνεπιτηδείους προϊέμενος. ὁ δὲ Ἀλέξανδρος, καίπερ καρτερᾶς ἐνδείξεως κατὰ τοῦ Φιλώτου προσπεσούσης, ἐκαρτέρησεν σιωπῇ καὶ κατέσχεν, εἴτε θαῤῥῶν τῇ Παρμενίωνος εὐνοίᾳ πρὸς αὐτὸν, εἴτε δεδιὼς τὴν δόξαν αὐτῶν καὶ τὴν δύναμιν. ἐν δὲ τῷ τότε χρόνῳ Μακεδὼν ὄνομα Λίμνος, ἐκ Χαλαίστρας, χαλεπῶς ἐπιβουλεύων Ἀλεξάνδρῳ, Νικόμαχόν τινα τῶν νέων, πρὸς ὃν αὐτὸς ἐρωτικῶς εἶχεν, ἐπὶ τὴν κοινωνίαν τῆς πράξεως παρεκάλει. τοῦ δὲ μὴ δεξαμένου, φράσαντος δὲ τῷ ἀδελφῷ Βαλείνῳ τὴν πεῖραν, ἐλθὼν ἐκεῖνος πρὸς Φιλώταν, ἐκέλευσεν εἰσάγειν αὐτοὺς πρὸς Ἀλέξανδρον, ὡς περὶ ἀναγκαίων ἔχοντας ἐντυχεῖν καὶ μεγάλων. ὁ δ' ὅ,τι δὴ παθὼν (ἄδηλον γάρ ἐστιν) οὐ παρῆγεν αὐτοὺς, ὡς πρὸς ἄλλοις μείζοσι γιγνομένου τοῦ βασιλέως. καὶ τοῦτο δὶς ἐποίησαν. οἱ δὲ καθ' ὑπεροψίαν ἤδη τοῦ Φιλώτου τραπόμενοι πρὸς ἕτερον, καὶ δι' ἐκείνου τῷ Ἀλεξάνδρῳ προσαχθέντες, πρῶτον μὲν τὰ τοῦ Λίμνου κατεῖπον, ἔπειτα παρεδήλωσαν ἡσυχῆ τὸν Φιλώταν, ὡς ἀμελήσειεν αὐτῶν δὶς ἐντυχόντων. καὶ τοῦτο δὴ σφόδρα παρώξυνε τὸν Ἀλέξανδρον· καὶ τοῦ πεμφθέντος ἐπὶ τὸν Λίμνον, ὡς ἠμύνετο συλλαμβανόμενος, ἀποκτείναντος αὐτὸν, ἔτι μᾶλλον διεταράχθη, τὸν ἔλεγχον ἐκπεφευγέναι τῆς ἐπιβουλῆς νομίζων. καὶ πικρῶς ἔχων πρὸς τὸν Φιλώταν, ἐπεσπά-

σατο

drum: qui his auditis conſuetudine uti eam juſſit Philotæ, & quicquid intellexiſſet ex eo, id ut mox ad ſe deferret.

Philotas vero, qui ita peti ſe ignorabat inſidiis, in contubernio Antigones multa verba & ſermones ineptos infeſte & inſolenter in regem habuit. At Alexander, etſi graviter delatus apud ipſum Philotas eſſet, omnia tamen vel benevolentia fretus erga ſe Parmenionis, vel autoritatem eorum & potentiam timens, tacitus tulit & ſilentio oppreſſit. Eadem tempeſtate Macedo, nomine Limnus, Chalæſtræus, capitales Alexandro inſidias ſtruens, adoleſcentem quendam Nicomachum, cujus flagrabat amore, invitavit ad conſilii ſocietatem. Qui quum id repudiaſſet, & fratri indicaſſet Balino tentatum ſe, ille ad Philotam profectus petiit introduci ſe cum fratre ad Alexandrum, rem magnam ſe & atrocem oſtendens habere, quam ei aperirent. Ille, haud ſcio qua de cauſa (incertum eſt enim) non introduxit eos ad illum, majoribus negotiis regem diſtrictum cauſatus. Bis id fecere. Itaque hi inſolentiam Philotæ averſati ad alium converſi, atque per eum ad Alexandrum admiſſi, primum Limni conjurationem detulerunt, deinde obiter adjecere, quum bis interpellaſſent Philotam, non fuiſſe rem ei curæ. Enimvero id Alexandrum ſtimulavit: atque ubi ille qui ad comprehendendum Limnum miſſus erat, defendentem ſe interfecit, impendio magis eſt commotus, indicem ratus amiſſum initæ in ſe conſpirationis. Hujus in Philotam exacer-

σατο τοὺς πάλαι μισοῦντας αὐτὸν, ἤδη φανερῶς λέγοντας, ὡς ῥαθυμία τοῦ βασιλέως εἴη, Λίμνον οἰομένου Χαλαιστραῖον ἄνθρωπον ἐπιχειρῆσαι τολμήματι τοσούτῳ καθ' αὐτόν· ἀλλὰ τοῦτον μὲν ὑπηρέτην εἶναι, μᾶλλον δὲ ὄργανον ἀπὸ μείζονος ἀρχῆς ἀφικόμενον· ἐν ἐκείνοις δὲ τὴν ἐπιβουλὴν ζητητέον οἷς μάλιστα ταῦτα λανθάνειν συνέφερεν. τοιούτοις λόγοις καὶ ὑπονοίαις ἀναπετάσαντες τὰ ὦτα τοῦ βασιλέως, ἐπῆγον ἤδη μυρίας κατὰ τοῦ Φιλώτου διαβολάς. ἐκ τούτου δὲ συλληφθεὶς ἀνεκρίνετο, τῶν ἑταίρων ἐφεστώτων ταῖς βασάνοις, Ἀλεξάνδρου δὲ κατακούοντος, ἔξωθεν αὐλαίας παρατεταμένης· ὅτε δὴ καί φασιν αὐτὸν εἰπεῖν, οἰκτρὰς καὶ ταπεινὰς τοῦ Φιλώτου φωνὰς καὶ δεήσεις τοῖς περὶ τὸν Ἡφαιστίωνα προσφέροντος, οὕτω δὴ μαλακὸς ὢν, ὦ Φιλώτα, καὶ ἄνανδρος, ἐπεχείρεις πράγμασι τηλικούτοις; ἀποθανόντος δὲ τοῦ Φιλώτα, καὶ Παρμενίωνα πέμψας εὐθὺς εἰς Μηδίαν ἀνεῖλεν, ἄνδρα πολλὰ μὲν Φιλίππῳ συγκατεργασάμενον, μόνον δὲ, ἢ μάλιστα τῶν πρεσβυτέρων φίλων, Ἀλέξανδρον εἰς Ἀσίαν ἐξορμήσαντα διαβῆναι· τριῶν δὲ υἱῶν, οὓς ἔσχεν ἐπὶ τῆς στρατιᾶς, δύο μὲν ἐπιδόντα πρότερον ἀποθανόντας, τῷ δὲ τρίτῳ συναναιρεθέντα. ταῦτα πραχθέντα πολλοῖς τῶν φίλων φοβερὸν ἐποίησεν τὸν Ἀλέξανδρον, μάλιστα δὲ Ἀντιπάτρῳ· καὶ πρὸς Αἰτωλοὺς ἔπεμψε κρύφα, πίστεις διδοὺς καὶ λαμβάνων. ἐφοβοῦντο γὰρ Ἀλέξανδρον Αἰτωλοὶ διὰ τὴν Οἰνιαδῶν ἀνάστασιν, ἣν πυθόμενος, οὐκ Οἰνιαδῶν ἔφη παῖδας, ἀλλ' αὐτὸν ἐπιθήσειν δίκην Αἰτωλοῖς.

Οὐ

batus animus concitavit veteres inimicos ejus, qui clare jam fremebant ſocordem regem eſſe, quod Limnum cenſeat, hominem Chalæſtræum tantum facinus ſuſcepiſſe ſolum, ſed hunc tantum adminiſtrum, immo potius eſſe organum a principio motum majore. In illis ſcrutandas inſidias quibus maxime hæc tegi bono eſſet. Hiſce verbis & ſuſpicionibus patefactas regis aures oneraverunt jam ſexcentis contra Philotam calumniis. Inde correptum torſerunt, aſſiſtentibus quæſtioni regis amicis, & Alexandro pone obtenſam aulæam foris exaudiente. Quo tempore eum dixiſſe aiunt, quum miſerandis & abjectis vocibus precibuſque Philotas Hephæſtionem compellaret, Adeone mollis tu Philota & effœminatus tantas res moliebare? Necato Philota, Parmenionem quoque certos miſit in Mediam qui interficerent; virum qui magnificas res cum Philippo geſſerat, ſoluſque, aut præcipue ex veteribus amicis, ad tranſeundum in Aſiam incitaverat Alexandrum. Ex tribus filiis quos in caſtris habuit, duos ante viderat defunctos, cum tertio eſt una trucidatus. Hæc facta Alexandrum amicis reddiderunt formidabilem, imprimis Antipatro. Is ad Ætolos clam miſit legatos, fidem dans & accipiens: nam timebant Alexandrum Ætoli ob Oeniadarum excidium. Quod ubi nuntiatum ei eſt, non Oeniadarum ait filios, ſed ipſum ſe pœnas ab Ætolis perſequuturum.

Non

Οὐ πολλῷ δ' ὕστερον συνηνέχθη καὶ τὰ περὶ Κλεῖτον, οὕτω μὲν ἁπλῶς πυθομένοις τῶν κατὰ Φιλώτα ἀγριώτερα, λόγῳ μέντοι συντιθέντες ἅμα καὶ τὴν αἰτίαν καὶ τὸν καιρὸν, οὐκ ἀπὸ γνώμης, ἀλλὰ δυστυχίᾳ τινὶ ταῦτα εὑρίσκοντες πεπραγμένα τοῦ βασιλέως, ὀργὴν καὶ μέθην πρόφασιν τῷ Κλείτου δαίμονι παρασχόντος. ἐπράχθη δ' οὕτως. ἧκόν τινες ὀπώραν Ἑλληνικὴν ἀπὸ θαλάσσης τῷ βασιλεῖ κομίζοντες. ὁ δὲ θαυμάσας τὴν ἀκμὴν καὶ τὸ κάλλος ἐκάλει τὸν Κλεῖτον, ἐπιδεῖξαι καὶ μεταδοῦναι βουλόμενος. ὁ δὲ θύων μὲν ἐτύγχανεν, ἀφεὶς δὲ τὴν θυσίαν ἐβάδιζεν, καὶ τρία τῶν κατεσπεισμένων προβάτων ἐπηκολούθησεν αὐτῷ. πυθόμενος δὲ ὁ βασιλεὺς, ἀνεκοινοῦτο τοῖς μάντεσιν Ἀριστάνδρῳ καὶ Κλεομάντει τῷ Λάκωνι. φησάντων δὲ πονηρὸν εἶναι τὸ σημεῖον, ἐκέλευσεν ἐκθύσασθαι κατὰ τάχος ὑπὲρ τοῦ Κλείτου. καὶ γὰρ αὐτὸς ἡμέρᾳ τρίτῃ κατὰ τοὺς ὕπνους εἶδεν ὄψιν ἄτοπον· δόξαι γὰρ αὐτῷ τὸν Κλεῖτον μετὰ τῶν Παρμενίωνος υἱῶν ἐν μέλασιν ἱματίοις καθέζεσθαι, τεθνηκότων ἁπάντων. οὐ μὴν ἔφθασεν ὁ Κλεῖτος ἐκθυσάμενος, ἀλλ' εὐθὺς ἐπὶ τὸ δεῖπνον ἧκεν τεθυκότος τοῦ βασιλέως Διοσκόροις. πότου δὲ νεανικοῦ συῤῥαγέντος, ᾔδετο ποιήματα Πρανίχου τινὸς, ὡς δέ φασιν ἔνιοι, Πιερίωνος, εἰς τοὺς στρατηγοὺς πεποιημένα τοὺς ἔναγχος ἡττημένους ὑπὸ τῶν βαρβάρων ἐπ' αἰσχύνῃ καὶ γέλωτι. τῶν δὲ πρεσβυτέρων δυσχεραινόντων, καὶ λοιδορούντων τόν τε ποιητὴν καὶ τὸν ᾄδοντα, τοῦ δ' Ἀλεξάνδρου καὶ τῶν περὶ αὐτὸν ἡδέως ἀκροωμένων, καὶ λέγειν κελευόντων, ὁ Κλεῖτος ἤδη μεθύων, καὶ φύσει τραχὺς ὢν καὶ αὐθάδης, ἠγανάκτει, μάλιστα φάσκων οὐ καλῶς ἐν βαρβάροις

Non multo poſt Cliti caſus accidit, ſi ſic nude audias, Philotæ calamitate tetrior: ſi tamen narrationi adjungas & cauſam & tempus, non de induſtria, ſed infortunio aliquo invenias patratum, quando regis ira & vinum diræ fortunæ Cliti præbuit occaſionem. Id ad hunc modum geſtum eſt: Quidam ab ora maritima poma Græca regi attulerant: ille viriditatem eorum & ſpeciem miratus accivit Clitum, ut ei oſtenderet illa, & impertiretur. Forte ille ſacrificabat: qui relictis ſacris, perrexit ad regem, eumque tres oves, in quas facta jam fuerat libatio, ſunt ſequutæ. Quo intellecto, rex rem ad vates retulit Ariſtandrum & Cleomanta Laconem. Denuntiantibus illis tetrum prodigium eſſe, præcepit ut propere pro Clito litarent: quippe triduo ante oblata ei fuerat in ſomniis fœda ſpecies. Viſus eſt Clitum videre pullatum conſidentem inter Parmenionis filios, qui erant omnes extincti. At Clitus, nondum litato, confeſtim ad cœnam venit, quum rex Caſtori & Polluci ſacrificaſſet. Dum ſtrenue certatur poculis, cantata carmina ſunt Pranichi cujuſdam, aut (ut alii volunt) Pierionis, in duces qui pridem victi a barbaris fuerant, ad probrum & riſum ſcripta. Stomachantibus majoribus natu, inſectantibuſque poetam & cantorem, Alexandro ex altera parte & aſſeclis ejus libenter audientibus, atque ut recitaret, exhortantibus: Clitus jam vino gravis, naturaque aſper & præfractus, fremuit, negans convenire, præſertim ut inter barbaros

ροις καὶ πολεμίοις ὑβρίζεσθαι Μακεδόνας πολὺ βελτίονας τῶν γελώντων, εἰ καὶ δυστυχίᾳ κέχρηνται. φήσαντος δὲ τοῦ Ἀλεξάνδρου τὸν Κλεῖτον αὑτῷ συνηγορεῖν, δυστυχίαν ἀποφαίνοντα τὴν δειλίαν, ἐπαναστὰς ὁ Κλεῖτος, Αὕτη μέντοι σε, εἶπεν, ἡ δειλία, τὸν ἐκ Θεῶν, ἤδη τῷ Σπιθριδάτου ξίφει τὸ νῶτον ἐκτρέποντα περιεποίησε· καὶ τῷ Μακεδόνων αἵματι καὶ τοῖς τραύμασι τούτοις ἐγένου τηλικοῦτος, ὥστε Ἄμμωνι σαυτὸν εἰσποιεῖν ἀπειπάμενος Φίλιππον.

Παροξυνθεὶς οὖν ὁ Ἀλέξανδρος, Ἦ ταῦτα, εἶπεν, ὦ κακὴ κεφαλή, σὺ περὶ ἡμῶν ἑκάστοτε λέγων, καὶ διαστασιάζων Μακεδόνας, χαιρήσειν νομίζεις; Ἀλλ' οὐδὲ νῦν, ἔφη, χαίρομεν, Ἀλέξανδρε, τοιαῦτα τέλη τῶν πόνων κομιζόμενοι· μακαρίζομεν δὲ τοὺς ἤδη τεθνηκότας, πρὶν ἐπιδεῖν Μηδικαῖς ῥάβδοις ξαινομένους Μακεδόνας, καὶ Περσῶν δεομένους, ἵνα τῷ βασιλεῖ προσέλθωμεν. τοιαῦτα τοῦ Κλείτου παρρησιαζομένου, καὶ τῶν περὶ Ἀλέξανδρον ἀντανισταμένων καὶ λοιδορούντων αὐτὸν, οἱ πρεσβύτεροι κατέχειν ἐπειρῶντο τὸν θόρυβον· ὁ δὲ Ἀλέξανδρος ἀποστραφεὶς πρὸς Ξενόδοχον τὸν Καρδιανὸν καὶ τὸν Κολοφώνιον Ἀρτέμιον, οὐ δοκοῦσιν, εἶπεν, ὑμῖν οἱ Ἕλληνες ἐν τοῖς Μακεδόσιν ὥσπερ ἐν θηρίοις ἡμίθεοι περιπατεῖν; τοῦ δὲ Κλείτου μὴ εἴκοντος, ἀλλὰ εἰς μέσον ἃ βούλεται λέγειν τὸν Ἀλέξανδρον κελεύοντος, ἢ μὴ καλεῖν ἐπὶ δεῖπνον ἄνδρας ἐλευθέρους, καὶ παρρησίαν ἔχοντας, ἀλλὰ μετὰ βαρβάρων ζῆν καὶ ἀνδραπόδων, οἳ τὴν Περσικὴν ζώνην καὶ τὸν διάλευκον αὐτοῦ χιτῶνα προσκυνήσουσιν, οὐκ ἔτι φέρων τὴν ὀργὴν Ἀλέξανδρος, μήλων παρα-

tos & hoſtes, Macedones multo quam qui riderent eos, etiamſi infeſta eſſent fortuna uſi, præſtantiores, ludibrio haberentur. Ibi quum diceret Alexander, ſibi ipſi Clitum patrocinari, qui timiditatem adverſæ fortunæ nomine cenſeret, exſurgens Clitus, Atqui hæc, inquit, te timiditas Diis prognatum a Spithridatis gladio terga jam dantem vindicavit: Macedonumque ſanguine atque hiſce vulneribus ad tantum perveniſti faſtigii, ut repudiato Philippo, Ammonem tibi ipſe aſſeras patrem.

Hinc accenſus Alexander, De hiſne, ſceleſte, inquit, quæ quotidie de nobis jactas & concitas Macedonas, gratulaturum te tibi ſperas? Enimvero nec nunc, inquit, nobis Alexander gratulamur, qui hæc præmia ferimus laborum: verum beatos ducimus illos qui jam prius fato functi ſunt quam virgis Medicis lacerari viderint Macedonas, & aditum petentes ad regem a Perſis. Ea effundente Clito, Alexandroque contra inſurgente, ac Clitum proſcindente convitiis, ſeniores comprimere enitebantur turbam. Ibi Alexander ad Xenodochum Cardianum & Colophonium Artemium verſus, Numne vobis, inquit, videntur inter Macedonas Græci, ſicut inter feras ſemidei verſari? Quum non cederet Clitus, ſed clamaret ut Alexander, ſiquid vellet, in medium proferret, aut ne ad cœnam vocaret liberos homines & liberam linguam habentes; verum cum barbaris viveret & mancipiis, qui zonam Perſicam & candicantem tunicam adoraturi eſſent; haud ultra par iræ Alexander, ex malis

παρακειμένων ἑνὶ βαλὼν ἔπαισεν αὐτόν, καὶ τὸ ἐγχειρίδιον ἐζήτει. τῶν δὲ σωματοφυλάκων ἑνὸς Ἀριστοφάνους φθάσαντος ὑφελέσθαι, καὶ τῶν ἄλλων περιεχόντων καὶ δεομένων, ἀναπηδήσας ἀνεβόα Μακεδονιστὶ καλῶν τοὺς ὑπασπιστὰς (τοῦτο δ' ἦν σύμβολον θορύβου μεγάλου) καὶ τὸν σαλπιγκτὴν ἐκέλευε σημαίνειν, καὶ πὺξ ἔπαισεν, ὡς διατρίβοντα καὶ μὴ βουλόμενον. οὗτος μὲν οὖν ὕστερον εὐδοκίμησεν, ὡς τοῦ μὴ συνταραχθῆναι τὸ στρατόπεδον αἰτιώτατος γενόμενος. τὸν δὲ Κλεῖτον οὐχ ὑφιέμενον οἱ φίλοι μόλις ἐξέωσαν τοῦ ἀνδρῶνος. ὁ δὲ κατ' ἄλλας θύρας αὖθις εἰσῄει, μάλα ὀλιγώρως καὶ θρασέως Εὐριπίδου τὰ ἐξ Ἀνδρομάχης ἰαμβεῖα ταῦτα περαίνων,

Οἴμοι καθ' Ἑλλάδ' ὡς κακῶς νομίζεται.

οὕτω δὴ λαβὼν παρά τινος τῶν δορυφόρων Ἀλέξανδρος αἰχμήν, ἀπαντῶντα τὸν Κλεῖτον αὐτῷ, καὶ παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα διελαύνει. πεσόντος δὲ μετὰ στεναγμοῦ καὶ βρυχήματος, εὐθὺς ἀφῆκεν ὁ θυμὸς αὐτόν. καὶ γενόμενος παρ' ἑαυτῷ, καὶ τοὺς φίλους ἰδὼν ἀφώνους ἑστῶτας, ἑλκύσασθαι μὲν ἐκ τοῦ νεκροῦ τὴν αἰχμὴν ἔφθασεν, παῖσαι δ' ἑαυτὸν ὁρμήσας παρὰ τὸν τράχηλον ἐπεσχέθη, σωματοφυλάκων τὰς χεῖρας αὐτοῦ λαβόντων, καὶ τὸ σῶμα βίᾳ παρενεγκόντων εἰς τὸν θάλαμον.

Ἐπεὶ δὲ τήν τε νύκτα κακῶς κλαίων διήνεγκεν, καὶ τὴν ἐπιοῦσαν ἡμέραν, ἤδη τῷ βοᾶν καὶ θρηνεῖν ἀπειρηκώς, ἄναυδος ἔκειτο, βαρεῖς ἀναφέρων στεναγμούς, δείσαντες οἱ φίλοι τὴν ἀποσιώπησιν, εἰσῆλθον βίᾳ. καὶ τῶν μὲν ἄλλων οὐ προσίετο τοὺς λόγους· Ἀριστάνδρου δὲ τοῦ μάντεως ἐπιμιμνήσκοντος αὐτὸν

lis appoſitis uno conjecto percuſſit Clitum, & gladium quæſivit. Quem quum unus ſatellitum Ariſtophanes ſubtrahere maturaſſet, aliique eum complecterentur & obſecrarent, proſiliens exclamavit, & lingua Macedonica armigeros vocavit (id ſignum erat ingentis tumultus) ac tubicinem canere juſſit: cui, quod cunctaretur & tergiverſaretur, impegit colaphum. Verum hic poſtea laudem meruit, quod potiſſimum in cauſa fuiſſet ne tumultus cieretur in exercitu. At Clitum eadem intemperantia furentem amici ægre triclinio ſummovere. Quum ille altero oſtio regreditur, inſolenter admodum & ferociter Euripidis hos ex Andromache verſus pronuntians,

Quam comparatum inique id eſt in Græcia!

tum ablata cuidam ſatelliti Alexander haſta, obvium Clitum removentemque velum januæ transfixit. Quo cum gemitu & fremitu cadente, mox ira animo ejus deceſſit. Reverſus ad ſe, & amicos cernens ſtupentes ſilentio ſtare, evulſit ex mortui corpore telum, quod vertere quum in jugulum ſuum pararet, inhibitus eſt a ſtipatoribus, qui manus ejus corripuerunt, eumque vi detulerunt in cubiculum.

Ut noctem miſere plorando tranſegit, ac proximo die ejulando lamentandoque defeſſum vox defecit, jacuitque alta trahens ſuſpiria, metuentes amici ſilentium, vi ſunt ad eum ingreſſi. Cæterorum quidem non admiſit ſermonem. At quum vates Ariſtander viſum illi quod

αὐτὸν τήν τε ὄψιν ἣν εἶδεν περὶ τοῦ Κλείτου, καὶ τὸ σημεῖον, ὡς δὴ πάλαι καθειμαρμένων τούτων, ἔδοξεν ἐνδιδόναι. διὸ Καλλισθένη τε τὸν φιλόσοφον παρεισήγαγον, Ἀριστοτέλους οἰκεῖον ὄντα, καὶ τὸν Ἀβδηρίτην Ἀνάξαρχον. ὧν Καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πρᾴως, ὑποδυόμενος τῷ λόγῳ καὶ περιιὼν ἀλύπως λαβέσθαι τοῦ πένθους· ὁ δ' Ἀνάξαρχος, ἰδίαν τινὰ πορευόμενος ἐξ ἀρχῆς ὁδὸν ἐν φιλοσοφίᾳ, καὶ δόξαν εἰληφὼς ὑπεροψίας καὶ ὀλιγωρίας τῶν συνήθων, εὐθὺς εἰσελθὼν ἀνεβόησεν, Οὗτός ἐστιν Ἀλέξανδρος, εἰς ὃν ἡ οἰκουμένη νῦν ἀποβλέπει· ὁ δ' ἔῤῥιπται κλαίων ὥσπερ ἀνδράποδον, ἀνθρώπων νόμον καὶ ψόγον δεδοικὼς, οἷς αὐτὸν προσήκει νόμον εἶναι, καὶ ὅρον τῶν δικαίων, ἐπείπερ ἄρχειν καὶ κρατεῖν νενίκηκεν, ἀλλὰ μὴ δουλεύειν ὑπὸ κενῆς δόξης κεκρατημένον. οὐκ οἶσθα, εἶπεν, ὅτι τὴν Δίκην ἔχει πάρεδρον ὁ Ζεὺς, καὶ τὴν Θέμιν, ἵνα πᾶν τὸ πραχθὲν ὑπὸ τοῦ κρατοῦντος θεμιτὸν ᾖ καὶ δίκαιον; τοιούτοις τισὶ λόγοις χρησάμενος ὁ Ἀνάξαρχος, τὸ μὲν πάθος ἐκούφισε τοῦ βασιλέως, τὸ δ' ἦθος εἰς πολλὰ χαυνότερον καὶ παρανομώτερον ἐποίησεν· αὐτὸν δὲ δαιμονίως ἐνήρμοσεν, καὶ τοῦ Καλλισθένους τὴν ὁμιλίαν οὐδὲ ἄλλως ἐπίχαριν διὰ τὸ αὐστηρὸν οὖσαν προσδιέβαλλεν. λέγεται δέ ποτε παρὰ δεῖπνον ὑπὲρ ὡρῶν καὶ κράσεως τοῦ περιέχοντος λόγων ὄντων, τὸν Καλλισθένη μετέχοντα δόξης, τοῖς δὲ λέγουσι τἀκεῖ μᾶλλον εἶναι ψυχρὰ καὶ δυσχείμερα τῶν Ἑλληνικῶν, ἐναντιουμένου τοῦ Ἀναξάρχου καὶ φιλονεικοῦντος, εἰπεῖν, ἀλλὰ μὴν ἀνάγκη σοι ταῦτα ἐκείνων ὁμολογεῖν ψυ-

quod de Clito fuerat ei repræſentatum & prodigium in memoriam revocaret, jamdudum hæc in fatis fuiſſe ſuggerens, viſus eſt animum relaxare. Ita Calliſthenem philoſophum introduxerunt Ariſtotelis neceſſarium, & Abderitam Anaxarchum: quorum Calliſthenes placide tentavit & modeſte oratione ſubeundo & lenibus ambagibus reprimere mœrorem ejus: Anaxarchus vero, peculiari quadam ab initio in philoſophia incedens via, deſpectorque & contemptor habitus ſodalium ſuorum, ſimul atque ingreſſus eſt, exclamavit, En Alexander ille in quem orbis conjicit oculos: en abjectus in lacrymis inſtar mancipii jacet, legem & probra exhorreſcens hominum, quibus ipſe lex eſſe & juris regula deberet, ſi modo, ut imperaret & rerum potiretur, vicerit, non ut victus ab inani gloria ſerviret. Neſcis, inquit, aſſeſſorem Jovi juſtitiam & Themin eſſe, quo quicquid actum ab dominante fuerit, id jus & fas ſit? Hujuſcemodi adhibita oratione, ægritudinem quidem Anaxarchus regis allevavit, mores tamen ejus multo fluxiores reddidit & violentiores, ſeipſum vero mirifice inſinuavit in gratiam ejus: & Calliſthenis conſuetudinem vel alias ob auſteritatem parum gratam, inſuper reddidit invidioſam. Memorant orto ſuper cœnam aliquando de tempeſtatibus anni & aeris temperatura ſermone, aſſentientem Calliſthenem opinioni illam regionem aſſerentium gelidiorem & rigentiorem Græcia, repugnante obſtinate Anaxarcho dixiſſe, Enimvero non potes non fateri intentiorem hic quam illic rigorem

ψυχρότερα· σὺ γὰρ ἐκεῖ μὲν ἐν τρίβωνι διεχείμαζες, ἐνταῦθα δὲ τρεῖς ἐπιβεβλημένος δάπιδας κατάκεισαι. τὸν μὲν οὖν Ἀνάξαρχον καὶ τοῦτο προσπαρώξυνεν.

Τοὺς δὲ ἄλλους σοφιστὰς καὶ κόλακας ὁ Καλλισθένης ἐλύπει, σπουδαζόμενος μὲν ὑπὸ τῶν νέων διὰ τὸν λόγον, οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων διὰ τὸν βίον, εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη, καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν· ὅτι τοὺς πολίτας καταγαγεῖν καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος, ἀνέβη πρὸς Ἀλέξανδρον. φθονούμενος δὲ διὰ τὴν δόξαν, ἔστιν ἃ καὶ καθ' αὐτοῦ τοῖς διαβάλλουσι παρεῖχεν, τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος, ἐν δὲ τῷ συνεῖναι, βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν, οὐδὲ ἀρέσκεσθαι τοῖς γινομένοις· ὥστε καὶ τὸν Ἀλέξανδρον εἰπεῖν ἐπ' αὐτῷ,

Μισῶ σοφιστὴν ὅστις οὐδ' αὐτῷ σοφός.

λέγεται δέ ποτε, πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον, ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου Μακεδόνας ὁ Καλλισθένης, οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥστε ἀνισταμένους κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ' αὐτόν· εἰπεῖν οὖν τὸν Ἀλέξανδρον, ὅτι κατ' Εὐριπίδην, τὸν λαβόντα τῶν λόγων

Καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὐλογεῖν·

ἀλλ' ἔνδειξαι, φάναι, τὴν σαυτοῦ δύναμιν ἡμῖν, κατηγορήσας Μακεδόνων, ἵνα καὶ βελτίους γένωνται μαθόντες ἃ πλημμελοῦσιν. οὕτω δὴ τὸν ἄνδρα πρὸς τὴν παλινῳδίαν τραπόμενον, πολλὰ παρρησιάσασθαι κατὰ τῶν Μακεδόνων, καὶ τὴν

rigorem eſſe: quippe tu in læna illic hyemem traducebas, hic tribus velatus tapetibus recumbis. Id vehementer etiam exaſperavit Anaxarchum.

Cæteros vero ſophiſtas & aſſentatores angebat Calliſthenes, quod in gratia eſſet ob dicendi facultatem apud juventutem, neque minus acceptus ſenibus ob vitam modeſtam, gravem, continentem, & adſtipulantem vulgato ejus peregrinationis prætextui: ideo ſcilicet profectum eum ad Alexandrum, quo cives ſuos in patriam reduceret, eamque denuo frequentaret. Qui quum premeretur ob exiſtimationem ſuam invidia, interim etiam materiam ipſe ſui calumniandi præbebat, quod fere rejiceret vocationes, atque in conviviis quum adeſſet, ſignificaret ſupercilio & ſilentio non laudare ſe vel probare ea quæ agerentur. Unde de eo dixit Alexander,

Odi ſophiſtam qui ſibi ipſi non ſapit.

Dicitur aliquando multis ad cœnam invitatis inter pocula juſſus Macedonas Calliſthenes laudare, tam profluenti oratione hoc tractaſſe argumentum, ut exilientes ei plauderent & coronas ingererent: Alexander vero ibi dixiſſe ei, qui orationis nactus eſt

Campum bonum, haud ægre fit iſthic eloquens.

At oſtende (dixiſſe) facultatem tuam vituperandis Macedonibus, quo emendentur auditis delictis ſuis: ita ad retractanda ille priora verſus, multa in Macedonas magna libertate diſſe-

τὴν Ἑλληνικὴν στάσιν, αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ Φίλιππον αὐξήσεως καὶ δυνάμεως, εἰπεῖν,

Ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς.

ἐφ' ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς Μακεδόσι· καὶ τὸν Ἀλέξανδρον εἰπεῖν, ὡς οὐ τῆς δεινότητος ὁ Καλλισθένης ἀλλὰ τῆς δυσμενείας Μακεδόσιν ἀπόδειξιν δέδωκεν.

Ταῦτα μὲν οὖν ὁ Ἕρμιππός φησιν τὸν ἀναγνώστην τοῦ Καλλισθένους Στροῖβον, Ἀριστοτέλει διηγεῖσθαι· τὸν δὲ Καλλισθένην συνέντα τὴν ἀλλοτριότητα τοῦ βασιλέως, δὶς ἢ τρὶς ἀπιόντα πρὸς αὐτὸν εἰπεῖν,

Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων.

οὐ φαύλως οὖν εἰπεῖν ἔοικεν ὁ Ἀριστοτέλης ὅτι Καλλισθένης λέγων μὲν ἦν δυνατὸς καὶ μέγας, νοῦν δὲ οὐκ εἶχεν. ἀλλὰ τήν γε προσκύνησιν ἰσχυρῶς ἀπωσάμενος καὶ φιλοσόφως, καὶ μόνος ἐν φανερῷ διελθὼν ἃ κρύφα πάντες οἱ βέλτιστοι καὶ πρεσβύτατοι τῶν Μακεδόνων ἠγανάκτουν, τοὺς μὲν Ἕλληνας αἰσχύνης ἀπήλλαξε μεγάλης, καὶ μείζονος Ἀλέξανδρον, ἀποτρέψας τὴν προσκύνησιν, αὐτὸν δὲ ἀπώλεσεν, ἐκβιάσασθαι δοκῶν μᾶλλον ἢ πεῖσαι τὸν βασιλέα. Χάρης δὲ ὁ Μιτυληναῖος φησὶ τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ πιόντα φιάλην, προτεῖναι τινὶ τῶν φίλων· τὸν δὲ δεξάμενον, πρὸς ἑστίαν ἀναστῆναι, καὶ πιόντα προσκυνῆσαι πρῶτον, εἶτα φιλῆσαι τὸν Ἀλέξανδρον ἐν τῷ συμποσίῳ, καὶ κατακλιθῆναι. πάντων δὲ τοῦτο ποιούντων ἐφεξῆς, τὸν

ſeruiſſe, Græcorumque diſſenſionem demonſtraſſe cauſam fuiſſe Philippi incrementi & potentiæ, addito carmine

Diſſidio in populi capit & ſceleratus honorem.

Acerbam inde invidiam in eum & gravem concepiſſe Macedones, ac dixiſſe Alexander, non eloquentiæ ſuæ Calliſthenem, ſed malevolentiæ dediſſe Macedonibus documentum.

Hæc Hermippus autor eſt Calliſthenis anagnoſtem Ariſtoteli Stroibum retuliſſe: Calliſthenem autem, animum ab ſe alienatum regis quum percepiſſet, digredientem bis aut ter ad ſeipſum dixiſſe,

Te quoque Patroclus præſtantior occidit olim.

Non abſurde igitur dixiſſe apparet Ariſtotelem, facundum eſſe & magnum in dicendo Calliſthenem, verum mentem non habere. At dum fortiter & ut philoſophum decuit recuſat proſtratus humi Alexandrum ſalutare, ſolusque diſſerit publice ea quæ in occulto optimus quiſque & natu maximi inter Macedonas ſtomachabantur, magna quidem macula Græcos, & Alexandrum majore exſolvit, deterrens eum ab adoratione, ſe vero ipſe perdidit, quod extundere id magis regi quam videretur perſuadere. Chares Mitylenæus Alexandrum prædicat in convivio quodam, quum bibiſſet, phialam uni ex amicis porrexiſſe, illum phiala accepta ad aram verſum aſſurrexiſſe, ac quum hauſiſſet, adoraſſe primum, deinde oſculatum Alexandrum, in convivio mox accubuiſſe. Poſtquam id omnes deinceps fecerunt, cepiſſe phialam

τὸν Καλλισθένην λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως, ἀλλὰ Ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα. Δημητρίου δὲ τοῦ προσονομαζομένου Φείδωνος εἰπόντος, ὦ βασιλεῦ, μὴ φιλήσῃς· οὗτος γάρ σε μόνος οὐ προσκεκύνηκεν· διακλῖναι τὸ φίλημα τὸν Ἀλέξανδρον· τὸν δὲ Καλλισθένην μέγα φθεγξάμενον εἰπεῖν, φιλήματι τοίνυν ἔλασσον ἔχων ἄπειμι.

Τοιαύτης ὑπογινομένης ἀλλοτριότητος, πρῶτον μὲν Ἡφαιστίων ἐπιστεύετο, λέγων ὅτι συνθέμενος πρὸς αὐτὸν ὁ Καλλισθένης προσκυνῆσαι, ψεύσαιτο τὴν ὁμολογίαν· ἔπειτα Λυσίμαχοι καὶ Ἄγνωνες ἐπεφύοντο, φάσκοντες περιϊέναι τὸν σοφιστὴν, ὡς ἐπὶ καταλύσει τυραννίδος μέγα φρονοῦντα, καὶ συντρέχειν πρὸς αὐτὸν τὰ μειράκια, καὶ περιέπειν, ὡς μόνον ἐλεύθερον ἐν τοσαύταις μυριάσιν. διὸ καὶ τῶν περὶ Ἑρμόλαον ἐπιβουλευσάντων τῷ Ἀλεξάνδρῳ, καὶ φανερῶν γενομένων, ἔδοξαν ἀληθέσιν ὅμοια κατηγορεῖν οἱ διαβάλλοντες, ὡς τῷ μὲν προβάλλοντι, πῶς ἂν ἐνδοξότατος γένοιτο ἄνθρωπος, εἰπεῖν, ἂν ἀποκτείνῃ τὸν ἐνδοξότατον. τὸν δὲ Ἑρμόλαον ἐπὶ τὴν πρᾶξιν παροξύνων, ἐκέλευε μὴ δεδιέναι τὴν χρυσῆν κλίνην, ἀλλὰ μνημονεύειν ὅτι καὶ νοσοῦντι καὶ τιτρωσκομένῳ πρόσεισιν ἀνθρώπῳ. καίτοι τῶν περὶ Ἑρμόλαον οὐδεὶς οὐδὲ διὰ τῆς ἐσχάτης ἀνάγκης τοῦ Καλλισθένους κατεῖπεν. ἀλλὰ καὶ Ἀλέξανδρος αὐτὸς εὐθὺς Κρατερῷ γράφων καὶ Ἀττάλῳ καὶ Ἀλκέτᾳ, φησὶν τοὺς παῖδας βασανιζομένους ὁμολογεῖν ὡς αὐτοὶ ταῦτα πράξειαν, ἄλλος δὲ οὐδεὶς συνειδείη. ὕστερον δὲ γράφων πρὸς Ἀντίπατρον, καὶ τὸν Καλλισθένην συνεπ-

phialam Calliſthenem, ac non attendente rege, ſed cum Hephæſtione fabulante bibiſſe, atque ad ferendum regi oſculum acceſſiſſe. Ibi quum Demetrius cognomine Phidon dixiſſet, Cave rex oſculeris eum: nam unus hic non adoravit te: Alexandrum oſculum declinaſſe, Calliſthenem vero dixiſſe alta voce, Uno ergo oſculo minus ferens abibo.

Ita exulcerato regis animo, primum habita Hephæſtioni fides eſt, dicenti receptam ſibi Calliſthenem fidem, adoraturum ipſum regem, feſelliſſe. Inde Lyſimachi & Agnones vellicaverunt eum, obambulare jactantes ſophiſtam, tanquam everſa tyrannide intumeſcentem, concurrereque ad eum & obſervare adoleſcentes, tanquam unum in tot millibus liberum. Quocirca inſidiis, quæ Alexandro paratæ ab Hermolao erant, detectis, crimina inimicorum ejus ſunt probabilia viſa: rogatum nempe ab hoc quemadmodum vir clariſſimus evaderet, reſpondiſſe, ſi interfeciſſet clariſſimum: concitantemque ad facinus Hermolaum, monuiſſe ne aureum lectum formidaret, ſed meminiſſet rem ſibi fore cum homine & morbis & vulneribus opportuno. Atqui ex Hermolai conjuratione nemo ne in extremis quidem tormentis Calliſthenem nominavit. Sed & ipſe Alexander Cratero protinus & Attalo & Alcetæ ſcribens, pueros in quæſtione confeſſos ait ſe hoc conſilium per ſe iniiſſe, neque fuiſſe alium conſcium quenquam: poſt vero in epiſtola ad Antipatrum idem crimen impin-

git

συνεπαιτιασάμενος, Οἱ μὲν παῖδες, φησὶν, ὑπὸ τῶν Μακεδόνων κατελεύσθησαν· τὸν δὲ σοφιστὴν ἐγὼ κολάσω, καὶ τοὺς ἐκπέμψαντας αὐτὸν, καὶ τοὺς ὑποδεχομένους ταῖς πόλεσι τοὺς ἐμοὶ ἐπιβουλεύοντας. ἄντικρυς ἔν γε τούτοις ἀποκαλυπτόμενος πρὸς Ἀριστοτέλην· καὶ γὰρ ἐτέθραπτο Καλλισθένης παρ' αὐτῷ διὰ τὴν συγγένειαν, ἐξ Ἡροῦς γεγονὼς ἀνεψιᾶς Ἀριστοτέλους. ἀποθανεῖν δὲ αὐτὸν οἱ μὲν ὑπὸ Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν, οἱ δὲ, ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα· Χάρης δὲ, μετὰ τὴν σύλληψιν ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῷ συνεδρίῳ κριθείη, παρόντος Ἀριστοτέλους· ἐν αἷς δὲ ἡμέραις Ἀλέξανδρος ἐν Μαλλοῖς Ὀξυδράκαις ἐτρώθη, περὶ τὴν Ἰνδίαν ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.

Ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη· Δημάρατος δὲ ὁ Κορίνθιος, ἤδη πρεσβύτερος ὢν, ἐφιλοτιμήθη πρὸς Ἀλέξανδρον ἀναβῆναι· καὶ θεασάμενος αὐτὸν, εἶπεν, μεγάλης ἡδονῆς ἐστερῆσθαι τοὺς Ἕλληνας, ὅσοι τεθνήκασι πρὶν ἰδεῖν Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον. οὐ μὴν ἐπὶ πλέον γε τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ βασιλέως ἀπέλαυσεν· ἀλλ' ἐξ ἀῤῥωστίας ἀποθανὼν ἐκηδεύθη μεγαλοπρεπῶς, καὶ τάφον ἔχωσεν ὁ στρατὸς ἐπ' αὐτῷ, τῇ περιμέτρῳ μέγαν, ὕψος δὲ πηχῶν ὀγδοήκοντα. τὰ δὲ λείψανα τέθριππον κεκοσμημένον λαμπρῶς ἐπὶ θάλασσαν κατεκόμισε.

Μέλλων δὲ ὑπερβάλλειν εἰς τὴν Ἰνδικὴν, ὡς ἑώρα πλήθει λαφύρων τὴν στρατιὰν ἤδη βαρεῖαν καὶ δυσκίνητον οὖσαν, ἅμ' ἡμέρᾳ συνεσκευασμένων τῶν ἁμαξῶν, πρώτας μὲν ὑπέπρησεν τὰς αὐτοῦ καὶ τῶν ἑταίρων· μετὰ δὲ ταύτας ἐκέ-

git Calliſtheni. Ac pueri quidem, inquit, lapidibus ſunt a Macedonibus cooperti: in ſophiſtam ego conſulam, & in illos qui eum miſerunt, & oppidis ſuis inſidiantes mihi recipiunt. In quibus animum adverſus Ariſtotelem ſuum detegit: ſi quidem fuerat apud eum Calliſthenes ob neceſſitudinem educatus, quod eſſet ex Hero Ariſtotelis conſobrina editus. Deceſſiſſe eum alii ab Alexandro ſuſpenſum dictitant, in vinculis alii morbo afflictum: Chares, poſtquam comprehenſus fuit, ſeptem menſes in vinculis cuſtoditum, ut in concilio præſente Ariſtotele judicaretur, ac quo tempore in Mallis Oxydracis Indiæ ſauciatus fuit Alexander, ex corpore ſupra modum obeſo & morbo pediculari exceſſiſſe.

Ceterum hæc poſtea ſunt inſequuta. Demaratus Corinthius, jam annis gravis, affectavit ad Alexandrum proficiſci, eoque adſpecto, magna ait voluptate Græcos ſpoliatos, quotquot prius fato functi eſſent quam Alexandrum in ſolio Darii conſpexiſſent conſidentem. Fructum tamen hic ex regis amicitia alium cepit nullum, quam quod morbo abſumptus quum eſſet, elatus ab eo eſt magnifice, tumulumque ei aggeſſit exercitus ambitu magnum & cubitos octoginta excelſum. Reliquias ejus quadriga ſplendide exornata ad mare deportari curavit.

Porro in Indiam tranſiturus, ut vidit prædæ onere exercitum jam gravem & tardum, ſimul atque diluxit, plauſtris oneratis ſua & amicorum prima ſuccendit. Inde Macedonum

ἐκέλευσε καὶ ταῖς τῶν Μακεδόνων ἐνεῖναι πῦρ. καὶ τοῦ πράγματος τὸ βούλευμα μεῖζον ἐφάνη, καὶ δεινότερον ἦν τὸ ἔργον. ὀλίγους μὲν γὰρ ἠνίασεν, οἱ δὲ πλεῖστοι βοῇ καὶ ἀλαλαγμῷ μετ᾽ ἐνθουσιασμοῦ, τὰ μὲν ἀναγκαῖα τοῖς δεομένοις μεταδιδόντες, τὰ δὲ περιόντα τῆς χρείας, αὐτοῦ κατακαίοντες καὶ διαφθείροντες, ὁρμῆς καὶ προθυμίας ἐνεπίμπλασαν τὸν Ἀλέξανδρον. ἤδη δὲ καὶ φοβερὸς ἦν καὶ ἀπαραίτητος κολαστὴς τῶν πλημμελούντων. καὶ γὰρ Μένανδρον τινὰ τῶν ἑταίρων, ἄρχοντα φρουρίου καταστήσας, ὡς οὐκ ἐβούλετο μένειν, ἀπέκτεινεν· καὶ τὸν ἀποστάντων βαρβάρων Ὀρσοδάτην αὐτὸς κατετόξευσεν. προβάτου δὲ τεκόντος ἄρνα περὶ τῇ κεφαλῇ σχῆμα καὶ χρῶμα τιάρας ἔχοντα, καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ, βδελυχθεὶς τὸ σημεῖον, ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα· διελέχθη δὲ πρὸς τοὺς φίλους, ὡς οὐ δι᾽ αὐτὸν, ἀλλὰ δι᾽ ἐκείνους ταράττοιτο, μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν ἄνθρωπον ἐκλιπόντος αὐτοῦ περιστήσῃ τὸ δαιμόνιον. οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν ἀθυμίαν ἔλυσεν. ὁ γὰρ ἐπὶ τῶν στρωματοφυλάκων τεταγμένος, ἀνὴρ Μακεδὼν, ὄνομα Πρόξενος, τῇ βασιλικῇ σκηνῇ χώραν ὀρύττων παρὰ τὸν Ὦξον ποταμὸν, ἀνεκάλυψεν πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους· ἀπαντλουμένου δὲ τοῦ πρώτου, καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον, οὔτε ὀσμῇ δοκοῦν οὔτε γεύσει ἐλαίου διαφέρειν, στιλβότητά τε καὶ λιπαρότητα παντάπασιν ἀπαράλλακτον· καὶ ταῦτα, τῆς χώρας μηδὲ ἐλαίας φερούσης. λέγεται μὲν οὖν καὶ τὸν Ὦξον αὐτὸν εἶναι μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοὺς λουομένους ἐπιλιπαίνειν. οὐ μὴν

ἀλλὰ

num impedimentis imperavit ſubjici ignem. Apparuit autem re conſilium difficilius, magiſque ſtupendum inceptum. Paucos enim torſit. Plerique clamore atque ululatu ſublato tanquam divino quodam furore correpti, neceſſaria impertientes egenis, & quæ uſui ſupererant ibidem concremantes labefactanteſque impleverunt alacritate & ardore Alexandrum. Jam torvus eſſe cœpit & implacabilis in delictis puniendis. Quippe ex cohorte amicorum Menandrum, quod in præſidio, cui eum præfecerat, detrectaret manere, necavit. Ex rebellantibus barbaris Orſodatem ipſemet confixit jaculis. Quum autem ovis agnum edidiſſet, qui figuram & colorem tiaræ in capite, teſticuloſque utrinque præferebat, averſatus eſt portentum, atque expiatus per Babylonios, quos de more trahebat ſecum ad talia. Apud amicos vero negavit ſua cauſa ſe inde perculſum eſſe, ſed ipſorum, ne poſt fata ſua imperium Deus in hominem degenerem & imbellem conferret. At oſtentum oblatum lætius conſternationem ejus diſcuſſit. Præfectus enim eorum qui ſtragulis erant appoſiti, vir Macedo (Proxeno nomen erat) dum tabernaculo regio locum fodit juxta Oxum amnem, fontem detexit pinguis & oleoſi liquoris. Ubi primum exhauſit, liquidum inde & limpidum oleum emanavit, nec odore in ſpeciem nec guſtu ab oleo abhorrens, ſplendoreque & pinguedine indiſcreto; idque illa regione oleas non gignente. Perhibetur ipſa quoque Oxi molliſſima aqua eſſe, cutemque in eo lavantium pinguefacere. Mirifice ve

ro

ἀλλὰ θαυμαστῶς Ἀλέξανδρος ἡσθεὶς δῆλός ἐστιν, ἐξ ὧν γράφει πρὸς Ἀντίπατρον, ἐν τοῖς μεγίστοις τοῦτο τῶν ἀπὸ τοῦ Θεοῦ γεγονότων αὐτῷ τιθέμενος. οἱ δὲ μάντεις, ἐνδόξου μὲν στρατιᾶς, ἐπιπόνου δὲ καὶ χαλεπῆς τὸ σημεῖον ἐποιοῦντο· πόνων γὰρ ἀρωγὴν ἔλαιον ἀνθρώποις ὑπὸ Θεοῦ δεδόσθαι.

Πολλοὶ μὲν οὖν κατὰ τὰς μάχας αὐτῷ κίνδυνοι συνέπεσον, καὶ τραύμασιν νεανικοῖς ἀπήντησεν· τὴν δὲ πλείστην φθορὰν ἀπορίαι τῶν ἀναγκαίων καὶ δυσκρασίαι τοῦ περιέχοντος ἀπειργάσαντο τῆς στρατιᾶς. αὐτὸς δὲ τόλμῃ τὴν τύχην ὑπερβαλέσθαι, καὶ τὴν δύναμιν ἀρετῇ φιλοτιμούμενος, οὐδὲν ᾤετο τοῖς θαρροῦσιν ἀνάλωτον, οὐδὲ ὀχυρὸν εἶναι τοῖς ἀτόλμοις. λέγεται δὲ τὴν Σισιμήθρου πολιορκῶν πέτραν, ἄβατον οὖσαν καὶ ἀπρόσβατον, ἀθυμούντων τῶν στρατιωτῶν, ἐρωτῆσαι τὸν Ὀξυάρτην ποῖός τις αὐτὸς εἴη τὴν ψυχὴν ὁ Σισιμήθρης. φήσαντος δὲ τοῦ Ὀξυάρτου, δειλότατον ἀνθρώπων, λέγεις σύ γε, φάναι, τὴν πέτραν ἁλώσιμον ἡμῖν εἶναι. τὸ γὰρ ἄρχον αὐτῆς, οὐκ ὀχυρόν ἐστιν. ταύτην μὲν οὖν, ἐκφοβήσας τὸν Σισιμήθρην, ἔλαβεν. ἑτέρᾳ δὲ ὁμοίως ἀποτόμῳ προσβαλὼν τοὺς νεωτέρους τῶν Μακεδόνων, Ἀλέξανδρόν τινα καλούμενον προσαγορεύσας, Ἀλλὰ σοί γε, εἶπεν, ἀνδραγαθεῖν προσήκει καὶ διὰ τὴν ἐπωνυμίαν. ἐπεὶ δὲ λαμπρῶς ἀγωνιζόμενος ὁ νεανίας ἔπεσεν, οὐ μετρίως ἐδήχθη. τῇ δὲ καλουμένῃ Νύσῃ τῶν Μακεδόνων ὀκνούντων προσάγειν, (καὶ γὰρ ποταμὸς ἦν πρὸς αὐτῇ βαθὺς) ἐπιστὰς, Τί γὰρ, εἶπεν, ὁ κάκιστος ἐγὼ νεῖν οὐκ ἔμαθον; καὶ ἤδη ἔχων τὴν ἀσπίδα περᾷν ἠθέλησεν. ἐπεὶ δὲ καταπαύσαντος τὴν μάχην αὐτοῦ,

παρ-

ro erectum eo Alexandrum fuiſſe ex epiſtolis ejus ad Antipatrum liquet: ubi in maximis hoc a Deo ſibi oblatis oſtentis reponit. Vates id pro glorioſi quidem, ſed operoſi belli graviſque prodigio habuere: nam ad labores a Deo docuerunt datum hominibus oleum lenimentum.

Et multa ſane ei in prœliis ibi pericula occurrerunt, & vulnera inconſulte accepit. Maximam autem exercitus ſtragem anguſtiæ neceſſariorum & cœli intemperies invexere. Ille vero ſuperare fortunam audacia & vires virtute enitens, nihil cenſebat audentibus inexpugnabile, vel munitum eſſe animoſis. Fama eſt Siſimethris obſidentem petram aviam & inacceſſam, deſpondentibus animos militibus, de Oxyarte eum exquiſiviſſe quid animi ipſe haberet Siſimethres. Quum reſpondiſſet Oxyartes, omnium hominum eum trepidiſſimum eſſe, Profecto tu, dixiſſe, petram nobis oſtendis eſſe ſuperabilem, quando is qui præeſt ei non munitus eſt. Atque ita cepit eam pavore Siſimethri injecto. Alteram perinde abſciſſam Macedonum juventute adortus, quendam Alexandrum nomine appellavit, &, Te vero, inquit, fortem eſſe vel nominis cauſa decet. Quum hic juvenis fortiter pugnans cecidiſſet, haud mediocriter perculſus eſt. Nyſam appellatam detrectantibus Macedonibus oppugnare (etenim amnis altus ſubluit eam) ſubſiſtens, Cur ego, inquit, miſerrimus non didici natare? Jamque clypeum tenens tranſmeare parabat. Poſtquam pugna quondam ab eo compreſſa,

miſſi

παρῆσαν ἀπὸ τῶν πολιορκουμένων πόλεων πρέσβεις δεησόμενοι, πρῶτον μὲν ὀφθεὶς ἀθεράπευτος ἐν τοῖς ὅπλοις, ἐξέπληξεν αὐτούς· ἔπειτα προσκεφαλαίου τινὸς αὐτῷ κομισθέντος, ἐκέλευσε λαβόντα καθίσαι τὸν πρεσβύτατον· Ἄκουφις ἐκαλεῖτο. θαυμάσας οὖν τὴν λαμπρότητα καὶ φιλανθρωπίαν ὁ Ἄκουφις, ἠρώτα τί βούλεται ποιοῦντας αὐτοὺς ἔχειν φίλους. φήσαντος δὲ τοῦ Ἀλεξάνδρου, σὲ μὲν αὐτὸν ἄρχοντα καταστήσαντας αὐτῶν, πρὸς δὲ ἡμᾶς πέμψαντας ἑκατὸν ἄνδρας τοὺς ἀρίστους· γελάσας ὁ Ἄκουφις, ἀλλὰ βέλτιον, εἶπεν, ἄρξω, βασιλεῦ, τοὺς κακίστους πρός σε πέμψας μᾶλλον ἢ τοὺς ἀρίστους.

Ὁ δὲ Ταξίλης λέγεται μὲν τῆς Ἰνδικῆς ἔχειν μοῖραν οὐκ ἀποδέουσαν Αἰγύπτου τὸ μέγεθος, εὔβοτον δὲ καὶ καλλίκαρπον ἐν τοῖς μάλιστα· σοφὸς δέ τις ἀνὴρ εἶναι, καὶ τὸν Ἀλέξανδρον ἀσπασάμενος, τί δεῖ πολέμων, φάναι, καὶ μάχης ἡμῖν Ἀλέξανδρε πρὸς ἀλλήλους, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ἡμῶν ἀφῖξαι, μήτε τροφὴν ἀναγκαίαν; ὑπὲρ ὧν μόνων ἀνάγκη διαμάχεσθαι νοῦν ἔχουσιν ἀνθρώποις. τοῖς δὲ ἄλλοις χρήμασι καὶ κτήμασι λεγομένοις, εἰ μὲν εἰμι κρείττων, ἕτοιμος εὖ ποιεῖν· εἰ δὲ ἥττων, οὐ φεύγω χάριν ἔχειν εὖ παθών. ἡσθεὶς οὖν ὁ Ἀλέξανδρος, καὶ δεξιωσάμενος αὐτὸν, Ἦ που νομίζεις, ἔφη, δίχα μάχης ἔσεσθαι τὴν ἔντευξιν ἡμῖν ἀπὸ τοιούτων λόγων καὶ φιλοφροσύνης; ἀλλ' οὐδέν σοι πλέον· ἐγὼ γὰρ ἀγωνιοῦμαι πρός σε καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὥς με χρηστὸς ὢν μὴ περιγένῃ. λαβὼν δὲ δῶρα πολλὰ, καὶ δοὺς πλείονα, τέλος χίλια τάλαντα νομίσματος αὐτῷ προέπιεν. ἐφ'

οἷς

miſſi a civitatibus obſeſſis legati ſupplices eum adiere, primum obſtupuere, quum in armis eum ſine ulla pompa contemplarentur. Hinc pulvinum qui allatus ſibi erat, accipere, & conſidere maximum natu (Acuphi nomen erat) juſſit. Cujus admiratus benignitatem & humanitatem Acuphis, quæſivit quibus conditionibus ipſos recipere in amicitiam vellet: reſpondente Alexandro, Ut teipſum patriæ tuæ principem imponamus, & vos centum ad nos viros optimos mittatis: arridens Acuphis, Atqui melius, inquit, imperavero, rex, ſi deterrimos ad te potius quam optimos miſero.

Taxiles perhibetur Indiæ obtinuiſſe Ægypto non anguſtiorem laxitate portionem, pabulo autem lætam fœcundamque fructibus imprimis, ac vir ipſe ſapiens fuiſſe: atque quum ſalutaret Alexandrum, dixiſſe, Quid bellis inter nos & prœlio Alexander opus eſt, quum neque aquam nobis ademptum neque victum neceſſarium veneris? pro quibus ſolis neceſſe habent homines ſani decertare. Reliquis vero opibus & facultatibus, quas vocant, ſi ego abundantior ſum, impertiar tibi libens; ſin inferior, non recuſo accipere abs te grato animo beneficium. Delectatus ea oratione Alexander, illumque complexus, An tu, inquit, pugna arbitraris ex tali ſermone & comitate colloquium fore immune? At nihil proficis: quippe contendam tecum & depugnabo beneficiis, ne me ſuperes benignitate. Ac muneribus acceptis multis, datiſque pluribus, denique mille talenta argenti ſignati ei propinavit. Qua

re

οἷς τοὺς μὲν φίλους ἰσχυρῶς ἐλύπησεν, τῶν δὲ βαρβάρων πολλοὺς ἐποίησεν ἡμερωτέρως ἔχειν πρὸς αὐτόν. ἐπεὶ δὲ τῶν Ἰνδῶν οἱ μαχιμώτατοι μισθοφοροῦντες ἐπεφοίτων ταῖς πόλεσιν ἐῤῥωμένως ἀμύνοντες, καὶ κατὰ πολλὰ τὸν Ἀλέξανδρον ἐκακοποίουν, σπεισάμενος ἔν τινι πόλει πρὸς αὐτοὺς, ἀπιόντας ἐν ὁδῷ λαβὼν, ἅπαντας ἀπέκτεινεν. καὶ τοῦτο τοῖς πολεμικοῖς ἔργοις αὐτοῦ τἆλλα νομίμως καὶ βασιλικῶς πολεμήσαντος, ὡς κηλὶς πρόσεστιν. οὐκ ἐλάσσονα δὲ τούτων οἱ φιλόσοφοι πράγματα παρέσχον αὐτῷ, τούς τε προστιθεμένους τῶν βασιλέων κακίζοντες, καὶ τοὺς ἐλευθέρους δήμους ἀφιστάντες. διὸ καὶ τούτων πολλοὺς ἐκρέμασεν.

Τὰ δὲ πρὸς Πῶρον αὐτὸς ἐν ταῖς ἐπιστολαῖς ὡς ἐπράχθη γέγραφεν. φησὶ γὰρ ἐν μέσῳ τῶν στρατοπέδων τοῦ Ὑδάσπου ῥέοντος, ἀντιπρώρους ἱστάντα τοὺς ἐλέφαντας ἀεὶ τὸν Πῶρον ἐπιτηρεῖν τὴν διάβασιν. αὐτὸν μὲν οὖν καθ᾽ ἡμέραν ἑκάστην ψόφον ποιεῖν καὶ θόρυβον ἐν τῷ στρατοπέδῳ πολὺν, ἐθίζοντα τοὺς βαρβάρους μὴ φοβεῖσθαι· νυκτὸς δὲ χειμερίου καὶ ἀσελήνου, λαβόντα τῶν πεζῶν μέρος, ἱππεῖς δὲ τοὺς κρατίστους, καὶ προελθόντα πόῤῥω τῶν πολεμίων, διαπεράσαι πρὸς νῆσον οὐ μεγάλην. ἐνταῦθα δὲ ῥαγδαίου μὲν ἐκχυθέντος ὄμβρου, πρηστήρων δὲ πολλῶν καὶ κεραυνῶν εἰς τὸ στρατόπεδον φερομένων, ὅμως ὁρῶν ἀπολλυμένους τινὰς καὶ συμφλεγομένους ὑπὸ τῶν κεραυνῶν, ἀπὸ τῆς νησῖδος ἄρας, προσφέρεσθαι ταῖς ἀντιπέρας ὄχθαις. τραχὺν δὲ τὸν Ὑδάσπην ὑπὸ τοῦ χειμῶνος ἐπιόντα καὶ μετέωρον, ἔκρηγμα ποιῆσαι μέγα, καὶ πολὺ μέρος ἐκείνῃ φέρεσθαι τοῦ ῥεύματος· αὐτὸς δὲ δέξασθαι τὸ μέσον οὐ βεβαίως, ἅτε δὴ

re torſit amicos acriter, ſed barbaros multos ſibi reddidit manſuetiores. Bellicoſiſſimi Indi militabant mercede: hi urbes ſtrenue defendebant, multiſque modis Alexandrum fatigabant. Cum his inducias in oppido quodam fecit, mox recipientes ſe in itinere oppreſſit: quæ rebus illius bello geſtis, juſte alias & regaliter bellantis, quaſi labes adhæſit. Non minus quam hi, infeſtabant eum philoſophi: qui reges Alexandro qui ſe conjunxerant, inſectabantur, & liberos populos ſolicitabant: quapropter multos ex his ſuſpendit.

Cum Poro acta ipſe in epiſtolis, quemadmodum ſunt geſta, prodidit. Ait enim interlabente utraque caſtra Hydaſpe, Porum elephantos ſemper frontibus ad fluvium converſis tenentem captaſſe tranſitum ſuum; ſe vero ſtrepitum in caſtris & tumultum quotidie ingentem excitaſſe, quo aſſuefaceret ſuos non formidare barbaros. Hinc nocte brumali & obſcura cum parte peditum & lectiſſimis equitibus procul ſe ab hoſtibus progreſſum, in inſulam non magnam tranſmiſiſſe. Ibi imbre ingentibus procellis fuſo, crebriſque in exercitum preſteribus & fulguribus cadentibus, ſolviſſe tamen, quamvis interire nonnullos & perſtringi fulmine videret, atque ex inſula ſe ad ulteriorem ripam contendiſſe. Hydaſpem, quum ex illa tempeſtate torrens & tumidus ferretur, perrupiſſe grandi eluvie ripam, magnamque partem illac undæ decurriſſe. Terram ſe intermediam cepiſſe non ſtabili pede, utpote lubricam, quam undi-

δὴ συνολισθαῖνον καὶ περιρρηγνύμενον. ἐνταῦθα δὲ εἰπεῖν φασιν αὐτόν, ὦ Ἀθηναῖοι, ἆρά γε πιστεύσαιτε ἂν ἡλίκους ὑπομένω κινδύνους ἕνεκα τῆς παρ' ὑμῖν εὐδοξίας; ἀλλὰ τοῦτο μὲν Ὀνησίκριτος εἴρηκεν· αὐτὸς δέ φησιν, τὰς σχεδίας ἀφέντας αὐτοὺς μετὰ τῶν ὅπλων τὸ ἔκρηγμα διαβαίνειν ἄχρι μαστῶν βρεχομένους. διαβὰς δὲ, τῶν πεζῶν εἴκοσι σταδίους προϊππεῦσαι, λογιζόμενος, εἰ μὲν οἱ πολέμιοι τοῖς ἵπποις προσβάλλοιεν, πολὺ κρατήσειν· εἰ δὲ κινοῖεν τὴν φάλαγγα, φθήσεσθαι τοὺς πεζοὺς αὐτῷ προσγενομένους· θάτερον δὲ συμβῆναι. τῶν γὰρ ἱππέων χιλίους, καὶ τῶν ἁρμάτων ἑξήκοντα συμπεσόντα τρεψάμενος, τὰ μὲν ἅρματα λαβεῖν ἅπαντα, τῶν δ' ἱππέων ἀνελεῖν τετρακοσίους. οὕτω δὴ συμφρονήσαντα τὸν Πῶρον ὡς αὐτὸς εἴη διαβεβηκὼς Ἀλέξανδρος, ἐπιέναι μετὰ πάσης τῆς δυνάμεως, πλὴν ὅσον ἐμποδὼν εἶναι τοῖς διαβαίνουσι τῶν Μακεδόνων ἀπέλιπεν. φοβηθεὶς δὲ τὰ θηρία καὶ τὸ πλῆθος τῶν πολεμίων, αὐτὸς μὲν ἐνσεῖσαι κατὰ θάτερον κέρας, κοινῇ δὲ τῷ δεξιῷ προσβαλεῖν κελεῦσαι. γενομένης δὲ τροπῆς ἑκατέρωθεν, ἀναχωρεῖν ἀεὶ πρὸς τὰ θηρία καὶ συνειλεῖσθαι τοὺς ἐκβιαζομένους. ὅθεν ἤδη τὴν μάχην ἀναμεμιγμένην εἶναι, καὶ μόλις ὀγδόης ὥρας ἀπειπεῖν τοὺς πολεμίους. ταῦτα μὲν οὖν ὁ τῆς μάχης ποιητὴς αὐτὸς ἐν ταῖς ἐπιστολαῖς εἴρηκεν. οἱ δὲ πλεῖστοι τῶν συγγραφέων ὁμολογοῦσι, τὸν Πῶρον ὑπεραίροντα τεσσάρων πηχῶν σπιθαμῇ τὸ μῆκος ἱππότου, μηδὲν ἀποδεῖν πρὸς τὸν ἐλέφαντα συμμετρίᾳ, διὰ τὸ μέγεθος καὶ τὸν ὄγκον τοῦ σώματος· καίτοι μέγιστος ἦν ὁ ἐλέφας. σύνεσιν δὲ θαυμαστὴν ἐπεδείξατο καὶ κηδεμονίαν τοῦ βασιλέως, ἐρ-

ρωμένου

undique lacerabat unda. Ibi dixiſſe autumant eum, Quis credat, Athenienſes, quanta pericula veſtri præconii cauſa ſubeam? Cæterum hoc prodidit Oneſicritus. Ipſe autor eſt ratibus relictis Macedonas ſub armis eluviem illam ſuperaſſe, pertingente ad pectus unda. Amne trajecto viginti ſtadia ſe ante peditatum provectum: ſi hoſtis confligeret ſecum equitatu, multo ſe ratum ſuperiorem fore; ſin moveret peditatum, mature peditatum ſuum ſe conſequuturum. Eveniſſe alterum: nam fudiſſe ſe mille equites & currus ſexaginta, qui ſecum fuerant congreſſi. Currus cepiſſe omnes, equites quadringentos occidiſſe. Ita advertente Poro ipſum tranſmiſiſſe Alexandrum, cum omnibus copiis ſe intuliſſe, non pluribus ibi relictis quam qui tranſitum impedirent Macedonum. Belluarum & hoſtium multitudinis metu in alterum cornu invectum ſe, cæteros immiſiſſe omnes in dextrum. Utroque averſo cornu, eos qui premebantur ad beſtias ſemper ſe recepiſſe, atque ibi agmen coegiſſe. Inde promiſcue pugnatum, ut vix octava hora hoſtes terga dederint. Hæc ipſe prœlii autor recenſuit in epiſtolis. Porum plerique ſcriptores conſentiunt quatuor cubitos palmo excedentem, ob corporis eminentiam & molem, elephanto, quantumvis fuerit grandis, equitis portione reſpondiſſe. Mirificam ſolertiam hæc bellua demonſtravit & ſolicitudinem pro rege. Qui eum

μένου μὲν ἔτι, θυμῷ τοὺς προσμαχομένους ἀμυνόμενος καὶ ἀνακόπτων· ὡς δὲ ᾔσθετο βελῶν πλήθει καὶ τραυμάτων κάμνοντα, δείσας μὴ περιῤῥυῇ, τοῖς μὲν γόνασιν εἰς γῆν ὑφῆκεν πράως ἑαυτὸν, τῇ δὲ προνομαίᾳ λαμβάνων ἀτρέμα τῶν δορατίων ἕκαστον, ἐξῆρεν τοῦ σώματος. ἐπεὶ δὲ ληφθέντα τὸν Πῶρον ὁ Ἀλέξανδρος ἠρώτα πῶς αὐτῷ χρήσηται, βασιλικῶς, εἶπεν· προσπυθομένου δὲ, μή τι ἄλλο λέγει, Πάντα, εἶπεν, ἐστὶν ἐν τῷ βασιλικῶς. οὐ μόνον οὖν ἀφῆκεν αὐτὸν ἄρχειν ὧν ἐβασίλευεν, σατράπην καλούμενον, ἀλλὰ καὶ προσέθηκε χώραν, καὶ τοὺς αὐτονόμους καταστρεψάμενος, ἐν ᾗ πεντεκαίδεκα μὲν ἔθνη, πόλεις δὲ πεντακισχιλίας ἀξιολόγους, κώμας δὲ παμπόλλας εἶναι φασίν· ἄλλην δὲ τρὶς τοσαύτην, ἧς Φίλιππον τινὰ τῶν ἑταίρων σατράπην ἀπέδειξεν.

Ἐκ δὲ τῆς πρὸς Πῶρον μάχης καὶ ὁ Βουκεφάλας ἐτελεύτησεν, οὐκ εὐθὺς, ἀλλ᾽ ὕστερον, ὡς οἱ πλεῖστοι λέγουσιν, ὑπὸ τραυμάτων θεραπευόμενος· ὡς δὲ Ὀνησίκριτος, διὰ γῆρας ὑπέρπονος γενόμενος· τριάκοντα γὰρ ἐτῶν ἀποθανεῖν αὐτόν. ἐδήχθη δ᾽ ἰσχυρῶς Ἀλέξανδρος, οὐδὲν ἄλλο ἢ συνήθη καὶ φίλον ἀποβεβληκέναι νομίζων· καὶ πόλιν οἰκίσας ἐπ᾽ αὐτῷ παρὰ τὸν Ὑδάσπην, Βουκεφαλίαν προσηγόρευσεν. λέγεται δὲ καὶ κύνα Περίταν ὄνομα τεθραμμένον ὑπ᾽ αὐτοῦ καὶ στεργόμενον ἀποβαλὼν κτίσαι πόλιν ἐπώνυμον. τοῦτο δὲ Σωτίων φησὶν Ποτάμωνος ἀκοῦσαι τοῦ Λεσβίου.

Τοὺς μέντοι Μακεδόνας ὁ πρὸς Πῶρον ἀγὼν ἀμβλυτέρους ἐποίησεν, καὶ τὸ πρόσω τῆς Ἰνδικῆς ἔτι προσελθεῖν ἐπέσχεν. μόλις γὰρ ἐκεῖνον ὠσάμενοι, δισ-

adhuc valentem adorientes animoſe excepit & rejecit: ut vero telorum & vulnerum vi ſenſit confectum, veritus ne deflueret, genibus leniter humi demiſit ſe, & proboſcide ſingula jacula ſenſim ex corpore ejus evulſit. Ut captum Alexander Porum rogavit quomodo de ipſo conſuleret, Regaliter, reſpondit. Adjiciente Alexandro nihilne aliud vellet, Omnia, inquit, verbum Regaliter complectitur. Igitur non modo ei priſtinum regnum ſub ſatrapæ nomine reſtituit, verum etiam adjecit liberorum ibi populorum, quos ſubegit, regionem: in qua nationes quindecim, urbium non mediocrium quinque millia, & vicos quam plurimos memorant fuiſſe. Aliam domuit ter tantam, cujus Philippo uni ex cohorte amicorum præfecturam dedit.

Ex prœlio cum Poro commiſſo Bucephalas mortuus eſt, non extemplo, ſed poſt, ut plerique produnt, ſub vulnerum curatione: ut Oneſicritus eſt autor, ob ſenium labore confectus. Nam triginta annorum ætate ait eum deceſſiſſe. Mortem ejus tulit Alexander graviter, non aliter exiſtimans quam ſi familiarem & amicum amiſiſſet. In memoriam ejus ſuper Hydaſpem condidit urbem, quam appellavit Bucephaliam. Ferunt canem quoque eum, Peritam nomine, alitum ab ipſo atque in deliciis habitum amiſiſſe, urbemque erexiſſe ei cognominem. Id Sotion de Potamone ſe Lesbio narrat audiviſſe.

At Macedonas illa cum Poro pugna reddidit ſegniores, repreſſitque, ne peterent ulteriorem Indiam. Quum enim ægre pepuliſſent illum

δισμυρίοις πεζοῖς καὶ δισχιλίοις ἱππεῦσι παραταξάμενον, ἀντέστησαν ἰσχυρῶς Ἀλεξάνδρῳ βιαζομένῳ καὶ τὸν Γάγγην περάσαι ποταμὸν, εὖρος μὲν αὐτοῦ δύο καὶ τριάκοντα σταδίων εἶναι πυνθανόμενοι, καὶ βάθος ὀργυιὰς ἑκατόν· ἀντιπέρας δὲ τὰς ὄχθας ἀποκεκρύφθαι πλήθεσιν ὅπλων καὶ ἵππων καὶ ἐλεφάντων. ἐλέγοντο γὰρ ὀκτὼ μὲν μυριάδας ἱπποτῶν, εἴκοσι δὲ πεζῶν, ἅρματα δὲ ὀκτακισχίλια, καὶ μαχίμους ἐλέφαντας ἑξακισχιλίους ἔχοντες οἱ Γανδαριτῶν καὶ Πραισίων βασιλεῖς ὑπομένειν. καὶ κόμπος οὐκ ἦν περὶ ταῦτα. Ἀνδρόκοττος γὰρ ὕστερον οὐ πολλῷ βασιλεύσας, Σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο, καὶ στρατοῦ μυριάσιν ἑξήκοντα τὴν Ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος. τὸ μὲν οὖν πρῶτον, ὑπὸ δυσθυμίας καὶ ὀργῆς αὐτὸν εἰς τὴν σκηνὴν καθείρξας ἔκειτο, χάριν οὐδεμίαν εἰδὼς τοῖς διαπεπραγμένοις, εἰ μὴ περάσειεν τὸν Γάγγην, ἀλλ' ἐξομολόγησιν ἥττης τιθέμενος τὴν ἀναχώρησιν. ὡς δὲ οἵ τε φίλοι τὰ εἰκότα παρηγοροῦντες αὐτὸν, οἵ τε στρατιῶται κλαυθμῷ καὶ βοῇ προσιστάμενοι ταῖς θύραις ἱκέτευον, ἐπικλασθεὶς ἀνεζεύγνυεν, πολλὰ πρὸς δόξαν ἀπατηλὰ καὶ σοφιστικὰ μηχανώμενος. καὶ γὰρ ὅπλα μείζονα καὶ φάτνας ἵππων καὶ χαλινοὺς βαρυτέρους κατασκευάσας, ἀπέλιπέ τε καὶ διέρριψεν. ἱδρύσατο δὲ βωμοὺς Θεῶν, οὓς μέχρι νῦν οἱ Πραισιαίων βασιλεῖς διαβαίνοντες σέβονται, καὶ θύουσιν Ἑλληνικὰς θυσίας. Ἀνδρόκοττος δὲ, μειράκιον ὢν, αὐτὸν Ἀλέξανδρον εἶδεν, καὶ λέγεται πολλάκις εἰπεῖν ὕστερον, ὡς παρ' οὐδὲν ἦλθεν τὰ πράγματα λαβεῖν Ἀλέξανδρος, μισουμένου τε καὶ καταφρονουμένου τοῦ βασιλέως διὰ μοχθηρίαν καὶ δυσγένειαν. Ἐν-

illum qui viginti millia peditum & duo millia equitum in aciem adduxerat, obnixe reluctati Alexandro ſunt, ſuperare contendenti etiam amnem Gangem: cujus accipiebant latitudinem duorum & triginta ſtadiorum eſſe, & ulnarum centum profunditatem, ripas ulteriores peditum, equitum, elephantorum agminibus coopertas. Siquidem fama tenebat octoginta equitum millibus, ducentis peditum, curruum octo, & elephantorum bellatorum ſex millibus munitos Gandaritarum & Præſiorum reges ibi eum operiri. Neque ea vane jactata. Androcottus enim, qui non multo poſt regnavit, elephantos Seleuco quingentos dono dedit, & ſexcentis millibus militum Indiam peragrans, omnem redegit in poteſtatem. Hic primum animi mœrore & ira tabernaculo incluſus abjecit ſe in terram, pœnitebatque eum rerum perpetratarum, niſi Gangem ſuperaret, & pro confeſſione victum ſe eſſe, habebat reditum. At ubi amici eum, prout erat, ſuadentes, aſſiſtenteſque foribus cum planctu & ſtrepitu milites ſupplices oraverunt, infractus paravit ſe ad reditum, multaque fucata & commentitia eſt gloriæ cauſa machinatus. Quippe grandiora arma & equorum præſepia frænaque fabricatus ponderoſiora, reliquit & diſſeminavit. Poſuit præterea Deorum aras, quas hac quoque memoria Præſiorum reges trajecto flumine venerantur, immolantque hoſtias ibi Græco ritu. Androcottus id temporis adoleſcens ipſum Alexandrum vidit, ferturque ſæpe poſtea dixiſſe, nihil factum fuiſſe propius quam ut rerum illic Alexander potitus fuiſſet, quod rex ob improbitatem & ignobilitatem inviſus atque contemptus eſſet.

 Inde

Ἐντεῦθεν ὁρμήσας Ἀλέξανδρος τὴν ἔξω θάλασσαν ἐπιδεῖν, καὶ πολλὰ πορθμεῖα κωπήρη καὶ σχεδίας πηξάμενος, ἐκόμιζε τοῖς ποταμοῖς ὑποφερόμενος σχολαίως. ὁ δὲ πλοῦς οὐκ ἀργὸς ἦν οὐδὲ ἀπόλεμος· προσβάλλων δὲ ταῖς πόλεσιν καὶ ἀποβαίνων, ἐχειροῦτο πάντα. πρὸς δὲ τοῖς καλουμένοις Μαλλοῖς, οὓς φασιν Ἰνδῶν μαχιμωτάτους γενέσθαι, μικρὸν ἐδέησεν κατακοπῆναι. τοὺς μὲν γὰρ ἀνθρώπους βέλεσιν ἀπὸ τῶν τειχῶν ἀπεσκέδασεν· πρῶτος δὲ διὰ κλίμακος τεθείσης ἀναβὰς ἐπὶ τὸ τεῖχος, ὡς ἥ τε κλίμαξ συνετρίβη, καὶ τῶν βαρβάρων ὑφισταμένων παρὰ τὸ τεῖχος, ἐλάμβανε πληγὰς κάτωθεν, ὀλιγοστὸς ὤν, συστρέψας ἑαυτὸν εἰς μέσους ἀφῆκεν τοὺς πολεμίους, καὶ κατὰ τύχην ὀρθὸς ἔστη. τιναξαμένου δὲ τοῖς ὅπλοις, ἔδοξαν οἱ βάρβαροι σέλας τι καὶ φάσμα πρὸ τοῦ σώματος φέρεσθαι. διὸ καὶ τὸ πρῶτον ἔφυγον καὶ διεσκεδάσθησαν· ὡς δὲ εἶδον αὐτὸν μετὰ δυεῖν ὑπασπιστῶν, ἐπιδραμόντες, οἱ μὲν ἐκ χειρὸς ξίφεσιν καὶ δόρασιν διὰ τῶν ὅπλων συνετίτρωσκον ἀμυνόμενον· εἷς δὲ μικρὸν ἀπωτέρω στὰς, ἐφῆκεν ἀπὸ τόξου βέλος οὕτως εὔτονον καὶ βίαιον, ὥστε τὸν θώρακα διακόψαν ἐμπαγῆναι τοῖς περὶ τὸν μαστὸν ὀστέοις. πρὸς δὲ τὴν πληγὴν ἐνδόντος αὐτοῦ τὸ σῶμα καὶ κάμψαντος, ὁ μὲν βαλὼν ἐπέδραμεν, σπασάμενος βαρβαρικὴν μάχαιραν· Πευκέστας δὲ καὶ Λιμναῖος προσέστησαν· ὧν πληγέντων ἑκατέρων, ὁ μὲν ἀπέθανεν, Πευκέστας δὲ ἀντεῖχεν. τὸν δὲ βάρβαρον Ἀλέξανδρος ἀπέκτεινεν· αὐτὸς δὲ τραύματα πολλὰ λαμβάνων, τέλος δὲ πληγεὶς ὑπέρῳ κατὰ τοῦ τραχήλου, προσήρεισε τῷ τείχει τὸ σῶμα, βλέπων πρὸς τοὺς πολεμίους. ἐν τούτῳ δὲ τῶν Μακεδόνων περιχυθέντων, ἁρπασθεὶς,

Inde pergens Alexander ad contemplandum Oceanum, frequentes naves actuarias & rates parat, iiſque ſecundo flumine per otium defertur. Non fuit inanis ea navigatio tamen neque belli exſors. Nam deſcenſionibus faciendis urbibuſque oppugnandis omnia redegit in poteſtatem. In Mallis vero, quos Indorum perhibent bellicoſiſſimos fuiſſe, pene conciſus eſt. Cives enim telis a muris rejecit, poſitiſque ſcalis in murum evaſit primus: quæ ubi imminutæ ſunt, atque a barbaris infra ſtantibus juxta murum multa tela ingeſta paucis comitato, librato corpore in medios ſaltu ſe immiſit hoſtes, & forte fortuna ſe pedibus excepit. Cujus vibrantibus armis, jubar aliquod & ſpectrum barbaris videbatur pro corpore ejus obverſari. Unde primum in fugam effuſi ſunt: cæterum ut duobus tantum comitatum armigeris conſpexere, impreſſione facta, alii comminus gladiis lanceiſque trajecerunt arma ejus, pugnantemque fortiter convulneraverunt. Unus paulo remotior ſagittam arcu excuſſit tanta vi & impetu, ut adacta per loricam in coſtas ejus ſecundum mammam defigeretur. Ad ictum remittente Alexandro & inclinante corpus, ille qui miſerat ſagittam, enſe diſtricto barbarico occurrit. Aſſiſtebant ei Peuceſtas & Limnæus, qui vulnerati ambo, alter cecidit, Peuceſtas reſtitit: barbarum Alexander obtruncavit. Multis confixus vulneribus, tandemque ictus piſtillo in collo, corpus mœnibus applicuit ad hoſtes reſpiciens. Interea circumfundentibus ſe Macedonibus abreptus, ſemianimiſque

ἀρπασθεὶς, ἀναίσθητος ἤδη τῶν περὶ αὐτὸν ἐπὶ σκηνῆς ἐκομίζετο. καὶ παραυτίκα μὲν ὡς τεθνεῶτος ἦν λόγος ἐν τῷ στρατοπέδῳ· χαλεπῶς δὲ καὶ πολυπόνως τὸν οἰστὸν ἐκπρισάντων ξύλινον ὄντα, καὶ τοῦ θώρακος οὕτω μόλις ἀπολυθέντος, περὶ τὴν ἐκκοπὴν ἐγίνοντο τῆς ἀκίδος ἐνδεδυκύας ἐν ἑνὶ τῶν ὀστέων. λέγεται δὲ τὸ μὲν πλάτος, τριῶν δακτύλων εἶναι, τὸ δὲ μῆκος, τεσσάρων. διὸ ταῖς λειποθυμίαις ἔγγιστα θανάτου συνελαυνόμενος, ἐξαιρουμένης αὐτῆς, ὅμως ἀνέλαβεν. καὶ διαφυγὼν τὸν κίνδυνον, ἔτι δὲ ἀσθενὴς ὤν, καὶ πολὺν χρόνον ἐν διαίτῃ καὶ θεραπείαις ἔχων αὐτὸν, ἔξω θορυβοῦντας ὡς ᾔσθετο ποθοῦντας αὐτὸν ἰδεῖν τοὺς Μακεδόνας, λαβὼν ἱμάτιον προῆλθεν, καὶ θύσας τοῖς Θεοῖς, αὖθις ἀνῆλθεν, καὶ παρεκομίζετο χώραν τε πολλὴν καὶ πόλεις μεγάλας καταστρεφόμενος.

Τῶν δὲ γυμνοσοφιστῶν τοὺς μάλιστα τὸν Σάββαν ἀναπείσαντας ἀποστῆναι, καὶ κακὰ πλεῖστα τοῖς Μακεδόσι παρασχόντας, λαβὼν δέκα, δεινοὺς δοκοῦντας εἶναι περὶ τὰς ἀποκρίσεις καὶ βραχυλόγους, ἐρωτήματα προὔγραφεν αὐτοῖς ἄπορα· φήσας ἀποκτενεῖν τὸν μὴ ὀρθῶς ἀποκρινόμενον πρῶτον, εἶτα ἐφεξῆς οὕτω τοὺς ἄλλους. ἕνα δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. ὁ μὲν οὖν πρῶτος ἐρωτηθεὶς, πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας, ἢ τοὺς τεθνηκότας, ἔφη τοὺς ζῶντας· οὐκ ἔτι γὰρ εἶναι τοὺς τεθνηκότας. ὁ δὲ δεύτερος, πότερον τὴν γῆν ἢ τὴν θάλατταν μείζονα τρέφειν θηρία· τὴν γῆν. ταύτης γὰρ ἔφη μέρος εἶναι τὴν θάλατταν. ὁ δὲ τρίτος, ποῖόν ἐστιν ζῶον πανουργότατον· ὃ μέχρι τοῦ νῦν, εἶπεν, ἄνθρωπος οὐκ ἔγνωκεν. ὁ δὲ τέταρτος ἀνακρινόμενος

τίνι

que jam in tabernaculum eſt relatus: ac mox regem vulgatum eſt in caſtris exſpiraſſe. Ingenti autem difficultate ac labore ſagittam, quæ lignea erat, abſcindunt. Tum detracto tandem vix thorace, accingunt ſe ad evellendum ſpiculum, quod uni oſſi erat infixum. Dicitur tres digitos latum fuiſſe, longum quatuor. Unde animo identidem linquente pene exanimis, exempto eo tamen recepit ſe. Quum ex periculo emerſiſſet, eſſet tamen adhuc imbecillis, diuque in victus ratione & cura hæreret, ubi tumultuantes videndi ſui deſiderio Macedonas animadvertit, ſumpto pallio prodiit, & quum Diis ſacra feciſſet, iterum conſcendit naves. In tranſitu latum tractum urbeſque amplas domuit.

Ex Gymnoſophiſtis, qui præcipue Sabbam ad defectionem impulerant, & plurimum fatigaverant Macedonas, decem acres ad reſpondendum & ſuccinctos in explicanda quæſtione habitos cepit. His quæſtiones obſcuras poſuit, necem denuntians primo qui parum recte reſpondiſſet, inde ordine reliquis. Unum natu maximum dedit judicem. Primus interrogatus, Vivoſne plures eſſe, an mortuos cenſeret, Vivos ait: neque enim jam eſſe eos, qui mortui ſunt. Secundus, Terram an pelagus grandiores gignere belluas, Terram: quippe hujus, inquit, pelagus portio eſt. Tertius, Quod animal callidiſſimum eſſet, Quod hactenus, inquit, homo non cognovit. Quartus requiſitus, Quamobrem Sabbam

τίνι λογισμῷ τὸν Σάββαν ἀπέστησεν· ἀπεκρίνατο, καλῶς ζῆν βουλόμενον αὐτόν, ἢ κακῶς ἀποθανεῖν. ὁ δὲ πέμπτος, ἐρωτηθεὶς πότερον οἴεται τὴν ἡμέραν ἢ τὴν νύκτα προτέραν γεγονέναι, Τὴν ἡμέραν, εἶπεν, ἡμέρᾳ μιᾷ· καὶ προσεῖπεν οὕτως θαυμάσαντος τοῦ βασιλέως, ὅτι τῶν ἀπόρων ἐρωτήσεων ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. μεταλαβὼν οὖν, τὸν ἕκτον ἠρώτα πῶς ἄν τις φιληθείη μάλιστα, Ἂν κράτιστος ὤν, ἔφη, μὴ φοβερὸς ᾖ. τῶν δὲ λοιπῶν, ὁ μὲν ἐρωτηθεὶς πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο Θεός, Εἴ τι πράξειεν, εἶπεν, ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἔστιν· ὁ δέ, περὶ ζωῆς καὶ θανάτου, πότερον ἰσχυρότερον, ἀπεκρίνατο, τὴν ζωήν, τοσαῦτα κακὰ φέρουσαν. ὁ δὲ τελευταῖος, μέχρι τίνος ἄνθρωπον καλῶς ἔχον ζῆν· μέχρι οὗ μὴ νομίζει τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον. οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστήν, ἐκέλευσεν ἀποφαίνεσθαι. τοῦ δὲ ἕτερον ἑτέρου χεῖρον εἰρηκέναι φήσαντος, Οὐκοῦν, ἔφη, καὶ σὺ πρῶτος ἀποθανῇ, τοιαῦτα κρίνων. Οὐκ ἄν γε, εἶπεν, ὦ βασιλεῦ, εἰ μὴ σὺ ψεύδῃ, φήσας πρῶτον ἀποκτενεῖν τὸν ἀποκρινόμενον κάκιστα.

Τούτους μὲν οὖν ἀφῆκεν δωρησάμενος· πρὸς δὲ τοὺς ἐν δόξῃ μάλιστα καὶ καθ' ἑαυτοὺς ἐν ἡσυχίᾳ ζῶντας ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. ὁ δὲ Ὀνησίκριτος ἦν φιλόσοφος τῶν Διογένει τῷ Κυνικῷ συνεσχολακότων. καὶ φησὶν τὸν μὲν Καλανὸν ὑβριστικῶς πάνυ καὶ τραχέως κελεύειν, ἀποδύντα τὸν χιτῶνα, γυμνὸν ἀκροᾶσθαι τῶν λόγων· ἄλλως δὲ οὐ διαλέξεσθαι πρὸς αὐτόν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται· τὸν δὲ Δάνδαμιν, πρᾳ-

ότερον

bam ad rebellionem concitaſſet, reſponſum dedit, Quo honeſte viveret, aut male periret. Quintus rogatus, Diem an noctem putaret fuiſſe priorem, Diem, ait, uno die. Adjecit autem (quum id rex admiraretur) implicatarum interrogationum neceſſe eſſe ut eſſent implicatæ reſponſiones. Ita progrediens ſextum percunctatus eſt, Quemadmodum quis maxime ſe efficiat charum. Si potentiſſimus, inquit ille, nec formidabilis eſſet. Ex reliquis alius rogatus, Quemadmodum ex mortali quis Deus evadat. Siquid fecerit, inquit, quod facere impoſſibile ſit homini. Alius, de vita & morte, utra valentior, reſpondit, vitam tam multa tolerantem mala. Poſtremus, quatenus hominem vivere deceat, eatenus dum mori quam vivere non cenſeat præſtare. Ita tandem verſus ad judicem pronuntiare eum juſſit ſententiam: qui quum alium alio dixiſſet pejus reſpondiſſe, Ergo tu, inquit, primus moriere, qui ita decernis: Minime vero, rex, inquit ille, niſi tu mentiaris; qui primum dixiſti interfecturum te illum qui peſſime reſpondiſſet.

Hos igitur muneribus honoratos dimiſit. Ad eos vero qui erant clariſſimi, ſolitariam autem quietamque vitam agebant, Oneſicritum miſit petitum, ad ſe ut venirent. Fuit Oneſicritus philoſophus ex Diogenis Cynici contubernio. Ait is Calanum ſane quam ſuperbe & aſpere juſſiſſe ei ut poſita veſte audiret ſe nudus: alioqui non congreſſurum cum eo ſe, ne ſi a Jove miſſus eſſet quidem. Dandamim egiſſe placidius,

ac

ὅτερον, καὶ διακούσαντα περὶ Σωκράτους καὶ Πυθαγόρου καὶ Διογένους, εἰπεῖν· ὡς εὐφυεῖς μὲν αὐτῷ γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι. ἄλλοι δέ φασιν τὸν Δάνδαμιν οὐδὲν εἰπεῖν, ἀλλ' ἢ τοσοῦτον μόνον, τίνος χάριν ὁ Ἀλέξανδρος ὁδὸν τοσαύτην δεῦρ' ἦλθεν; τὸν μέντοι Καλανὸν ἔπεισεν ὁ Ταξίλης ἐλθεῖν πρὸς Ἀλέξανδρον. ἐκαλεῖτο δὲ Σφίνης· ἐπεὶ δὲ κατ' Ἰνδικὴν γλῶτταν τῷ καλὲ προσαγορεύων ἀντὶ τοῦ χαίρειν τοὺς ἐντυγχάνοντας ἠσπάζετο, Καλανὸς ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. τοῦτον δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς τῷ Ἀλεξάνδρῳ προθέσθαι. καταβαλὼν γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηρὰν καὶ κατεσκληκυῖαν, ἐπάτησε τὸ ἄκρον· ἡ δὲ, εἰς ἓν πιεσθεῖσα, τοῖς ἄλλοις ἐπῄρθη μέρεσιν. καὶ τοῦτο περιϊὼν ἐν κύκλῳ καὶ πιέζων, καθ' ἕκαστον ἐδείκνυεν γιγνόμενον, ἄχρι οὗ τὸ μέσον ἐπιστὰς κατέσχεν, καὶ πάντα οὕτως ἠρέμησεν. ἐβούλετο δὲ ἡ εἰκὼν ἔνδειξις εἶναι τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς ἀρχῆς πιέζειν, καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν Ἀλέξανδρον.

Ἡ δὲ διὰ τῶν ποταμῶν πρὸς τὴν θάλατταν ὑπαγωγὴ μηνῶν ἑπτὰ χρόνον ἀνήλωσεν. ἐμβαλὼν δὲ ταῖς ναυσὶν εἰς τὸν Ὠκεανὸν, ἀνέπλευσεν πρὸς νῆσον ἣν Σκιλλοῦστιν αὐτὸς ὠνόμασεν, ἕτεροι δὲ Ψιλτοῦκιν. ἐνταῦθα δὲ ἀποβὰς, ἔθυεν τοῖς Θεοῖς, καὶ τὴν φύσιν ἐπεῖδεν τοῦ πελάγους καὶ τῆς παραλίας, ὅσον ἐφικτὸν ἦν. εἶτα ἐπευξάμενος μηδένα μετ' αὐτὸν ἀνθρώπων ὑπερβῆναι τοὺς ὅρους τῆς στρατείας, ἀνέστρεφεν. καὶ τὰς μὲν ναῦς ἐκέλευσε περιπλεῖν, ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἔχουσας, ἡγεμόνα μὲν Νέαρχον ἀποδείξας,

ac de Socrate, Pythagora, Diogene quum audiviſſet, dixiſſe magno ingenio ſibi eos viros videri fuiſſe, ſed nimia legum reverentia vixiſſe. Alii Dandamim nihil memorant niſi ſolum hoc quæſiſſe, qua de cauſa Alexander eo veniſſet tam immenſo itinere. Calanum tamen, ut ad Alexandrum proficiſceretur, Taxiles induxit. Sphines vocabatur: ſed quod ſermone Indico Cale pro Salve ſalutans obvios compellaret, Calanus eſt a Græcis nominatus. Hunc referunt exemplum imperii ſui Alexandro ob oculos poſuiſſe. Corium in medium conjecit ſiccum & retorridum, cujus oram calcavit. Id uno loco preſſum cæteris partibus extulit ſe. Idem circulans undique & pedibus ſtringens in quaque parte oſtendit evenire, quoad medium pedibus occupavit, tunc omnes partes quievere. Ea imagine ſignificavit media regni maxime premenda, neque procul ab iis vagandum Alexandro eſſe.

Deſcenſus Alexandri per flumina ad Oceanum ſeptem menſium ſpatium abſumpſit. Ut vero claſſe ad Oceanum penetravit, acceſſit ad inſulam, quam ipſe Scilluſtin, Pſiltucin alii appellavere. Ibi excenſione facta Diis ſacrificavit, pelagique & oræ marinæ, quatenus aſſequi valuit, indolem colluſtravit. Inde precatus, ne quis poſt ſe mortalium expeditionis ſuæ tranſcenderet terminos, regreſſus eſt. Naves circumvehi juſſit, relicta ad dextram India. Claſſi præfecit Nearchum, magiſtrum

ξας, ἀρχικυβερνήτην δὲ, Ὀνησίκριτον. αὐτὸς δὲ πεζῇ δι' Ὠρειτῶν πορευόμενος, εἰς ἐσχάτην ἀπορίαν προήχθη, καὶ πλῆθος ἀνθρώπων ἀπώλεσεν, ὥστε τῆς μαχίμου δυνάμεως μηδὲ τὸ τέταρτον ἐκ τῆς Ἰνδικῆς ἀπαγαγεῖν. καίτοι δώδεκα μὲν μυριάδες ἦσαν οἱ πεζοὶ, τὸ δ' ἱππικὸν, εἰς μυρίους καὶ πεντακισχιλίους. ἀλλὰ καὶ νόσοι χαλεπαὶ, καὶ δίαιται πονηραὶ, καὶ καύματα ξηρὰ, καὶ πλείστους ὁ λιμὸς διέφθειρεν, ἄσπορον χώραν ἐπιόντας ἀνθρώπων κακοβίων, ὀλίγα καὶ ἀγεννῆ πρόβατα κεκτημένων, ἃ τοὺς θαλαττίους ἰχθύας εἰθισμένα προσφέρεσθαι, σάρκα μοχθηρὰν εἶχεν καὶ δυσώδη. μόλις οὖν ἐν ἡμέραις ἑξήκοντα ταύτην διελθὼν, καὶ τῆς Γεδρωσίας ἁψάμενος, εὐθὺς ἐν ἀφθόνοις ἦν πᾶσιν, τῶν ἔγγιστα σατραπῶν καὶ βασιλέων παρασκευασάντων.

Ἀναλαβὼν οὖν ἐνταῦθα τὴν δύναμιν, ἐξώρμησεν κώμῳ χρώμενος ἐφ' ἡμέρας ἑπτὰ διὰ τῆς Καρμανίας. αὐτὸν μὲν οὖν ἵπποι σχέδην ἐκόμιζον ὀκτὼ μετὰ τῶν ἑταίρων ὑπὲρ θυμέλης ἐν ὑψηλῷ καὶ περιφανεῖ πλαισίῳ πεπηγυῖας, εὐωχούμενον συνεχῶς ἡμέρας καὶ νυκτός. ἅμαξαι δὲ παμπληθεῖς, αἱ μὲν ἁλουργοῖς καὶ ποικίλοις περιβολαίοις, αἱ δ' ὕλης ἀεὶ προσφάτου καὶ χλωρᾶς σκιαζόμεναι κλάδοις εἵποντο, τοὺς ἄλλους ἄγουσαι φίλους καὶ ἡγεμόνας ἐστεφανωμένους καὶ πίνοντας. εἶδες δ' ἂν οὐ πέλτην, οὐ κράνος, οὐ σάρισσαν, ἀλλὰ φιάλαις καὶ ῥυτοῖς καὶ θηρικλείοις παρὰ τὴν ὁδὸν ἅπασαν οἱ στρατιῶται βαπτίζοντες ἐκ πίθων μεγάλων καὶ κρατήρων ἀλλήλοις προέπινον, οἱ μὲν, ἐν τῷ προάγειν ἅμα καὶ βαδίζειν, οἱ δὲ κατακείμενοι. πολλὴ δὲ μοῦσα συρίγγων καὶ αὐλῶν, ᾠδῆς τε καὶ ψαλμοῦ καὶ βακχείας γυναικῶν κατεῖχε πάντα τόπον.

ſtrum gubernatorum Oneſicritum creavit. Ipſe pedeſtri itinere per Oritas pergens, in extremam inopiam recidit, multoſque mortales amiſit, ut militarium copiarum ne quartam quidem partem reduceret ex India, quum peditum eſſent centum viginti millia, equitum ad quindecim millia. Ad hæc graves morbi, pravus victus, fervores torridi plurimos conſumpſere, dum regionem peragrant incultam hominum duram vitam agentium: qui paucas & viles habebant oves marinis piſcibus aſſuetas veſci, atque hinc prava carne & putida præditas. Hanc tandem diebus ſexaginta ægre emenſus, Gedroſiam attigit. Ibi in rerum omnium egit affluentia, quod proximi ſatrapæ & reges de omnibus providiſſent.

Igitur refecto hic exercitu, inceſſit comeſſabundus diebus ſeptem per Carmaniam. Illum equi octo compoſito gradu vehebant cum amicis ſuper pulpitum in edito & conſpicuo tabulato erectum quadrato, conviviis noctem diebus continuantem. Sequebantur currus frequentes, partim purpureis & picturatis tapetibus, partim arborum ſemper recentium & virentium inumbrati ramis, quibus alii vehebantur amici & duces ejus coronati potanteſque. Videres non cetram, non galeam, non ſariſſam, ſed phialis, pateris, calicibus Thericleis milites toto itinere ex grandibus doliis & crateris haurientes, præbibebant inter ſe, alii ſimul inter pergendum & progrediendum, alii recumbentes. Circumſonabant omnia loca fiſtulis, tibiis, carminibus, cantilenis, bacchabundis mulieribus.

τόπον· τῷ δὲ ἀτάκτῳ καὶ πεπλανημένῳ τῆς πορείας, παρείπετο ταῖς φιάλαις καὶ παιδιὰ βακχικῆς ὕβρεως, ὡς τοῦ Θεοῦ παρόντος αὐτοῦ, καὶ συμπαραπέμποντος τὸν κῶμον. ἐπεὶ δὲ ἧκε τῆς Γεδρωσίας εἰς τὸ βασίλειον, αὖθις ἀνελάμβανε τὴν στρατιὰν πανηγυρίζων. λέγεται δὲ μεθύοντα αὐτὸν θεωρεῖν ἀγῶνας χορῶν, τὸν δὲ ἐρώμενον Βαγόαν χορηγοῦντα νικῆσαι, καὶ κεκοσμημένον διὰ τοῦ θεάτρου παρελθόντα καθίσαι παρ' αὐτόν· ἰδόντας δὲ τοὺς Μακεδόνας, κροτεῖν καὶ βοᾶν, φιλῆσαι κελεύοντας, ἄχρις οὗ περιβαλὼν κατεφίλησεν.

Ἐνταῦθα τῶν περὶ Νέαρχον ἀναβάντων πρὸς αὐτὸν, ἡσθεὶς καὶ διακούσας τὰ περὶ τὸν πλοῦν, ὥρμησεν αὐτὸς πλεύσας κατὰ τὸν Εὐφράτην στόλῳ μεγάλῳ, εἶτα περὶ τὴν Ἀραβίαν καὶ τὴν Λιβύην παρακομισθεὶς, διὰ στηλῶν Ἡρακλείων ἐμβαλεῖν εἰς τὴν ἐντὸς θάλασσαν. καὶ πλοῖα παντοδαπὰ περὶ Θάψακον ἐπήγνυτο, καὶ συνήγοντο ναῦται καὶ κυβερνῆται πανταχόθεν. ἡ δὲ ἄνω στρατεία χαλεπὴ γενομένη, καὶ τὸ περὶ Μαλλοὺς στράτευμα καὶ ἡ φθορὰ πολλὴ λεχθεῖσα τῆς δυνάμεως, ἀπιστίᾳ τῆς σωτηρίας αὐτοῦ, τά τε ὑπήκοα πρὸς ἀποστάσεις ἐπῆρεν, καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις ἀδικίαν πολλὴν καὶ πλεονεξίαν καὶ ὕβριν ἐποίησεν· καὶ ὅλως διέδραμεν σάλος ἁπάντων καὶ νεωτερισμός. ὅπου καὶ πρὸς Ἀντίπατρον Ὀλυμπιὰς καὶ Κλεοπάτρα στασιάσασαι διείλοντο τὴν ἀρχὴν, Ὀλυμπιὰς μὲν, Ἤπειρον, Κλεοπάτρα δὲ Μακεδονίαν παραλαβοῦσα. καὶ τοῦτο ἀκούσας Ἀλέξανδρος, βέλτιον ἔφη βεβουλεῦσθαι τὴν μητέρα· Μακεδόνας γὰρ οὐκ ἂν ὑπομεῖναι βασιλευομένους ὑπὸ γυναικός. διὰ ταῦτα Νέαρχον μὲν αὖθις ἐπὶ θάλασσαν ἔπεμ-

lieribus. Tam incompoſito & incondito itinere comitabatur pocula bacchabundæ licentiæ ludus, quaſi ipſo præſente Baccho & comeſſationis duce. Poſtquam in regiam Gedroſiæ venit, relaxavit de integro exercitum tempeſtivis conviviis. Ferunt temulentum chororum ludos ſpectaſſe, amaſium ejus Bagoam choragum palmam obtinuiſſe, exornatumque medio theatro tranſiſſe, & ad latus ejus conſediſſe: Macedonas, quum id viderent, plaudentes ut oſculum ei ferret conclamaſſe, quoad illum complexus & diſſuaviatus ſit.

Huc rediit ad eum Nearchus, lætuſque ille intellecta navigatione, inſtituit ipſe magna claſſe devectus per Euphratem, Arabiam & Africam ambire, atque per columnas Herculis in mare mediterraneum decurrere. Omnis adeo generis navigia apud Thapſacum parabantur, nauticique & gubernatores conquirebantur undique. At fama duræ illius in ſuperioribus provinciis expeditionis, oppugnationiſque Mallorum atque ingentis ſtragis exercitus, ex diffidentia illius ſalutis concitavit ſubditos paratos ad defectionem, ducibuſque & ſatrapis magnæ exercendæ violentiæ, avaritiæ & flagitiorum dedit occaſionem. Brevi fluctus & ſeditio omnes pervaſit. Quando etiam Olympias & Cleopatra contra Antipatrum tumultuantes provinciam ejus partitæ ſunt; Olympias Epirum, Macedoniam Cleopatra ſumpſit. Qua re ad Alexandrum perlata, rectius dixit matrem ſuam conſuluiſſe: neque enim regnum Macedonas fuiſſe fœminæ toleraturos. Unde Nearchum extemplo ad mare mi-

ἔπεμψεν, ἐμπλῆσαι πολέμων ἅπασαν ἐγνωκὼς τὴν παραλίαν· αὐτὸς δὲ καταβαίνων ἐκόλασεν τοὺς πονηροὺς τῶν στρατηγῶν. τῶν δὲ Ἀβουλίτου παίδων, ἕνα μὲν Ὀξυάρτην αὐτὸς ἀπέκτεινεν, σαρίσσῃ διελάσας· Ἀβουλίτου δὲ μηδὲν τῶν ἀναγκαίων παρασκευάσαντος ἀλλ᾽ ἢ τρισχίλια τάλαντα νομίσματος αὐτῷ προσαγαγόντος, ἐκέλευσε τοῖς ἵπποις τὸ ἀργύριον παραβαλεῖν. ὡς δ᾽ οὐκ ἐγεύοντο, φήσας, τί οὖν ὄφελος ἡμῖν τῆς σῆς παρασκευῆς; καθεῖρξε τὸν Ἀβουλίτην.

Ἐν δὲ Πέρσαις, πρῶτον μὲν ἀπέδωκε τὸ νόμισμα ταῖς γυναιξὶν, ὥσπερ εἰώθεισαν οἱ βασιλεῖς ὁσάκις εἰς Πέρσας ἀφίκοιντο διδόναι χρυσοῦν ἑκάστῃ. καὶ διὰ τοῦτο φασὶν ἐνίους μὴ πολλάκις, Ὦχον δὲ μηδὲ ἅπαξ εἰς Πέρσας παραγενέσθαι, διὰ μικρολογίαν ἀποξενώσαντα τῆς πατρίδος ἑαυτόν. ἔπειτα τὸν Κύρου τάφον εὑρὼν διορωρυγμένον, ἀπέκτεινε τὸν ἀδικήσαντα, καίτοι Πελλαῖος ἦν οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα Πολύμαχος. τὴν δὲ ἐπιγραφὴν ἀναγνοὺς, ἐκέλευσεν Ἑλληνικοῖς ὑποχαράξαι γράμμασιν, εἶχεν δὲ οὕτως, Ω ΑΝΘΡΩΠΕ, ΟΣΤΙΣ ΕΙ, ΚΑΙ ΠΟΘΕΝ ΗΚΕΙΣ (ΟΤΙ ΜΕΝ ΓΑΡ ΗΞΕΙΣ, ΟΙΔΑ) ΕΓΩ ΚΥΡΟΣ ΕΙΜΙ Ο ΠΕΡΣΑΙΣ ΚΤΗΣΑΜΕΝΟΣ ΤΗΝ ΑΡΧΗΝ. ΜΗ ΟΥΝ ΤΗΣ ΟΛΙΓΗΣ ΤΑΥΤΗΣ ΓΗΣ ΦΘΟΝΗΣΗΣ, Η ΤΟΥΜΟΝ ΣΩΜΑ ΠΕΡΙΚΑΛΥΠΤΕΙ. ταῦτα μὲν οὖν ἐμπαθῆ σφόδρα τὸν Ἀλέξανδρον ἐποίησεν, ἐν νῷ λαβόντα τὴν ἀδηλότητα καὶ τὴν μεταβολήν. ὁ δὲ Κάλανος ἐνταῦθα χρόνον οὐ πολὺν ὑπὸ κοιλίας ἐνοχληθεὶς, ᾐτήσατο πυ-
ρὰν

miſit, ſtatuitque oram maritimam armis omnem implere. In progrediendo ſumpſit de ducibus qui deliquerant ſupplicium. Unum ipſe ex Abulitis filiis Oxyartem interfecit, quem haſta tranſverberavit: Abuliti, qui nihil præparaverat commeatus, tantum argenti ſignati tria millia talentorum attulit, equis objicere juſſit pecuniam. Quibus eam non guſtantibus, Quo igitur nobis, inquit, hic paratus? ita Abulitem in vincula compegit.

In Perſide nummos primum fœminis donavit, ut moris erat regibus, quoties inirent Perſidem, ſingulis aureum largiri. Itaque aliquos referunt non crebro, Ochum vero ne ſemel quidem ob avaritiam Perſas inviſiſſe, exiliumque ſibi patriæ indixiſſe. Hinc quum Cyri conditorium apertum comperiſſet, interfecit autorem, quamvis Pellæus eſſet non ex obſcuriſſimis, qui id admiſerat, Polymachus nomine. Titulum quum legiſſet, juſſit Græcis quoque literis infra incidi. Is fuit hujuſcemodi, QUISQUIS ES HOMO, ET UNDECUNQUE VENISTI (NAM VENTURUM NOVI) EGO CYRUS SUM, PERSIS QUI QUAESIVI IMPERIUM. NE INVIDEAS MIHI, ORO TE, EXIGUAM HANC HUMUM, QUAE CORPUS TEGIT MEUM. Hæc Alexandrum vehementer permovere ſecum reputantem rerum incertitudinem ac viciſſitudinem. Eadem tempeſtate Calanus, quum non diu alvi fluore laboraſſet, rogum poſtu-
lavit

ϱεῖν αὐτῷ γίνεσθαι. καὶ κομισθεὶς ἵππῳ πρὸς αὐτὴν, ἐπευξάμενος καὶ κατασπείσας ἑαυτοῦ, καὶ τῶν τριχῶν ἀπαρξάμενος, ἀναβαίνων ἐδεξιοῦτο τοὺς παρόντας τῶν Μακεδόνων, καὶ παρεκάλει τὴν ἡμέραν ἐκείνην ἡδέως γίνεσθαι, καὶ μεθυσθῆναι μετὰ τοῦ βασιλέως· αὐτὸν δὲ ἐκεῖνον ἔφη μετ' ὀλίγον χρόνον ἐν Βαβυλῶνι ὄψεσθαι. ταῦτα δὲ εἰπὼν, κατακλιθεὶς καὶ συγκαλυψάμενος, οὐκ ἐκινήθη τοῦ πυρὸς πλησιάζοντος, ἀλλ' ἐν ᾧ κατεκλίθη σχήματι τοῦτο διατηρῶν, ἐκαλλιέρησεν ἑαυτὸν τῷ πατρίῳ νόμῳ τῶν ἐκεῖ σοφιστῶν. τοῦτο πολλοῖς ἔτεσιν ὕστερον ἄλλος Ἰνδὸς ἐν Ἀθήναις Καίσαρι συνὼν ἐποίησεν· καὶ δείκνυται μέχρι νῦν τὸ μνημεῖον, Ἰνδοῦ προσαγορευόμενον.

Ὁ δὲ Ἀλέξανδρος ἀπὸ τῆς πυρᾶς γενόμενος, καὶ συναγαγὼν πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἐπὶ δεῖπνον, ἀγῶνα προὔθηκεν καὶ στέφανον ἀκρατοποσίας. ὁ μὲν οὖν πλεῖστον πιὼν Πρόμαχος, ἄχρι χοῶν τεσσάρων προῆλθεν· καὶ λαβὼν τὸ νικητήριον στέφανον ταλαντιαῖον, ἡμέρας τρεῖς ἐπέζησεν. τῶν δὲ ἄλλων, ὥς Χάρης φησὶν, τετταράκοντα καὶ εἷς ἀπέθανον πίνοντες, ἰσχυροῦ τῇ μέθῃ κρύους ἐπιγενομένου. τῶν δὲ ἑταίρων γάμον ἐν Σούσοις ἐπιτελῶν, καὶ λαμβάνων μὲν αὐτὸς γυναῖκα, τὴν Δαρείου θυγατέρα Στάτειραν, διανέμων δὲ τὰς ἀρίστας τοῖς ἀρίστοις, κοινὸν δὲ τῶν ἤδη προγεγαμηκότων Μακεδόνων γάμον καλὸν ἑστιάσας· ἐν ᾧ φασὶν ἐννακισχιλίων τῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ὄντων, ἑκάστῳ χρυσῆν φιάλην πρὸς τὰς σπονδὰς δοθῆναι· τά τε ἄλλα θαυμαστῶς ἐλαμπρύνατο, καὶ τὰ χρέα τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς διαλύσας, τοῦ παντὸς ἀναλώματος ἐλάσ-

lavit ſibi ſtrui. Ad quem poſtquam eſt equo delatus, Deos precatus, libamina ſibi ipſe infudit, primitiaſque crinium ſuorum injecit. Inde rogum conſcendens aſſiſtentes Macedonas complexus eſt, rogavitque lætum ut illum diem tranſigerent, & cum rege perpotarent: illum ipſum brevi ait Babylone ſe reviſurum. Ita locutus decubuit operuitque ſe, neque ſe appropinquante igne movit, ſed quo compoſuerat ſe habitu eum conſervans, veteri illorum ſophiſtarum more ſemetipſe immolavit. Hoc multis annis poſt alius Indus Athenis ex comitatu Cæſaris imitatus eſt: cujus viſitur hac quoque ætate monumentum, Indi appellatum.

Regreſſus a rogo Alexander frequentibus amicis & præfectis ad cœnam invitatis, certamen & præmium propoſuit potandi meri. Qui plurimum hauſit, Promachus ad quatuor congios progreſſus eſt, relatoque pro victoriæ pretio talento, triduum ſuperſtes fuit. Ex cæteris (ut Chares autor eſt) unus & quadraginta ex vinolentia exanimati, quum excepiſſet ingens gelu crapulam. Nuptias amicorum Suſis celebravit, atque ipſe Darii filiam duxit uxorem Statiram. Clariſſimas clariſſimis junxit, ac commune Macedonum, qui jam ante contraxerant connubia, celebravit ſplendide epulum nuptiale, in quo memorant cuique convivarum, quorum fuerit novem millium numerus, auream phialam ad libandum donatam. Jam fuit cum in cæteris mirifice largus, tum æs alienum exercitus creditoribus de ſuo diſſolvit. Ejus impenſæ univerſa

ἐλάσσονος μυρίων ταλάντων ἑκατὸν τριάκοντα ταλάντοις γινομένου. ἐπεὶ δ' Ἀντιγένης ὁ ἑτερόφθαλμος, ὡς ὀφείλων ἀπεγράψατο ψευδῶς, καὶ παραγαγών τινα φάσκοντα δεδανεικέναι πρὸς τὴν τράπεζαν, ἀπέτισεν τὸ ἀργύριον, εἶτα ἐφωράθη ψευδόμενος· ὀργισθεὶς ὁ βασιλεὺς, ἀπήλασεν τῆς αὐλῆς αὐτὸν, καὶ παρείλετο τὴν ἡγεμονίαν. ἦν δὲ λαμπρὸς ἐν τοῖς πολεμικοῖς ὁ Ἀντιγένης· καὶ ἔτι δὲ νέος ὢν Φιλίππου πολιορκοῦντος Πέρινθον, ἐμπεσόντος αὐτῷ καταπελτικοῦ βέλους εἰς τὸν ὀφθαλμὸν, οὐ παρέσχεν βουλομένοις ἐξελεῖν τὸ βέλος, οὐδὲ ὑφήκατο, πρὶν ὤσασθαι προσμαχόμενος καὶ κατακλεῖσαι τοὺς πολεμίους εἰς τὸ τεῖχος. οὐ μετρίως οὖν τότε τὴν ἀτιμίαν ἔφερεν, ἀλλὰ δῆλος ἦν ἑαυτὸν ὑπὸ λύπης καὶ βαρυθυμίας διαχρησόμενος. καὶ τοῦτο δείσας ὁ βασιλεὺς, ἀνῆκεν τὴν ὀργὴν, καὶ τὰ χρήματα ἔχειν ἐκέλευσεν αὐτόν.

Τῶν δὲ παίδων τῶν τρισμυρίων, οὓς ἀσκουμένους καὶ μανθάνοντας ἀπέλιπε, τοῖς τε σώμασιν ἀνδρείων φανέντων, καὶ τοῖς εἴδεσιν εὐπρεπῶν, ἔτι δὲ καὶ ταῖς μελέταις εὐχέρειαν καὶ κουφότητα θαυμαστὴν ἐπιδειξαμένων, αὐτὸς μὲν ἥσθη· τοῖς δὲ Μακεδόσι δυσθυμία παρέστη καὶ δέος, ὡς ἧττον αὐτοῖς τοῦ βασιλέως προσέξοντος. διὸ καὶ τοὺς ἀσθενεῖς καὶ πεπηρωμένους αὐτοῦ καταπέμποντος ἐπὶ θάλατταν, ὕβριν ἔφασαν εἶναι καὶ προπηλακισμὸν, ἀνθρώποις ἀποχρησάμενον εἰς ἅπαντα, νῦν ἀποτίθεσθαι σὺν αἰσχύνῃ, καὶ προσρίπτειν ταῖς πατρίσι καὶ τοῖς γονεῦσιν, οὐ τοιούτους παραλαβόντα. πάντας οὖν ἐκέλευον ἀφιέναι, καὶ πάντας ἀχρήστους νομίζειν Μακεδόνας, ἔχοντα τοὺς νέους τούτους πυρ-

verſa ſumma centum & triginta minus ad decem millia talenta pervenit. Antigenes autem unoculus obæratum ſimulans ſe, falſo nomen dederat, adductoque certo ad menſam qui affirmavit ſe ei dediſſe mutuo, repræſentavit ei pecuniam. Eo poſtea mendacii comperto exarſit rex, ſummovitque eum aula, atque præfecturam ademit. Fuit bello bonus Antigenes, ac juvenis etiamnum, quum obſideret Philippus Perinthum, intorto ex catapulta in oculum ſuum telo, non paruit eximere telum volentibus, neque pugnam remiſit priuſquam urgens pepuliſſet atque inter muros redegiſſet hoſtes. Non modice ergo tulit in præſentia ignominiam, verum præ ſe tulit dolore & mœrore manus ſibi ipſum allaturum. Id timens Alexander, iram depoſuit, & ipſum pecuniam eam juſſit ſibi habere.

Triginta millia puerorum, quos exercendos & inſtituendos reliquerat, virili corpore invenit & ſpecie decora. Dederunt inſuper illi miræ dexteritatis & agilitatis documenta. Ea re læto rege, angor Macedonas & metus inceſſit, minus regem ipſis addictum fore. Quapropter quum debiles & membris mutilatos remitteret ille domum, contumeliam dictitaverunt eam & opprobrium eſſe, quod quibus hominibus abuſus ad omnia fuerat, eos ignominioſe tunc in patriam & ad parentes detruderet, non eo quo acceperat eos ſtatu. Igitur miſſionem omnes flagitare, conclamareque, omnes Macedonas pro inutilibus habe-

πυῤῥιχιστὰς, σὺν οἷς ἐπιὼν καταλήσεται τὴν οἰκουμένην. πρὸς ταῦτα χαλεπῶς ὁ Ἀλέξανδρος ἔσχεν, καὶ πολλὰ μὲν ἐλοιδόρησεν αὐτοὺς πρὸς ὀργὴν, ἀπελάσας δὲ, τὰς φυλακὰς παρέδωκε Πέρσαις, καὶ κατέστησεν ἐκ τούτων δορυφόρους καὶ ῥαβδοφόρους· ὑφ' ὧν ὁρῶντες αὐτὸν παραπεμπόμενον, αὐτοὺς δὲ ἀπειργομένους καὶ προπηλακιζομένους, ἐταπεινοῦντο· καὶ διδόντες λόγον, εὕρισκον αὐτοὺς ὀλίγου δεῖν μανέντας ὑπὸ ζηλοτυπίας καὶ ὀργῆς. τέλος δὲ, συμφρονήσαντες ἐβάδιζον ἄνοπλοι καὶ μονοχίτωνες ἐπὶ τὴν σκηνὴν μετὰ βοῆς καὶ κλαυθμοῦ παραδιδόντες ἑαυτοὺς, δὲ χρήσασθαι κελεύοντες ὡς κακοῖς καὶ ἀχαρίστοις. ὁ δ' οὐ προσίετο, καίπερ ἤδη μαλασσόμενος. οἱ δ' οὐκ ἀπέστησαν, ἀλλ' ἡμέρας δύο καὶ νύκτας οὕτω προεστῶτες καὶ ὀλοφυρόμενοι καὶ κοίρανον ἀνακαλοῦντες ἐκαρτέρησαν. τῇ δὲ τρίτῃ προελθὼν, καὶ θεασάμενος οἰκτροὺς καὶ τεταπεινωμένους, ἐδάκρυεν πολὺν χρόνον· εἶτα μεμψάμενος μέτρια, καὶ προσαγορεύσας φιλανθρώπως, ἀπέλυσε τοὺς ἀχρήστους, δωρησάμενος μεγαλοπρεπῶς, καὶ γράψας πρὸς Ἀντίπατρον, ὅπως ἐν πᾶσι τοῖς ἀγῶσι καὶ τοῖς θεάτροις προεδρίαν ἔχοντες ἐστεφανωμένοι καθέζοιντο. τῶν δὲ τεθνηκότων τοὺς παῖδας ὀρφανοὺς ὄντας, ἐμμίσθους ἐποίησεν.

Ὡς δὲ ἧκεν εἰς Ἐκβάτανα τῆς Μηδίας, καὶ διῴκησε τὰ κατεπείγοντα, πάλιν ἦν ἐν θεάτροις καὶ πανηγύρεσιν, ἅτε δὴ τρισχιλίων αὐτῷ τεχνιτῶν ἀπὸ τῆς Ἑλλάδος ἀφιγμένων. ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας Ἡφαιστίων πυρέσσων· οἷα δὲ νέος καὶ στρατιωτικὸς, οὐ φέρων ἀκριβῆ δίαιταν, ἀλλὰ

haberet, ſolos juvenes hos retineret ſaltatores, quibuſcum orbem terræ iret ſubjugatum. Inde concitatus Alexander frendenſque multis convitiis hos proſcidit, eiſque amotis, corporis ſui cuſtodiam tradidit Perſis, atque ex his ſatellites apparitoreſque delegit. A quibus quum cernerent illum ſtipari, ſe vero rejici ignominioſe, conciderunt animis, ac colloquuti inter ſe deprehenderunt ſeipſos ex æmulatione & indignatione pene inſanire. Poſtremo ad ſe reverſi uno animo perrexerunt ad regis tabernaculum inermes & tunicati, cum clamore & plangore offerentes ſemetipſos, petenteſque uteretur ipſis quaſi improbis & ingratis. Ille vero, quamvis jam placatior, non admiſit eos. Non abſceſſerunt illi, ſed duos dies & noctes ita pro tabernaculo ejus lamentantes dominumque appellantes perduravere. Tertio die prodiit, ac quum lamentabiles abjectoſque vidiſſet, in lacrymas longo ſpatio eſt effuſus. Inde modice caſtigavit eos, tum appellavit humaniter, ac dimiſit inutiles, ubi eos magnifice donavit. Scripſit inſuper ad Antipatrum, ut omnibus in ludis & ſpectaculis primum locum tenerent, & coronati ibi conſiderent. Demortuorum liberis orbis ſtipendia parentum attribuit.

Poſtquam Ecbatana Mediæ venit, rebus compoſitis neceſſariis, retulit ſe ad ſpectacula & tempeſtiva convivia, quod tria millia artificum ad eum ex Græcia veniſſent. Sub idem tempus Hephæſtio febre correptus eſt. Ut juvenis & militaris exactioris impatiens victus, dum

ἀλλὰ τῷ τὸν ἰατρὸν Γλαῦκον ἀπελθεῖν εἰς τὸ θέατρον, περὶ ἄριστον γενόμενος, καὶ καταφαγὼν ἀλεκτρυόνα ἑφθὸν, καὶ ψυκτῆρα μέγαν ἐκπιὼν οἴνου, κακῶς ἔσχεν, καὶ μικρὸν διαλιπὼν ἀπέθανεν. τοῦτο οὐδενὶ λογισμῷ τὸ πάθος Ἀλέξανδρος ἤνεγκεν, ἀλλ' εὐθὺς μὲν ἵππους τε κείρασθαι πάντας ἐπὶ πένθει καὶ ἡμιόνους ἐκέλευσεν, καὶ τῶν πέριξ πόλεων ἀφεῖλεν τὰς ἐπάλξεις· τὸν δὲ ἄθλιον ἰατρὸν ἀνεσταύρωσεν. αὐλοὺς δὲ κατέπαυσεν καὶ μουσικὴν ἐν τῷ στρατοπέδῳ πολὺν χρόνον, ἕως ἐξ Ἄμμωνος ἦλθεν μαντεία τιμᾶν Ἡφαιστίωνα, καὶ θύειν ὡς ἥρωϊ παρακελεύουσα. τοῦ δὲ πένθους παρηγορίᾳ τῷ πολέμῳ χρώμενος, ὥσπερ ἐπὶ θήραν καὶ κυνηγεσίαν ἀνθρώπων ἐξῆλθεν, καὶ τὸ Κουσσαίων ἔθνος κατεστρέφετο, πάντας ἡβηδὸν ἀποσφάττων. τοῦτο δὲ Ἡφαιστίωνος ἐναγισμὸς ἐκαλεῖτο. τύμβον δὲ καὶ τάφον αὐτοῦ καὶ τὸν περὶ ταῦτα κόσμον ἀπὸ μυρίων ταλάντων ἐπιτελέσαι διανοούμενος, ὑπερβαλέσθαι δὲ τῷ φιλοτέχνῳ καὶ περιττῷ τῆς κατασκευῆς τὴν δαπάνην, ἐπόθησεν μάλιστα τῶν τεχνιτῶν Στασικράτην, μεγαλουργίαν τινὰ καὶ τόλμαν καὶ κόμπον ἐν ταῖς καινοτομίαις ἐπαγγελλόμενον. οὗτος γὰρ αὐτῷ πρότερον ἐντυχὼν, ἔφη τῶν ὀρῶν μάλιστα τὸν Θρᾴκιον Ἄθων διατύπωσιν ἀνδρείκελον δέχεσθαι καὶ διαμόρφωσιν· ἂν οὖν κελεύῃ, μονιμώτατον ἀγαλμάτων αὐτῷ καὶ περιφανέστατον ἐξεργάσασθαι τὸν Ἄθων, τῇ μὲν ἀριστερᾷ χειρὶ περιλαμβάνοντα μυρίανδρον πόλιν οἰκουμένην, τῇ δὲ δεξιᾷ σπένδοντα ποταμοῦ ῥεῦμα δαψιλὲς εἰς τὴν θάλασσαν ἀπορρέοντος. ταῦτα μὲν οὖν παρῃτήσατο, πολλῷ δὲ ἀτοπώτερα καὶ δαπανηρότερα τούτων σοφιζόμενος τότε καὶ συμμηχανώμενος τοῖς τεχνίταις διέτριβεν. Εἰς

dum medicus Glaucus ad ſpectaculum abiit, prandium ſumpſit, adeſoque gallo gallinaceo aſſo, atque epoto ingenti vini frigefacti cratere, male habuit, pauloque poſt deceſſit. Hunc caſum tulit parum ſapienter Alexander, ſed confeſtim equos omnes muloſque tonderi lugubriter juſſit, circumjectorum oppidorum pinnas detraxit, miſerum medicum egit in crucem, tibias muſicamque perdiu in caſtris compeſcuit, quoad ab Ammone allatum oraculum eſt, ut Hephæſtionem colerent tanquam Heroem, eique ſacrificarent. Ad luctus elevationem bellum adhibuit, ac ſicut ad venationem hominum egreſſus, Cuſſæorum gentem excidit, omnemque ad internecionem delevit. Ea Hephæſtionis parentatio dicta. In tumbam & monumentum ejus atque in hac exornanda decem millia talentorum ſtatuens expendere, operiſque præſtantia & exquiſita arte ſuperare ſumptum, deſideravit præter omnes artifices Staſicratem, qui projectam granditatem & magnificentiam in novis rebus edendis promittebat. Quippe hic antea jactaverat apud eum in colloquio, ex montibus Thracium Athum configurari & conformari ad hominis effigiem facillime poſſe. Itaque ſi vellet, ſimulacrum ſe ei ex Atho effecturum æternum & illuſtriſſimum, quod ſiniſtra teneret frequentem mille capitibus urbem, dextra fundentem largam fluminis undam in mare decurrentis: verum hoc repudiavit. At tunc de multo abſurdioribus ſumptuoſioribuſque quotidie agebat cum artificibus commentandis & machinandis.

Ba-

Εἰς δὲ Βαβυλῶνα προάγοντος αὐτοῦ, Νέαρχος (ἀφίκετο γὰρ αὖθις εἰς τὸν Εὐφράτην διὰ τῆς μεγάλης θαλάσσης) ἔφη τινὰς ἐντυχεῖν αὐτῷ Χαλδαίους, παραινοῦντας ἀπέχεσθαι Βαβυλῶνος τὸν Ἀλέξανδρον. ὁ δὲ οὐκ ἐφρόντισεν, ἀλλ᾽ ἐπορεύετο· καὶ πρὸς τοῖς τείχεσι γενόμενος, κόρακας εἶδεν πολλοὺς διαφερομένους, καὶ τύπτοντας ἀλλήλους, ὧν ἔνιοι κατέπεσον παρ᾽ αὐτόν. ἔπειτα μηνύσεως γενομένης κατ᾽ Ἀπολλοδώρου τοῦ στρατηγοῦ τῆς Βαβυλῶνος, ὡς εἴη περὶ αὐτοῦ τεθυμένος, ἐκάλει Πυθαγόραν τὸν μάντιν. οὐκ ἀρνουμένου δὲ τὴν πρᾶξιν, ἠρώτησε τῶν ἱερῶν τὸν τρόπον. φήσαντος δὲ ὅτι τὸ ἧπαρ ἦν ἄλοβον, παπαὶ, εἶπεν, ἰσχυρὸν τὸ σημεῖον. καὶ τὸν Πυθαγόραν οὐδὲν ἠδίκησεν· ἤχθετο δὲ μὴ πεισθεὶς τῷ Νεάρχῳ, καὶ τὰ πολλὰ τῆς Βαβυλῶνος ἔξω κατασκηνῶν, καὶ περιπλέων τὸν Εὐφράτην διέτριβεν. ἠνώχλει δὲ αὐτὸν σημεῖα πολλά. καὶ γὰρ λέοντα τῶν τρεφομένων μέγιστον καὶ κάλλιστον ἥμερος ὄνος ἐπελθὼν καὶ λακτίσας ἀνεῖλεν. ἀποδυσαμένου δὲ πρὸς ἄλειμμα, καὶ σφαῖραν αὐτοῦ παίζοντος, οἱ νεανίσκοι οἱ σφαιρίζοντες, ὡς ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν τῷ θρόνῳ καθεζόμενον σιωπῇ, τὸ διάδημα καὶ τὴν στολὴν τὴν βασιλικὴν περικείμενον. οὗτος ἀνακρινόμενος ὅστις εἴη, χρόνον πολὺν ἄναυδος ἦν· μόλις δὲ συμφρονήσας, Διονύσιος μὲν ἔφη καλεῖσθαι, Μεσσήνιος δὲ εἶναι τὸ γένος· ἐκ δέ τινος αἰτίας καὶ κατηγορίας ἐνταῦθα κομισθεὶς ἀπὸ θαλάσσης, πολὺν χρόνον γεγονέναι ἐν δεσμοῖς· ἄρτι δὲ αὐτῷ τὸν Σάραπιν ἐπιστάντα τοὺς δεσμοὺς ἀνεῖναι, καὶ προάγειν δεῦρο, καὶ κελεῦσαι λαβόντα τὴν στολὴν καὶ τὸ διάδημα καθίσαι καὶ σιωπᾶν.

Ταῦ-

Babylonem pergenti Nearchus, qui ab Oceano Euphratem invectus reverterat, refert conveniſſe ſe certos Chaldæos, qui monebant, Babylone ut abſtineret Alexander. Nihil motus tamen progreſſus eſt. Poſtquam pervenit ad muros urbis, corvorum examen vidit certantium & ſe mutuo cædentium: quorum aliquot juxta ipſum ſunt delapſi. Inde delato ad eum indicio præfectum Babylonis Apollodorum de ipſo exta conſuluiſſe, aruſpicem Pythagoram accivit. Non inficiantem factum rogavit, quid deprehendiſſet in hoſtia: qui ubi reſpondit jecur ſine capite fuiſſe, Papæ, inquit, fœdum prodigium! Nec Pythagoram violavit: verum pœnituit eum quod fidem non adhibuiſſet Nearcho: ac fere extra muros Babylonios divertit, circumvectuſque eſt animi cauſa per Euphratem. Terrebant autem eum multa prodigia. Leonem grandiſſimum & ſpecioſiſſimum eorum qui ibi alebantur, domeſticus aſinus adortus calce interfecit. Depoſitis veſtibus unctus pila ludebat. Ibi juvenes qui pila luſerant, ubi reſumenda erant pallia, hominem contemplantur tacitum in ſolio ſedentem, diademate & amictu regio ornatum. Hic in quæſtione interrogatus qui eſſet, diu non reddidit vocem. Vix tandem, quum ad ſe rediiſſet, Dionyſium ait dici ſe, eſſe Meſſenium genere, certis autem criminibus accuſatum, atque eo a mari ductum, longo ſpatio in vinculis fuiſſe, modo Sarapim adſtitiſſe ſibi: vinculiſque exemptum eo deduxiſſe, atque imperaviſſe ut veſte regia ſumpta & diademate, ſilentio conſideret.

His

Ταῦτα ἀκούσας ὁ Ἀλέξανδρος, τὸν μὲν ἄνθρωπον, ὥσπερ ἐκέλευον οἱ μάντεις, ἠφάνισεν· αὐτὸς δὲ ἠθύμει καὶ δύσελπις ἦν πρὸς τὸ θεῖον ἤδη, καὶ πρὸς τοὺς φίλους ὕποπτος. μάλιστα δὲ Ἀντίπατρον ἐφοβεῖτο, καὶ τοὺς παῖδας, ὧν Ἰόλας μὲν ἀρχιοινοχόος ἦν· ὁ δὲ Κάσανδρος ἀφῖκτο μὲν νεωστί· θεασάμενος δὲ βαρβάρους τινὰς προσκυνοῦντας, ἅτε δὴ τεθραμμένος Ἑλληνικῶς, καὶ τοιοῦτο πρότερον μηδὲν ἑωρακὼς, ἐγέλασεν προπετέστερον. ὁ δὲ Ἀλέξανδρος ὠργίσθη, καὶ δραξάμενος αὐτοῦ τῶν τριχῶν, σφόδρα ταῖς χερσὶν ἀμφοτέραις ἔπαισε τὴν κεφαλὴν πρὸς τὸν τοῖχον. αὖθις δὲ πρὸς τοὺς κατηγοροῦντας Ἀντιπάτρου λέγειν τι βουλόμενον τὸν Κάσανδρον ἐκκρούων, τί λέγεις; ἔφη, τοσαύτην ὁδὸν ἀνθρώπους μηδὲν ἀδικουμένους, ἀλλὰ συκοφαντοῦντας ἐλθεῖν; φήσαντος δὲ τοῦ Κασάνδρου τοῦτο αὐτὸ σημεῖον εἶναι τοῦ συκοφαντεῖν, ὅτι μακρὰν ἥκουσι τῶν ἐλέγχων, ἀναγελάσας ὁ Ἀλέξανδρος, ταῦτα ἐκεῖνα, ἔφη, σοφίσματα τῶν Ἀριστοτέλους εἰς ἑκάτερον τῶν λόγων· οἰμωξόμενοι ἂν μικρὸν ἀδικοῦντες φανῆτε τοὺς ἀνθρώπους. τὸ δὲ ὅλον αὐτῷ φασὶν δεινὸν ἐνδῦναι καὶ δυσοποιὸν ἐγγενέσθαι τῇ ψυχῇ τοῦ Κασάνδρου τὸ δέος, ὥστε ὕστερον χρόνοις πολλοῖς ἤδη Μακεδόνων βασιλεύοντα, καὶ κρατοῦντα τῆς Ἑλλάδος, ἐν Δελφοῖς περιπατοῦντα καὶ θεώμενον τοὺς ἀνδριάντας, εἰκόνος Ἀλεξάνδρου φανείσης, ἄφνω πληγέντα φρίξαι καὶ κραδανθῆναι τὸ σῶμα, καὶ μόλις ἀναλαβεῖν ἑαυτὸν ἰλιγγιάσαντα πρὸς τὴν ὄψιν.

Ὁ δ' οὖν Ἀλέξανδρος ὡς ἐνέδωκεν τότε πρὸς τὰ θεῖα, ταραχώδης γε-

νο-

His Alexander auditis, illum ex vatum conſilio ſuſtulit de medio. Cæterum animo ipſe anxio atque erga Deos diffidenti jam evaſit, adverſus amicos vero ſuſpicioſo. Antipatrum imprimis formidabat ejuſque filios, ex quibus Iolaus princeps pincerna erat, Caſſander nuper advenerat. Qui quum barbaros venerabundos illum ſalutantes conſpexiſſet, vir in libertate enutritus Græca, atque hujuſcemodi ſpectaculi hactenus inſolens, in cachinnum liberiorem eſt effuſus. Ea re exarſit ita Alexander, ut arreptum crinibus caput ejus ambabus manibus vehementer contuderit ad parietem. Alio tempore reſpondere Antipatri accuſatoribus aliquid parantem interpellans Caſſandrum, Quid ais, inquit, tam longa via homines nihil læſos tantum ad calumniandum veniſſe? Quum reſpondiſſet Caſſander, eſſe id ipſum calumniæ indicium, quod tam procul ab iis, unde poſſent redargui, veniſſent: cachinnans Alexander, Hæc illa, inquit, commenta Ariſtotelis ſunt in utramque partem dicendi: pœnam luetis, ſi parum eos convincemini læſiſſe. Omnino autem ingentem terrorem aiunt Caſſandri animum ſubiiſſe & pertinaciter inſediſſe, uſque adeo ut inſequutis temporibus regnum Macedoniæ obtinens, & Græciæ potiens, quum Delphis inambularet contemplareturque ſtatuas, ſimulacro conſpecto Alexandri, ſubito horrore toto contremuerit corpore, & ad illius imaginis conſpectum æſtuans ægre colligeret ſe.

Alexander igitur poſtquam ſemel religione obſtrictus eſt, tumultuante & trepidante animo

νόμϑυ@- ϗ περίφοβ@- τὴν διάνοιαν, ἐδὲν ἦν μικρὸν ἔτως τῶν ἀήθων ϗ ἀτόπων, ὃ μὴ τέρας ἐποιεῖτο ϗ σημεῖον· ἀλλὰ ϑυομϑύων ϗ καθαιρόντων ϗ μαντευόντων μεςὸν ἦν τὸ βασίλειον. ἔτως ἄρα δεινὸν μϑὺ ἀπιςία πρὸς τὰ ϑεῖα, ϗ καταφρόνησις αὐτῶν· δεινὴ δ᾽ αὖθις ἡ δεισιδαιμονία, δίκην ὕδατ@- ἀεὶ πρὸς τὸ ταπεινέμϑυον, ϗ ἀναπληρῶν ἀϐελτηρίας ϗ φόϐε τὸν Ἀλέξανδρον γϑυόμϑυον. ἐ μὴν ἀλλὰ καίπερ χρησμῶν γε τῶν περὶ Ἡφαιςίων@- ἐκ Θεῦ κομισθέντων, ἀποθέμϑυ@- τὸ πένθ@-, αὖθις ἦν ἐν ϑυσίαις ϗ πότοις. ἑςιάσας δ᾽ λαμπρῶς τὲς περὶ Νέαρχον, εἶτα λεσάμϑυ@- ὥσπερ εἰώθει, μέλλων καθϑύδειν, Μηδίε δεηθέντ@-, ᾤχετο κωμασόμϑυ@- πρὸς αὐτόν· κἀκεῖ πιὼν ὅλην τὴν ἐπιῦσαν ἡμέραν, ἤρξατο πυρέττειν, ἔτε σκύφον Ἡρακλέως ἐκπιὼν, ἔτε ἄφνω διαλγὴς γϑυόμϑυ@- τὸ μετάφρενον, ὥσπερ λόγχῃ πεπληγώς· ἀλλὰ ταῦτα τινὲς ᾤοντο δεῖν γράφειν, ὥσπερ δράματ@- μεγάλε τραγικὸν ἐξόδιον ϗ περιπαθὲς πλάσαντες. Ἀριςόϐελ@- δέ φησιν αὐτὸν πυρέττοντα μανικῶς, διψήσαντα δ᾽ σφόδρα, πιεῖν οἶνον· ἐκ τέτε δ᾽ φρενιτιάσαι, ϗ τελϑυτῆσαι τριακάδι Δαισίε μηνός.

Ἐν δ᾽ ταῖς ἐφημερίσιν ἔτως γέγραπται περὶ τὴν νόσον. Ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίε μηνὸς ἐκάθϑυδεν ἐν τῷ λετρῶνι διὰ τὸ πυρέξαι. τῇ δ᾽ ἑξῆς λεσάμϑυ@- εἰς τὸν ϑάλαμον μετῆλθεν, ϗ διημέρϑυε πρὸς Μήδιον κυϐϑύων. εἶτ᾽ ὀψὲ λεσάμεν@-, ϗ τὰ ἱερὰ τοῖς Θεοῖς ἐπιθεὶς, ἐμφαγὼν, διὰ νυκτὸς ἐπύρεξεν. τῇ εἰκάδι λεσάμεν@-, πάλιν ἔθυσε τὴν εἰθισμϑύην ϑυσίαν· ϗ κατακείμεν@- ἐν τῷ λετρῶνι τοῖς περὶ Νέαρχον ἐσχόλαζεν, ἀκροώμεν@- τὰ

animo præditus, nulla res inſolita & aliena tam exigua oblata eſt, quam non verteret in prodigium & oſtentum, ſed ſacrificantium, expiantium, & vaticinantium erat regia referta. Adeo res eſt horrenda incredulitas & contemptio Deorum; horrenda item ſuperſtitio, quæ aquæ modo vergit ad demiſſa, impletque abſurdis opinionibus & metu mortales, ut tunc Alexandrum. At ille oraculis de Hephæſtione a Deo allatis luctum depoſuit, iterumque ad ſacrificia & pocula ſe convertit. Ac quum ſplendido convivio excepiſſet Nearchum, atque inde lotus de more ſuo eſſet iturus cubitum, ad obnixe rogantem Medium ivit comeſſatum. Apud hunc quum diem inſequentem totum perpotaſſet, febre eſt tentatus. Non exhauſit Herculis ſcyphum, neque repente ſpinæ dolore veluti haſta confixus ingemuit. Sed hæc putaverunt quidam ſcribenda, quaſi magnæ fabulæ tragicum exitum & lamentabile fingentes. Ariſtobulus narrat, eum quum delirio ex febre teneretur, atque ingenti cruciaretur ſiti, vinum potaſſe, hinc in phreneſim incidiſſe, atque trigeſimo menſis Dæſii die deceſſiſſe.

In diariis ad hunc modum de morbo ejus ſcriptum eſt: Octavo decimo die menſis Dæſii in balneo febris cauſa cubavit. Poſtero die lotus contulit ſe in cubiculum, eumque diem aleæ ludo cum Medio tranſegit. Inde veſperi lotus & ſacris operatus cibum ſumpſit avidius. Hinc nocte febre afflictus eſt. Die vigeſimo lotus ſolenne ſacrum iterum peregit, decumbenſque in balneo Nearcho vacavit, navigationem

τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν. τῇ δεκάτῃ φθίνοντος ταυτὰ ποιήσας μᾶλλον ἀνεφλέχθη, καὶ τὴν νύκτα βαρέως ἔσχεν, καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττεν σφόδρα. καὶ μεταρθεὶς κατέκειτο παρὰ τὴν μεγάλην κολυμβήθραν· ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων ἡγεμονίας τάξεων, ὅπως καταστήσωσι δοκιμάσαντες. ἑβδόμῃ, σφόδρα πυρέττων ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ ἱερά. τῶν δὲ ἡγεμόνων ἐκέλευε τοὺς μεγίστους διατρίβειν ἐν τῇ αὐλῇ, ταξιάρχους δὲ καὶ πεντακοσιάρχους ἔξω νυκτερεύειν. εἰς δὲ τὰ πέραν βασίλεια διακομισθεὶς, τῇ ἕκτῃ σμικρὸν ὕπνωσεν· ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν. ἐπελθόντων δὲ τῶν ἡγεμόνων, ἦν ἄφωνος, ὁμοίως δὲ καὶ τὴν πέμπτην· διὸ καὶ τοῖς Μακεδόσιν ἔδοξεν τεθνάναι, καὶ κατεβόων ἐλθόντες ἐπὶ τὰς θύρας, καὶ διηπειλοῦντο τοῖς ἑταίροις, ἕως ἐβιάσαντο. καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν, ἐν τοῖς χιτῶσι καθ' ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον. ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς τὸ Σαραπεῖον ἀποσταλέντες, ἠρώτων εἰ κομίσουσιν ἐκεῖ τὸν Ἀλέξανδρον· ὁ δὲ Θεὸς κατὰ χώραν ἐᾶν ἀνεῖλεν. τῇ δὲ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανεν.

Τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν οὕτω γέγραπται. φαρμακείας δὲ ὑποψίαν αὐτίκα μὲν οὐδεὶς ἔσχεν· ἕκτῳ δὲ ἔτει φασὶν μηνύσεως γενομένης τὴν Ὀλυμπιάδα πολλοὺς μὲν ἀνελεῖν, ἐκρίψαι δὲ τὰ λείψανα τοῦ Ἰόλα τεθνηκότος, ὡς τούτου τὸ φάρμακον ἐγχέαντος. οἱ δὲ Ἀριστοτέλη φάσκοντες Ἀντιπάτρῳ σύμβουλον γενέσθαι τῆς πράξεως, καὶ ὅλως δι' ἐκείνου κομισθῆναι τὸ φάρμακον, Ἀγνόθεμιν τινὰ διηγεῖσθαι λέγουσιν, ὡς Ἀντιγόνου τοῦ

tionem ſuam, & quid vidiſſet in Oceano, exponenti. Vigeſimo primo quum idem feciſſet, aggravavit febris, noctemque egit gravem, ac poſtridie eſt acri febre tentatus, tranſlatuſque decubuit juxta magnum natatorium. Eodem tempore cum ducibus egit quemadmodum ordinibus vacuis præficerent ſpectatos. Vigeſimo quarto ingraveſcente vi morbi ſacris operatus eſt, ad quæ eſt deportatus, ac præcipuos duces in aula juſſit commorari, centuriones & tribunos excubare pro foribus. Delatus in ulteriorem regiam vigeſimo quinto die pauliſper quievit, febris tamen non remiſit. Quum adiſſent eum duces, jam vocem amiſerat. Pari modo vigeſimo ſexto egit. Unde Macedones mortuum rati ad fores magno ſtrepitu acceſſerunt, miniſque amicos regis coegerunt ut admitterentur, ac foribus apertis tunicati ad unum omnes præter lectum ejus tranſierunt. Eodem die Python & Seleucus ad templum Serapis miſſi conſuluerunt Deum an deportarent eo Alexandrum. Deus, ne eum moverent loco, reſpondit. Vigeſimo octavo ſub veſperam exſpiravit.

Hæc fere in diariis ita perſcripta ad verbum ſunt. Veneni extemplo ſuſpicionem nemo habuit. Sexto demum anno autumant indicio delato Olympiada multos necaſſe, oſſa etiam projeciſſe mortui Iolæ, quaſi venenum hic miſcuiſſet. Qui vero autorem Ariſtotelem hujus facinoris perhibent Antipatro fuiſſe, atque omnino per illum allatum virus, hi Agnothemim quendam, qui id ex Antigono rege

τοῦ βασιλέως ἀκούσαντα· τὸ δὲ φάρμακον, ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ πέτρας τινὸς ἐν Νωνακρίδι οὔσης, ἣν ὥσπερ δρόσον λεπτὴν ἀναλαμβάνοντες εἰς ὄνου χηλὴν ἀποτίθενται· τῶν γὰρ ἄλλων οὐδὲν ἀγγείων στέγειν, ἀλλὰ διακόπτειν ὑπὸ ψυχρότητος καὶ δριμύτητος. οἱ δὲ πλεῖστοι τὸν λόγον ὅλως οἴονται πεπλάσθαι τὸν περὶ τῆς φαρμακείας· καὶ τεκμήριον αὐτοῖς οὐ μικρὸν, ὅτι τῶν ἡγεμόνων στασιασάντων ἐφ᾽ ἡμέρας πολλὰς, ἀθεράπευτον τὸ σῶμα κείμενον ἐν τόποις θερμοῖς καὶ πνιγώδεσιν, οὐδὲν ἔσχεν τοιαύτης φθορᾶς σημεῖον, ἀλλ᾽ ἔμεινεν καθαρὸν καὶ πρόσφατον. ἡ δὲ Ῥωξάνη κύουσα μὲν ἐτύγχανε, καὶ διὰ τοῦτο τιμωμένη παρὰ τοῖς Μακεδόσιν· δυσζήλως δὲ ἔχουσα πρὸς τὴν Στάτειραν, ἐξηπάτησεν αὐτὴν ἐπιστολῇ τινι πεπλασμένῃ παραγενέσθαι, καὶ προσαγαγοῦσα, μετὰ τῆς ἀδελφῆς ἀπέκτεινεν, καὶ τοὺς νεκροὺς εἰς τὸ φρέαρ κατέβαλε καὶ συνέχωσεν, εἰδότος ταῦτα Περδίκκου καὶ συμπράττοντος. ἦν γὰρ ἐκεῖνος εὐθὺς ἐν δυνάμει μεγίστῃ, τὸν Ἀρριδαῖον, ὥσπερ δορυφόρημα τῆς βασιλείας, ἐφελκόμενος, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου καὶ κοινῆς Φιλίννης, ἀτελῆ δὲ τῷ φρονεῖν ὄντα διὰ σώματος νόσον, οὐ φύσει προσπεσοῦσαν, οὐδὲ αὐτομάτως· ἀλλὰ καὶ πάνυ φασὶν παιδὸς ὄντος αὐτοῦ διαφαίνεσθαι χάριεν ἦθος, καὶ οὐκ ἀγεννές, εἶτα μέντοι φαρμάκοις ὑπὸ Ὀλυμπιάδος κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.

rege audiiſſet, narraſſe referunt. Venenum autem aquam frigidam fuiſſe & inſtar glaciei gelidam, quæ Nonacride ex petra quadam reſudet. Eam ſicut tenuem rorem excipientes aſini ungula reponere: nullo enim vaſe ferri alio poſſe, verum erodere rigore ſuo & acrimonia omnia. Maxima pars tamen eam veneni fabulam prorſus exiſtimant commentitiam, habentque argumentum non leve, quod diſſentientibus per multos dies ducibus, corpus quum locis fervidis & æſtuoſis jacuiſſet non curatum, ejuſcemodi veneni nullum veſtigium præ ſe tulerit, verum ſine livore & tabe permanſerit recens. Roxane prægnans fuerat, atque ideo quum a Macedonibus coleretur, Statiram autem æmularetur, literis circumventam commentitiis evocavit: quam, ut venit, cum ſorore necavit, ac cadavera earum in puteum præcipitavit, terramque ingeſſit, conſcio & adjutore Perdicca. Ille enim mox in ſumma fuit poteſtate, Aridæo, velut regni umbra, ſtipatus. Natus hic ex obſcura fuit muliere & vulgante corpus Philinna, neque mentis compos ex corporis vitio, non nativo neque ſpontaneo: immo vero perſpicue ferunt in puero eluxiſſe feſtivam indolem nec ignavam; poſt tamen, quum medicamentis fuiſſet ab Olympiade vitiatus, mente debilitatum fuiſſe.

 Γ. ΙΟΥ-



Penes J. Hedges ℞. *G. V.der Gucht Sculp.t*

Γ. ΙΟΥΛΙΟΣ ΚΑΙΣΑΡ.

ΤΗΝ Κίννα τοῦ μοναρχήσαντος θυγατέρα Κορνηλίαν, ὡς ἐπεκράτησε Σύλλας, οὔτε ἐλπίσιν οὔτε φόβῳ δυνηθεὶς ἀποσπάσαι Καίσαρος, ἐδήμευσε τὴν φερνὴν αὐτῆς. αἰτία δὲ Καίσαρι τῆς πρὸς Σύλλαν ἀπεχθείας, ἡ πρὸς Μάριον οἰκειότης ἦν. Ἰουλία γὰρ, πατρὸς ἀδελφὴ Καίσαρος, ὁ πρεσβύτερος συνῴκει Μάριος, ἐξ ἧς ἐγεγόνει Μάριος ὁ νεώτερος, ἀνεψιὸς ὢν Καίσαρος. ὡς δὲ ὑπὸ πλήθους φόνων ἐν ἀρχῇ καὶ δι᾽ ἀσχολίας ὑπὸ Σύλλα παρορώμενος οὐκ ἠγάπησεν, ἀλλὰ μετιὼν ἱερωσύνην εἰς τὸν δῆμον προσῆλθεν, οὔπω πάνυ μειράκιον ὢν, ταύτης μὲν ἐκπεσεῖν αὐτὸν ὑπεναντιωθεὶς Σύλλας παρεσκεύασεν· περὶ δὲ ἀναιρέσεως βουλευόμενος, ἐνίων λεγόντων, ὡς οὐκ ἔχοι λόγον ἀποκτιννύναι παῖδα τηλικοῦτον, οὐκ ἔφη νοῦν ἔχειν αὐτοὺς, εἰ μὴ πολλοὺς ἐν τῷ παιδὶ τούτῳ Μαρίους ἐνορῶσιν. ταύτης τῆς φωνῆς ἐνεχθείσης πρὸς Καίσαρα, συχνὸν μέν τινα χρόνον πλανώμενος ἐν

CORNELIAM Cinnæ, qui Romæ rerum potitus eſt, filiam poſtquam victor Sylla neque ſpe neque metu perpellere Cæſarem valuit ut dimitteret, publicavit dotem ejus. Cauſa inimicitiæ in Syllam Cæſari neceſſitudo Marii erat. Juliam enim Cæſaris amitam Marius major in matrimonio habuit, ex qua Marius junior natus eſt Cæſaris conſobrinus. Ut autem initio ob eorum qui interficiebantur multitudinem & occupationes eſt a Sylla neglectus, non acquievit, ſed ad petitionem ſacerdotii pene impubes venit in campum. Cæterum hujus repulſam adverſante clam ei Sylla tulit: qui quum de necando eo deliberaret, & oſtenderent nonnulli nihil eſſe cauſæ cur tantulum puerum trucidaret, Nihil mentis dixit eos habere, ſi non ei puero multos viderent Marios ineſſe. Hac voce ad Cæſarem perlata longo tempore palans in

ἐν Σαβίνοις ἔκλεπτεν ἑαυτόν· ἔπειτα δι' ἀῤῥωστίαν εἰς οἰκίαν ἑτέραν μετακομιζόμενος, κατὰ νύκτα περιπίπτει στρατιώταις τοῦ Σύλλα διερευνωμένοις ἐκεῖνα τὰ χωρία, καὶ τοὺς κεκρυμμένους συλλαμβάνουσιν. ὧν τὸν ἡγεμόνα Κορνήλιον πείσας δυσὶ ταλάντοις ἀφείθη, καὶ καταβὰς εὐθὺς ἐπὶ θάλατταν, ἐξέπλευσεν εἰς Βιθυνίαν πρὸς Νικομήδη τὸν βασιλέα. παρ' ᾧ διατρίψας χρόνον οὐ πολὺν, εἶτα ἀποπλέων, ἁλίσκεται περὶ τὴν Φαρμακοῦσαν νῆσον ὑπὸ πειρατῶν, ἤδη τότε στόλοις μεγάλοις καὶ σκάφεσιν ἀπλέτοις κατεχόντων τὴν θάλατταν.

Πρῶτον μὲν οὖν αἰτηθεὶς ὑπ' αὐτῶν λύτρα εἴκοσι τάλαντα κατεγέλασεν, ὡς οὐκ εἰδότων ὃν ᾑρήκοιεν· αὐτὸς δὲ ὡμολόγησεν πεντήκοντα δώσειν. ἔπειτα τῶν περὶ αὐτὸν ἄλλον εἰς ἄλλην διαπέμψας πόλιν ἐπὶ τῶν χρημάτων πορισμὸν, ἐν ἀνθρώποις φονικωτάτοις Κίλιξιν μεθ' ἑνὸς φίλου καὶ δυοῖν ἀκολούθοιν ἀπολελειμμένος, οὕτω καταφρονητικῶς εἶχεν, ὥστε πέμπων ὁσάκις ἀναπαύοιτο, προσέταττεν αὐτοῖς σιωπᾶν. ἡμέραις δὲ τεσσαράκοντα δυεῖν δεούσαις, ὥσπερ οὐ φρουρούμενος, ἀλλὰ δορυφορούμενος ὑπ' αὐτῶν, ἐπὶ πολλῆς ἀδείας συνέπαιζε καὶ συνεγυμνάζετο. καὶ ποιήματα γράφων καὶ λόγους τινὰς, ἀκροαταῖς ἐκείνοις ἐχρῆτο· καὶ τοὺς μὴ θαυμάζοντας, ἄντικρυς ἀπαιδεύτους καὶ βαρβάρους ἀπεκάλει, καὶ σὺν γέλωτι πολλάκις ἠπείλησεν κρεμᾶν αὐτούς. οἱ δὲ ἔχαιρον, ἀφελείᾳ τινὶ καὶ παιδιᾷ τὴν παῤῥησίαν ταύτην νέμοντες. ὡς δὲ ἧκον ἐκ Μιλήτου τὰ λύτρα, καὶ δοὺς ἀφείθη, πλοῖα πληρώσας εὐθὺς ἐκ τοῦ Μιλησίων λιμένος, ἐπὶ τοὺς λῃστὰς ἀνήγετο· καὶ κατα-

in Sabinis abdidit ſe. Inde dum valetudinis cauſa aliam in domum transfertur, incidit in Syllanos milites, qui illa loca ſcrutabantur, comprehendebantque, ſi qui deliteſcerent. Quorum ducem Cornelium duorum talentorum mercede induxit ut dimitteretur: ac conſcenſa protinus nave in Bithyniam ad regem Nicomedem eſt profectus. Apud quem quum non diu deſediſſet, diſcedens in pelago ad Pharmacuſam inſulam capitur a piratis, qui magnis jam claſſibus multiſque navigiis mare infeſtum habebant.

Hos Cæſar primum poſtulantes pro ipſius redemptione viginti talenta deriſit, quaſi ignaros quem tenerent: ipſe quinquaginta daturum ſe pollicitus eſt. Inde comitibus ſuis alio ad aliam urbem expediendæ pecuniæ gratia dimiſſis, inter homines immaniſſimos Cilicas cum uno amico & duobus ſervis relictus adeo eos deſpexit, ut quoties quieſcebat, miſſo aliquo indiceret illis ſilentium. Dies duo de quadraginta, quaſi non cuſtodiretur, ſed ſtiparetur ab eis, in ſumma ſecuritate una ludebat & ſe exercebat. Jam carmina & orationes ſcribebat, eaque in circulo eorum pronuntiabat: ſi qui non admirarentur ea, hos palam illiteratos appellabat & barbaros: frequenter per jocum ſuſpenſurum eos ſe minabatur. Placebat id illis, ſimplicitati ejus & ætati hanc linguæ libertatem aſcribentibus. Ut allata Mileto pecunia, qua redimeretur, & numerata miſſus eſt, complevit confeſtim naves, atque ex Mileſiorum portu ad perſequendos prædones ſolvit, occupanſque

καταλαβὼν ἔτι πρὸς τῇ νήσῳ ναυλοχοῦντας, ἐκράτησεν τῶν πλείστων. καὶ τὰ μὲν χρήματα λείαν ἐποιήσατο, τοὺς δὲ ἄνδρας ἐν Περγάμῳ καταθέμενος εἰς τὸ δεσμωτήριον, αὐτὸς ἐπορεύθη πρὸς τὸν διέποντα τὴν Ἀσίαν Ἰούνιον, ὡς ἐκείνῳ προσῆκον ὄντι στρατηγῷ κολάσαι τοὺς ἑαλωκότας. ἐκείνου δὲ καὶ τοῖς χρήμασιν ἐποφθαλμιῶντος (ἦν γὰρ οὐκ ὀλίγα) καὶ περὶ τῶν αἰχμαλώτων σκέψασθαι φάσκοντος ἐπὶ σχολῆς, χαίρειν ἐάσας αὐτὸν ὁ Καῖσαρ, εἰς Πέργαμον ᾤχετο, καὶ προαγαγὼν τοὺς ληστὰς ἅπαντας ἀνεσταύρωσεν, ὥσπερ αὐτοῖς δοκῶν παίζειν ἐν τῇ νήσῳ προειρήκει πολλάκις.

Ἐκ δὲ τούτου τῆς Σύλλα δυνάμεως ἤδη μαραινομένης, καὶ τῶν οἴκοι καλούντων αὐτόν, ἔπλευσεν εἰς Ῥόδον ἐπὶ σχολὴν πρὸς Ἀπολλώνιον τὸν τοῦ Μόλωνος, οὗ καὶ Κικέρων ἠκροᾶτο, σοφιστεύοντος ἐπιφανῶς, καὶ τὸν τρόπον ἐπιεικοῦς εἶναι δοκοῦντος. λέγεται δὲ καὶ φῦναι πρὸς λόγους πολιτικοὺς ὁ Καῖσαρ ἄριστα, καὶ διαπονῆσαι φιλοτιμότατα τὴν φύσιν, ὡς τὰ δευτερεῖα μὲν ἀδηρίτως ἔχειν, τὸ δὲ πρωτεῖον, ὅπως τῇ δυνάμει καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον· ἀλλ' ἀσχοληθεὶς ὑφεῖναι, πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο τῆς ἐν τῷ λέγειν δεινότητος, ὑπὸ στρατειῶν καὶ πολιτείας, ᾗ κατεκτήσατο τὴν ἡγεμονίαν, οὐκ ἐξικόμενος. αὐτὸς δ' οὖν ὕστερον ἐν τῇ πρὸς Κικέρωνα περὶ Κάτωνος ἀντιγραφῇ παραιτεῖται, μὴ στρατιωτικοῦ λόγον ἀνδρὸς ἀντεξετάζειν πρὸς δεινότητα ῥήτορος εὐφυοῦς, καὶ σχολὴν ἐπὶ τοῦτο πολλὴν ἄγοντος.

Ἐπανελθὼν δὲ εἰς Ῥώμην, Δολοβέλλαν ἔκρινεν κακώσεως ἐπαρχίας, καὶ πολλαὶ ἀπὸ τῆς Ἑλλάδος τῶν πόλεων μαρτυρίας αὐτῷ παρέσχον. ὁ μὲν

οὖν

panſque ad illam inſulam adhuc ſtantes, pleroſque in poteſtatem redegit: quorum pecuniam in prædam vertit; ipſos Pergami dedit in cuſtodiam, atque ad Junium, qui cum imperio Aſiam obtinebat, profectus eſt, quod illius, ut prætoris, eſſet de captivis ſupplicium ſumere. Qui quum nummis eorum oculos adjeciſſet (neque enim pauca ſumma erat) & de captivis conſideraturum ſe diceret per otium, ſalute Cæſar prætori dicta Pergamum contendit, ſuſtulitque in crucem piratas omnes, ſicut per ſpeciem joci crebro in inſula illis prædixerat.

Exinde langueſcente jam Syllæ potentia, & neceſſariis eum domum revocantibus, Rhodum navigavit ad Apollonium Molonis, cujus etiam Cicero auditor erat, qui ſcholam aperuerat inſignem, apparebatque virum probum eſſe. Dicitur & ad civiles orationes optime fuiſſe natura comparatus, ingeniumque excoluiſſe ſedulo, ſecundas ut citra controverſiam ferret: primas vero in ea, ut potentia potius & armis eſſet primus, reliquiſſe aliis, neque eam, quo ducebat eum natura, vim dicendi, quo expeditionibus & tractandæ reipublicæ vacaret, quibus artibus imperium quæſivit, eſt aſſequutus. Ac poſtmodum in oratione, qua Ciceronis Catoni reſpondet, deprecatur ne quis hominis militaris dictionem cum oratoris ſolertis multumque ea in re otii ponentis contendat eloquentia.

Ad urbem reverſus poſtulavit Dolobellam repetundarum, civitateſque Græciæ frequentes teſtimonium ei dixere. Verum abſolutus

οὖν Δολοβέλλας ἀπέφυγε τὴν δίκην· ὁ δὲ Καῖσαρ ἀμειβόμενος τὴν Ἑλλάδα τῆς προθυμίας, συνηγόρευσεν αὐτῇ Πόπλιον Ἀντώνιον διωκούσῃ δωροδοκίας, ἐπὶ Λευκούλλου τοῦ Μάρκου Μακεδονίας στρατηγοῦ. καὶ τοσοῦτον ἴσχυσεν, ὥστε τὸν Ἀντώνιον ἐπικαλέσασθαι τοὺς δημάρχους, σκηψάμενον οὐκ ἔχειν τὸ ἴσον ἐν τῇ Ἑλλάδι πρὸς Ἕλληνας. ἐν δὲ Ῥώμῃ πολλὴ μὲν ἐπὶ τῷ λόγῳ περὶ τὰς συνηγορίας αὐτοῦ χάρις ἐξέλαμπεν, πολλὴ δὲ τῆς περὶ τὰς δεξιώσεις καὶ ὁμιλίας φιλοφροσύνης εὔνοια παρὰ τῶν δημοτῶν ἀπήντα, θεραπευτικοῦ παρ' ἡλικίαν ὄντος. ἦν δέ τις καὶ ἀπὸ δείπνων καὶ τραπέζης, καὶ ὅλως τῆς περὶ τὴν δίαιταν λαμπρότητος αὐξανομένη κατὰ μικρὸν αὐτῷ δύναμις εἰς τὴν πολιτείαν. ἣν τὸ πρῶτον οἱ φθονοῦντες, οἰόμενοι ταχὺ τῶν ἀναλωμάτων ἐπιλιπόντων ἐξίτηλον ἔσεσθαι, περιεώρων ἀνθοῦσαν ἐν τοῖς πολλοῖς· ὀψὲ δὲ ᾔσθοντο, μεγάλης καὶ δυσανατρέπτου γενομένης, καὶ βαδιζούσης ἄντικρυς ἐπὶ τὴν τῶν ὅλων μεταβολήν, ὡς οὐδεμίαν ἀρχὴν πράγματος ἡγητέον μικράν, ἣν οὐ ταχὺ ποιεῖ μεγάλην τὸ ἐνδελεχές, ἐκ τοῦ καταφρονηθῆναι τὸ μὴ κωλυθῆναι λαβοῦσαν. ὅ γ' οὖν πρῶτος ὑπιδέσθαι δοκῶν αὐτοῦ καὶ φοβηθῆναι τῆς πολιτείας ὥσπερ θαλάττης τὰ διαγελῶντα, καὶ τὴν ἐν τῷ φιλανθρώπῳ καὶ ἱλαρῷ κεκρυμμένην δεινότητα τοῦ ἤθους καταμαθὼν Κικέρων, ἔλεγε τοῖς ἄλλοις ἅπασιν ἐπιβουλεύμασιν αὐτοῦ καὶ πολιτεύμασιν τυραννικὴν ἐνορᾶν διάνοιαν· ἀλλ' ὅταν, ἔφη, τὴν κόμην οὕτω διακειμένην περιττῶς ἴδω, κἀκεῖνον ἑνὶ δακτύλῳ κνώμενον, οὔ μοι δοκεῖ πάλιν οὗτος ἄνθρωπος

ſolutus Dolobella eſt. Cæſar autem ad penſandum Græcorum ſtudium, patrocinium eorum, quum P. Antonium apud M. Lucullum Macedoniæ prætorem captæ pecuniæ accuſarent, ſuſcepit, tantumque effecit, ut ad tribunos plebis Antonius provocaret, allegans non æquo jure in Græcia ſe cum Græcis contendere. Romæ vero multa orationis ejus in defenſionibus effulſit venuſtas, multum etiam ex comitate in ſalutationibus & congreſſibus, quod ſupra ætatem blandus eſſet, favorem aſſequutus eſt ad populum. Ad hæc cœnarum & menſæ, & denique reliquo vitæ ſplendore colligebat paulatim in republica opes: quas invidi ejus brevi exiſtimantes deficientibus ſumptibus evanidas fore, ſecuri inclareſcere illum apud vulgus permiſere: ſero autem, ubi evaſiſſent jam ingentes & prævalidæ, atque aperte in rerum integram mutationem ſenſerunt eas erumpere, animadverterunt nullum cenſendum eſſe rei alicujus parvum exordium, quod non illico grande reddat continuatio, quodque ex eo quod contemnatur, aſſequitur ne impediatur. Itaque ille qui primus ſuſpectam habuiſſe videtur & timuiſſe ejus in republica gerenda ſicut in mari falſo blandientem ſerenitatem, & latentem ſub humanitate & hilaritate perſenſit acrimoniam, Cicero, dicebat in aliis ejus cœptis & actionibus perſpicere ſe omnibus ingenium tyrannicum: Sed quum comam ejus, inquit, ita videam compoſitam accurate, ipſumque uno digito caput ſcabentem, contra non videtur iſte mihi

πος εἰς νοῦν ἂν ἐμβαλέσθαι τηλικοῦτο κακὸν, ἀναίρεσιν τῆς Ῥωμαίων πολιτείας. ταῦτα μὲν οὖν ὕστερον.

Τοῦ δὲ δήμου πρώτην μὲν ἀπόδειξιν τῆς πρὸς αὐτὸν εὐνοίας ἔλαβεν, ὅτε πρὸς Γάϊον Πόπλιον ἐρίσας ὑπὲρ χιλιαρχίας, πρότερος ἀνηγορεύθη· δευτέραν δὲ, καὶ καταφανεστέραν, ὅτε τῆς Μαρίου γυναικὸς Ἰουλίας ἀποθανούσης, ἀδελφιδοῦς ὢν αὐτῆς ἐγκώμιόν τε λαμπρὸν ἐν ἀγορᾷ διῆλθεν, καὶ περὶ τὴν ἐκφορὰν ἐτόλμησεν εἰκόνας Μαρίου προθέσθαι, τότε πρῶτον ὀφθείσας μετὰ τὴν ἐπὶ Σύλλα πολιτείαν, πολεμίων τῶν ἀνδρῶν κριθέντων. ἐπὶ τούτῳ γὰρ ἐνίων καταβοησάντων τοῦ Καίσαρος, ὁ δῆμος ἀντήχησε λαμπρῶς δεξάμενος κρότῳ, καὶ θαυμάσας ὥσπερ ἐξ ἅδου διὰ χρόνων πολλῶν ἀνάγοντα τὰς Μαρίου τιμὰς εἰς τὴν πόλιν. τὸ μὲν οὖν ἐπὶ γυναιξὶν πρεσβυτέραις λόγους ἐπιταφίους διεξιέναι, πάτριον ἦν Ῥωμαίοις· νέαις δὲ οὐκ ὂν ἐν ἔθει, πρῶτος εἶπεν Καῖσαρ ἐπὶ τῆς ἑαυτοῦ γυναικὸς ἀποθανούσης· καὶ τοῦτο ἤνεγκεν αὐτῷ χάριν τινὰ, καὶ συνεδημαγώγησεν τῷ πάθει τοὺς πολλοὺς ὡς ἥμερον ἄνδρα καὶ περίμεστον ἤθους ἀγαπᾶν. θάψας δὲ τὴν γυναῖκα, ταμίας εἰς Ἰβηρίαν ἑνὶ τῶν στρατηγῶν Βαίτωρι συνεξῆλθεν, ὃν αὐτόν τε τιμῶν ἀεὶ διετέλεσεν, καὶ τὸν υἱὸν αὐτοῦ πάλιν ἄρχων ταμίαν ἐποίησεν. γενόμενος δὲ ἀπὸ τῆς ἀρχῆς ἐκείνης, τρίτην ἠγάγετο γυναῖκα Πομπηΐαν, ἔχων ἐκ Κορνηλίας θυγατέρα, τὴν ὕστερον Πομπηΐῳ Μάγνῳ γαμηθεῖσαν. χρώμενος δὲ ταῖς δαπάναις ἀφειδῶς, καὶ δοκῶν μὲν ἐφήμερον καὶ βραχεῖαν ἀντικαταλλάττεσθαι μεγάλων ἀναλωμάτων δόξαν, ὠνούμενος δὲ ταῖς ἀλη-

θείαις

mihi tantum mali animo concepturus, ut Romanam rempublicam evertat. Cæterum hæc poſt.

Primum favoris erga ſe populi cepit documentum, quum tribunus militum competitore C. Popilio prior eſt renuntiatus: alterum & clarius, quum Marii uxorem Juliam, amitam ſuam defunctam eximie laudavit in foro, atque in funere auſus eſt præferre Marii imagines, quæ tum primum poſt Syllæ dominatum ſunt conſpectæ, quum eſſet hoſtis ille judicatus. Nam quum quidam idcirco obſtreperent Cæſari, populus clamorem ex adverſo reddidit, & magno plauſu eum excepit probavitque, quod quaſi ab inferis tanto intervallo honores Marii reduceret in urbem. In honorem quidem magnarum natu fœminarum orationes funebres habere, id moris erat Romani, in adoleſcentiorum vero funeribus quum moris non eſſet, primus Cæſar uxorem ſuam defunctam laudavit: qua re favorem meruit, benevolentiamque ſibi plebis conciliavit hac pietate, ut quaſi placidum virum & mollis ingenii exoſcularentur eum. Juſtis uxori ſolutis, quæſtor in Hiſpaniam profectus eſt cum uno prætore Vætere, quem & ipſum ſemper obſervavit, & filium ejus fecit viciſſim, quum in provinciam proficiſceretur prætor, quæſtorem. Eo munere defunctus tertiam uxorem duxit Pompeiam, quum haberet ex Cornelia filiam, quam poſt Pompeio Magno deſpondit. Quod autem profuſus ſumptibus eſſet, temporariaque & brevi videretur gloria immenſas impenſas commutare, quum revera

maxima

θείας τὰ μέγιστα μικρῶν, λέγεται πρὶν εἰς ἀρχήν τινα καθίστασθαι χιλίων καὶ τριακοσίων γενέσθαι χρεωφειλέτης ταλάντων. ἐπεὶ δὲ τοῦτο μὲν, ὁδοῦ τῆς Ἀππίας ἀποδειχθεὶς ἐπιμελητὴς, πάμπολλα χρήματα προσανάλωσεν τῶν ἑαυτοῦ· τοῦτο δὲ, ἀγορανομῶν, ζεύγη μονομάχων τριακόσια καὶ εἴκοσι παρέσχεν, καὶ ταῖς ἄλλαις περὶ τὰ θέατρα καὶ πομπὰς καὶ δεῖπνα χορηγίαις καὶ πολυτελείαις τὰς πρὸ αὐτοῦ κατέκλυσε φιλοτιμίας, οὕτω διέθηκε τὸν δῆμον, ὡς καινὰς μὲν ἀρχὰς, καινὰς δὲ τιμὰς ζητεῖν ἕκαστον, αἷς ἀμείψαιντο.

Δυεῖν δὲ οὐσῶν ἐν τῇ πόλει στάσεων, τῆς μὲν ἀπὸ Σύλλα, μέγα δυναμένης, τῆς δὲ, Μαριανῆς, ἣ τότε κατεπτήχει καὶ διεσπᾶτο, κομιδῇ ταπεινὰ πράττουσα, ταύτην ἀναρρῶσαι καὶ προσαγαγέσθαι βουλόμενος, ἐν ταῖς ἀγορανομικαῖς φιλοτιμίαις ἀκμὴν ἐχούσαις εἰκόνας ἐποιήσατο Μαρίου κρύφα, καὶ νίκας τροπαιοφόρους, ἃς φέρων νυκτὸς εἰς τὸ Καπιτώλιον ἀνέστησεν. ἅμα δὲ ἡμέρᾳ, τοὺς θεασαμένους μαρμαίροντα πάντα χρυσῷ, καὶ τέχνῃ κατεσκευασμένα περιττῶς (διεδήλου δὲ γράμμασι τὰ Κιμβρικὰ κατορθώματα) θάμβος ἔσχεν τῆς τόλμης τοῦ ἀναθέντος. οὐ γὰρ ἦν ἄδηλον· ταχὺ δὲ περιϊὼν ὁ λόγος ἤθροιζε πάντας ἀνθρώπους πρὸς τὴν ὄψιν. ἀλλ᾽ οἱ μὲν ἐβόων τυραννίδα πολιτεύεσθαι Καίσαρα, νόμοις καὶ δόγμασι κατορωρυγμένας ἐπανιστάντα τιμὰς, καὶ τοῦτο πεῖραν ἐπὶ τὸν δῆμον εἶναι προμαλαττόμενον, εἴτε τιθασσεύεται ταῖς φιλοτιμίαις ὑπ᾽ αὐτοῦ, καὶ δίδωσι παίζειν τοιαῦτα καὶ κενοτομεῖν· οἱ δὲ Μαριανοὶ παραθαρρύναντες αὐτοὺς, πλήθει τε θαυμαστοὶ ὅσοι διεφάνησαν

maxima exiguo redimeret pretio, dicitur priuſquam eſſet ullum magiſtratum adeptus, ad mille trecenta talenta habuiſſe æris alieni. Poſtquam vero viæ Appiæ curator deſignatus plurimum de ſuo in id muneris impendit, & in ædilitate gladiatorum paria viginti & trecenta dedit, ſumptibuſque aliis & profuſionibus in ludos, pompas, epulas, omnium priorum ſuperavit munificentiam, uſque adeo movit populum, ut novos magiſtratus, novos honores quiſque quæreret, quibus illum remuneraret.

Duæ factiones quum eſſent in civitate, una Syllana, quæ multum pollebat, Mariana altera, quæ tunc admodum jacebat ſummiſſa oppreſſaque & lacerata, hanc quo erigeret & adſciſceret ſibi, gliſcentibus muneribus ſuis ædilitiis clam Marii imagines & victorias triumphales fecit, quas nocte portatas poſuit in Capitolio. Prima luce omnia auro ſplendentia, & mira arte fabrefacta ſpectantes (nam titulum habebant Cimbricarum victoriarum) pavor inceſſit omnes audaciæ ejus qui poſuerat, neque erat id obſcurum: ac brevi delatus rumor omnes homines ad ſpectaculum concivit. At alii clamavere regnum Cæſarem moliri, ſepultos legibus & ſenatuſconſultis honores refodiendo, tentarique ea re populum, quem ante demulſerat, an muneribus ipſius præbeat ſe mancipandum, eaque ludibria & novationes admittat. Ex altera parte Mariani ſe ipſi confirmantes extiterunt repente innumera mul-

νησαν ἐξαίφνης, καὶ κρότῳ κατεῖχον τὸ Καπιτώλιον. πολλοῖς δὲ καὶ δάκρυα τὴν Μαρίου θεωμένοις ὄψιν ὑφ' ἡδονῆς ἐχώρει· καὶ μέγας ἦν ὁ Καῖσαρ ἐγκωμίοις αἰρόμενος, ὡς ἀντὶ πάντων ἄξιος εἴη ὁ ἀνὴρ τῆς Μαρίου συγγενείας. συναχθείσης δὲ περὶ τούτων τῆς βουλῆς, Κάτλος Λουτάτιος, ἀνὴρ εὐδοκιμῶν τότε μάλιστα Ῥωμαίων, ἀναστὰς καὶ κατηγορήσας Καίσαρος, ἐπεφθέγξατο τὸ μνημονευόμενον, οὐκ ἔτι γὰρ ὑπονόμοις, ἔφη, Καῖσαρ, ἀλλ' ἤδη μηχαναῖς αἱρεῖ τὴν πολιτείαν. ἐπεὶ δὲ ἀπολογησάμενος πρὸς ταῦτα Καῖσαρ ἔπεισε τὴν σύγκλητον, ἔτι μᾶλλον οἱ θαυμάζοντες αὐτὸν ἐπήρθησαν, καὶ παρεκελεύοντο μηδενὶ τοῦ φρονήματος ὑφίεσθαι· πάντων γὰρ ἑκόντι τῷ δήμῳ περιέσεσθαι καὶ πρωτεύσειν.

Ἐν δὲ τούτῳ καὶ Μετέλλου τοῦ ἀρχιερέως τελευτήσαντος, καὶ τὴν ἱερωσύνην περιμάχητον οὖσαν Ἰσαυρικοῦ καὶ Κάτλου μετιόντων, ἐπιφανεστάτων ἀνδρῶν καὶ μέγιστον ἐν βουλῇ δυναμένων, οὐχ ὑπεῖξεν αὐτοῖς ὁ Καῖσαρ, ἀλλὰ καταβὰς εἰς τὸν δῆμον ἀντιπαρήγγελλεν. ἀγχωμάλου δὲ τῆς σπουδῆς φαινομένης, ὁ Κάτλος ἀπὸ μείζονος ἀξίας μᾶλλον ὀρρωδῶν τὴν ἀδηλότητα, προσέπεμψεν πείθων ἀποστῆναι τὸν Καίσαρα τῆς φιλοτιμίας ἐπὶ πολλοῖς χρήμασιν. ὁ δὲ καὶ πλείω προσδανεισόμενος ἔφη διαγωνιεῖσθαι. τῆς δ' ἡμέρας ἐνστάσης, καὶ τῆς μητρὸς ἐπὶ τὰς θύρας αὐτὸν οὐκ ἀδακρυτὶ προπεμπούσης, ἀσπασάμενος αὐτήν, ὦ μῆτερ, εἶπεν, τήμερον ἢ ἀρχιερέα τὸν υἱὸν, ἢ φυγάδα ὄψει. διενεχθείσης δὲ τῆς ψήφου, καὶ γενομένης ἁμίλλης ἐκράτησε, καὶ παρ-

ἔσχε

multitudine, Capitoliumque plauſu compleverunt. Multi etiam imagines Marii ſpectantes lacrymas gaudio effudere, laudibuſque Cæſarem in cœlum tulerunt, dixeruntque unum eum Marii affinitate dignum. Hanc ob cauſam coacto ſenatu, Lutatius Catulus, vir illius temporis inter Romanos clariſſimus, exſurgens accuſavit Cæſarem, adjecitque hoc dictum, quod adhuc in ore eſt, Non enim ultra, inquit, cuniculis Cæſar, verum machinis jam petit rempub. At Cæſar quum defenſione ſua ſenatui ſatisfeciſſet, multo magis elati ſunt illi qui eum ſuſpiciebant, adhortatique ſunt ne cui ſummitteret ſpiritus. Omnia enim volente eum populo aſſequuturum, atque principatum in civitate obtenturum.

Eadem tempeſtate Metello pontifice maximo defuncto, Iſaurico autem & Catulo petentibus ſacerdotium ejus, clariſſimis viris autoritatiſque in ſenatu ſummæ, non conceſſit Cæſar, ſed ad comitia competitorem ſe illorum profeſſus deſcendit. In ancipiti populi ſtudio Catulus ex majore dignitate magis eventum comitiorum formidans, miſit ad Cæſarem certos, qui eum magna oſtenſa mercede a petitione deducerent. Enimvero ille etiam ſi ſit ſumenda major pecuniæ ſumma ad hoc certamen reſpondit ſe deſcenſurum. Die inſtante matrem eum ad oſtium haud ſine lacrymis proſequentem oſculatus, Hodie mater, inquit, aut pontificem maximum filium aut exulem videbis. Suffragiis latis, quum comitia magno certamine acta eſſent, ſuperior fuit, ſenatuique & optimatibus ter-

ἔσχε τῇ βουλῇ καὶ τοῖς ἀρίστοις φόβον, ὡς ἐπὶ πᾶν θρασύτητος προάξων τὸν δῆμον. ὅθεν οἱ περὶ Πείσωνα καὶ Κάτλον ᾐτιῶντο Κικέρωνα, φεισάμενον Καίσαρος ἐν τοῖς περὶ Κατιλίναν λαβὴν παρασχόντος. ὁ γὰρ δὴ Κατιλίνας οὐ μόνον τὴν πολιτείαν μεταβαλεῖν, ἀλλ' ὅλην ἀνελεῖν τὴν ἡγεμονίαν καὶ πάντα τὰ πράγματα συγχέαι διανοηθείς, αὐτὸς μὲν ἐξέπεσεν περιπταίσας ἐλάττοσιν ἐλέγχοις, πρὸ τοῦ τὰς ἐσχάτας αὐτοῦ βουλὰς ἀποκαλυφθῆναι· Λέντλον δὲ καὶ Κέθηγον ἐν τῇ πόλει διαδόχους ἀπέλιπεν τῆς συνωμοσίας, οἷς εἰ μὲν κρύφα παρεῖχεν τι θάρσους καὶ δυνάμεως ὁ Καῖσαρ, ἄδηλός ἐστιν· ἐν δὲ τῇ βουλῇ κατὰ κράτος ἐξελεγχθέντων, καὶ Κικέρωνος τοῦ ὑπάτου γνώμας ἐρωτῶντος περὶ κολάσεως ἕκαστον, οἱ μὲν ἄλλοι μέχρι Καίσαρος θανατοῦν ἐκέλευον· ὁ δὲ Καῖσαρ ἀναστὰς λόγον διῆλθεν πεφροντισμένον, ὡς ἀποκτεῖναι μὲν ἀκρίτους ἄνδρας ἀξιώματι καὶ γένει λαμπροὺς οὐ δοκεῖ πάτριον οὐδὲ δίκαιον εἶναι, μὴ μετὰ τῆς ἐσχάτης ἀνάγκης. εἰ δὲ φρουροῖντο δεθέντες ἐν πόλεσι τῆς Ἰταλίας, ἃς ἂν αὐτὸς ἕληται Κικέρων, μέχρι οὗ καταπολεμηθῇ Κατιλίνας, ὕστερον ἐν εἰρήνῃ καὶ καθ' ἡσυχίαν περὶ ἑκάστου τῇ βουλῇ γνῶναι παρέξει.

Οὕτω δὲ τῆς γνώμης φιλανθρώπου φανείσης, καὶ τοῦ λόγου δυνατῶς ἐπ' αὐτῇ ῥηθέντος, οὐ μόνον οἱ μετὰ τοῦτον ἀνιστάμενοι προσετίθεντο, πολλοὶ δὲ καὶ τῶν πρὸ αὐτοῦ τὰς εἰρημένας γνώμας ἀπειπάμενοι, πρὸς τὴν ἐκείνου μετέστησαν· ἕως ἐπὶ Κάτωνα τὸ πρᾶγμα καὶ Κάτλον περιῆλθεν. τούτων δὲ νεανικῶς ἐναντιωθέντων, Κάτωνος δὲ καὶ τὴν ὑπόνοιαν ἅμα τῷ λόγῳ συνεπερείσαντος

terrorem injecit, provecturum eum populum ad omnem audaciam. Unde accuſabant Piſo & Catulus Ciceronem, quod Cæſari in conjuratione Catilinæ opportunam ſe opprimendi anſam præbenti peperciſſet. Nam Catilina, qui non modo rempub. mutare, verum etiam totum evertere imperium, omniaque deliberaverat commiſcere, exiguis preſſus indiciis, urbe prius exceſſit quam totum conſilium ſuum detegeretur. Lentulum autem & Cethegum ſucceſſores reliquit in urbe conjurationis, quibus an quid clam fiduciæ & virium præbuerit Cæſar, in obſcuro eſt. His in ſenatu manifeſte convictis, & conſule de pœna eorum omnes ordines ſententiam rogante Cicerone, alii uſque ad Cæſarem capitale ſupplicium de iis ſumendum cenſuerunt. At Cæſar ſurgens habuit orationem accurate meditatam, retulitque viros dignitate & genere illuſtres indicta cauſa necare non videri ſibi nec uſitatum nec legitimum, niſi in ultima neceſſitate. Quod ſi vincti in municipiis per Italiam, quæ ipſe eligeret Cicero, quoad debellatum foret cum Catilina, cuſtodirentur, poſt quiete in otio ſenatum de unoquoque facultatem habiturum ſtatuendi.

Ita ejus ſententiæ, quæ lenis eſt viſa, & quam facunda oratione munierat, non illi modo qui ſecundum eum ſententiam dixerunt, ſunt aſſenſi, ſed & qui dixerant priores, ſuis retractatis in illius tranſiere ſententiam, donec ad Catonem & Catulum ventum eſt. His acriter repugnantibus, Catone vero etiam oratione ſua detorquente in eum ſuſpicionem,

σαντος αὐτῷ, καὶ συνεξαναστάντος ἐρρωμένως, οἱ μὲν ἄνδρες ἀποθανούμενοι παρεδόθησαν, Καίσαρι δὲ τῆς βουλῆς ἐξιόντι πολλοὶ τῶν Κικέρωνα φρουρούντων τότε νέων γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. ἀλλὰ Κουρίων τότε λέγεται τῇ τηβέννῳ περιβαλὼν ὑπεξαγαγεῖν· αὐτός τε ὁ Κικέρων, ὡς οἱ νεανίσκοι προσέβλεψαν, ἀνανεῦσαι, φοβηθεὶς τὸν δῆμον, ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. τοῦτο μὲν οὖν οὐκ οἶδα ὅπως ὁ Κικέρων, εἴπερ ἦν ἀληθές, ἐν τῷ περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν· αἰτίαν δὲ εἶχεν ὕστερον, ὡς ἄριστα τῷ καιρῷ τότε παρασχόντι κατὰ τοῦ Καίσαρος μὴ χρησάμενος, ἀλλ' ἀποδειλιάσας τὸν δῆμον, ὑπερφυῶς περιεχόμενον τοῦ Καίσαρος. ὅς γε καὶ μετ' ὀλίγας ἡμέρας εἰς τὴν βουλὴν εἰσελθόντος αὐτοῦ, καὶ περὶ ὧν ἐν ὑποψίαις ἦν ἀπολογουμένου, καὶ περιπίπτοντος θορύβοις πονηροῖς, ἐπειδὴ πλείων τοῦ συνήθους ἐγίγνετο τῇ βουλῇ καθεζομένῃ χρόνος, ἐπῆλθεν μετὰ κραυγῆς, καὶ περιέστη τὴν σύγκλητον, ἀπαιτῶν τὸν ἄνδρα, καὶ κελεύων ἀφεῖναι. διὸ καὶ Κάτων φοβηθεὶς μάλιστα τὸν ἐκ τῶν ἀπόρων νεωτερισμὸν, οἳ τοῦ παντὸς ὑπέκκαυμα πλήθους ἦσαν, ἐν τῷ Καίσαρι τὰς ἐλπίδας ἔχοντες, ἔπεισε τὴν σύγκλητον ἀπονεῖμαι σιτηρέσιον αὐτοῖς ἔμμηνον, ἐξ οὗ δαπάνης μὲν πεντακόσιαι πεντήκοντα μυριάδες ἐνιαύσιοι προσεγίνοντο τοῖς ἄλλοις ἀναλώμασιν. τὸν μέντοι μέγαν ἐν τῷ παρόντι φόβον ἔσβεσεν περιφανῶς τὸ πολίτευμα τοῦτο, καὶ τὸ πλεῖστον ἀπέρρηξεν τῆς Καίσαρος δυνάμεως καὶ διεσκέδασεν ἐν καιρῷ, στρατηγεῖν μέλλοντος, καὶ φοβερωτέρου διὰ τὴν ἀρχὴν ὄντος.

Οὐ μὴν ἀπέβη τι ταραχῶδες ἀπ' αὐτῆς, ἀλλὰ καὶ τύχη τις ἄχαρις τῷ

ac valide cum eo pugnante, conjurati fuerunt rei capitalis damnati. Cæſari curia exeunti multi ex juventute, qui tunc Ciceronem ſtipabant, concurſu facto intentabant ſtrictos gladios. Verum Curio ibi dicitur toga ſua eum texiſſe & eripuiſſe: atque ipſe Cicero intuentibus eum juvenibus cædem vel populi metu, vel quod prorſus iniquam & violentam arbitraretur, abnuiſſe. Hoc ego Ciceronem miror, ſi verum eſt, in libro de conſulatu ſuo præteriſſe. Poſt ſane culpatus eſt quod occaſione in præſens contra Cæſarem non fuiſſet uſus, metu deterritus amplectentis Cæſarem mirifice populi: qui quidem poſt aliquanto ſenatum eo ingreſſo, ac dum ſuſpiciones, quibus erat adſperſus, purgat, adverſis clamoribus excepto, dum ſolito tardius dimittitur ſenatus, tumultuoſe accurrit, curiamque cinxit, Cæſarem repetens, jubenſque eum dimitti. Quocirca veritus Cato ne egena plebs, quæ univerſæ multitudinis erat fax, ac ſpem omnem reponebat in Cæſare, res novas moliretur, fuit autor patribus ut divideret plebi frumentum menſtruum. Unde cæteris oneribus acceſſit per ſingulos annos ſumptus vicies & ducenties. Magnum tamen terrorem haud dubie reſtinxit in præſenti hæc actio, plurimumque Cæſari potentiæ detraxit & diſſipavit in tempore, qui tum erat prætor deſignatus, ac magis ob eum magiſtratum timendus.

Atqui nihil in eo actum eſt tumultuoſe, verum occupavit fortuna quædam ſiniſtra Cæ-

τῷ Καίσαρι συνηνέχθη περὶ τὸν οἶκον. Πόπλιος Κλώδιος ἦν ἀνὴρ γένει μὲν εὐπατρίδης, καὶ πλούτῳ καὶ λόγῳ λαμπρὸς, ὕβρει δὲ καὶ θρασύτητι τῶν ἐπὶ βδελυρίᾳ περιβοήτων οὐδενὸς δεύτερος. οὗτος ἤρα Πομπηΐας τῆς Καίσαρος γυναικὸς, οὐδὲ αὐτῆς ἀκούσης. ἀλλὰ φυλακαί τε τῆς γυναικωνίτιδος ἀκριβεῖς ἦσαν, ἥ τε μήτηρ τοῦ Καίσαρος, Αὐρηλία, γυνὴ σώφρων, περιέπουσα τὴν νύμφην ἀεὶ, χαλεπὴν καὶ παρακεκινδυνευμένην αὐτοῖς ἐποίει τὴν ἔντευξιν. ἔστιν δὲ Ῥωμαίοις Θεὸς ἣν Ἀγαθὴν ὀνομάζουσιν, ὥσπερ Ἕλληνες Γυναικείαν. καὶ Φρύγες μὲν οἰκειούμενοι, Μίδα μητέρα τοῦ βασιλέως γενέσθαι φασὶν, Ῥωμαῖοι δὲ νύμφην Δρυάδα, Φαύνῳ συνοικήσασαν, Ἕλληνες δὲ τῶν Διονύσου μητέρων τὴν ἄῤῥητον. ὅθεν ἀμπελίνοις τε τὰς σκηνὰς κλήμασιν ἑορτάζουσαι κατερέφουσιν, καὶ δράκων ἱερὸς παρακαθίδρυται τῇ Θεῷ κατὰ τὸν μῦθον. ἄνδρα δὲ προσελθεῖν οὐ θέμις, οὐδ' ἐπὶ τῆς οἰκίας γενέσθαι, τῶν ἱερῶν ὀργιαζομένων. αὐταὶ δὲ καθ' ἑαυτὰς αἱ γυναῖκες πολλὰ τοῖς Ὀρφικοῖς ὁμολογοῦντα δρᾷν λέγονται περὶ τὴν ἱερουργίαν. ὅταν οὖν ὁ τῆς ἑορτῆς καθήκῃ χρόνος ὑπατεύοντος ἢ στρατηγοῦντος ἀνδρὸς, αὐτὸς μὲν ἐξίσταται, καὶ πᾶν τὸ ἄῤῥεν· ἡ δὲ γυνὴ τὴν οἰκίαν παραλαβοῦσα διακοσμεῖ, καὶ τὰ μέγιστα νύκτωρ τελεῖται, παιδιᾶς ἀναμεμιγμένης ταῖς παννυχίσι, καὶ μουσικῆς ἅμα πολλῆς παρούσης.

Ταύτην τότε τὴν ἑορτὴν τῆς Πομπηΐας ἐπιτελούσης, ὁ Κλώδιος οὔπω γενειῶν, καὶ διὰ τοῦτο λήσειν οἰόμενος, ἐσθῆτα καὶ σκευὴν ψαλτρίας ἀναλαβὼν ἐχώρει, νέᾳ γυναικὶ τὴν ὄψιν ἐοικώς. καὶ ταῖς θύραις ἐπιτυχὼν ἀνεῳγμέναις, εἰσήχθη μὲν

Cæſaris domum. P. Clodius fuit nobili genere ortus, divitiis & facundia præcellens, ſed inſolentia & audacia nulli improbiſſimorum ſecundus. Hic uxorem Cæſaris Pompeiam amabat neque eam invitam. Verum gynæceum acri ſepiebatur cuſtodia, ejuſque mater Aurelia, fœmina honeſta, perpetuo lateri adhærens Pompeiæ, arduum & periculoſum eis congreſſum efficiebat. Eſt apud Romanos Dea, quam Bonam dicunt, ſicut Græci Muliebrem. Hanc Phryges ſibi aſſerentes peculiarem, Midæ regis autumant matrem eſſe, Romani nympham Dryada, Fauno nuptam, Græci Liberi patris eam matrem, quam nefandum eſt nominare. Unde pampinis tentoria feſtum diem agitantes mulieres contegunt, ac ſacer draco ex fabula ad pedes Deæ jacet. Eo virum fas non eſt accedere, neque dum ſacra aguntur, in domo, ubi aguntur, eſſe. Solæ fœminæ multa Orphicis germana memorantur in ſolenni peragere. Ubi feſtus dies inſtat, celebratur in ædibus conſulis vel prætoris, ipſe autem domo & omne quod maſculum cedit. Uxor ſola domum parat, peragiturque fere nocte per luſum pervigilio commiſtum inter magnum concentum.

Hunc feſtum diem id temporis agitante Pompeia, Clodius imberbis etiamnum, ideoque fallere ſe exiſtimans poſſe cæteras, veſtitu & cultu ſumpto pſaltriæ, acceſſit eo, juvenculam facie referens. Quum fores offendiſſet patefactas, ab ancilla conſcia eſt citra

μὲν ἀδεῶς ὑπὸ τῆς συνειδυίας θεραπαινίδος· ἐκείνης δὲ προδραμούσης, ὡς τῇ Πομπηΐᾳ φράσειεν, καὶ γενομένης διατριβῆς, περιμένειν μὲν ὅπου κατελείφθη τῷ Κλωδίῳ μὴ καρτεροῦντι, πλανωμένῳ δ' ἐν οἰκίᾳ μεγάλῃ, καὶ περιφεύγοντι τὰ φῶτα, προσπεσοῦσα τῆς Αὐρηλίας ἀκόλουθος, ὡς δὲ γυνὴ γυναῖκα παίζειν προὐκαλεῖτο· καὶ μὴ βουλόμενον, εἰς τὸ μέσον εἷλκεν, καὶ τίς ἐστιν καὶ πόθεν ἐπυνθάνετο. τοῦ δὲ Κλωδίου φήσαντος Ἄβραν περιμένειν Πομπηΐας, αὐτὸ τοῦτο καλουμένην, καὶ τῇ φωνῇ γενομένου καταφανοῦς, ἡ μὲν ἀκόλουθος εὐθὺς ἀπεπήδησεν κραυγῇ πρὸς τὰ φῶτα καὶ τὸν ὄχλον, ἄνδρα πεφωρακέναι βοῶσα. τῶν δὲ γυναικῶν διαπτοηθεισῶν, ἡ Αὐρηλία τὰ μὲν ὄργια τῆς Θεοῦ κατέπαυσεν καὶ συνεκάλυψεν, αὐτὴ δὲ τὰς θύρας ἀποκλεῖσαι κελεύσασα, περιῄει τὴν οἰκίαν ὑπὸ λαμπάδων, ζητοῦσα τὸν Κλώδιον. εὑρίσκεται δ' εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθεν, καταπεφευγώς· καὶ γενόμενος φανερὸς ὑπὸ τῶν γυναικῶν ἐξελαύνεται διὰ τῶν θυρῶν. τὸ δὲ πρᾶγμα καὶ νυκτὸς εὐθὺς αἱ γυναῖκες ἀπιοῦσαι τοῖς αὐτῶν ἔφραζον ἀνδράσιν· καὶ μεθ' ἡμέραν ἐχώρει διὰ τῆς πόλεως ὁ λόγος, ὡς ἀθέσμοις ἐπικεχειρηκότος τοῦ Κλωδίου, καὶ δίκην οὐ τοῖς ὑβρισμένοις μόνον ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς Θεοῖς ὀφείλοντος. ἐγράψατο μὲν οὖν τὸν Κλώδιον εἷς τῶν δημάρχων ἀσεβείας, καὶ συνέστησαν ἐπ' αὐτὸν οἱ δυνατώτατοι τῶν ἀπὸ τῆς βουλῆς, ἄλλας τε δεινὰς ἀσελγείας καταμαρτυροῦντες, καὶ μοιχείαν ἀδελφῆς, ἣ Λουκούλλῳ συνῳκήκει. πρὸς δὲ τὰς τούτων σπουδὰς ὁ δῆμος ἀντιτάξας ἑαυτὸν, ἤμυνε τῷ Κλωδίῳ, καὶ μέγα πρὸς τοὺς δικαστὰς ὄφελος ἦν,

tra impedimentum introductus. Dum autem illa properat ut id Pompeiæ nuntiet, mora interveniente, operiri ubi relictus erat non ſuſtinenti Clodio, laxiſque in ædibus erranti lumenque declinanti occurrit pediſſequa Aureliæ, atque ut fœmina fœminam provocat ad luſum. Detrectantem in medium rapit, quæ ſit & unde percunctatur. Quum reſpondiſſet Clodius Abram exſpectare ſe Pompeiæ ancillam (nam id nominis ei erat) voce eſt detectus. Ibi repente pediſſequa proſiliit cum clamore ad lumen & cœtum, virum vociferans ſe deprehendiſſe. Obſtupefactis mulieribus, ſacra Deæ Aurelia inhibet & obvelat. Mox juſſo obſerari fores, ad faces domum luſtrat, Clodium quærens. Refugerat ille in ancillæ tabernaculum illius cum qua congreſſus fuerat, atque ibi deprehenditur. Cognitus a mulieribus exigitur foras. Hoc factum mulieres confeſtim de nocte domum digreſſæ viris ſuis nuntiaverunt, ac rumor poſtridie civitatem pervaſit, rem a Clodio tentatam nefariam, pœnaſque non læſorum tantum, verum reipub. etiam & Deorum nomine exigendas. Itaque poſtulavit profanatorum ſacrorum Clodium unus ex tribunis, coieruntque in eum principes ſenatus, qui teſtimonia in eum dixerunt, cum de improbitatibus atrocibus aliis, tum de ſtupro cum ſorore ſua, quæ in Luculli matrimonio erat, admiſſo. Quorum ſtudiis obnixus populus defendit Clodium, magnoque præſidio fuit ei

ην, ἐκπεπληγμένους καὶ δεδοικότας τὸ πλῆθος. ὁ δὲ Καῖσαρ ἀπεπέμψατο μὲν εὐθὺς τὴν Πομπηΐαν· μάρτυς δὲ πρὸς τὴν δίκην κληθεὶς, οὐδὲν ἔφη τῶν λεγομένων κατὰ τοῦ Κλωδίου γιγνώσκειν. ὡς δὲ τοῦ λόγου παραδόξου φανέντος, ὁ κατήγορος ἠρώτησε, πῶς οὖν ἀπεπέμψω τὴν γυναῖκα; Ὅτι, ἔφη, τὴν ἐμὴν ἠξίουν μηδὲ ὑπονοηθῆναι. ταῦτα οἱ μὲν οὕτω φρονοῦντα τὸν Καίσαρα λέγουσιν εἰπεῖν, οἱ δὲ, τῷ δήμῳ χαριζόμενον ὡρμημένῳ σώζειν τὸν Κλώδιον. ἀποφεύγει δ' οὖν τὸ ἔγκλημα, τῶν πλείστων δικαστῶν συγκεχυμένας τοῖς πράγμασι τὰς γνώμας ἀποδιδόντων, ὅπως μήτε παρακινδυνεύσωσιν ἐν τοῖς πολλοῖς καταψηφισάμενοι, μήτε ἀπολύσαντες ἀδοξήσωσι παρὰ τοῖς ἀρίστοις.

Ὁ δὲ Καῖσαρ εὐθὺς ἀπὸ τῆς στρατηγίας τῶν ἐπαρχιῶν τὴν Ἰβηρίαν λαβὼν, ὡς ἦν δυσδιάθετον αὐτῷ τὸ περὶ τοὺς δανειστὰς, ἐνοχλοῦντας ἐξιόντι καὶ καταβοῶντας, ἐπὶ Κράσσον κατέφυγε, πλουσιώτατον ὄντα Ῥωμαίων, δεόμενον δὲ τῆς Καίσαρος ἀκμῆς καὶ θερμότητος ἐπὶ τὴν πρὸς Πομπήϊον ἀντιπολιτείαν. ἀναδεξαμένου δὲ τοῦ Κράσσου τοὺς μάλιστα χαλεποὺς καὶ ἀπαραιτήτους τῶν δανειστῶν, καὶ διεγγυήσαντος ὀκτακοσίων καὶ τριάκοντα ταλάντων, οὕτως ἐξῆλθεν ἐπὶ τὴν ἐπαρχίαν. λέγεται δὲ, τὰς Ἄλπεις ὑπερβαλόντος αὐτοῦ, καὶ πολίχνιόν τι βαρβαρικὸν οἰκούμενον ὑπὸ ἀνθρώπων παντάπασιν ὀλίγων καὶ λυπρῶν παρεξερχομένους τοὺς ἑταίρους, ἅμα γέλωτι καὶ μετὰ παιδιᾶς, ἦπου, φάναι, κἀνταῦθα τινές εἰσιν ὑπὲρ ἀρχῶν φιλοτιμίαι, καὶ περὶ πρωτείων ἅμιλλαι, καὶ φθόνοι τῶν δυνατῶν πρὸς ἀλλήλους; τὸν δὲ Καίσαρα σπουδάσαντα πρὸς

ei apud judices attonitos populique paveſcentes. Cæſar protinus repudiavit Pompeiam, ſed teſtis in reum citatus, nihil dixit eorum quæ Clodio objiciebantur compertum ſibi eſſe. Quod quum videretur mirum, quæſivit accuſator quamobrem ergo uxori nuntium remiſiſſet, reſpondit, Uxorem meam volo & ſuſpicione carere. Hæc Cæſarem aiunt aliqui ex animi ſententia dixiſſe, alii in populi gratiam eripere enitentis Clodium. Itaque abſolvitur a crimine, quod plerique judices ſententiam confuſis tabulis tuliſſent, ne in diſcrimen vocarentur ad populum, ſi eum damnaſſent, neu ſi liberaſſent eum, infames forent apud optimates.

Cæſar ſtatim ex prætura provinciam ſortitus Hiſpaniam, quum res ei difficili in loco cum creditoribus eſſet importunis profecturo probriſque inceſſentibus, ad Craſſum confugit ditiſſimum civitatis, qui, quo reſiſteret Pompeii actionibus, Cæſaris quærebat vigorem & ardorem ſibi adjungere. Atque ubi hic creditores in ſe recepiſſet moleſtiſſimos & duriſſimos, & octingenta triginta talenta pro eo interceſſiſſet, tum eſt in provinciam profectus. Fama eſt in tranſgreſſu Alpium, prætereuntes amicos ejus oppidum barbarorum, quod homines admodum pauci tenueſque colebant, per riſum & jocum dixiſſe, Num quæ hic quoque de honoribus ambitiones & de primatu certamina mutuæque factioſorum invidiæ forent? Ibi ſerio Cæſarem ad eos

πρὸς αὐτοὺς εἰπεῖν, ἐγὼ μὲν ἐβουλόμην παρὰ τούτοις εἶναι μᾶλλον πρῶτος, ἢ παρὰ Ῥωμαίοις δεύτερος. ὁμοίως δὲ πάλιν ἐν Ἰβηρίᾳ σχολῆς οὔσης, ἀναγινώσκοντά τι τῶν περὶ Ἀλεξάνδρου γεγραμμένων, σφόδρα γενέσθαι πρὸς ἑαυτῷ πολὺν χρόνον, εἶτα καὶ δακρῦσαι· τῶν δὲ φίλων θαυμασάντων τὴν αἰτίαν, εἰπεῖν, οὐ δοκεῖ ὑμῖν ἄξιον εἶναι λύπης, εἰ τηλικοῦτος μὲν ὢν Ἀλέξανδρος, ἤδη τοσούτων ἐβασίλευεν, ἐμοὶ δὲ λαμπρὸν οὐδὲν οὔπω πέπρακται.

Τῆς γοῦν Ἰβηρίας ἐπιβὰς, εὐθὺς ἦν ἐνεργὸς, ὥσθ' ἡμέραις ὀλίγαις δέκα σπείρας συναγαγεῖν πρὸς ταῖς πρότερον οὔσαις εἴκοσι· καὶ στρατεύσας ἐπὶ Καλλαϊκοὺς καὶ Λυσιτανοὺς, κρατῆσαι, καὶ προελθεῖν ἄχρι τῆς ἔξω θαλάσσης, τὰ μὴ πρότερον ὑπακούοντα Ῥωμαίοις ἔθνη καταστρεφόμενος. θέμενος δὲ τὰ τοῦ πολέμου καλῶς, οὐ χεῖρον ἐβράβευε τὰ τῆς εἰρήνης, ὁμόνοιάν τε ταῖς πόλεσι καθιστὰς, καὶ μάλιστα τὰς τῶν χρεωφειλετῶν καὶ δανειστῶν ἰώμενος διαφοράς. ἔταξε γὰρ τῶν προσιόντων τοῖς ὀφείλουσι καθ' ἕκαστον ἐνιαυτὸν δύο μὲν μέρη τὸν δανειστὴν ἀναιρεῖσθαι, τῷ δὲ λοιπῷ χρῆσθαι τὸν δεσπότην, ἄχρι ἂν οὕτως ἐκλυθῇ τὸ δάνειον. ἐπὶ τούτοις εὐδοκιμῶν, ἀπηλλάγη τῆς ἐπαρχίας, αὐτός τε πλούσιος γεγονὼς, καὶ τοὺς στρατιώτας ὠφεληκὼς ἀπὸ τῶν στρατηγιῶν, καὶ προσηγορευμένος αὐτοκράτωρ ὑπ' αὐτῶν.

Ἐπεὶ δὲ τοὺς μὲν μνωμένους θρίαμβον ἔξω διατρίβειν ἔδει, τοὺς δὲ μετιόντας ὑπατείαν, παρόντας ἐν τῇ πόλει τοῦτο πράττειν, ἐν τοιαύτῃ γεγονὼς ἀντινομίᾳ, καὶ πρὸς αὐτὰς τὰς ὑπατικὰς ἀφιγμένος ἀρχαιρεσίας, ἔπεμψε πρὸς τὴν σύγκλητον, αἰτούμενος αὐτῷ δοθῆναι παραγγέλλειν εἰς ὑπάτειαν ἀπόντι

πρὸς

eos dixiſſe, Mallem equidem apud hos primus eſſe quam Romæ ſecundus. Alio item tempore in Hiſpania quum legeret per otium Alexandri hiſtoriam, diu eum ſecum cogitabundum ſediſſe, inde lacrymas profudiſſe. Mirantibus cauſam amicis dixiſſe: Annon videtur vobis gemendum, quum hac ætate Alexander tot jam regna ſubegerit, me nihildum geſſiſſe præclari?

Ut ergo Hiſpaniam attigit, mox accinxit ſe operi, atque intra paucos dies cohortes decem ad priores viginti conſcripſit. Gallæcos & Luſitanos bello petiit domuitque: ac progreſſus uſque ad Oceanum gentes ante non pacatas imperio Romano ſubegit. Rebus bello egregie geſtis, non ſegnius pacis munia diſpenſavit, concordia in civitatibus conſtituenda, præſertim obæratorum & creditorum medendis controverſiis. Statuit enim ut ex debitoris proventibus ferret quotannis creditor beſſem, reliquum rediret ad dominum, quoad æs alienum eſſet diſſolutum. His actis clarus decedit provincia, tum ipſe pecunioſus, tum impletis præda militibus, atque imperator eſt ab illis appellatus.

Quia vero triumphum poſtulantibus manendum extra urbem, & candidatis conſulatus petendus erat in urbe, his legibus conflictatus contrariis, quum ad tempus comitiorum conſularium occurriſſet, contendit per amicos a ſenatu, ut abſentis ſui ratio haberetur.

διὰ τῶν φίλων. Κάτωνος δὲ πρῶτον μὲν ἰσχυριζομένου τῷ νόμῳ πρὸς τὴν ἀξίωσιν, εἶτα ὡς ἑώρα πολλοὺς τεθεραπευμένους ὑπὸ τοῦ Καίσαρος, ἐκκρούσαντος τῷ χρόνῳ τὸ πρᾶγμα, καὶ τὴν ἡμέραν ἐν τῷ λέγειν κατατρίψαντος, ἔγνω τὸν θρίαμβον ἀφεὶς ὁ Καῖσαρ ἔχεσθαι τῆς ὑπατείας· καὶ παρελθὼν εὐθὺς, ὑποδύεται πολίτευμά τι πάντας ἀνθρώπους ἐξαπατῆσαν πλὴν Κάτωνος. ἦν δὲ τοῦτο, διαλλαγὴ Πομπηΐου καὶ Κράσσου, τῶν μέγιστον ἐν τῇ πόλει δυναμένων· οὓς συναγαγὼν ὁ Καῖσαρ εἰς φιλίαν ἐκ διαφορᾶς, καὶ τὴν ὑπ᾽ ἀμφοῖν συνενεγκάμενος ἰσχὺν εἰς ἑαυτὸν, ἔργῳ φιλάνθρωπον ἔχοντι προσηγορίαν, ἔλαθε μεταστήσας τὴν πολιτείαν. οὐ γὰρ, ὡς οἱ πλεῖστοι νομίζουσιν, ἡ Καίσαρος καὶ Πομπηΐου διαφορὰ τοὺς ἐμφυλίους ἀπειργάσατο πολέμους, ἀλλὰ μᾶλλον ἡ φιλία, συστάντων ἐπὶ καταλύσει τῆς ἀριστοκρατίας τὸ πρῶτον, εἶτα οὕτω καὶ πρὸς ἀλλήλους διαστάντων. Κάτωνι δὲ πολλάκις τὰ μέλλοντα προθεσπίζοντι, περιῆν δυσκόλου μὲν ἀνθρώπου τότε καὶ πολυπράγμονος, ὕστερον δὲ, φρονίμου μὲν, οὐκ εὐτυχοῦς δὲ συμβούλου λαβεῖν δόξαν.

Οὐ μὴν ἀλλ᾽ ὁ Καῖσαρ ἐν μέσῳ τῆς Κράσσου καὶ Πομπηΐου φιλίας δορυφορούμενος, ἐπὶ τὴν ὑπατείαν προήχθη, καὶ λαμπρῶς ἀναγορευθεὶς μετὰ Καλπουρνίου Βίβλου, καὶ καταστὰς εἰς τὴν ἀρχὴν, εὐθὺς εἰσέφερε νόμους οὐχ ὑπάτῳ προσήκοντας, ἀλλὰ δημάρχῳ τινὶ θρασυτάτῳ, πρὸς ἡδονὴν τῶν πολλῶν κληρουχίας τινὰς χώρας καὶ διανομὰς εἰσηγούμενος. ἐν δὲ τῇ βουλῇ τῶν καλῶν τε καὶ ἀγαθῶν ἀντικρουσάντων, πάλαι δεόμενος προφάσεως, ἀνακραγὼν καὶ μαρτυράμενος ὡς εἰς τὸν δῆμον ἄκων ἐξελαύνοιτο, θερα-

πεύ-

tur. Contra cujus poſtulata inſiſtente legi Catone, mox ut multos advertit a Cæſare delinitos, tempore rem excludente, ac diem dicendo eximente, conſtituit dimiſſo triumpho Cæſar incumbere conſulatui, ingreſſuſque illico urbem ſuſcepit actionem, qua dempto Catone omnibus mortalibus impoſuit. Ea fuit, potentiſſimorum civium Pompeii & Craſſi reconciliatio. Quibus Cæſar ex ſimultate in gratiam reductis, atque utriuſque in ſe conflata potentia, facto in ſpeciem humano rempub. clam invertit. Neque enim (ut plerique omnes exiſtimabant) Cæſaris & Pompeii diſſenſio civilia invexit bella, immo conjunctio potius ad convellendos optimates conſpirantium primum, deinde tamen inter ſe diſſidentium. Catoni autem, qui impendentia crebro vaticinatus eſt, hoc reliquum fuit, ut importuni tunc & curioſi, poſt prudentis quidem ſed infelicis nomen conſiliarii ſortiretur.

Porro Cæſar Craſſi & Pompeii ſtipatus amicitia, conſulatum adeptus eſt, ac cum Calpurnio Bibulo magna gloria renunciatus. Inito magiſtratu extemplo leges non conſuli, ſed audaciſſimo tribuno plebis rogavit congruentes, in gratiam plebis legem de coloniis deducendis & leges agrarias promulgans. Qui, quum adverſarentur ei in ſenatu optimates, quod diu occaſionem quæſiſſet, vociferatus teſtatuſque invitum ſe tranſire ad populum, quem neceſſario & injuriis in ſe ſe-

natus

πάντων ἐκεῖνον ἐξ ἀνάγκης, ὕβρει καὶ χαλεπότητι τῆς βουλῆς, πρὸς αὐτὸν ἐξεπήδησεν· καὶ περιστησάμενος ἔνθεν μὲν Κράσσον, ἔνθεν δὲ Πομπήϊον, ἠρώτησεν εἰ τοὺς νόμους ἐπαινοῖεν. ἐπαινεῖν δὲ φασκόντων, παρεκάλει βοηθεῖν πρὸς τοὺς ἀνίστασθαι μετὰ ξιφῶν ἀπειλοῦντας. ἐκεῖνοι δὲ ὑπισχνοῦντο· Πομπήϊος δὲ καὶ προσεπεῖπεν, ὡς ἀφίξοιτο πρὸς τὰ ξίφη μετὰ τοῦ ξίφους καὶ θυρεὸν κομίζων. ἐπὶ τούτῳ τοὺς μὲν ἀριστοκρατικοὺς ἠνίασεν, οὐκ ἀξίαν τῆς περὶ αὐτὸν αἰδοῦς, οὐδὲ τῆς πρὸς τὴν σύγκλητον εὐλαβείας πρέπουσαν, ἀλλὰ μανικὴν καὶ μειρακιώδη φωνὴν ἀκούσαντας· ὁ δὲ δῆμος ἥσθη. Καῖσαρ δὲ μειζόνως ἔτι τῆς Πομπηΐου δυνάμεως ὑποδραττόμενος (ἦν γὰρ αὐτῷ Ἰουλία θυγάτηρ, ἐγγεγυημένη Σερουϊλίῳ Καιπίωνι) ταύτην ἐνεγγύησε Πομπηΐῳ· τὴν δὲ Πομπηΐου τῷ Σερουϊλίῳ δώσειν ἔφησεν, οὐδὲ αὐτὴν ἀνέγγυον οὖσαν, ἀλλὰ Φαύστῳ τῷ Σύλλα παιδὶ καθωμολογημένην. ὀλίγῳ δὲ ὕστερον Καῖσαρ ἠγάγετο Καλπουρνίαν, θυγατέρα Πείσωνος, τὸν δὲ Πείσωνα κατέστησεν ὕπατον εἰς τὸ μέλλον. ἐνταῦθα δὴ καὶ σφόδρα μαρτυρομένου Κάτωνος, καὶ βοῶντος οὐκ ἀνεκτὸν εἶναι, γάμοις διαμαστροπευομένης τῆς ἡγεμονίας, καὶ διὰ γυναικῶν εἰς ἐπαρχίας καὶ στρατεύματα καὶ δυνάμεις ἀλλήλους ἀντεισαγόντων. ὁ μὲν οὖν συνάρχων τοῦ Καίσαρος Βίβλος, ἐπεὶ κωλύων τοὺς νόμους οὐδὲν ἐπέραινεν, ἀλλὰ πολλάκις ἐκινδύνευεν μετὰ Κάτωνος ἐπὶ τῆς ἀγορᾶς ἀποθανεῖν, ἐγκλεισάμενος οἴκοι τὸν τῆς ἀρχῆς χρόνον διετέλεσεν. Πομπήϊος δὲ γήμας, εὐθὺς ἐνέπλησεν τὴν ἀγορὰν ὅπλων, καὶ συνεπεκύρου τῷ δήμῳ τοὺς νόμους· Καίσαρι δὲ τὴν ἐντὸς Ἄλπεων καὶ τὴν ἐκτὸς ἅπασαν Κελτικὴν, προσθεὶς τὸ Ἰλλυρικὸν

natus adductus cogeretur obſervare, ad eum proſiliit, cinctuſque hinc Craſſo illinc Pompeio, rogavit eos ecquid leges ſuas probarent. Quum probare dicerent, oravit ut contra adverſarios, qui gladios minitarentur, eſſent ſibi auxilio: id illi ſunt polliciti. Adjecit inſuper Pompeius, contra gladios cum gladio ſe venturum, & ſcutum quoque allaturum. Hæc vox optimatum aures offendit, indigna ejus pudore, atque ab ejus erga ſenatum obſervantia abhorrens, immo inſana & temeraria; populus vero exultavit. At Cæſar, quo penitius in potentiam inſinuaret ſe Pompeii, quum filiam Juliam haberet Servilio Cæpioni pactam, hanc Pompeio deſpondit. Servilio Pompeii filiam oſtendit ſe juncturum, ac ne eam quidem illocatam, ſed Fauſto Syllæ filio deſtinatam. Brevi poſt Cæſar Piſonis filiam Calpurniam nuptiis ſibi adjunxit: Piſonem in proximum annum conſulem creavit. Quo tempore palam teſtatus eſt Cato, clamavitque rem indignam eſſe, ut proſtitueretur nuptiarum lenociniis imperium, ac per mulieres mutuo ſe ad provincias, imperia, exercitus proveherent. Collega igitur Cæſaris Bibulus quum intercedendo legibus ejus nihil proficeret, ſed in foro ſæpius eſſet in mortis periculum cum Catone vocatus, toto conſulatus tempore continuit ſe domi. Pompeius ducta Julia, ſtatim forum armis implevit, legeſque Cæſaris populo firmavit. Cæſari effecit ut Gallia ciſalpina & tranſalpina omnis, adjuncto Illyrico,

κὸν μετὰ ταγμάτων τεσσάρων εἰς πενταετίαν. Κάτωνα μὲν οὖν ἐπιχειρήσαντα τούτοις ἀντιλέγειν, ἀπῆγεν εἰς φυλακὴν ὁ Καῖσαρ, οἰόμενος αὐτὸν ἐπικαλέσεσθαι τοὺς δημάρχους· ἐκείνου δὲ ἀφώνου βαδίζοντος, ὁρῶν ὁ Καῖσαρ οὐ μόνον τοὺς κρατίστους δυσφοροῦντας, ἀλλὰ καὶ τὸ δημοτικὸν αἰδοῖ τῆς Κάτωνος ἀρετῆς σιωπῇ καὶ μετὰ κατηφείας ἑπόμενον, αὐτὸς ἐδεήθη κρύφα τῶν δημάρχων ἑνὸς ἀφελέσθαι τὸν Κάτωνα. τῶν δὲ ἄλλων συγκλητικῶν, ὀλίγοι παντάπασιν αὐτῷ συνῄεσαν εἰς βουλὴν, οἱ δὲ λοιποὶ δυσχεραίνοντες ἐκποδὼν ἦσαν. εἰπόντος δὲ Κονσιδίου τινὸς τῶν σφόδρα γερόντων, ὡς φοβούμενοι τὰ ὅπλα καὶ τοὺς στρατιώτας οὐ συνέρχοιντο, Τί οὖν, ἔφη ὁ Καῖσαρ, οὐ καὶ σὺ ταῦτα δεδιὼς οἰκουρεῖς; καὶ ὁ Κονσίδιος εἶπεν, ὅτι με ποιεῖ μὴ φοβεῖσθαι τὸ γῆρας. ὁ γὰρ ἔτι λειπόμενος βίος, οὐ πολλῆς ὀλίγος ὢν δεῖται προνοίας. αἴσχιστον δὲ τῶν τότε πολιτευμάτων ἔδοξεν ἐν τῇ Καίσαρος ὑπατείᾳ, δήμαρχον αἱρεθῆναι Κλώδιον ἐκεῖνον, ὑφ' οὗ τὰ περὶ τὸν γάμον καὶ τὰς ἀποῤῥήτους παρενομήθη παννυχίδας. ᾑρέθη δὲ ἐπὶ τῇ Κικέρωνος καταλύσει· καὶ Καῖσαρ οὐ πρότερον ἐξῆλθεν ἐπὶ τὴν στρατείαν, ἢ καταστασιάσαι Κικέρωνα μετὰ Κλωδίου, καὶ συνεκβαλεῖν ἐκ τῆς Ἰταλίας.

Τοιαῦτα μὲν οὖν λέγεται γενέσθαι τὰ πρὸ τῶν Γαλατικῶν. ὁ δὲ τῶν πολέμων οὓς ἐπολέμησεν μετὰ ταῦτα, καὶ τῶν στρατειῶν αἷς ἡμερώσατο τὴν Κελτικὴν χρόνος, ὥσπερ ἄλλην ἀρχὴν λαβόντος αὐτοῦ, καὶ καταστάντος εἰς ἑτέραν τινὰ βίου καὶ πραγμάτων καινῶν ὁδὸν, οὐκ ἔστιν ὅτου τῶν μάλιστα τεθαυμασμένων ἐφ' ἡγεμονίᾳ καὶ μεγίστων γεγονότων ἀπολείποντα πολεμιστὴν καὶ στρα-

τηλά-

co, cum quatuor legionibus in quinquennium decerneretur. Hic reluctare ſibi aggreſſum Catonem duci Cæſar in carcerem juſſit, tribunos exiſtimans appellaturum. Quo nulla voce miſſa pergente, cernens Cæſar non optimates tantum id ægre ferentes, verum plebem etiam virtutis verecundia Catonis tacitam & mœſtam ſequentem, rogavit clam ipſe unum ex tribunis ut eriperet Catonem. Ex cæteris ſenatoribus in curiam venerunt eo conſule ſane pauci: reliqui indignantes ſenatu abſtinuere. Quum Conſidius quidam natu grandis, armorum & militum diceret metu eos non convenire, Quin igitur, inquit, tu quoque, Cæſar, hac formidine domi te contines? Ibi Conſidius reſpondit, Quod metum mihi abſtergat ſenectus: nam quod ſupereſt vitæ, quia parum eſt, haud magnam quærit cautionem. Inter illius temporis acta fœdiſſimum in Cæſaris conſulatu, quod Clodius tribunus plebis deſignatus fuerit, ille a quo torus ejus atque arcana pervigilia fuerant temerata. Deſignatus eſt ad obterendum Ciceronem. Nec prius in provinciam profectus Cæſar eſt, quam ſocio Clodio Ciceronem factione oppreſſiſſet, atque Italia exterminaſſet.

Hæc geſſiſſe dicitur ante bellum Gallicum. At bellorum quæ deinceps geſſit, expeditionumque quibus domuit Galliam, tempus, quaſi aliud exordium cepiſſet, & aliam vitæ actionumque eſſet ingreſſus viam novarum, nullo eum vel laudatiſſimorum atque ſummorum imperatorum inferiorem bellato-

rem

τηλάτην ἀπέδειξεν αὐτόν· ἀλλ' εἴτε Φαβίους καὶ Σκιπίωνας καὶ Μετέλλους καὶ τοὺς κατ' αὐτὸν ἢ μικρὸν ἔμπροσθεν αὐτοῦ, Σύλλαν καὶ Μάριον, ἀμφοτέρους τε Λευκούλλους, ἢ καὶ Πομπήϊον αὐτὸν, οὗ κλέος ὑπουράνιον ἤνθει τότε παντοίας περὶ πόλεμον ἀρετῆς, παραβάλοι τὶς, αἱ Καίσαρος ὑπερβάλλουσι πράξεις, τὸν μὲν χαλεπότητι τόπων, ἐν οἷς ἐπολέμησε, τὸν δὲ, μεγέθει χώρας ἣν προσεκτήσατο, τὸν δὲ, πλήθει καὶ βίᾳ πολεμίων οὓς ἐνίκησεν, τὸν δὲ, ἀτοπίαις καὶ ἀπιστίαις ἠθῶν ἃ καθωμάλισε, τὸν δὲ, ἐπιεικείᾳ καὶ πρᾳότητι πρὸς τοὺς ἁλισκομένους, τὸν δὲ, δώροις καὶ χάρισι πρὸς τοὺς συστρατευομένους, πάντας δὲ, τῷ πλείστας μεμαχῆσθαι μάχας, καὶ πλείστους ἀνῃρηκέναι τῶν ἀντιταχθέντων. ἔτη γὰρ οὐδὲ δέκα πολεμήσας περὶ Γαλατίαν, πόλεις μὲν ὑπὲρ ὀκτακοσίας κατὰ κράτος εἷλεν, ἔθνη δὲ ἐχειρώσατο τριακόσια· μυριάσι δὲ παραταξάμενος κατὰ μέρος τριακοσίαις, ἑκατὸν μὲν ἐν χερσὶν διέφθειρεν, ἄλλας δὲ τοσαύτας ἐζώγρησε.

Εὐνοίᾳ δὲ καὶ προθυμίᾳ στρατιωτῶν ἐχρήσατο τοσαύτῃ περὶ αὐτὸν, ὥστε τοὺς ἑτέρων μηδὲν ἐν ταῖς ἄλλαις στρατείαις διαφέροντας, ἀμάχους καὶ ἀνυποστάτους φέρεσθαι πρὸς πᾶν δεινὸν ὑπὲρ τῆς Καίσαρος δόξης. οἷος ἦν τοῦτο μὲν, Ἀκίλιος, ὃς ἐν τῇ περὶ Μασσαλίαν ναυμαχίᾳ, νεὼς πολεμίας ἐπιβεβηκὼς, τὴν μὲν δεξιὰν ἀπεκόπη χεῖρα μαχαίρᾳ, τῇ δὲ ἀριστερᾷ τὸν θυρεὸν οὐκ ἀφῆκεν, ἀλλὰ τύπτων εἰς τὰ πρόσωπα τοὺς πολεμίους, ἀπέστρεψε πάντας, καὶ τοῦ σκάφους ἐπεκράτησεν· τοῦτο δὲ, Κάσσιος Σκεύας, ὃς ἐν τῇ ἐπὶ Δυῤῥάχιον μάχῃ τὸν ὀφθαλμὸν ἐκκοπεὶς τοξεύματι, τὸν δὲ ὦμον ὑσ-

σῷ

rem & ducem oſtendit : ſed ſive cum illo Fabios, Scipiones, Metellos, coævoſque ejus aut paulo ſuperiores, Syllam & Marium, amboſque Lucullos, vel ipſum etiam Pompeium, cujus ex omnis generis bellica virtute ſuperabat gloria cœlos, conferas, res geſtæ Cæſaris antecellunt alium locorum, quibus bellum geſſit, aſperitate, alium provinciæ, quam ſubjugavit, amplitudine, multitudine alium & ferocitate, quos ſuperavit, hoſtium, alium morum, quos cicuravit, feritate & immanitate, alium clementia & lenitate in devictos, alium in commilitones munificentia & beneficiis, omnes vero prœliorum & hoſtium interfectorum immenſo numero. Quippe annis non totis decem geſto in Gallia bello, oppida plus octingenta vi cepit, gentes ſubegit trecentas, ſigna diverſis temporibus contulit cum tricies centenis millibus : ex quibus decies centena millia in acie interfecit, alterum tantum cepit.

Studium erga ſe militum & promptitudinem habuit tantam, ut, qui, cæteris nihil aliis in expeditionibus præcellebant, invicti atque intolerabiles in omne diſcrimen pro Cæſaris gloria ruerent. Qualis fuit hinc Acilius, qui in prœlio navali apud Maſſiliam, quum in hoſtilem navem tranſiliſſet, detruncata gladio dextra, retinuit ſiniſtra ſcutum, quo pulſans hoſtium ora omnes avertit, navique eſt potitus: hinc Caſſius Scæva, qui in pugna apud Dyrrhachium excuſſo ſagitta oculo, humero pilo uno & fe-

σῷ καὶ τὸν μηρὸν ἑτέρῳ διεληλαμένος, τῷ δὲ θυρεῷ βελῶν ἑκατὸν καὶ τριάκοντα πληγὰς ἀναδεδεγμένος, ἐκάλει τοὺς πολεμίους, ὡς παραδώσων ἑαυτόν. δυεῖν δὲ προσιόντων, τοῦ μὲν ἀπέκοψε τὸν ὦμον τῇ μαχαίρᾳ, τὸν δὲ κατὰ τοῦ προσώπου πατάξας ἀπέστρεψεν· αὐτὸς δὲ διεσώθη, τῶν οἰκείων περισχόντων. ἐν δὲ Βρεττανίᾳ τῶν πολεμίων εἰς τόπον ἑλώδη καὶ μεστὸν ὕδατος ἐμπεσοῦσι τοῖς πρώτοις ταξιάρχαις ἐπιθεμένων, στρατιώτης Καίσαρος, αὐτοῦ τὴν μάχην ἐφορῶντος, ὠσάμενος εἰς μέσους, καὶ πολλὰ καὶ περίοπτα τόλμης ἀποδειξάμενος ἔργα, τοὺς μὲν ταξιάρχους ἔσωσε, τῶν βαρβάρων φυγόντων, αὐτὸς δὲ χαλεπῶς ἐπὶ πᾶσι διαβαίνων, ἔρριψεν ἑαυτὸν εἰς ῥεύματα τελματώδη· καὶ μόλις ἄνευ τοῦ θυρεοῦ, τὰ μὲν νηχόμενος, τὰ δὲ βαδίζων διεπέρασεν. θαυμαζόντων δὲ τῶν περὶ τὸν Καίσαρα, καὶ μετὰ χαρᾶς καὶ κραυγῆς ἀπαντώντων, αὐτὸς εὖ μάλα κατηφὴς καὶ δεδακρυμένος προσέπεσε τῷ Καίσαρι, συγγνώμην αἰτούμενος ἐπὶ τῷ προέσθαι τὸν θυρεόν. ἐν δὲ Λιβύῃ ναῦν ἔχοντες οἱ περὶ Σκιπίωνα Καίσαρος, ἐν ᾗ Γράνιος Πέτρων ἐπέπλει ταμίας ἀποδεδειγμένος, τοὺς μὲν ἄλλους ἐποιοῦντο λείαν, τῷ δὲ ταμίᾳ διδόναι τὴν σωτηρίαν ἔφασαν. ὁ δὲ, εἰπὼν ὅτι τοὺς Καίσαρος στρατιώτας οὐ λαμβάνειν ἀλλὰ διδόναι σωτηρίαν ἔθος ἐστὶν, ἑαυτὸν τῷ ξίφει πατάξας ἀνεῖλεν.

Τὰ δὲ τοιαῦτα λήμματα καὶ τὰς φιλοτιμίας αὐτὸς ἀνέθρεψεν καὶ κατεσκεύασε Καῖσαρ, πρῶτον μὲν τῷ χαρίζεσθαι καὶ τιμᾶν ἀφειδῶς, ἐνδεικνύμενος ὅτι τὸν πλοῦτον οὐκ εἰς τρυφὴν ἰδίαν, οὐδέ τινας ἡδυπαθείας ἐκ τῶν πολέμων ἀθροίζει, κοινὰ δὲ ἆθλα τῆς ἀνδραγαθίας παρ' αὐτῷ φυλασσόμενα ἀπόκειται καὶ μέτεστιν ἐκείνῳ τοῦ πλουτεῖν, ὅσα τοῖς ἀξίοις τῶν στρατιωτῶν δι-

femore altero trajecto, ſcuto telorum triginta ſupra centum ictibus exceptis, tanquam dediturus ſe vocavit hoſtes: duobus accurrentibus, alterius humerum gladio deſecuit, alterius ſauciavit faciem, eumque in fugam vertit, ipſe amicorum præſidio evaſit incolumis. In Britannia quum hoſtes, primipilos, qui in loca paluſtria & profunda aquis inciderant, adorirentur, miles Cæſaris ipſo pugnam ſpectante in medium irruit, multiſque & eximiis editis virtutis operibus primipilos ſervavit: ac barbaris in fugam conjectis, ipſe poſtremus omnium magno labore recipiens ſe, conjecit ſe in rivos lacuſtres, atque ægre relicto ſcuto qua natando qua gradiendo locum ſuum ſuperavit. Stupente Cæſare, qui cum gratulatione & plauſu occurrit ei, admodum hic mœſtus lacrymarumque plenus abjecit ſe ad Cæſaris pedes, quod ſcutum amiſiſſet veniam petens. In Africa Scipio capta Cæſaris navi, qua Granius Petronius quæſtor deſignatus vehebatur, cæteros in prædam vertit, quæſtori ſalutem ſe dixit dare: qui quum reſpondiſſet Cæſaris milites non accipere, ſed dare conſueſſe ſalutem, gladio ſe confodit.

Hos ſpiritus atque hanc alacritatem ipſe aluit & paravit Cæſar, primum immenſa largitione & honoribus, oſtendens non ad privatum luxum ſe opes neque ullas ad delicias accumulare ex bello, ſed communia virtutis præmia apud ſe ſervata reponi: hactenus autem inde ſe diteſcere, quatenus in bene

δίδωσιν· ἔπειτα τῷ πάντα μὲν κίνδυνον ἑκὼν ὑφίστασθαι, πρὸς μηδένα δὲ τῶν πόνων ἀπαγορεύειν. τὸ μὲν οὖν φιλοκίνδυνον οὐκ ἐθαύμαζον αὐτοῦ διὰ τὴν φιλοτιμίαν· ἡ δὲ τῶν πόνων ὑπομονὴ, παρὰ τὴν τοῦ σώματος δύναμιν ἐγκαρτερεῖν δοκοῦντος, ἐξέπληττεν· ὅτι καὶ τὴν ἕξιν ὢν ἰσχνὸς, καὶ τὴν σάρκα λευκὸς καὶ ἁπαλὸς, καὶ περὶ τὴν κεφαλὴν νοσώδης, καὶ τοῖς ἐπιληπτικοῖς ἔνοχος, ἐν Κορδύβῃ πρῶτον αὐτῷ τοῦ πάθους, ὡς λέγεται, τούτου προσπεσόντος, οὐ μαλακίας ἐποιήσατο τὴν ἀῤῥωστίαν πρόφασιν, ἀλλὰ θεραπείαν τῆς ἀῤῥωστίας τὴν στρατείαν, ταῖς ἀτρύτοις ὁδοιπορίαις, καὶ ταῖς εὐτελέσι διαίταις, καὶ τῷ θυραυλεῖν ἀπομαχόμενος τῷ πάθει, καὶ τὸ σῶμα φρουρῶν δυσάλωτον. ἐκοιμᾶτο μὲν γε τοὺς πλείστους ὕπνους ἐν ὀχήμασιν ἢ φορείοις, εἰς πρᾶξιν τὴν ἀνάπαυσιν κατατιθέμενος· ὠχεῖτο δὲ μεθ' ἡμέραν ἐπὶ τὰ φρούρια καὶ τὰς πόλεις καὶ τοὺς χάρακας, ἑνὸς αὐτῷ συγκαθημένου παιδὸς, τῶν ὑπογράφειν ἅμα διώκοντος εἰθισμένων, ἑνὸς δ' ἐξόπισθεν ἐφεστηκότος στρατιώτου, ξίφος ἔχοντος. συντόνως δὲ ἤλαυνεν οὕτως, ὥστε τὴν πρώτην ἔξοδον ἀπὸ Ῥώμης ποιησάμενος, ὀγδοαῖος ἐπὶ τὸν Ῥοδανὸν ἐλθεῖν. τὸ μὲν οὖν ἱππεύειν ἐκ παιδὸς ἦν αὐτῷ ῥάδιον· εἴθιστο γὰρ εἰς τοὐπίσω τὰς χεῖρας ἀπάγων, καὶ τῷ νώτῳ περιπλέκων, ἀνὰ κράτος ἐλαύνειν τὸν ἵππον. ἐν ἐκείνῃ δὲ τῇ στρατείᾳ προσεξήσκησεν ἱππαζόμενος τὰς ἐπιστολὰς ὑπαγορεύειν, καὶ δυσὶν ὁμοῦ γράφουσιν ἐξαρκεῖν· ὡς δὲ Ὄππιός φησιν, καὶ πλείοσιν. λέγεται δὲ καὶ τὸ διὰ γραμμάτων τοῖς φίλοις ὁμιλεῖν, Καίσαρα πρῶτον

τον

bene meritos profundat milites; deinde, quod nullum non periculum ultro ſubiret, neque laboribus fatiſceret in ullis. Enimvero intrepidum ejus ad ſubeunda pericula animum non mirabantur, quod gloriæ avidus eſſet: verum tolerantia laborum, quos ſupra corporis vires videbatur perferre, obſtupefecit milites; quod qui habitu gracili corporeque candido & molli, debili quoque foret capite, ac morbo comitiali contactus (quod vitium ei fama eſt Cordubæ primum ingruiſſe) non quæſierit mollitiæ ex valetudinis imbecillitate prætextum, ſed medicinam imbecillitatis militiam putaverit, indefatigatis itineribus, tenui victu, & tectum non ſubeundo reſiſtens ægritudini, corpuſque adverſus injuriam validum cuſtodiens: ſiquidem ſomnum plerumque in vehiculis aut lecticis capiebat, conferens etiam ad actionem requiem. Vehebatur interdiu ad arces, oppida, & caſtra. Aſſidebat ei puer unus ex iis qui dictata excipere inter proficiſcendum aſſueti erant. Pone unus ſedebat miles gladio accinctus. Strenue adeo iter faciebat, ut quum primo die exiiſſet urbe, ad Rhodanum octavo pervenerit. Atque equitandi quidem habuit ille a puero proclivem uſum. Aſſuefactus enim erat reductis retro manibus atque in tergo complicatis incitatiſſime equum permittere. At illo in bello inſuper meditatus fuerat dictare inter equitandum epiſtolas, duobuſque ſimul amanuenſibus ſufficere, ut vero ait Oppius, etiam pluribus. Memorant eam præterea rationem cum amicis per literas agendi primum excogitaſſe

Cæ-

τον μηχανήσασθαι, τὴν κατὰ πρόσωπον ἔντευξιν ὑπὲρ τῶν ἐπειγόντων, τοῦ καιροῦ διά τε πλῆθος ἀσχολιῶν, καὶ τῆς πόλεως τὸ μέγεθος μὴ περιμένοντος. τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας κἀκεῖνο ποιοῦνται σημεῖον, ὅτι τοῦ δειπνίζοντος αὐτὸν ἐν Μεδιολάνῳ ξένου, Οὐαλερίου Λέοντος, παραθέντος ἀσπάραγον, καὶ μύρον ἀντ' ἐλαίου καταχέαντος, αὐτὸς μὲν ἀφελῶς ἔφαγεν, τοῖς δὲ φίλοις δυσχεραίνουσιν ἐπέπληξεν. Ἤρκει γάρ, ἔφη, τὸ μὴ χρῆσθαι τοῖς ἀπαρέσκουσιν· ὁ δὲ τὴν τοιαύτην ἀγροικίαν ἐξελέγχων, αὐτός ἐστιν ἄγροικος. ἐν ὁδῷ δέ ποτε συνελαθεὶς ὑπὸ χειμῶνος εἰς ἔπαυλιν ἀνθρώπου πένητος, ὡς οὐδὲν εὗρεν πλέον οἰκήματος ἑνὸς γλίσχρως ἕνα δέξασθαι δυναμένου, πρὸς τοὺς φίλους εἰπών, ὡς τῶν μὲν ἐντίμων παραχωρητέον εἴη τοῖς κρατίστοις, τῶν δὲ ἀναγκαίων τοῖς ἀσθενεστάτοις, Ὄππιον ἐκέλευσεν ἀναπαύσασθαι· μετὰ δὲ τῶν ἄλλων αὐτὸς ἐν τῷ προστεγίῳ τῆς θύρας ἐκάθευδεν.

Ἀλλὰ γὰρ ὁ μὲν πρῶτος αὐτῷ τῶν Κελτικῶν πολέμων πρὸς Ἑλβητίους συνέστη καὶ Τιγυρίνους, οἳ τὰς αὐτῶν δώδεκα πόλεις καὶ κώμας τετρακοσίας ἐμπρήσαντες, ἐχώρουν πρόσω διὰ τῆς ὑπὸ Ῥωμαίοις Γαλατίας, ὥσπερ πάλαι Κίμβροι, καὶ Τεύτονες, οὔτε τόλμαν ἐκείνων ὑποδεέστεροι δοκοῦντες εἶναι, καὶ πλῆθος ὁμαλῶς τριάκοντα μὲν αἱ πᾶσαι μυριάδες ὄντες, εἴκοσι δὲ αἱ μαχόμεναι, μιᾶς δέουσαι. τούτων Τιγυρίνους μὲν οὐκ αὐτός, ἀλλὰ Λαβιηνὸς πεμφθεὶς ὑπ' αὐτοῦ περὶ τὸν Ἄραρα ποταμὸν συνέτριψεν· Ἑλβητίων δὲ αὐτῷ πρός τινα πόλιν φίλην ἄγοντι τὴν στρατιάν, καθ' ὁδὸν ἀπροσδοκήτως ἐπιθεμένων, φθάσας ἐπὶ χωρίον καρτερὸν κατέφυγεν. κἀκεῖ συνα-

γαγὼν

Cæſarem, quum colloquendi coram de rebus neceſſariis tempus propter occupationum multitudinem atque urbis laxitatem ſpatium non daret. Quam autem indifferens fuerit circa victum, hoc indicio demonſtrant, quod invitatus Mediolani ad cœnam ab hoſpite Valerio Leone, qui aſparagum appoſuerat, atque olei loco infuderat unguentum, ipſe ſimpliciter comederit & indignantes increpaverit amicos. Satis enim erat, inquit, abſtinere iis, a quibus abhorrebatis: nunc eam ruſticitatem qui reprehendit, ipſe eſt ruſticus. Compulſus aliquando in itinere per tempeſtatem in hominis pauperis caſam, ubi nihil extra unum cubiculum reperit, quod capere vix poſſet unum, dixit amicis, honeſtiora optimis concedenda, neceſſaria debiliſſimis; atque Oppium illic juſſit capere quietem, cum cæteris ipſe in veſtibulo januæ cubavit.

Porro bellorum Gallicorum primum cum Helvetiis & Tigurinis geſſit. Hi oppidis ſuis duodecim & quadringentis vicis incenſis, iter capiebant per Romanorum provinciam, ſicut olim Cimbri & Teutones: quibus nec cedere eos animo apparebat, & numero item erant in ſumma trecenta millia capitum, ex quibus arma ferebant centum nonaginta millia. Horum Tigurinos non ipſe, ſed legatus ejus Labienus ad Ararim amnem oppreſſit. Quum Helvetii ad oppidum quoddam ſocium exercitum admoventem repente ex itinere adorirentur, occupavit ad locum munitum ſe recipere: quo loco contractis inſtructiſque co-

γαγὼν καὶ παρατάξας τὴν δύναμιν, ὡς ἵππος αὐτῷ προσήχθη, Τούτῳ μὲν, ἔφη, νικήσας χρήσομαι πρὸς τὴν δίωξιν, νῦν δὲ ἴωμεν ἐπὶ τοὺς πολεμίους· καὶ πεζὸς ὁρμήσας ἐνέβαλεν. χρόνῳ δὲ καὶ χαλεπῶς ὠσάμενος τὸ μάχιμον, περὶ ταῖς ἁμάξαις καὶ τῷ χάρακι τὸν πλεῖστον ἔσχεν πόνον, οὐκ αὐτῶν μόνον ὑφισταμένων ἐκεῖ καὶ μαχομένων, ἀλλὰ καὶ παῖδες αὐτῶν καὶ γυναῖκες ἀμυνόμεναι μέχρι θανάτου συγκατεκόπησαν, ὥστε τὴν μάχην μόλις εἰς μέσας νύκτας τελευτῆσαι. καλῷ δὲ τῷ τῆς νίκης ἔργῳ κρεῖττον ἐπέθηκεν, τὸ συνοικίσαι τοὺς διαφυγόντας ἐκ τῆς μάχης τῶν παρόντων βαρβάρων, καὶ καταναγκάσαι τὴν χώραν ἀναλαβεῖν ἣν ἀπέλιπον, καὶ τὰς πόλεις ἃς διέφθειραν, ὄντας ὑπὲρ δέκα μυριάδας. ἔπραξεν δὲ τοῦτο, δεδιὼς μὴ τὴν χώραν ἔρημον γενομένην οἱ Γερμανοὶ διαβάντες κατάσχωσιν.

Δεύτερον δὲ πρὸς Γερμανοὺς ἄντικρυς ὑπὲρ Κελτῶν ἐπολέμησεν, καίτοι τὸν βασιλέα πρότερον αὐτῶν Ἀριόβυστον ἐν Ῥώμῃ σύμμαχον πεποιημένος. ἀλλ᾽ ἦσαν ἀφόρητοι τοῖς ὑπηκόοις αὐτοῦ γείτονες, καὶ καιροῦ παραδόντος, οὐκ ἂν ἐδόκουν ἐπὶ τοῖς παροῦσιν ἀτρεμήσειν, ἀλλ᾽ ἐπινομήσεσθαι καὶ καθέξειν τὴν Γαλατίαν. ὁρῶν δὲ τοὺς ἡγεμόνας ἀποδειλιῶντας, καὶ μάλιστα ὅσοι τῶν ἐπιφανῶν καὶ νέων αὐτῷ συνεξῆλθον, ὡς δὴ τρυφῇ χρησόμενοι καὶ χρηματισμῷ τῇ μετὰ Καίσαρος στρατείᾳ· συναγαγὼν εἰς ἐκκλησίαν, ἐκέλευσεν ἀπιέναι, καὶ μὴ κινδυνεύειν παρὰ γνώμην, οὕτως ἀνάνδρως καὶ μαλακῶς ἔχοντας· αὐτὸς δὲ ἔφη τὸ δέκατον τάγμα μόνον παραλαβὼν, ἐπὶ τοὺς βαρβάρους πορεύεσθαι, μήτε κρείττοσι μέλλων Κίμβρων μάχεσθαι πολεμίοις, μήτε αὐτὸς

copiis, ubi fuit ei equus admotus, Hoc poſt obtentam victoriam, inquit, ad conſectandos hoſtes utar: nunc in illos pergamus. Et pedibus profectus incurrit in eos. Poſtquam appepulit longinqua & acri pugna armatos, plurimum laboris habuit ad plauſtra & vallum: ubi non viri modo eum ſubſtitere prœliatique ſunt, ſed & pueri fœminæque, uſque ad mortem defendentes ſe, conciſi ſunt. Protracta eſt in mediam uſque noctem pugna. Inſigni hujus victoriæ operi adjecit inſignius, quod horum barbarorum qui ex prœlio ſupererant plus centum millia in unum contraxerit, coegeritque repetere agrum quem reliquerant, & quæ incendio abſumpſerant oppida. Fecit autem id metuens ne agrum vacuum Germani tranſmiſſo Rheno invaderent.

Hinc cum Germanis plane pro Gallis bellavit, quamvis regem illorum Arioviſtum ante Romæ appellaverat ſocium. Cæterum intolerabiles erant pacatis ejus vicini, apparebatque per occaſionem præſentibus fortunis non acquieturos, verum incurſaturos occupaturoſque reliquam Galliam. Quoniam vero duces vidit trepidantes, præcipue autem quotquot ex nobilitate & juventute eum fuerant ſequuti, quaſi ad delicias & quæſtum hac cum Cæſare expeditione uſuri: concione advocata faceſſere eos juſſit, neque contra animi ſententiam adeo effœminatos ac molles ſubire periculum. Ac ſola decima legione oſtendit ſe barbaros adoriturum, neque cum fortioribus, quam Cimbri fuiſſent, dimicaturum hoſtibus, neque Mario ſe im-

αὐτὸς ὢν Μαρίου χείρων στρατηγός. ἐκ τούτου τὸ μὲν δέκατον τάγμα πρεσβευτὰς ἔπεμψε πρὸς αὐτὸν, χάριν ἔχειν ὁμολογοῦντες· τὰ δ' ἄλλα τοὺς ἑαυτῶν ἐκάκιζον ἡγεμόνας, ὁρμῆς δὲ καὶ προθυμίας γενόμενοι πλήρεις ἅπαντες ἠκολούθησαν ὁδὸν ἡμερῶν πολλῶν, ἕως ἐν διακοσίοις τῶν πολεμίων σταδίοις κατεστρατοπέδευσαν. ἦν μὲν οὖν ὅ, τι καὶ πρὸς τὴν ἔφοδον αὐτὴν ἐτέθραυστο τῆς τόλμης τοῦ Ἀριοβύστου. Γερμανοῖς γὰρ ἐπιθήσεσθαι Ῥωμαίους, ὧν ἐπερχομένων οὐκ ἂν ἐδόκουν ὑποστῆναι, ὃ μὴ προσδοκήσας, ἐθαύμαζε τὴν Καίσαρος τόλμαν, καὶ τὸν στρατὸν ἑώρα τεταραγμένον. ἔτι δὲ μᾶλλον αὐτοὺς ἤμβλυνε τὰ μαντεύματα τῶν ἱερῶν γυναικῶν, αἳ ποταμῶν δίναις προσβλέπουσαι, καὶ ῥευμάτων ἑλιγμοῖς καὶ ψόφοις τεκμαιρόμεναι προεθέσπιζον, οὐκ ἐῶσαι μάχην τίθεσθαι πρὶν ἐπιλάμψαι νέαν σελήνην. ταῦτα τῷ Καίσαρι πυνθανομένῳ, καὶ τοὺς Γερμανοὺς ἡσυχάζοντας ὁρῶντι, καλῶς ἔχειν ἔδοξεν ἀπροθύμοις οὖσιν αὐτοῖς συμβάλλειν, μᾶλλον ἢ τὸν ἐκείνων ἀναμένοντα καιρὸν καθῆσθαι. καὶ προσβολὰς ποιούμενος τοῖς ἐρύμασι καὶ λόφοις ἐφ' ὧν ἐστρατοπέδευον, ἐξηγρίαινε καὶ παρώξυνε καταβάντας πρὸς ὀργὴν διαγωνίσασθαι. γενομένης δὲ λαμπρᾶς τροπῆς αὐτῶν, ἐπὶ σταδίους τετρακοσίους ἄχρι τοῦ Ῥήνου διώξας, κατέπλησε τοῦτο πᾶν νεκρῶν τὸ πεδίον καὶ λαφύρων. Ἀριόβυστος δὲ φθάσας μετ' ὀλίγων, διεπέρασε τὸν Ῥῆνον. ἀριθμὸν δὲ νεκρῶν, μυριάδας ὀκτὼ γενέσθαι λέγουσι.

Ταῦτα διαπραξάμενος, τὴν μὲν δύναμιν ἐν Σηκουανοῖς ἀπέλειπε διαχειμάσουσαν, αὐτὸς δὲ τοῖς ἐν Ῥώμῃ προσέχειν βουλόμενος, εἰς τὴν περὶ Πάδον

Γαλατίαν

imperatorem eſſe deteriorem. Ibi decima legio per legatos ei gratias egere: at cæteræ legiones inſectatæ ſunt duces ſuos, animorumque & alacritatis pleni eum omnes multorum dierum viam ſunt ſequuti, quoad viginti quinque millibus paſſuum ab hoſtibus caſtra poſuere. Fuit Arioviſti ob hunc ipſum adventum nonnihil infracta ferocia. Quippe impreſſionem Romanorum in Germanos, quorum non videbantur ſubſtituri incurſum, quia non exſpectaverat, Cæſaris obſtupuit audaciam, & obtorpeſcentem exercitum vidit. Magis inſuper vaticinia percellebant illos fatiloquarum mulierum, quæ amnium vorticibus inſpectis rivorumque gyris & ſtrepitibus notatis futura præcinebant. Hæ ſigna conferre antequam illuxiſſet nova luna vetabant. Quibus nuntiatis Cæſar, quum quieſcere cerneret Germanos, optimum factu ratus eſt, ut cum torpentibus potius confligeret, quam illorum exſpectans tempora deſideret. Itaque munimentis eorum & tumulis oppugnandis, quibus conſederant, laceſſivit irritavitque eos, ut cum furore ad dimicandum deſcenderent. Fuſos ingenti ſtrage triginta ſeptem millia quingentos paſſus uſque ad Rhenum inſequutus, campum hunc cadaveribus & ſpoliis totum complevit. Arioviſtus præcepta fuga Rhenum cum paucis trajecit. Cecidiſſe dicuntur octoginta millia.

His patratis exercitum reliquit in Sequanis hybernaturum, ac rebus urbanis intentus, in Galliam circumpadanam, quæ provinciæ erat

Γαλατίαν κατέβη, τῆς αὑτοῦ δεδομένης ἐπαρχίας οὖσαν. ὁ γὰρ καλούμενος Ῥουβίκων ποταμὸς ἀπὸ τῆς ὑπὸ ταῖς Ἄλπεσι Κελτικῆς ὁρίζει τὴν ἄλλην Ἰταλίαν. ἐνταῦθα καθήμενος ἐδημαγώγει, πολλῶν πρὸς αὐτὸν ἀφικνουμένων, διδοὺς ὧν ἕκαστος δεηθείη· καὶ πάντας ἀποπέμπων, τὰ μὲν ἔχοντας ἤδη παρ' αὐτοῦ, τὰ δὲ ἐλπίζοντας. καὶ παρὰ τὸν ἄλλον δὲ πάντα τῆς στρατείας χρόνον ἐλάνθανε τὸν Πομπήϊον ἐν μέρει νῦν μὲν τοὺς πολεμίους τοῖς πολιτῶν ὅπλοις καταστρεφόμενος, νῦν δὲ τοῖς ἀπὸ τῶν πολεμίων χρήμασιν αἱρῶν τοὺς πολίτας καὶ χειρούμενος. ἐπεὶ δὲ Βέλγας ἤκουσε δυνατωτάτους Κελτῶν, καὶ τὴν τρίτην ἁπάσης τῆς Κελτικῆς νεμομένους, ἀφεστάναι, πολλάς δή τινας μυριάδας ἐνόπλων ἀνδρῶν ἠθροικότας, ἐπιστρέψας εὐθὺς ἐχώρει τάχει πολλῷ· καὶ πορθοῦσι τοὺς συμμάχους Γαλάτας ἐπιπεσὼν τοῖς πολεμίοις, τοὺς μὲν ἀθρουστάτους καὶ πλείστους αἰσχρῶς ἀγωνισαμένους τρεψάμενος διέφθειρεν, ὥστε καὶ λίμνας καὶ ποταμοὺς βαθεῖς τοῖς Ῥωμαίοις νεκρῶν πλήθει περατοὺς γενέσθαι. τῶν δ' ἀποστάντων, οἱ μὲν παρωκεάνιοι πάντες ἀμαχεὶ προσεχώρησαν· ἐπὶ δὲ τοὺς ἀγριωτάτους καὶ μαχιμωτάτους τῶν τῇδε Νερβίους ἐστράτευσεν, οἵπερ εἰς συμμιγεῖς δρυμοὺς κατῳκημένοι, γενεὰς δὲ καὶ κτήσεις ἔν τινι βυθῷ τῆς ὕλης ἀπωτάτω θέμενοι τῶν πολεμίων, αὐτοὶ τῷ Καίσαρι ποιουμένῳ χάρακα, καὶ μὴ προσδεχομένῳ τηνικαῦτα τὴν μάχην, ἑξακισμύριοι τὸ πλῆθος ὄντες, αἰφνιδίως προσέπεσον· καὶ τοὺς μὲν ἱππεῖς ἐτρέψαντο, τῶν δὲ ταγμάτων τὸ δωδέκατον καὶ τὸ ἕβδομον περισχόντες, ἅπαντας ἀπέκτειναν τοὺς ταξιάρχους. εἰ δὲ μὴ Καῖσαρ ἁρπάσας τὸν θυρεὸν, καὶ διασχὼν τοὺς πρὸ αὐτοῦ μαχομένους, ἐνέβαλε τοῖς βαρβάροις,

καὶ

ſuæ, contendit: ſiquidem amnis Rubico appellatus dirimit a Gallia ciſalpina reliquam Italiam. Ibi ſedens animos hominum captabat, confluebantque ad eum frequentes. Largiebatur autem quæ quiſque poſtulabat. Dimittebat omnes partim muneribus, partim ſpe impletos; ac reliquo toto belli tempore, imprudente Pompeio invicem hinc civium armis hoſtes domuit, hinc hoſtium opibus captavit & ſibi ſubegit cives. Ut vero Belgas audivit Gallorum pollentiſſimos, totiuſque Galliæ tertiam ſortitos partem rebellare, atque eos armatorum infinitas coegiſſe copias, confeſtim convertit ſe eo incredibili celeritate, & ſocios Gallos populantibus ſuperveniens hoſtibus, maximum eorum globum ignaviter prœliantium fudit fugavitque, ut paludes & alta flumina ob cadaverum vim permearent Romani. Ex iis autem qui defecerant, Oceani accolæ ſine certamine deditionem fecere: in ferociſſimos & bellicoſiſſimos Belgarum Nervios exercitum movit. Hi denſas incolentes ſylvas, liberis & poſſeſſionibus in vaſtiſſima ſylvæ parte quam remotiſſime ab hoſte abditis, caſtra munientem Cæſarem, nec pugnam id temporis exſpectantem, ſexaginta millia numero ex improviſo invaſerunt, equitatum ejus profligaverunt, legionis duodecimæ & ſeptimæ circumventæ omnes centuriones occidere. Quod ni Cæſar rapto ſcuto erumpens per principes in barbaros irruiſſet, atque ex

ver-

καὶ ἀπὸ τῶν ἄκρων τὸ δωδέκατον κινδυνεύοντος αὐτοῦ κατέδραμε, καὶ διέκοψε τὰς τάξεις τῶν πολεμίων, οὐδεὶς ἂν δοκεῖ περιγενέσθαι. νῦν δὲ τῇ Καίσαρος τόλμῃ τὴν λεγομένην ὑπὲρ δύναμιν μάχην ἀγωνισάμενοι, τρέπονται μὲν οὐδ᾽ ὣς τοὺς Νερβίους, κατακόπτουσι δὲ ἀμυνομένους. πεντακόσιοι γὰρ ἀπὸ μυριάδων ἓξ σωθῆναι λέγονται, βουλευταὶ δὲ τρεῖς ἀπὸ τετρακοσίων.

Ταῦτα ἡ σύγκλητος πυθομένη, πεντεκαίδεκα ἡμέρας ἐψηφίσατο θύειν τοῖς Θεοῖς, καὶ σχολάζειν ἑορτάζοντας, ὅσας ἐπ᾽ οὐδεμιᾷ νίκῃ πρότερον. καὶ γὰρ ὁ κίνδυνος ἐφάνη μέγας, ἐθνῶν ἅμα τοσούτων ἀναῤῥαγέντων, καὶ τὸ νίκημα λαμπρότερον, ὅτι Καῖσαρ ἦν ὁ νικῶν, ἡ πρὸς ἐκεῖνον εὔνοια τῶν πολλῶν ἐποίει. καὶ γὰρ αὐτὸς εὖ θέμενος τὰ κατὰ τὴν Γαλατίαν, πάλιν ἐν τοῖς περὶ Πάδον χωρίοις διεχείμαζε, συσκευαζόμενος τὴν πόλιν. οὐ γὰρ μόνον οἱ τὰς ἀρχὰς παραγγέλλοντες ἐκείνῳ χρώμενοι χορηγῷ, καὶ τοῖς παρ᾽ ἐκείνου χρήμασι διαφθείραντες τὸν δῆμον ἀνηγορεύοντο, καὶ πᾶν ἔπραττον ὃ τὴν ἐκείνου δύναμιν αὔξειν ἔμελλεν, ἀλλὰ καὶ τῶν ἐπιφανεστάτων ἀνδρῶν καὶ μεγίστων οἱ πλεῖστοι συνῆλθον πρὸς αὐτὸν εἰς Λοῦκαν, Πομπήϊός τε καὶ Κράσσος, καὶ Ἄππιος ὁ τῆς Σαρδόνος ἡγεμὼν, καὶ Νέπως ὁ τῆς Ἰβηρίας ἀνθύπατος· ὥστε ῥαβδούχους μὲν ἑκατὸν εἴκοσι γενέσθαι, συγκλητικοὺς δὲ πλείονας ἢ διακοσίους. βουλὴν δὲ θέμενοι διεκρίθησαν. ἐπὶ τούτοις ἔδει Πομπήϊον μὲν καὶ Κράσσον ὑπάτους ἀποδειχθῆναι, Καίσαρι δὲ χρήματα καὶ πενταετίαν ἄλλην ἐπιμετρηθῆναι τῆς στρατηγίας· ὃ καὶ παραλογώτατον ἐφαίνετο τοῖς νοῦν ἔχουσιν. οἱ γὰρ τοσαῦτα χρήματα παρὰ Καίσαρος λαμβάνοντες, ὡς οὐκ ἔχοντι δι-

vertice montis duodecima legio ad periculum ejus decurriſſet ac diſſipaſſet hoſtium ordines, neminem apparebat ſuperfuturum fuiſſe. Nunc quamvis ob Cæſaris audaciam contenderunt in hoc conflictu ſupra vires, ne ſic quidem avertere Nervios, ſed pugnantes contrucidavere. Siquidem ex ſexaginta millibus ferunt quingentos tantum incolumes evaſiſſe, & ſenatores ex quadringentis tres.

His ſenatus nuntiatis in dies quindecim, quot ob nullam ante victoriam, ſupplicationem decrevit. Nam & periculum videbatur ingens tot ſimul conſpirantibus gentibus: & victoriam clariorem, quod victor eſſet Cæſar, favor efficiebat in illum plebis. Etenim Cæſar rebus in Gallia compoſitis, iterum in Gallia circumpadana hybernavit aucupans civitatem. Neque enim candidati modo, qui illum habebant præbitorem, redimebantque accepta ab eo pecunia populi ſuffragia, deſignabantur, atque omnia ad opes amplificandas illius agebant, verum etiam ex clariſſimis & ſummis viris Lucam plerique ad eum convenere, Pompeius, Craſſus, Sardiniæ prætor Appius, & Nepos Hiſpaniæ proconſul. Fuere lictores illic centum viginti, ſenatores amplius ducenti. Poſtquam conſultationem tranſegerunt, digreſſi ſunt. Convenit ibi, ut Pompeius & Craſſus conſules fierent. Hi Cæſari ſtipendium, atque in alterum quinquennium provinciam ſuam decernerent. Quæ res viſa ſanis abſurdiſſima eſt. Quippe qui tantum argenti capiebant a Cæſare, hi ſenatui ut quaſi in-

διδόναι τὴν βουλὴν ἔπειθον, μᾶλλον δὲ ἠνάγκαζον ἐπιστένουσαν οἷς ἐψηφίζοντο, Κάτωνος μὲν οὐ παρόντος· ἐπίτηδες γὰρ αὐτὸν εἰς Κύπρον ἀπεδιοπομπήσαντο· Φαωνίου δὲ, ὃς ἦν ζηλωτὴς Κάτωνος, ὡς οὐδὲν ἐπέραινεν ἀντιλέγων, ἐξαλλομένου διὰ θυρῶν, καὶ βοῶντος εἰς τὸ πλῆθος. ἀλλὰ προσεῖχεν οὐδεὶς, τῶν μὲν Πομπήϊον αἰδουμένων καὶ Κράσσον· οἱ δὲ πλεῖστοι, Καίσαρι χαριζόμενοι, καὶ πρὸς τὰς ἀπ' ἐκείνου ζῶντες ἐλπίδας ἡσύχαζον.

Τραπόμενος δὲ αὖθις ὁ Καῖσαρ ἐπὶ τὰς ἐν τῇ Κελτικῇ δυνάμεις, πολὺν καταλαμβάνει πόλεμον ἐν τῇ χώρᾳ, δύο Γερμανικῶν ἐθνῶν μεγάλων ἐπὶ κατακτήσει γῆς ἄρτι τὸν Ῥῆνον διαβεβηκότων, Οὐσίπας καλοῦσι τοὺς ἑτέρους, τοὺς δὲ Τεντερίδας. περὶ δὲ τῆς πρὸς τούτους γενομένης μάχης ὁ μὲν Καῖσαρ ἐν ταῖς ἐφημερίσι γέγραφεν, ὡς οἱ βάρβαροι διαπρεσβευόμενοι πρὸς αὐτὸν ἐν σπονδαῖς, ἐπιθοῖντο καθ' ὁδὸν, καὶ διὰ τοῦτο τρέψαιντο τοὺς αὐτοῦ πεντακισχιλίους ὄντας ἱππεῖς ὀκτακοσίοις τοῖς ἐκείνων μὴ προσδοκῶντας· εἶτα πέμψειαν ἑτέρους πρὸς αὐτὸν αὖθις ἐξαπατῶντας, οὓς κατασχὼν ἐπαγάγοιτο τοῖς βαρβάροις τὸ στράτευμα, τὴν πρὸς οὕτως ἀπίστους καὶ παρασπόνδους πίστιν, εὐήθειαν ἡγούμενος. Γανύσιος δὲ λέγει, Κάτωνα, τῆς βουλῆς ἐπὶ τῇ νίκῃ ψηφιζομένης ἑορτὰς καὶ θυσίας, ἀποφήνασθαι γνώμην, ὡς ἐκδοτέον ἐστὶ τὸν Καίσαρα τοῖς βαρβάροις, ἀφοσιουμένους τὸ παρασπόνδημα ὑπὲρ τῆς πόλεως, καὶ τὴν ἀρὰν εἰς τὸν αἴτιον τρέποντας. τῶν δὲ διαβάντων, αἱ μὲν κατακοπεῖσαι τεσσαράκοντα μυριάδες ἦσαν· ὀλίγους δὲ τοὺς ἀποπεράσαντας αὖθις ὑπεδέξαντο Σούγαμβροι, Γερμανικὸν ἔθνος. καὶ ταύ-

τὴν

inopi daret, conſulebant, immo vero compellebant ſuis ingemiſcentem decretis. Quippe Cato abſens erat, quem commodum ablegaverant in Cyprum. Favonius vero, qui æmulus erat Catonis, ubi nihil profecit contradicendo, foras profiliens ad plebem vociferatus eſt. At ſurdæ omnium erant aures, quod pars Pompeii & Craſſi verecundiam haberent, plerique vero inſervientes Cæſari atque ex ſpe ab illo propoſita tanquam vitam ipſam ducentes conquieſcerent.

Porro regreſſus Cæſar in Galliam ad exercitum, offendit ibi ingens bellum. Gentes enim Germanorum duæ numeroſæ Rhenum modo ad agrum petendum tranſierant, alteros Uſipetes, Tenchteros alteros vocant. De conflictu cum his commiſſo ſcribit in commentariis Cæſar, barbaros miſſis ad ſe legatis ex itinere ſe per inducias adortos, ita equitatum ſuum ad quinque millia octingentis ipſorum pepuliſſe. Inde alios denuo impoſturæ cauſa legaſſe. Quibus comprehenſis exercitum ſe in barbaros duxiſſe, fidem ſervare cum tam perfidis & fœdifragis amentiam ratus. Canuſius Catonem narrat decernente victoriæ cauſa ſupplicationem ſenatu pro ſententia dixiſſe, Cæſarem barbaris dedendum ad expiandam a violato jure gentium civitatem, & ad piaculum in autorem vertendum. Cæſi ex illis qui Rhenum tranſierant quadringenta millia. Paucos ex fuga reverſos Sicambri gens Germanica recepere. Hoc

arrepto

τὴν λαβὼν αἰτίαν πρὸς αὐτοὺς ὁ Καῖσαρ, ἄλλως δὲ δόξης ἐφιέμενος καὶ τοῦ πρῶτος ἀνθρώπων στρατῷ διαβῆναι τὸν Ῥῆνον, ἐγεφύρου πλάτος τε πολὺν ὄντα, καὶ κατ᾽ ἐκεῖνο τοῦ πόρου μάλιστα πλημμυροῦντα, καὶ τραχὺν καὶ ῥοώδη, καὶ τοῖς καταφερομένοις στελέχεσι καὶ ξύλοις πληγὰς καὶ σπαραγμοὺς ἐνδιδόντα κατὰ τῶν ἐρειδόντων τὴν γέφυραν. ἀλλὰ ταῦτα προβόλοις ξύλων μεγάλων διὰ τοῦ πόρου καταπεπηγότων ἀναδεχόμενος, καὶ γαληνώσας τὸ προσπίπτον ῥεῦμα τῷ ζεύγματι, πίστεως πάσης θέαμα κρεῖττον ἐπεδείξατο, τὴν γέφυραν ἡμέραις δέκα συντελεσθεῖσαν.

Περαιώσας δὲ τὴν δύναμιν, οὐδενὸς ὑπαντιάσαι τολμήσαντος, ἀλλὰ καὶ τῶν ἡγεμονικωτάτων τοῦ Γερμανικοῦ Σουήβων εἰς βαθεῖς καὶ ὑλώδεις αὐλῶνας ἀνασκευασαμένων, πυρπολήσας μὲν τὴν τῶν πολεμίων, θαρρύνας δὲ τοὺς ἀεὶ τὰ Ῥωμαίων ἀσπαζομένους, ἀνεχώρησεν αὖθις εἰς τὴν Γαλατίαν, εἴκοσι δυεῖν δεούσας ἡμέρας ἐν τῇ Γερμανικῇ διατετριφώς. ἡ δὲ ἐπὶ τοὺς Βρετανοὺς στρατεία τὴν μὲν τόλμαν εἶχεν ὀνομαστήν. πρῶτος γὰρ εἰς τὸν ἑσπέριον Ὠκεανὸν ἐπέβη στόλῳ, καὶ διὰ τῆς Ἀτλαντίδος θαλάττης στρατὸν ἐπὶ πόλεμον κομίζων ἔπλευσε· καὶ νῆσον ἀπιστουμένην ὑπὸ μεγέθους, καὶ πολλὴν ἔριν παμπόλλοις συγγραφεῦσι παρασχοῦσαν, ὡς ὄνομα καὶ λόγος οὐ γινομένης οὐδὲ οὔσης πέπλασται, κατασχεῖν ἐπιθέμενος, προσήγαγεν ἔξω τῆς οἰκουμένης τὴν Ῥωμαίων ἡγεμονίαν. δὶς δὲ διαπλεύσας εἰς τὴν νῆσον ἐκ τῆς ἀντιπέρας Γαλατίας, καὶ μάχαις πολλαῖς κακώσας τοὺς πολεμίους, μᾶλλον ἢ τοὺς ἰδίους ὠφελήσας (οὐδὲν γὰρ ὅ, τι καὶ λαβεῖν ἦν ἄξιον

arrepto contra eos prætextu Cæſar, revera gloriæ cupidus, atque ut primus mortalium exercitu Rhenum traduceret, amnem ponte junxit qua latiſſimum, qui eo in trajectu latiſſime diffundit ſe, aſperque eſt & torrens, truncisque & materia, quæ devehebat, concutiebat atque convellebat pontis fulcimenta. Verum hæc ſublicis ingentibus projectis ac medio flumine defixis excipiens, irruentemque in pontem undarum impetum leniens, quod excederet omnem fidem oſtendit ſpectaculum, diebus decem pontem abſolutum.

Tranſmiſſo exercitu quum occurrere ſuſtineret nemo, ſed etiam recepiſſent ſe virtute præſtantiſſimi Germanorum Suevi in convalles altas & ſylveſtres, fœdatis hoſtium agris, fidiſque ſociis populi Romani confirmatis, poſtquam duodeviginti dies in Germania egit, in Galliam eſt regreſſus. At expeditio ejus in Britanniam nobilis fuit audaciæ. Primus enim claſſem Oceano occidentali induxit, accitoque per mare Atlanticum exercitu ad bellum ibi faciendum navigavit. Illam autem quam magnitudinis cauſa credebat inſulam nemo, & quæ præbuit ſcriptoribus permultis controverſiam, quaſi nomen tantum & fabula nuſquam viſæ neque exiſtentis ficta eſſet, ſubigere aggreſſus, promovit extra orbem terræ Romanum imperium. Bis in hanc inſulam ex oppoſita tranſmiſit Gallia, crebriſque prœliis fatigavit hoſtes magis quam ſuos locupletavit. Quum enim prædam, quæ operæ pretium eſſet, ab homi-

ἄξιον ἀπ' ἀνθρώπων κακοβίων καὶ πενήτων) οὐχ οἷον ἐβούλετο τῷ πολέμῳ τέλος ἐπέθηκεν, ἀλλ' ὁμήρους λαβὼν παρὰ τοῦ βασιλέως, καὶ ταξάμενος φόρους, ἀπῆλθεν ἐκ τῆς νήσου. καὶ καταλαμβάνει γράμματα μέλλοντα διαπλεῖν πρὸς αὐτὸν, ἀπὸ τῶν ἐν Ῥώμῃ φίλων, δηλοῦντα τὴν τῆς θυγατρὸς αὐτοῦ τελευτήν· τελευτᾷ δὲ τίκτουσα παρὰ Πομπηΐῳ. καὶ μέγα μὲν αὐτὸν ἔσχε Πομπήϊον, μέγα δὲ Καίσαρα πένθος· οἱ δὲ φίλοι συνεταράχθησαν, ὡς τῆς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ τἄλλα νοσοῦσαν τὴν πολιτείαν φυλαττούσης οἰκειότητος λελυμένης. καὶ γὰρ τὸ βρέφος εὐθὺς, οὐ πολλὰς ἡμέρας μετὰ τὴν μητέρα διαζῆσαν, ἐτελεύτησεν. τὴν μὲν Ἰουλίαν βίᾳ τῶν δημάρχων ἀράμενον τὸ πλῆθος εἰς τὸ Ἄρειον ἤνεγκε πεδίον, κἀκεῖ κηδευθεῖσα κεῖται.

Τοῦ δὲ Καίσαρος μεγάλην ἤδη τὴν δύναμιν οὖσαν εἰς πολλὰ κατ' ἀνάγκην χειμάδια διελόντος, αὐτοῦ δὲ πρὸς τὴν Ἰταλίαν, ὥσπερ εἰώθει, τραπομένου, πάντα μὲν αὖθις ἀνερρήγνυτο τὰ τῶν Γαλατῶν, καὶ στρατοὶ μεγάλοι περιϊόντες, ἐξέκοπτον τὰ χειμάδια, καὶ προσεμάχοντο τοῖς χαρακώμασι τοῖς Ῥωμαίων. οἱ δὲ πλεῖστοι καὶ κράτιστοι τῶν ἀποστάντων μετὰ Ἀβριόρηγος Κότταν μὲν αὐτῷ στρατοπέδῳ καὶ Τιτύριον διέφθειραν· τὸ δὲ ὑπὸ Κικέρωνι τάγμα μυριάσιν ἓξ περισχόντες ἐπολιόρκουν, καὶ μικρὸν ἀπέλιπον ᾑρηκέναι κατὰ κράτος, συντετρωμένων ἁπάντων, καὶ παρὰ δύναμιν ὑπὸ προθυμίας ἀμυνομένων. ὡς δὲ ἠγγέλη ταῦτα τῷ Καίσαρι μακρὰν ὄντι, ταχέως ἐπιστρέψας καὶ συναγαγὼν ἑπτακισχιλίους τοὺς σύμπαντας, ἠπείγετο τὸν Κικέρωνα τῆς πολιορκίας ἐξαιρησόμενος. τοὺς δὲ πολιορκοῦντας οὐκ ἔλαθεν, ἀλλ' ἀπαν-

hominibus duram vitam agentibus egeniſque non poſſet parare, non qualem cupiebat exitum bello impoſuit, ſed obſidibus a rege acceptis, impoſitoque tributo exceſſit inſula. Tunc literas offendit ab urbanis amicis miſſas, quæ ad eum tranſmittendæ erant. Ex his de morte filiæ cognoſcit. Extincta fuit apud Pompeium ex partu: magnuſque ipſum Pompeium, magnus Cæſarem occupavit luctus. Amici vero eorum ſimul exanimati ſunt, quod quæ in pace & concordia ægrotantem alias continebat rempub. eſſet retexta neceſſitudo. Etenim partus mox non multis diebus matri ſuperſtes deceſſit. Juliam invitis tribunis populus in campum Martium extulit, ubi funerata & humata eſt.

At quum Cæſar exercitum ob nimiam jam multitudinem diviſiſſet neceſſario in multa hyberna, atque Italiam ſuo more petiviſſet, omnis de integro conflagravit bello Gallia. Ingentes exercitus circumvolitantes hyberna iverunt exciſum & adorti ſunt caſtra Romana. Maxima manus & validiſſima rebellantium duce Ambiorige Cottam & Titurium cum exercitu delevere. Legionem, cui Q. Cicero præerat, ſexaginta millibus militum arcte obſederunt oppugnaveruntque, ſauciiſque omnibus atque animi alacritate magis quam viribus propugnantibus pene expugnaverunt. His allatis, agens Cæſar in longinquis raptim eo ſe convertit, contractiſque in totum ſeptem millibus militum acceleravit ad eximendum obſidione Ciceronem. Non fefellit obſidentes, ſed contempta Romano-

rum

ἀπιόντων ὡς ἀναρπασόμενοι, τῆς ὀλιγότητος καταφρονήσαντες. κἀκεῖνος ἐξαπατῶν ὑπέφευγεν ἀεί, καὶ χωρία λαβὼν ἐπιτηδείως ἔχοντα πρὸς πολλοὺς μαχομένῳ μετ' ὀλίγων, φράγνυται στρατόπεδον· καὶ μάχης ἔσχε τοὺς ἑαυτοῦ πάσης, ἀναγαγεῖν δὲ τὸν χάρακα καὶ τὰς πύλας ἀνοικοδομεῖν ὡς δεδοικότας ἠνάγκαζε, καταφρονηθῆναι στρατηγῶν. μέχρις οὗ σποράδην ὑπὸ θράσους βάλλοντας ἐπεξελθὼν ἐτρέψατο, καὶ πολλοὺς αὐτῶν διέφθειρε.

Τοῦτο τὰς πολλὰς ἀποστάσεις τῶν ἐνταῦθα Γαλατῶν κατεστόρεσε, καὶ τοῦ χειμῶνος αὐτὸς ἐπιφοιτῶν τε πανταχόσε καὶ προσέχων ὀξέως τοῖς νεωτερισμοῖς. καὶ γὰρ ἧκεν ἐξ Ἰταλίας ἀντὶ τῶν ἀπολωλότων αὐτῷ τρία τάγματα, Πομπηΐου μὲν ἐκ τῶν ὑφ' αὐτῷ δύο χρήσαντος, ἓν δὲ νεοσύλλεκτον ἐκ τῆς περὶ Πάδον Γαλατίας. πόρρω δὲ τούτων, αἱ πάλαι καταβεβλημέναι κρύφα καὶ νεμόμεναι διὰ τῶν δυνατωτάτων ἀνδρῶν ἐν τοῖς μαχιμωτάτοις γένεσιν ἀρχαὶ τοῦ μεγίστου καὶ κινδυνωδεστάτου τῶν ἐκεῖ πολέμων ἀνεφαίνοντο, ῥωσθεῖσαι πολλῇ μὲν ἡλικίᾳ καὶ πανταχόθεν ὅπλοις ἀθροισθεῖσι, μεγάλοις δὲ πλούτοις εἰς ταυτὸ συνενεχθεῖσιν, ἰσχυραῖς δὲ πόλεσι, δυσεμβόλοις δὲ χώραις. τότε δὲ χειμῶνος ὥρᾳ, πάγοις ποταμῶν καὶ νιφετοῖς ἀποκεκρυμμένοι δρυμοὶ, καὶ πεδία χειμάρροις ἐπιλελιμνασμένα, καὶ πῆ μὲν ἀτέκμαρτοι βάθει χιόνος ἀτραποὶ, πῆ δὲ δι' ἑλῶν καὶ ῥευμάτων παρατρεπομένων ἀσάφειᾳ πολλῇ τῆς πορείας· παντάπασιν ἐδόκουν ἀνεπιχείρητα Καίσαρι τὰ τῶν ἀφισταμένων ποιεῖν. ἀφειστήκει μὲν οὖν πολλὰ φῦλα, πρόσχημα δὲ ἦσαν

rum paucitate proceſſerunt obviam quaſi eum obtrituri. Ille ludificans eos cedit perpetuo, dum loca idonea pugnanti paucis contra multos occupat. Ibi caſtra munit, ſuos omni pugna abſtinet: vallum altius educi, portas obſtrui timoris ſimulatione imperat, id agens ut contemnantur ſui, quouſque caſtra diſperſa ex ferocia ponentes infeſto exercitu adortus fudit & magna ex parte delevit.

Hoc Gallorum defectiones illic magna ex parte compreſſit, atque ipſe hyeme circumquaque obiens acriterque res novas molientibus intendens. Ad hæc ex Italia in locum amiſſorum venerunt ad eum tres legiones. Commodavit ei de ſuis Pompeius duas, tertia novella fuit in Gallia circumpadana conſcripta. Interim in locis longinquis ſeminata in occulto & ſerpentia per potentiſſimos bellicoſiſſimis in gentibus viros principia eruperunt belli omnium illic maximi periculoſiſſimique, magno juventutis flore ſuccincta, armis undique contractis, collata in communi ingenti pecunia, validis oppidis & oppugnatu difficilibus locis: tunc tempeſtate brumali flumina congelata, obtectæ nive ſylvæ, torrentibus ſtagnantes campi, hinc altitudine nivis oculos fallentes ſemitæ, hinc per paludes & flumina ſuper ripas effuſa admodum cæcæ viæ, nullum prorſus videbantur aggrediendi rebelles relinquere Cæſari locum. Nationes deſciverant multæ. Summa autoritas

ἦσαν Ἀρβέννοι καὶ Καρνουτῖνοι. τὸ δὲ σύμπαν αἱρεθεὶς κράτος εἶχε τοῦ πολέμου Οὐεργεντόριξ, οὗ τὸν πατέρα Γαλάται τυραννίδα δοκοῦντα πράττειν ἀπέκτειναν.

Οὗτος οὖν εἰς πολλὰ διελὼν τὴν δύναμιν μέρη, καὶ πολλοὺς ἐπιστήσας ἡγεμόνας, ᾠκειοῦτο τὴν πέριξ ἅπασαν ἄχρι τῶν πρὸς τὸν Ἀδρίαν κεκλιμένων· διανοούμενος ἤδη τῶν ἐν Ῥώμῃ συνισταμένων ἐπὶ Καίσαρα, σύμπασαν ἐγείρειν τῷ πολέμῳ Γαλατίαν. ὅπερ εἰ μικρὸν ὕστερον ἔπραξε, Καίσαρος εἰς τὸν ἐμφύλιον ἐμπεσόντος πόλεμον, οὐκ ἂν ἐλαφρότεροι τῶν Κιμβρικῶν ἐκείνων φόβοι τὴν Ἰταλίαν κατέσχον. νυνὶ δὲ ὁ πᾶσι μὲν ἄριστα χρῆσθαι δοκῶν τοῖς πρὸς πόλεμον, μάλιστα δὲ καιρῷ πεφυκὼς Καῖσαρ, ἅμα τῷ πυθέσθαι τὴν ἀπόστασιν, ἄρας ἐχώρει ταῖς αὐταῖς ὁδοῖς ἃς διῆλθε· καὶ βίᾳ καὶ τάχει τῆς πορείας διὰ τοσούτου χειμῶνος ἐπιδειξάμενος τοῖς βαρβάροις, ὡς ἄμαχος αὐτοῖς καὶ ἀήττητος ἔπεισι στρατός. ὅπου γὰρ ἄγγελον ἢ γραμματοφόρον διαδῦναι παρ' αὐτοῦ χρόνῳ πολλῷ ἦν ἄπιστον, ἐνταῦθα μετὰ πάσης ἑωρᾶτο τῆς στρατιᾶς, ἅμα χώρας λυμαινόμενος αὐτῶν καὶ ἐκκόπτων τὰ χωρία, καταστρεφόμενος πόλεις, ἀναλαμβάνων τοὺς μετατιθεμένους· μέχρι καὶ τὸ τῶν Ἐδούων ἔθνος ἐξεπολεμώθη πρὸς αὐτὸν, οἳ τὸν ἄλλον χρόνον ἀδελφοὺς ἀναγορεύσαντες αὐτοὺς Ῥωμαίων, καὶ τιμώμενοι διαπρεπῶς, τότε δὲ τοῖς ἀποστάταις προσγενόμενοι, πολλὴν τῇ Καίσαρος στρατιᾷ περιέστησαν ἀθυμίαν. διόπερ καὶ κινήσας ἐκεῖθεν, ὑπερέβαλε τὰ Λιγγονικὰ, βουλόμενος ἅψασθαι τῆς Σικουανῶν, φίλων ὄντων καὶ προκειμένων τῆς Ἰταλίας πρὸς

tas penes Arvernos & Carnutes erat: imperium omne detulerant ad Vercingentorigem, cujus patrem, quod affectatæ tyrannidis eſſet ſuſpectus, interfecerant Galli.

Hic in plures manus diſſectis copiis, multiſque impoſitis ducibus, regionem omnem circumjectam, uſque ad eos qui vergunt ad Ararim amnem, inſtitit adſciſcere, deliberans civitate Romana jam in Cæſarem conſpirante omnem bello inflammare Galliam. Quod ſi paulo poſt Cæſare bello civili implicato hoc inſtituiſſet, terrores Cimbricis illis Italiam nihilo invaſiſſent leviores. Nunc optime omnibus ad bellum viſus, imprimis tempore doctus Cæſar uti, ſimul atque defectionem cognovit, iiſdem quibus profectus fuerat viis duxit, impetuque ac celeritate itineris per tantam hyemem oſtendit barbaris inexſuperabilem ipſos petere & invictum exercitum. Quo enim nuntium aut tabellarium ab ſe incredibile erat longo poſſe ſpatio penetrare, ibi cum cunctis conſpiciebatur copiis, pariter agros eorum vexans, præſidia exſcindens, urbes in poteſtatem ſubigens, recipiens tranſeuntes, donec & nomen Heduum declaravit ſe ei hoſtem, quum ante fratres appellaſſent ſe Hedui populi Romani, magnoque honore haberentur apud eum. Tunc vero reliquis ſociati rebellibus magna trepidatione Cæſaris exercitum perfudere. Quare motis inde caſtris fines Lingonum ſuperavit, quo ad Sequanos ſocios ac pro Italia reliquæ Galliæ

πρὸς τὴν ἄλλην Γαλατίαν. ἐνταῦθα δὲ αὐτῷ τῶν πολεμίων ἐπιπεσόντων, καὶ περισχόντων μυριάσι πολλαῖς, ὁρμήσας διαγωνίσασθαι, τοῖς μὲν ἄλλοις καταπολεμῶν ἐκράτησε, χρόνῳ πολλῷ καὶ φόβῳ καταβιασάμενος τοὺς βαρβάρους· ἔδοξε δὲ κατ' ἀρχάς τι καὶ σφαλῆναι, καὶ δεικνύουσιν Ἀρβερνοὶ ξιφίδιον πρὸς ἱερῷ κρεμάμενον, ὡς δὴ Καίσαρος λάφυρον. ὃ θεασάμενος αὐτὸς ὕστερον, ἐμειδίασε, καὶ τῶν φίλων καθελεῖν κελευόντων, οὐκ εἴασεν, ἱερὸν ἡγούμενος.

Οὐ μὴν ἀλλὰ τότε τῶν διαφυγόντων οἱ πλεῖστοι μετὰ τοῦ βασιλέως εἰς πόλιν Ἀλησίαν διέφυγον, καὶ πολιορκοῦντι ταύτην Καίσαρι, δοκοῦσαν ἀνάλωτον εἶναι μεγέθει τε τειχῶν καὶ πλήθει τῶν ἀπομαχομένων, ἐπιπίπτει παντὸς λόγου μείζων κίνδυνος ἔξωθεν. ὃ γὰρ ἦν ἐν Γαλατίᾳ κράτιστον ἀπὸ τῶν ἐθνῶν ἀθροισθὲν ὅπλοις, ἧκον ἐπὶ τὴν Ἀλησίαν τριάκοντα μυριάδες· αἱ δ' ἐν αὐτῇ τῶν μαχομένων οὐκ ἐλάττονες ἦσαν ἑπτακαίδεκα μυριάδων. ὥστε ἐν μέσῳ πολέμου τοσούτου τὸν Καίσαρα κατειλημμένον καὶ πολιορκούμενον, ἀναγκασθῆναι διπλᾶ τείχη προβαλέσθαι, τὸ μὲν πρὸς τὴν πόλιν, τὸ δὲ ἀπὸ τῶν ἐπεληλυθότων, ὡς, εἰ συνέλθοιεν αἱ δυνάμεις, κομιδῇ διαπεπραγμένων τῶν καθ' αὐτόν. διὰ πολλὰ μὲν οὖν εἰκότως ὁ πρὸς Ἀλησίᾳ κίνδυνος ἔσχε δόξαν, ὡς ἔργα τόλμης καὶ δεινότητος οἷα τῶν ἄλλων ἀγώνων οὐδεὶς παρασχόμενος· μάλιστα δὲ ἄν τις θαυμάσειε τὸ λαθεῖν τοὺς ἐν τῇ πόλει Καίσαρα τοσαύταις μυριάσι ταῖς ἔξω συμβαλόντα καὶ περιγινόμενον· μᾶλλον δὲ καὶ τῶν Ῥωμαίων τοὺς τὸ πρὸς τῇ πόλει τεῖχος φυλάττοντας. οὐ γὰρ πρότερον ᾔσθοντο τὴν

Galliæ objectos perveniret. Ibi ingruentibus ei hoſtibus atque innumera cingentibus multitudine, geſtiens acie decernere, cæteris rebus vicit, temporiſque diuturnitate & metu ſubactos fudit fugavitque barbaros. At in principio habitus eſt nonnihil ceſpitaſſe, oſtenduntque Arverni ſuſpenſum in templo gladium, quem de Cæſare jactant captum. Hunc ipſe poſtea riſit quum conſpexiſſet, amiciſque detrahi eum jubentibus non permiſit, ſacrum ducens.

At vero ex illis qui ex acie refugerant, plerique cum rege receperunt ſe in oppidum Alexiam. Hanc circumſidenti Cæſari, quam altitudine murorum & defenſorum multitudine apparebat eſſe inexpugnabilem, occurrit extra majus quam exprimi poſſit periculum. Nam fortiſſimi quique Galliæ ex omnibus collecti nationibus trecenta millia numero Alexiam venere. Armati in urbe erant non infra centum ſeptuaginta millia. Itaque in medio tanti belli Cæſar deprehenſus obſeſſuſque duplicem murum objicere neceſſe habuit, unum contra oppidum, alterum ex adverſo illis qui recens advenerant: quæ ſi vires conjungerentur, omnino de Cæſare putabatur actum. Hoc ad Alexiam diſcrimen multis de cauſis ei haud immerito gloriam tulit, quod virtutis & conſilii exempla ibi qualia certe nullo alio ediderit certamine. Mirificum fuit autem imprimis, quod illos qui in oppido erant, latuerit conflixiſſe cum tot millibus Cæſarem, eoſque ſuperaſſe: & vero magis quod fefellerit Romanos in ſtatione poſitos obverſi oppido muri. Neque enim victoriam

prius

τὴν νίκην, ἢ κλαυθμὸν ἐκ τῆς Ἀλησίας ἀνδρῶν καὶ κοπετὸν γυναικῶν ἀκοῦσαι, θεασαμένων ἄρα κατὰ θάτερα μέρη πολλοὺς μὲν ἀργύρῳ καὶ χρυσῷ κεκοσμημένους θυρεοὺς, πολλοὺς δὲ αἵματι πεφυρμένους θώρακας, ἔτι δὲ ἐκπώματα καὶ σκηνὰς Γαλατικὰς ὑπὸ Ῥωμαίων εἰς τὸ στρατόπεδον κομιζομένας. οὕτως ὀξέως ἡ τοσαύτη δύναμις, ὥσπερ εἴδωλον ἢ ὄνειρον, ἠφάνιστο καὶ διεπεφόρητο, τῶν πλείστων ἐν τῇ μάχῃ πεσόντων. οἱ δὲ τὴν Ἀλησίαν ἔχοντες, οὐκ ὀλίγα πράγματα παρασχόντες ἑαυτοῖς καὶ Καίσαρι, τέλος παρέδοσαν ἑαυτούς. ὁ δὲ τοῦ σύμπαντος ἡγεμὼν πολέμου Οὐεργεντόριξ, ἀναλαβὼν τῶν ὅπλων τὰ κάλλιστα, καὶ κοσμήσας τὸν ἵππον, ἐξιππάσατο διὰ τῶν πυλῶν· καὶ κύκλῳ περὶ τὸν Καίσαρα καθεζόμενον ἐλάσας, εἶτα ἀφελόμενος τοῦ ἵππου, τὴν μὲν πανοπλίαν ἀπέῤῥιψεν, αὐτὸς δὲ καθίσας ὑπὸ πόδας τοῦ Καίσαρος ἡσυχίαν ἦγεν, ἄχρι οὗ παρεδόθη φρουρησόμενος ἐπὶ τὸν θρίαμβον.

Καίσαρι δὲ πάλαι μὲν ἐδέδοκτο καταλύειν Πομπήϊον, ὥσπερ ἀμέλει κἀκείνῳ τοῦτον. Κράσσου γὰρ ἐν Πάρθοις ἀπολωλότος, ὃς ἦν ἔφεδρος ἀμφοῖν, ἀπελείπετο τῷ μὲν, ὑπὲρ τοῦ γενέσθαι μέγιστος, τὸν ὄντα καταλύειν, τῷ δὲ, ἵνα μὴ πάθῃ τοῦτο, προαναιρεῖν ὃν ἐδεδοίκει. τοῦτο δὲ Πομπηΐῳ μὲν ἐξ ὀλίγου φοβεῖσθαι παρέστη, τέως ὑπερορῶντι Καίσαρος, ὡς οὐ χαλεπὸν ἔργον, ὃν αὐτὸς ηὔξησε, καταλυθῆναι πάλιν ὑπ' αὐτοῦ· Καῖσαρ δὲ, ἀπ' ἀρχῆς ὑπόθεσιν ταύτην πεποιημένος ἐπὶ τῶν ἀνταγωνιστῶν, ὥσπερ ἀθλητὴς, ἑαυτὸν ἀποστήσας μακρὰν καὶ τοῖς Κελτικοῖς ἐγγυμνασάμενος πολέμοις, ἐπήσκησε μὲν τὴν δύναμιν, ηὔξησε δὲ τὴν δόξαν ἀπὸ τῶν ἔργων,

prius ſenſere quam ejulatum ex oppido virorum, mulierumque exaudirent planctum, contemplantium aliis ex partibus multa auro & argento exornata ſcuta, multas ſanguine imbutas loricas, ad hæc pocula & tentoria Gallica, quæ a Romanis deportabantur in caſtra. Tam brevi momento adeo immenſa manus cæſis in acie pleriſque ſicut ſpectrum vel ſomnium evanuit & diſſipata eſt. Qui Alexiam obtinebant, poſtquam non parum negotii tam ſibi quam Cæſari exhibuere, tandem venerunt in deditionem. Totius autem dux belli Vercingentorix ſumptis ſpecioſiſſimis armis, cultoque equo, exceſſit urbe, Cæſaremque conſidentem in orbem circumvectus eſt. Ablato inde equo arma abjecit, atque ad pedes ſe Cæſaris reponens conticuit, dum in cuſtodiam ad triumphum eſt datus.

Porro deliberatum jamdudum Cæſari erat evertere Pompeium, ut huic ſcilicet illum. Occiſo enim apud Parthos Craſſo, quem victor uterque habiturus eſſet adverſarium, reliquum erat Cæſari, quo evaderet maximus, ut eum qui erat, profligaret: illi ad id devitandum, ut anteverteret eum, quem formidabat, tollere. Id quidem Pompeio, qui Cæſarem deſpiciebat, parum tunc viſum timendum, perinde ac pronum eſſet, eum, ipſe quem evexerat, rurſus deprimere. Cæſar vero, qui hoc propoſitum a primo habuiſſet in adverſariis, velut athleta removit ſe procul, belliſque exercitatus Gallicis copias acuit, gloriamque amplificavit rebus

ἔργων, εἰς ἀντίπαλον ἀρθεὶς τοῖς Πομπηΐου κατορθώμασι, λαμβάνων προφάσεις, τὰς μὲν αὐτοῦ Πομπηΐου, τὰς δὲ τῶν καιρῶν ἐνδιδόντων, καὶ τῆς ἐν Ῥώμῃ κακοπολιτείας, δι' ἣν οἱ μὲν ἀρχὰς μετιόντες, ἐν μέσῳ θέμενοι τραπέζας, ἐδέκαζον ἀναισχύντως τὰ πλήθη, κατῄει δὲ ὁ δῆμος ἔμμισθος, οὐ ψήφοις ὑπὲρ τοῦ δεδωκότος, ἀλλὰ τόξοις καὶ ξίφεσι καὶ σφενδόναις ἁμιλλώμενος. αἵματι δὲ καὶ νεκροῖς πολλάκις αἰσχύναντες τὸ βῆμα διεκρίθησαν, ἐν ἀναρχίᾳ τὴν πόλιν, ὥσπερ ἀκυβέρνητον ὑποφερομένην ἀπολιπόντες· ὥστε τοὺς νοῦν ἔχοντας ἀγαπᾶν εἰ πρὸς μηδὲν αὐτοῖς χεῖρον ἀλλὰ μοναρχίαν ἐκ τοιαύτης παραφροσύνης καὶ τοσούτου κλύδωνος ἐκπεσεῖται τὰ πράγματα. πολλοὶ δὲ ἦσαν οἱ καὶ λέγειν ἐν μέσῳ τολμῶντες ἤδη, πλὴν ὑπὸ μοναρχίας ἀνήκεστον εἶναι τὴν πολιτείαν, καὶ τὸ φάρμακον τοῦτο χρῆναι τοῦ πρᾳοτάτου τῶν ἰατρῶν ἀνασχέσθαι προσφέροντος· ὑποδηλοῦντες τὸν Πομπήϊον. ἐπεὶ δὲ κἀκεῖνος λόγῳ παραιτεῖσθαι καλλωπιζόμενος, ἔργῳ παντὸς μᾶλλον ἐπέραινεν ἐξ ὧν ἀναδειχθήσοιτο δικτάτωρ, συμφρονήσαντες οἱ περὶ Κάτωνα, πείθουσι τὴν γερουσίαν ὕπατον αὐτὸν ἀποδεῖξαι μόνον, ὡς μὴ βιάσαιτο δικτάτωρ γενέσθαι, νομιμωτέρᾳ μοναρχίᾳ παρηγορηθείς. οἱ δὲ καὶ χρόνον ἐψηφίσαντο τῶν ἐπαρχιῶν. δύο δὲ εἶχεν, Ἰβηρίαν καὶ Λιβύην σύμπασαν, ἃς διῴκει πρεσβευτὰς ἀποστέλλων, καὶ στρατεύματα τρέφων, οἷς ἐλάμβανεν ἐκ τοῦ δημοσίου ταμείου χίλια τάλαντα καθ' ἕκαστον ἐνιαυτόν.

Ἐκ τούτου Καῖσαρ ὑπατείαν ἐμνᾶτο πέμπων, καὶ χρόνον ὁμοίως τῶν ἰδίων ἐπαρχιῶν. τὸ μὲν οὖν πρῶτον Πομπηΐου σιωπῶντος, οἱ περὶ Μάρκελλον καὶ Λέντλον

rebus geſtis, unde in par decus ſublatus eſt Pompeii rebus geſtis. Prætextus cepit, quos partim ei ipſe Pompeius, partim tempora præbuerunt ac Romanæ reipublicæ prava adminiſtratio, qua honorum candidati poſitis in medio menſis ſine ullo rubore nundinabantur plebem. Deſcendebat in campum mercenarius populus non ſuffragiis pro præbitore, ſed telis, gladiis, fundis decertans: identidem ſanguine & cæde fœdatis roſtris dirempti ſunt, civitatem ad interregnum quaſi ſine gubernaculo relinquentes delabentem: ut præclare agi putarent ſapientes, ſi in malum quam regnum reſpub. non gravius ex tanta inſania & tantis fluctibus evaderet. Multi erant, qui etiam dicere publice non dubitarent, niſi ſumma rerum ad unum delata, deploratam rempub. eſſe, medicumque tolerandum, hanc medicinam qui faceret, quam leniſſimum, Pompeium ſignificantes. Quod ille quum averſari verbo ſimularet, revera omni ope eniteretur, dictator ut diceretur, Cato, re animadverſa, fuit ſenatui autor ut eum ſolum faceret conſulem, ne vi exprimeret dictaturam, dominatu placatus magis legitimo. Senatus vero tempus inſuper ei prorogavit provinciarum. Duas obtinebat, Hiſpaniam & Africam totam, quas per legatos regebat, atque exercitus ibi alebat: in quorum ſtipendium accipiebat ex ærario per annos mille talenta.

Inde Cæſar per legatos conſulatum petit & ſuarum item provinciarum prorogationem. Hic Pompeius primo tacuit: at Marcellus & Lentulus

Λέντλον ἠναντιοῦντο, μισοῦντες ἄλλως Καίσαρα καὶ τοῖς ἀναγκαίοις οὐκ ἀναγκαῖα προστιθέντες εἰς ἀτιμίαν αὐτοῦ καὶ προπηλακισμόν. Νεοκωμίτας γὰρ ἔναγχος ὑπὸ Καίσαρος ἐν Γαλατίᾳ κατῳκισμένους ἀφῃροῦντο τῆς πολιτείας· καὶ Μάρκελλος ὑπατεύων, ἕνα τῶν ἐκεῖ βουλευτῶν, εἰς Ῥώμην ἀφικόμενον ᾔκισε ῥάβδοις, ἐπιλέγων ὡς ταῦτα τοῦ μὴ Ῥωμαῖον εἶναι παράσημα προστίθησιν αὐτῷ, καὶ δεικνύειν ἀπιόντα Καίσαρι ἐκέλευε. μετὰ δὲ Μάρκελλον, ἤδη Καίσαρος τὸν Γαλατικὸν πλοῦτον ἀρύεσθαι ῥύδην ἀφεικότος πᾶσι τοῖς πολιτευομένοις, καὶ Κουρίωνα μὲν δημαρχοῦντα πολλῶν ἐλευθερώσαντος δανείων, Παύλῳ δὲ ὑπάτῳ ὄντι χίλια καὶ πεντακόσια τάλαντα δόντος, ἀφ' ὧν καὶ τὴν βασιλικὴν ἐκεῖνος, ὀνομαστὸν ἀνάθημα, τῇ ἀγορᾷ προσεκόμισεν, ἀντὶ τῆς Φουλβίας οἰκοδομηθεῖσαν· οὕτω δὴ φοβηθεὶς τὴν σύστασιν ὁ Πομπήϊος, ἀναφανδὸν ἤδη δι' ἑαυτοῦ καὶ τῶν φίλων ἔπραττεν, ἀποδειχθῆναι διάδοχον Καίσαρι τῆς ἀρχῆς· καὶ πέμπων ἀπῄτει τοὺς στρατιώτας οὓς ἔχρησεν αὐτῷ πρὸς τοὺς Κελτικοὺς ἀγῶνας. ὁ δὲ ἀποπέμπει, δωρησάμενος ἕκαστον ἄνδρα πεντήκοντα καὶ διακοσίαις δραχμαῖς· οἱ δὲ τούτους Πομπηΐῳ κομίσαντες, εἰς μὲν τὸ πλῆθος οὐκ ἐπιεικεῖς οὐδὲ χρηστοὺς κατέσπειραν λόγους ὑπὲρ τοῦ Καίσαρος, αὐτὸν δὲ Πομπήϊον ἐλπίσι κεναῖς διέφθειραν, ὡς ποθούμενον ὑπὸ τῆς Καίσαρος στρατιᾶς, καὶ τὰ μὲν ἐνταῦθα διὰ φθόνον καὶ πολιτείας ὕπουλα μόλις ἔχοντα, τῆς δὲ ἐκεῖ δυνάμεως ἑτοίμης ὑπαρχούσης αὐτῷ, κἂν μόνον ὑπερβάλωσιν εἰς Ἰταλίαν, εὐθὺς ἐσομένης πρὸς ἐκεῖνον· οὕτω γεγονέναι τὸν Καίσαρα πλήθει στρατειῶν λυπηρὸν αὐτοῖς, καὶ φόβῳ μοναρχίας ὕποπτον.

Lentulus repugnaverunt, alias Cæſarem odio proſequentes, & ad probrum contumeliamque ejus neceſſaria non neceſſariis cumulantes. Colonis enim, quos Cæſar Novumcomum nuper in Galliam deduxerat, civitatem ademerunt, & conſul Marcellus unum illius coloniæ decurionem, qui Romam venerat, virgis cecidit, addens hanc ſe ei inurere notam, quod civis Romanus non eſſet: abiret, eamque Cæſari oſtenderet. Poſt Marcellum, quum Cæſar jam omnibus rempub. tractantibus opulentiam propinaſſet Gallicam affatim hauriendam, Curionem tribunum plebis magno ære alieno liberaviſſet, conſuli donaſſet Paulo mille & quingenta talenta, quo argento celebrem illam baſilicam juxta forum loco Fulviæ ædificavit dedicavitque, tum demum coitionem iſtam Pompeius veritus, per ſe & amicos in id incubuit aperte, ſucceſſor provinciæ ut Cæſari mitteretur, miſitque repetitum milites quos ei ad bellum Gallicum commodaverat. Eos Cæſar donatos ducentis quinquaginta drachmis remiſit: qui hos reportaverunt, rumorem ſparſerunt de Cæſare fœdum, & malignum, vanaque ſpe labefecere Pompeium, quaſi deſideraret eum exercitus Cæſaris, & quamvis res urbanas propter invidiam & reipub. perverſitatem ægre tenebat, Cæſaris copiæ eſſent ei tamen promptæ, ac quum primum tranſcendiſſent in Italiam, mox ad eum defecturæ; adeo aſſiduis expeditionibus acerbum eis Cæſarem & ſuſpectum dominatus metu

τον. ἐπὶ τούτοις Πομπήϊος ἐχαυνοῦτο, καὶ παρασκευῆς μὲν ἠμέλει στρατιωτῶν, ὡς μὴ δεδοικὼς, λόγοις δὲ καὶ γνώμαις κατεπολιτεύετο, τῷ δοκεῖν Καίσαρα ψηφιζόμενος. ὧν ἐκεῖνος οὐδὲν ἐφρόντιζεν· ἀλλὰ λέγεται τινὰ τῶν ἀφιγμένων παρ᾽ αὐτοῦ ταξιαρχῶν ἑστῶτα πρὸ τοῦ βουλευτηρίου, καὶ πυθόμενον ὡς οὐ δίδωσιν ἡ γερουσία Καίσαρι χρόνον τῆς ἀρχῆς, ἀλλ᾽ αὕτη, φάναι, δώσει· κρούσαντα τῇ χειρὶ τὴν λαβὴν τῆς μαχαίρας.

Οὐ μὴν ἀλλ᾽ ἥ γε παρὰ Καίσαρος ἀξίωσις, τὸ πρόσχημα τῆς δικαιολογίας λαμπρὸν εἶχεν. ἠξίου γὰρ αὐτός τε καταθέσθαι τὰ ὅπλα, καὶ Πομπηΐου ταὐτὸ πράξαντος, ἀμφοτέρους ἰδιώτας γενομένους εὑρίσκεσθαί τι παρὰ τῶν πολιτῶν ἀγαθόν· ὡς τοὺς αὐτὸν μὲν ἀφαιρουμένους, ἐκείνῳ δὲ ἣν εἶχε βεβαιοῦντας δύναμιν, ἕτερον διαβάλλοντας, ἕτερον κατασκευάζειν τύραννον. ταῦτα προκαλούμενος ἐν τῷ δήμῳ Κουρίων ὑπὲρ Καίσαρος, ἐκροτεῖτο λαμπρῶς· οἱ δὲ καὶ στεφάνους ἐπ᾽ αὐτὸν, ὥσπερ ἀθλητὴν, ἀνθοβολοῦντες ἠφίεσαν. Ἀντώνιος δὲ δημαρχῶν Καίσαρος ὑπὲρ τούτων ἐπιστολὴν κομισθεῖσαν εἰς τὸ πλῆθος ἐξήνεγκε, καὶ ἀνέγνω διὰ τῶν ὑπάτων. ἐν δὲ τῇ βουλῇ, Σκιπίων μὲν ὁ Πομπηΐου πενθερὸς εἰσηγήσατο γνώμην, ἂν ἐν ἡμέρᾳ ῥητῇ μὴ καταθῆται τὰ ὅπλα Καῖσαρ, ἀποδειχθῆναι πολέμιον αὐτόν. ἐρωτώντων δὲ τῶν ὑπάτων εἰ δοκεῖ Πομπήϊον ἀφεῖναι τοὺς στρατιώτας, καὶ πάλιν εἰ δοκεῖ Καίσαρα, τῇ μὲν ὀλίγοι παντάπασι, τῇ δὲ πάντες παρ᾽ ὀλίγους προσέθεντο. τῶν δὲ περὶ Ἀντώνιον πάλιν ἀξιούντων ἀμφοτέρους τὴν ἀρχὴν ἀφεῖναι, πάντες ὁμαλῶς προσεχώρησαν.

metu factum. His Pompeius inflatus, delectum militum quaſi nihil timens negligebat, premebat vero Cæſarem (ut putabat) verbis & decretis: quæ ille floccipendebat. Immo fama eſt unum ex miſſis ab eo centurionibus, qui pro curia ſtabat, & audiebat nolle Cæſari ſenatum prorogare provinciam, dixiſſe, At hic dabit, manu capulum gladii pulſantem.

Verum Cæſaris tamen poſtulata honeſtam ſpeciem magnificamque habebant. Offerebat arma poſiturum ſe, modo idem faceret Pompeius: ac ſic ut ambo privati peterent populi beneficia. Quando qui ſe ſpoliabant exercitu, & illi confirmabant, unum premendo, alterum facerent dominum. Has conditiones quum in concione Curio Cæſaris nomine proponeret, ingenti eſt plauſu exceptus. Aliqui etiam coronas in eum ſicut athletam floribus ſpargentes jactavere. Antonius tribunus plebis epiſtolam hiſce de rebus a Cæſare allatam protulit in concionem & conſulibus invitis recitavit. In curia Scipio ſocer Pompeii ſententiam dixit, Cæſarem, niſi præfinita die diſceſſiſſet ab exercitu, hoſtem declarandum. Diſceſſionem conſulibus facientibus, an dimiſſurus Pompeius exercitum eſſet, iterumque an Cæſar, in hanc partem exceptis paucis omnes, in illam pauci diſceſſere. Ibi poſtulante Antonio, ut diſceſſio fieret, an deponerent ambo provincias, in eam omnes pariter ivere.

ρησαν. ἀλλὰ ἐκβιαζομένου Σκιπίωνος, καὶ Λέντλου τοῦ ὑπάτου βοῶντος ὅπλων δεῖν πρὸς ἄνδρα λῃστὴν, οὐ ψήφων, τότε μὲν διελύθησαν, καὶ μετεβάλοντο τὰς ἐσθῆτας ἐπὶ πένθει διὰ τὴν στάσιν.

Ἐπεὶ δὲ παρὰ Καίσαρος ἧκον ἐπιστολαὶ μετριάζειν δοκοῦντος (ἠξίου γὰρ ἀφεὶς τὰ ἄλλα πάντα, τὴν ἐντὸς Ἄλπεων, καὶ τὸ Ἰλλυρικὸν μετὰ δυεῖν ταγμάτων αὐτῷ δοθῆναι, μέχρις οὗ τὴν δευτέραν ὑπάτειαν μέτεισιν) καὶ Κικέρων ὁ ῥήτωρ, ἄρτι παρὼν ἐκ Κιλικίας καὶ διαλλαγὰς πράττων, ἐμάλαττε τὸν Πομπήϊον. ὁ δὲ τἄλλα συγχωρῶν, τοὺς στρατιώτας ἀφῄρει. καὶ Κικέρων μὲν ἔπειθε τοὺς Καίσαρος φίλους συνενδόντας ἐπὶ ταῖς εἰρημέναις ἐπαρχίαις, καὶ στρατιώταις μόνοις ἑξακισχιλίοις ποιεῖσθαι τὰς διαλύσεις. Πομπηΐου δὲ καμπτομένου καὶ διδόντος, οἱ περὶ Λέντλον οὐκ εἴων ὑπατεύοντες, ἀλλὰ καὶ τῆς βουλῆς Ἀντώνιον καὶ Κουρίωνα προπηλακίσαντες, ἐξήλασαν ἀτίμως, τὴν εὐπρεπεστάτην Καίσαρι τῶν προφάσεων αὐτοὶ μηχανησάμενοι, καὶ δι᾽ ἧς μάλιστα τοὺς στρατιώτας παρώξυνεν, ἐπιδεικνύμενος ἄνδρας ἐλλογίμους, καὶ ἄρχοντας ἐπὶ μισθίων ζευγῶν πεφευγότας ἐν ἐσθῆσιν οἰκετικαῖς. οὕτω γὰρ ἀπὸ Ῥώμης σκευάσαντες ἑαυτοὺς διὰ φόβον ὑπεξῄεσαν.

Ἦσαν μὲν οὖν περὶ αὐτὸν οὐ πλείους ἱππέων τριακοσίων καὶ πεντακισχιλίων ὁπλιτῶν· τὸ γὰρ ἄλλο στράτευμα πέραν Ἄλπεων ἀπολελειμμένον ἔμελλον ἄξειν οἱ πεμφθέντες. ὁρῶν δὲ τὴν ἀρχὴν ὧν ἐνίστατο πραγμάτων καὶ τὴν ἔφοδον οὐ πολυχειρίας δεομένην ἐν τῷ παρόντι μᾶλλον ἢ θάμβει τε τόλμης καὶ τάχει καιροῦ καταληπτέαν οὖσαν (ἐκπλήξειν γὰρ ἀπιστούμενος ῥᾷον, ἢ βιάσε-

σθαι

Verum inſtante Scipione & Lentulo conſule clamante, armis cum latrone non decretis agendum, in præſentia dimiſſus eſt ſenatus, luctuque ob diſſenſionem veſtes mutavere.

Mox literæ allatæ à Cæſare ſunt, quæ moderatæ videbantur. Oſtendebat enim dimittere ſe cætera omnia velle, tantum poſtulabat ut ſibi Gallia ciſalpina & Illyricum cum duabus legionibus concederentur, dum ſecundum conſulatum peteret. Ac Cicero orator modo ex Cilicia reverſus de reconciliatione agens molliebat Pompeium. Hic vero reliqua permittens, adimebat legiones, & Cicero induxit amicos Cæſaris jam remiſſiores, ut contenti antedictis provinciis, & militibus ſolum ſex millibus, inirent concordiam. Flexo Pompeio & concedente, conſul reclamavit Lentulus, atque inſuper Antonium & Curionem probris laceratos curia deformiter exegit. Itaque ſpecioſiſſimum ipſe dedit Cæſari colorem, quo potiſſimum inflammavit milites, claros viros & tribunitia poteſtate præditos oſtendens meritoria rheda & veſtitu ſervili profugiſſe. Ita enim inſtructi clàm metu exierant Roma.

Erant eo tempore apud eum non amplius trecenti equites & quinque millia legionariorum. Reliquum enim exercitum trans Alpes relictum adducturi erant legati ejus. Quod autem videret cœptorum exordium & aggreſſionem non magnas requirere in præſentia copias, ſed terrore potius audaciæ & temporis celeritate præcipiendam (quippe percuſſurum citius inexſpectatum ſe, quam ſi cum apparatu

tu

θαι μετὰ παρασκευῆς ἐπελθὼν) τοὺς μὲν ἡγεμόνας καὶ ταξιάρχους ἐκέλευσε μαχαίρας ἔχοντας ἄνευ τῶν ἄλλων ὅπλων, κατασχεῖν Ἀρίμινον, τῆς Κελτικῆς μεγάλην πόλιν, ὡς ἐνδέχεται μάλιστα φεισαμένους φόνου καὶ ταραχῆς· Ὁρτησίῳ δὲ τὴν δύναμιν παρέδωκεν. αὐτὸς δὲ τὴν μὲν ἡμέραν διῆγεν ἐν φανερῷ, μονομάχοις ἐφεστὼς γυμναζομένοις καὶ θεώμενος· μικρὸν δὲ πρὸ ἑσπέρας θεραπεύσας τὸ σῶμα, καὶ παρελθὼν εἰς τὸν ἀνδρῶνα, καὶ συγγενόμενος βραχέα τοῖς κεκλημένοις ἐπὶ τὸ δεῖπνον, ἤδη συσκοτάζοντος ἐξανέστη, καὶ τοὺς μὲν ἄλλους φιλοφρονηθεὶς, καὶ κελεύσας περιμένειν αὐτὸν ὡς ἐπανελευσόμενον· ὀλίγοις δὲ τῶν φίλων προείρητο μὴ κατὰ τὸ αὐτὸ πάντας, ἄλλον δὲ ἄλλῃ διώκειν. αὐτὸς δὲ τῶν μισθίων ζευγῶν ἐπιβὰς ἑνὸς, ἤλαυνεν ἑτέραν τινὰ πρῶτον ὁδὸν, εἶτα πρὸς τὸ Ἀρίμινον ἐπιστρέψας, ὡς ἦλθεν ἐπὶ τὸν ὁρίζοντα τὴν ἐντὸς Ἄλπεων Γαλατίαν ἀπὸ τῆς ἄλλης Ἰταλίας ποταμὸν (Ῥουβίκων καλεῖται) καὶ λογισμὸς αὐτὸν εἰσῄει μᾶλλον ἐγγίζοντα τῷ δεινῷ, καὶ περιφερόμενον τῷ μεγέθει τῶν τολμωμένων, ἔσχετο δρόμου· καὶ τὴν πορείαν ἐπιστήσας, πολλὰ μὲν αὐτὸς ἐν ἑαυτῷ διήνεγκε, σιγῇ τὴν γνώμην ἐπ' ἀμφότερα μεταλαμβάνων, καὶ τροπὰς ἔσχεν αὐτῷ τότε τὸ βούλευμα πλείστας· πολλὰ δὲ καὶ τῶν φίλων τοῖς παροῦσιν, ὧν ἦν καὶ Πολλίων Ἀσίνιος, συνδιηπόρησεν, ἀναλογιζόμενος ἡλίκων κακῶν ἄρξει πᾶσιν ἀνθρώποις ἡ διάβασις, ὅσον τε λόγον αὐτῆς τοῖς αὖθις ἀπολείψουσι. τέλος δὲ μετὰ θυμοῦ τινος, ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ τοῦ λογισμοῦ πρὸς τὸ μέλλον, καὶ τοῦτο δὴ τὸ κοινὸν τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας

προ-

tu ingrueret, impulſurum adverſarios) imperavit tribunis & centurionibus ut gladiis modo accincti relictis armis aliis Ariminum amplam Galliæ urbem, quam maxime fieri poſſet, ſine ſanguine & tumultu occuparent. Exercitum quum tradidiſſet Hortenſio, diem in publico traduxit gladiatoribus exercentibus ſe aſſiſtens ſpectator. Paulo ante veſperum curato corpore convivium ingreſſus hæſit pauliſper ad convivas. Inde primis tenebris ſurrexit, ac reliquis comiter appellatis & operiri ſe juſſis quaſi regreſſurum, paucos amicos præmonuit ne eadem omnes, ſed alius alia via ſequerentur. Ipſe vehiculo conſcenſo meritorio, aliam viam iniit primo, mox flexit Ariminum. Ut venit ad amnem qui Galliam ciſalpinam a cætera Italia ſecernit (Rubico dicitur) & reputare ipſe cœpit ſecum, quum ad periculum propius accederet, & fluctuaret cœptorum mole, curſum ſuſtinuit, atque ſubſiſtens in itinere multa ſecum agitavit animo, ac tacitus huc illuc ſententiam verſavit, habuitque conſilium ejus tunc plurima volumina; multum etiam cum amicis qui ſecum erant, inter quos fuit Aſinius Pollio, diſceptavit penſans, tranſitus ſuus quanta mortalibus allaturus mala, quantumque de eo ſermonis eſſent poſteris relicturi. Ad poſtremum cum quodam ardore quaſi dejiciens ſe ex rationibus in eventum, atque hoc præfatus vulgare in fortunas ſe demittentibus ancipites

προοίμιον ὑπειπὼν, Ἀνεῤῥίφθω κύβος, ὥρμησε πρὸς τὴν διάβασιν· καὶ δρόμῳ τὸ λοιπὸν ἤδη χρώμενος, εἰσέπεσε πρὸ ἡμέρας εἰς τὸ Ἀρίμινον, καὶ κατέσχε. λέγεται δὲ τῇ προτέρᾳ νυκτὶ τῆς διαβάσεως ὄναρ ἰδεῖν ἔκθεσμον· ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄῤῥητον μίξιν.

Ἐπεὶ δὲ κατελήφθη τὸ Ἀρίμινον, ὥσπερ ἀνεῳγμένου τοῦ πολέμου πλατείαις πύλαις ἐπὶ πᾶσαν ὁμοῦ τὴν γῆν καὶ θάλασσαν, καὶ συγκεχυμένων ἅμα τοῖς ὅροις τῆς ἐπαρχίας τῶν νόμων τῆς πόλεως, οὐκ ἄνδρας ἄν τις ᾠήθη καὶ γυναῖκας, ὥσπερ ἄλλοτε, σὺν ἐκπλήξει διαφοιτᾶν τῆς Ἰταλίας, ἀλλὰ τὰς πόλεις αὐτὰς ἀνισταμένας, φυγῇ διαφέρεσθαι δι' ἀλλήλων· τὴν δὲ Ῥώμην, ὥσπερ ὑπὸ ῥευμάτων πιμπλαμένην, φυγαῖς τῶν πέριξ δήμων καὶ μεταστάσεσιν, οὔτε ἄρχοντι πεῖσαι ῥᾳδίαν οὖσαν, οὔτε λόγῳ καθεκτὴν ἐν πολλῷ κλύδωνι καὶ σάλῳ, μικρὸν ἀπολιπεῖν αὐτὴν ὑφ' αὑτῆς ἀνατετράφθαι. πάθη γὰρ ἀντίπαλα, καὶ βίαια κατεῖχε κινήματα πάντα τόπον. οὔτε γὰρ τὸ χαῖρον ἡσυχίαν ἦγεν, ἀλλὰ τῷ δεδιότι καὶ λυπουμένῳ κατὰ πολλὰ συμπίπτον ἐν μεγάλῃ πόλει, καὶ θρασυνόμενον ὑπὲρ τοῦ μέλλοντος, δι' ἐρίδων ἦν. αὐτόν τε Πομπήϊον ἐκπεπληγμένον ἄλλος ἀλλαχόθεν ἐτάραττεν, τοῖς μὲν, ὡς ηὔξησε Καίσαρα καθ' ἑαυτοῦ καὶ τῆς ἡγεμονίας, εὐθύνας ὑπέχοντα, τῶν δὲ, ὅτι παραχωροῦντα καὶ προτεινόμενον εὐγνώμονας διαλύσεις ἀφῆκε τοῖς περὶ Λέντλον ὑβρίσαι κατηγορούντας. Φαώνιος δὲ αὐτὸν ἐκέλευσε τῷ ποδὶ τύπτειν τὴν γῆν· ἐπεὶ μεγαληγορῶν ποτε πρὸς τὴν σύγκλητον, οὐδὲν εἴα πολυπραγμονεῖν οὐδὲ φροντίζειν ἐκείνους τῆς ἐπὶ τὸν πόλεμον παρασκευῆς· αὐτὸς γὰρ,

ὅταν

tes & audacia cœpta præludium, Jacta eſto alea, aggreſſus eſt tranſitum. Inde citato curſu contendens Ariminum ante lucem ingreditur & occupat. Dicitur nocte, quæ tranſitum Rubiconis anteceſſit, nefarium habuiſſe ſomnium. Viſus ſibi eſt matrem ſuam ſtuprare.

Arimino capto tanquam porta bello in omnem terram & mare pariter patefacta, legibuſque civitatis cum provinciæ confuſis terminis, non viros diceres mulieresque (ut alias) attonitos per Italiam palari, verum ipſas ſedibus ſuis excitas fuga inter ſe diſcurrere civitates; Romam vero quaſi fluctibus circumjectorum populorum fuga & migratione impletam eſſe, quam neque magiſtratus ſedare facile, neque verbis ullus valeret reprimere: ut parum abfuerit quin magnis in undis & jactatione prope a ſemetipſa fuerit everſa. Quippe diverſi æſtus motuſque omnia graves tenebant. Neque enim, quæ exultaret, pars quieſcebat, ſed cum perterrita & mœſta paſſim concurrens in magna urbe & inſultans conflictabatur cum ea de eventu, ipſumque per ſe obſtupefactum alius aliunde ſollicitabat Pompeium: quum hi objicerent, quod Cæſarem contra ſe & rempub. evexiſſet, luere eum pœnas: alii accuſarent, quod de jure ſuo cedentem atque æquas offerentem pacis conditiones, Lentuli permiſiſſet contumeliis: Favonius terram juſſit ei pede pulſare, quod jactabundus aliquando in ſenatu dixiſſet, ne laborarent Patres, neque de belli apparatu eſſent ſoliciti; ſe,

ubi

ὅταν ἀπίῃ, κρούσας τὸ ἔδαφος τῷ ποδὶ, στρατευμάτων ἐμπλήσειν τὴν Ἰταλίαν. οὐ μὴν ἀλλὰ καὶ τότε πλήθει δυνάμεως ὑπερέβαλεν ὁ Πομπήϊος τὴν Καίσαρος· εἴασε δ' οὐδεὶς τὸν ἄνδρα χρήσασθαι τοῖς ἑαυτοῦ λογισμοῖς, ἀλλὰ ὑπ' ἀγγελμάτων πολλῶν καὶ ψευδῶν καὶ φόβων, ὡς ἐφεστῶτος ἤδη τοῦ πολεμίου, καὶ πάντα κατέχοντος, εἴξας συνεκρούσθη τῇ πάντων φορᾷ· καὶ ψηφίζεται ταραχὴν ὁρᾶν, καὶ τὴν πόλιν ἐξέλιπε, κελεύσας ἕπεσθαι τὴν γερουσίαν, καὶ μηδένα μένειν τῶν πρὸ τῆς τυραννίδος ᾑρημένων τὴν πατρίδα καὶ τὴν ἐλευθερίαν.

Οἱ μὲν οὖν ὕπατοι, μηδὲ ἃ νόμος ἐστὶ πρὸ ἐξόδου θύσαντες ἔφυγον· ἔφευγον δὲ καὶ τῶν βουλευτῶν οἱ πλεῖστοι, τρόπον τινὰ δι' ἁρπαγῆς ἀπὸ τῶν ἰδίων ὅ, τι τύχοιεν, ὥσπερ ἀλλοτρίων, λαμβάνοντες. εἰσὶ δὲ οἳ καὶ σφόδρα τὰ Καίσαρος ᾑρημένοι πρότερον, ἐξέπεσον ὑπὸ θάμβους τότε τῶν λογισμῶν, καὶ συμπαρηνέχθησαν οὐδὲν δεόμενοι τῷ ῥεύματι τῆς φορᾶς ἐκείνης. οἰκτρότατον δὲ θέαμα τῆς πόλεως ἦν, ἐπιφερομένου τοσούτου χειμῶνος, ὥσπερ νεὼς ὑπὸ κυβερνητῶν ἀπαγορευόντων πρὸς τὸ συντυχὸν ἐμπεσεῖν κομιζομένης. ἀλλὰ καίπερ οὕτω τῆς μεταστάσεως οἰκτρᾶς οὔσης, τὴν μὲν φυγὴν οἱ ἄνθρωποι πατρίδα διὰ Πομπήϊον ἡγοῦντο, τὴν δὲ Ῥώμην, ὡς Καίσαρος στρατόπεδον ἐξέλιπον. ὅπου καὶ Λαβιηνὸς, ἀνὴρ ἐν τοῖς μάλιστα φίλος Καίσαρος, καὶ πρεσβευτὴς γεγονὼς, καὶ συνηγωνισμένος ἐν πᾶσι προθυμότατα τοῖς Κελτικοῖς πολέμοις, τότ' ἐκεῖνον ἀποδρὰς, ᾤχετο πρὸς Πομπήϊον. ἀλλὰ τούτῳ μὲν καὶ τὰ χρήματα καὶ τὰς ἀποσκευὰς ἀπέπεμψεν ὁ Καῖσαρ. Δομιτίῳ δὲ ἡγου-

ubi tellurem pede percuſſiſſet, Italiam legionibus impleturum. Attamen ſuperabat tunc quoque Cæſarem Pompeius copiarum numero: verum nemo eum ſuis permittebat uti conſiliis. Ita multis nuntiis, mendaciis, & terroribus, quaſi ingruente jam hoſte & omnia tenente, cedens, communi eſt impetu impulſus, decretoque tumultu urbem reliquit, ſenatum ſequi jubens, nec remanere quenquam qui tyrannidi anteferret patriam & libertatem.

Ac conſules ne ſolennibus quidem ante profectionem peractis ſacris fugam arripuere. Fugerunt & ſenatores plerique, raptura quodammodo de propriis, quod ad manum erat, ut de alienis ſumentes. Fuere qui Cæſaris pridem admodum ſtudioſi, conſilio ſuo tunc exciderunt, unaque cum illo fluctu tranſverſi nulla neceſſitate ablati ſunt. Urbis vero miſerabilis facies tanta ingruente tempeſtate erat, quæ navis modo a gubernatoribus deploratæ in id quod ſors obtuliſſet videbatur impactura. Quæ quanquam tam fuit calamitoſa fuga, hoc exilium homines tamen ducebant Pompeii cauſa patriam eſſe, Romam vero ut Cæſaris caſtra deſerebant. Quando Labienus quoque Cæſari familiariſſimus, qui ejus in Gallia legatus fuerat, ac ſub eo per totum bellum decertaverat fortiſſime, tunc illo relicto tranſiit ad Pompeium Cæterum huic remiſit etiam pecuniam & ſarcinas Cæſar. Hinc caſtra poſuit ſub mu-

ἡγουμένῳ σπειρῶν τριάκοντα, καὶ κατέχοντι Κορφίνιον, ἐπελθὼν παρεστρατοπέδευσεν. ὁ δὲ ἀπογνοὺς τὰ καθ' ἑαυτὸν, ᾔτησε τὸν ἰατρὸν οἰκέτην ὄντα φάρμακον· καὶ λαβὼν τὸ δοθὲν, ἔπιεν ὡς τεθνηξόμενος. μετ' ὀλίγον δὲ ἀκούσας τοῦ Καίσαρος θαυμαστῇ τινι φιλανθρωπίᾳ χρῆσθαι πρὸς τοὺς ἑαλωκότας, αὐτὸς αὑτὸν ἀπεθρήνει, καὶ τὴν ὀξύτητα τοῦ βουλεύματος ᾐτιᾶτο. τοῦ δὲ ἰατροῦ θαῤῥύνοντος αὐτὸν, ὡς ὑπνωτικὸν οὐ θανάσιμον πεπωκότα, περιχαρὴς, ἀναστὰς ἀπῄει πρὸς Καίσαρα, καὶ λαβὼν δεξιὰν, αὖθις διεξέπεσε πρὸς Πομπήϊον. ταῦτα εἰς τὴν Ῥώμην ἀπαγγελλόμενα, τοὺς ἀνθρώπους ἡδίους ἐποίει, καί τινες φυγόντες ἀνέστρεψαν.

Ὁ δὲ Καῖσαρ τήν τε τοῦ Δομιτίου στρατιὰν παρέλαβε, καὶ τοὺς ἄλλους ὅσους ἐν ταῖς πόλεσι Πομπηΐῳ στρατολογουμένους ἔφθασε καταλαβών. πολὺς δὲ γεγονὼς ἤδη, καὶ φοβερὸς ἐπ' αὐτὸν ἤλαυνε Πομπήϊον. ὁ δ' οὐκ ἐδέξατο τὴν ἔφοδον, ἀλλ' εἰς Βρεντήσιον φυγὼν, τοὺς μὲν ὑπάτους πρότερον ἔστειλε μετὰ δυνάμεως εἰς Δυῤῥάχιον, αὐτὸς δὲ ὀλίγον ὕστερον ἐπελθόντος Καίσαρος ἐξέπλευσεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γραφησομένοις τὰ καθ' ἕκαστα δηλωθήσεται. Καίσαρι δὲ βουλομένῳ μὲν εὐθὺς διώκειν, ἀπορία νεῶν ἦν. εἰς δὲ τὴν Ῥώμην ἀνέστρεψεν, γεγονὼς ἐν ἡμέραις ἑξήκοντα πάσης ἀναιμωτὶ τῆς Ἰταλίας κύριος. ἐπεὶ δὲ καὶ τὴν πόλιν εὗρε μᾶλλον ἢ προσεδόκα καθεστῶσαν, καὶ τῶν ἀπὸ βουλῆς ἐν αὐτῇ συχνοὺς, τούτοις μὲν ἐπιεικῆ καὶ δημοτικὰ διελέχθη, παρακαλῶν αὐτοὺς καὶ πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας ἐπὶ συμβάσεσι πρεπούσαις· ὑπήκουσε δ' οὐδεὶς, εἴτε φοβούμενοι Πομπήϊον ἐγκαταλελειμμένον, εἴτε νομίζοντες οὐχ οὕτω Καίσαρα φρονεῖν, ἀλλ' εὐπρεπείᾳ λό-

γων

muris Corfinii, quod Domitius cum triginta cohortibus tenebat. Hic ſpe abjecta ſalutis popoſcit a ſervo ſuo medico venenum, datumque pro lethali hauſit. Mox mirifica accepta Cæſaris in captivos humanitate, deploravit ſe, celeritatemque incuſavit conſilii ſui. Quem ubi medicus erexit, ſomnificum indicans non funebre bibiſſe eum medicamentum, ſurrexit admodum hilaris, & ad Cæſarem contendit, dataque ſibi ab eo venia, iterum profugit ad Pompeium. His Romam nuntiatis recreati ſunt homines, redieruntque eo aliqui ex fuga.

Cæſar Domitii copias accepit, aliaſque, quas per municipia ex Pompeii delectibus occupavit. Auctus jam magno exercitu ac terribili in ipſum movit Pompeium. Ille non exſpectato ejus adventu fugit Brunduſium, ac conſulibus Dyrrhachium cum exercitu præmiſſis paulo poſt adventum Cæſaris ſolvit, ut in illius vita minutatim ſingula recenſebimus. Geſtientem e veſtigio inſequi prohibuit Cæſarem inopia navium. Igitur Romam eſt regreſſus, tota Italia diebus ſexaginta ſine ſanguine in poteſtatem redacta: qui quum urbem ſupra exſpectationem ſuam offendiſſet compoſitam, & frequentes ibi ſenatores, appellavit hos benigne & populariter, hortans ut ad Pompeium mitterent de ineunda æquis conditionibus pace. At obtemperavit nemo, vel quod Pompeium timerent deſertum, vel quod ſecus Cæſarem ſentire exiſtimarent, &

verbis

γων χρῆσθαι. τοῦ δὲ δημάρχου Μετέλλου κωλύοντος αὐτὸν ἐκ τῶν ἀποθέτων χρήματα λαμβάνειν, καὶ νόμους τινὰς προφέροντος, οὐκ ἔφη τὸν αὐτὸν ὅπλων καὶ νόμων καιρὸν εἶναι· σὺ δὲ εἰ τοῖς πραττομένοις δυσκολαίνεις, νῦν μὲν ἐκποδὼν ἄπιθι· παῤῥησίας γὰρ οὐ δεῖται πόλεμος. ὅταν δὲ καταθῶμαι τὰ ὅπλα, συμβάσεων γενομένων, τότε παριὼν δημαγωγήσεις. καὶ ταῦτα, ἔφη, λέγω τῶν ἐμαυτοῦ δικαίων ὑφιέμενος. ἐμὸς γὰρ εἶ σὺ, καὶ πάντες ὅσους εἴληφα τῶν πρὸς ἐμὲ στασιασάντων. ταῦτα πρὸς τὸν Μέτελλον εἰπὼν, ἐβάδιζε πρὸς τὰς θύρας τοῦ ταμείου. μὴ φαινομένων δὲ τῶν κλειδῶν, χαλκεῖς μεταπεμψάμενος, ἐκκόπτειν ἐκέλευεν· αὖθις δὲ ἐνισταμένου τοῦ Μετέλλου, καί τινων ἐπαινούντων, διατεινόμενος ἠπείλησεν ἀποκτενεῖν αὐτὸν, εἰ μὴ παύσαιτο παρενοχλῶν. καὶ τοῦτο, ἔφη, μειράκιον οὐκ ἀγνοεῖς, ὅτι μοι δυσκολώτερον ἦν εἰπεῖν ἢ πρᾶξαι. οὗτος ὁ λόγος τότε καὶ Μέτελλον ἀπελθεῖν ἐποίησε καταδείσαντα, καὶ τὰ ἄλλα ῥᾳδίως αὐτῷ καὶ ταχέως ὑπηρετεῖσθαι πρὸς τὸν πόλεμον.

Ἐστράτευσε δ' εἰς Ἰβηρίαν, πρότερον ἐγνωκὼς τοὺς περὶ Ἀφράνιον καὶ Βάρρωνα Πομπηΐου πρεσβευτὰς ἐκβαλεῖν, καὶ τὰς ἐκεῖ δυνάμεις καὶ τὰς ἐπαρχίας ὑφ' αὐτῷ ποιησάμενος, οὕτως ἐπὶ Πομπήϊον ἐλαύνειν, μηδένα κατὰ νώτου τῶν πολεμίων ὑπολειπόμενος. κινδυνεύσας δὲ καὶ σώματι πολλάκις καθ' ἐνέδρας, καὶ τῷ στρατῷ μάλιστα διὰ λιμὸν, οὐκ ἀνῆκε πρότερον διώκων καὶ προκαλούμενος καὶ περιταφρεύων τοὺς ἄνδρας, ἢ κύριος βίᾳ γενέσθαι τῶν στρατοπέδων, καὶ τῶν δυνάμεων. οἱ δὲ ἡγεμόνες ᾤχοντο πρὸς Πομπήϊον φεύγοντες.

Ἐπαν-

verbis tantum uti ſpecioſis. Quum tribunus plebis Metellus argentum depromere ex templo Saturni vetaret ei, ac certas leges allegaret, dixit non idem armorum ac legum tempus eſſe. Quod ſi hæc (inquit) quæ ago, offendunt te, faceſſe in præſentia. Ferocia verba bellum non admittit. Ubi pace facta arma depoſuero, tunc popularia iſta declamabis. Atque hæc dico de jure meo remittens. Nam & tu & omnes alii, quos ex adverſariis meis cepi, in arbitrio eſtis meo. Sic ad Metellum fatus, profectus eſt ad fores ærarii. Non comparentibus clavibus fabros accivit, rumpi jubens eas. Intercedenti iterum Metello, laudantibuſque eum quibuſdam, intenta voce mortem ei, ni deſiſteret ab importunitate ſua, minitatus eſt. Atque hoc, inquit, haud te latet adoleſcens, dictu mihi quam factu eſſe difficilius. Hæc verba effecerunt, ut tum Metellus in præſentia metu attonitus abſcederet, tum reliqua facile & expedite ei ſubminiſtrarentur ad bellum.

Hinc in Hiſpaniam cum exercitu profectus eſt, prius ſtatuens Afranium & Varronem Pompeii legatos ſummovere, illiuſque legiones & provincias redigere in poteſtatem ſuam, inde in Pompeium nullo relicto à tergo hoſte pergere. Et quamvis in crebra pericula hinc corpore inſidiis circumventus, hinc præſertim per famem exercitus ſui incurriſſet, non ante tamen inſectari, laceſſere, circumvallare deſtitit illos, quam caſtris eorum & copiis eſſet potitus. Duces refugerunt ad Pompeium.

Ἐπανελθόντα δὲ εἰς Ῥώμην Καίσαρα Πείσων μὲν ὁ πενθερὸς παρεκάλει πρὸς Πομπήϊον ἀποστέλλειν ἄνδρας ὑπὲρ διαλύσεως, Ἰσαυρικὸς δὲ Καίσαρι χαριζόμενος ἀντεῖπεν. αἱρεθεὶς δὲ δικτάτωρ ὑπὸ τῆς βουλῆς, φυγάδας τε κατήγαγε, καὶ τῶν ἐπὶ Σύλλα δυστυχησάντων τοὺς παῖδας ἐπιτίμους ἐποίησε, καὶ σεισαχθείᾳ τινὶ τόκων ἐκούφιζε τοὺς χρεωφειλέτας· ἄλλων τε τοιούτων ἥψατο πολιτευμάτων, οὐ πολλῶν· ἀλλ' ἐν ἡμέραις ἕνδεκα τὴν μὲν μοναρχίαν ἀπειπάμενος, ὕπατον δὲ ἀναδείξας ἑαυτὸν καὶ Σερουΐλιον Ἰσαυρικὸν, εἴχετο τῆς στρατείας. καὶ τὰς μὲν ἄλλας δυνάμεις καθ' ὁδὸν ἐπειγόμενος παρῆλθεν, ἱππεῖς δὲ ἔχων λογάδας ἑξακοσίους, καὶ πέντε τάγματα, χειμῶνος ἐν τροπαῖς ὄντος, ἱσταμένου Ἰανουαρίου μηνὸς (οὗτος δ' ἂν εἴη Ποσειδεὼν Ἀθηναίοις) ἀφῆκεν εἰς τὸ πέλαγος· καὶ διαβαλὼν τὸν Ἰόνιον, Ὤρικον καὶ Ἀπολλωνίαν αἱρεῖ, τὰ δὲ πλοῖα πάλιν ἀπέπεμψεν εἰς Βρεντήσιον ἐπὶ τοὺς ὑστερήσαντας τῇ πορείᾳ στρατιώτας. οἱ δὲ ἄχρι μὲν καθ' ὁδὸν ἦσαν, ἅτε δὴ καὶ παρηκμακότες ἤδη τοῖς σώμασι, καὶ πρὸς τὰ πλήθη τῶν πολεμίων ἀπειρηκότες, ἐν αἰτίαις εἶχον τὸν Καίσαρα, Πῆ δὴ καὶ πρὸς τί πέρας ἡμᾶς ὁ ἀνὴρ καταθήσεται, περιφέρων καὶ χρώμενος ὥσπερ ἀτρύτοις καὶ ἀψύχοις ἡμῖν; καὶ σίδηρος ἐξέκαμε πληγαῖς, καὶ θυρεοῦ τις ἐστὶ φειδὼ ἐν χρόνῳ τοσούτῳ καὶ θώρακος. οὐδὲ ἀπὸ τῶν τραυμάτων ἄρα λογίζεται Καῖσαρ ὅτι θνητῶν μὲν ἄρχει, θνητὰ δὲ πεφύκαμεν πάσχειν καὶ ἀλγεῖν; ὥραν δὲ χειμῶνος καὶ πνεύματος ἐν θαλάττῃ καιρὸν οὐδὲ Θεῷ βιάζεσθαι δυνατόν· ἀλλ' οὗτος παραβάλλεται καθάπερ οὐ διώκων πολεμίους, ἀλλὰ φεύγων. τοιαῦτα λέγοντες ἐπορεύοντο

χο-

Reverſo ad urbem ſocer Piſo conſuluit, ut de pace mitteret ad Pompeium. Ei Iſauricus venditans ſe Cæſari repugnavit. Dictator ab ſenatu dictus exules reduxit, & proſcriptorum ſub Sylla liberos famæ reſtituit, formaque aliqua tabularum novarum obæratos uſuris ſublevavit, atque alia ejuſcemodi non multa delibavit inſtituta. Diebus nempe undecim dictatura abdicavit ſe, ac, poſtquam ſe & Servilium Iſauricum conſules declaravit, ad bellum convertit animum. Cæteras quidem copias in itinere properans præteriit: equites vero ſecum trahens delectos ſexcentos & quinque legiones circa ſolſtitium brumale ineunte menſe Januario, qui apud Athenienſes Poſideon ſit, in ſalum demiſit ſe, tranſmiſſoque mari Ionio Oricum & Apolloniam capit. Navigia retro Brunduſium ad milites, qui tardius advenerant, remittit. Hi dum in itinere erant, utpote corporibus jam defecti atque ex hoſtium multitudine fatiſcentes, querebantur de Cæſare hujuſcemodi verbis, Ubi tandem, & quam ad metam concedet nobis iſte quietem, qui circumducit nos, utiturque ſicut ferreis & inanimatis? Succumbit etiam ictibus ferrum, & ſcuto aliquando loricæque in tanto tempore parcitur. Annon ex vulneribus reputat Cæſar mortalibus ſe imperare, mortalibuſque nos calamitatibus & doloribus eſſe obnoxios? Hyemi & venti in pelago tempeſtati facere vim ne Deus quidem poteſt. At hic tam projecte ſubit pericula, quaſi fugeret, non conſectaretur hoſtes. His dictis lentum iter Brundu-

σχολαίως εἰς τὸ Βρεντήσιον. ὡς δ' ἐλθόντες εὗρον ἀνηγμένον τὸν Καίσαρα, ταχὺ πάλιν αὖ μεταβαλόντες, ἐκάκιζον ἑαυτοὺς, προδότας ἀποκαλοῦντες τοῦ αὐτοκράτορος. ἐκάκιζον δὲ καὶ τοὺς ἡγεμόνας οὐκ ἐπιταχύναντας τὴν πορείαν. καθήμενοι δ' ἐπὶ τῶν ἄκρων πρὸς τὸ πέλαγος καὶ τὴν ἤπειρον, ἀπεσκόπουν τὰς ναῦς ἐφ' ὧν ἔμελλον περαιοῦσθαι πρὸς ἐκεῖνον.

Ἐν δ' Ἀπολλωνίᾳ Καῖσαρ, οὐκ ἔχων ἀξιόμαχον τὴν μεθ' ἑαυτοῦ δύναμιν, βραδυνούσης δὲ τῆς ἐκεῖθεν, ἀπορούμενος καὶ περιπαθῶν, δεινὸν ἐβούλευσε βούλευμα, κρύφα πάντων εἰς πλοῖον ἐμβὰς τὸ μέγεθος δωδεκάσκαλμον, ἀναχθῆναι πρὸς τὸ Βρεντήσιον τηλικούτοις στόλοις περιεχομένου τοῦ πελάγους ὑπὸ τῶν πολεμίων. νυκτὸς οὖν ἐσθῆτι θεράποντος ἐπικρυψάμενος ἀνέβη, καὶ καταβαλὼν ἑαυτὸν, ὥς τινα τῶν παρημελημένων, ἡσύχαζεν. τοῦ δ' Ἀνίου ποταμοῦ τὴν ναῦν ὑποφέροντος εἰς τὴν θάλασσαν, τὴν μὲν ἑωθινὴν αὔραν, ἣ παρεῖχε τηνικαῦτα περὶ τὰς ἐκβολὰς γαλήνην, ἀπωθοῦσα πόῤῥω τὸ κῦμα, πολὺς πλεύσας πελάγιος διὰ νυκτὸς ἀπέσβεσε· πρὸς δὲ τὴν πλημμύραν τῆς θαλάσσης καὶ τὴν ἀντίβασιν τοῦ κλύδωνος ἀγριαίνων ὁ ποταμὸς, καὶ τραχὺς ἅμα καὶ κτύπῳ μεγάλῳ καὶ σκληραῖς ἀνακοπτόμενος δίναις, ἄπορος ἦν βιασθῆναι τῷ κυβερνήτῃ· καὶ μεταβαλεῖν ἐκέλευσε τοὺς ναύτας, ὡς ἀποστρέψων τὸν πλοῦν. αἰσθόμενος δ' ὁ Καῖσαρ ἀναδείκνυσιν ἑαυτὸν, καὶ τοῦ κυβερνήτου λαβόμενος τῆς χειρὸς ἐκπεπληγμένου πρὸς τὴν ὄψιν, Ἴθι, ἔφη, γενναῖε, τόλμα καὶ δέδιθι μηδέν· Καίσαρα φέρεις, καὶ τὴν Καίσαρος τύχην συμπλέουσαν. ἐλάθοντο τοῦ χειμῶνος οἱ ναῦται, καὶ ταῖς κώ-

duſium faciebant: quo ut convenerunt, & ſolviſſe compererunt Cæſarem, ſubito mutato animo increpaverunt ſemetipſi, proditores appellantes imperatoris: increpaverunt etiam duces ſuos, quod iter non maturaſſent. Conſidebant in promontoriis, & ad mare Epirumque intentis oculis naves proſpectabant, quibus eſſent ad illum tranſmiſſuri.

Apolloniæ Cæſar, quum copias Pompeio non haberet ſecum pares, quod cunctarentur reliquæ quæ erant Brunduſii, ſuſpenſus anxiuſque conſilium init anceps: tantis nempe claſſibus pelago ab hoſtibus obſeſſo, clam omnibus navem conſcendendi duodecim ſcalmorum magnitudine, eaque Brunduſium petendi. Igitur noctu veſte tectus ſervili conſcendit, atque ſe ut contemptum aliquem ſilentio abjecit. Quum vero Anius amnis in pontum deferret navem, matutinam auram, quæ alias in oſtio præbebat tranquillitatem longe undas impellens, exſtinxit vehemens nocte increbreſcens marinus ventus. Adeo ut ex æſtu maris & fluctus occurſu efferatus aſperatuſque fluvius, ſimul ingenti fragore gravibuſque retro inhibitus vorticibus, ſuperari a gubernatore nulla ratione potuit: itaque convertere navem nautis, ut remearet, juſſit. Id Cæſar intelligens, qui ſit, aperit gubernatori, apprehenſaque manu ejus ad aſpectum ſuum obſtupefacti, Perge age, inquit, audacter, nec quicquam time, Cæſarem vehis, unaque Cæſaris fortunam. Ita tempeſtatis nautæ obliti, ac remis in-

κώπαις ἐμφυῶντες, ἐβιάζοντο πάσῃ προθυμίᾳ τὸν ποταμόν. ὡς δὲ ἦν ἄπορα, δεξάμενος πολλὴν θάλατταν καὶ κινδυνεύσας ἐν τῷ στόματι, συνεχώρησε μάλα ἄκων τῷ κυβερνήτῃ μεταβαλεῖν. ἀνιόντι δὲ αὐτῷ κατὰ πλῆθος ἀπήντων οἱ στρατιῶται, πολλὰ μεμφόμενοι καὶ δυσπαθοῦντες, εἰ μὴ πέπεισαι καὶ σὺν αὐτοῖς μόνοις ἱκανὸς εἶναι νικᾶν, ἀλλ' ἄχθεται καὶ παραβάλλεται διὰ τοὺς ἀπόντας, ὡς ἀπιστῶν τοῖς παροῦσιν.

Ἐκ τούτου κατέπλευσε μὲν Ἀντώνιος ἀπὸ Βρεντησίου τὰς δυνάμεις ἄγων. θαῤῥήσας δὲ Καῖσαρ προὐκαλεῖτο Πομπήϊον, ἱδρυμένον ἐν καλῷ, καὶ χορηγούμενον ἔκ τε γῆς καὶ θαλάττης ἀποχρώντως, αὐτὸς ἐν οὐκ ἀφθόνοις διάγων κατ' ἀρχὰς, ὕστερον δὲ καὶ σφόδρα πιεσθεὶς ἀπορίᾳ τῶν ἀναγκαίων. ἀλλὰ ῥίζαν τινὰ κόπτοντες οἱ στρατιῶται, καὶ γάλακτι φυρῶντες προσεφέροντο, καί ποτε καὶ διαπλάσαντες ἐξ αὐτῆς ἄρτους, καὶ ταῖς προφυλακαῖς τῶν πολεμίων ἐπιδραμόντες, ἔβαλλον εἴσω καὶ διεῤῥίπτουν, ἐπιλέγοντες, ὡς ἄχρι ἂν ἡ γῆ τοιαύτας ἐκφέρῃ ῥίζας, οὐ παύσονται πολιορκοῦντες Πομπήϊον. ὁ μέντοι Πομπήϊος οὔτε τοὺς ἄρτους οὔτε τοὺς λόγους εἴα τούτους ἐκφέρεσθαι πρὸς τὸ πλῆθος. ἠθύμουν γὰρ οἱ στρατιῶται, τὴν ἀγριότητα καὶ τὴν ἀπάθειαν τῶν πολεμίων, ὥσπερ θηρίων, ὀῤῥωδοῦντες. ἀεὶ δέ τινες περὶ τοῖς ἐρύμασι τοῖς Πομπηΐου μάχαι σποράδες ἐγίγνοντο· καὶ περιῆν πάσαις ὁ Καῖσαρ, πλὴν μιᾶς· ἐν ᾗ τροπῆς μεγάλης γενομένης, ἐκινδύνευσε μὲν ἀπολέσαι τὸ στρατόπεδον. Πομπηΐου γὰρ προσβαλόντος, οὐδεὶς ἔμεινεν, ἀλλὰ καὶ τάφροι κατεπίμπλαντο κτεινομένων, καὶ περὶ τοῖς αὐτῶν χαρακώμασι καὶ περιτειχίσμασιν

incumbentes inſtitere magna alacritate urgere flumen. Ubi vero nequicquam fatigaverunt ſe, atque multa accepta aqua periculum ſubiit Cæſar in oſtio, permiſit perquam invitus gubernatori recipere curſum. Egreſſo occurrerunt catervatim milites, expoſtulaveruntque cum eo & indignati ſunt majorem in modum, quod dubitaret vel ſolis cum ipſis vincere hoſtes poſſe, ſed cruciaretur offerretque ſe diſcrimini ob abſentes, tanquam præſentibus diffidens.

Inde appulit Antonius copias Brunduſio adducens. Tum confirmatus Cæſar laceſſivit Pompeium. Ceperat hic commodum caſtris locum: eique neceſſaria affatim terra marique ſubvehebantur, quum ille non ageret in affluentibus commeatibus, poſt etiam graviter difficultate neceſſariorum premeretur: ac radicem quandam contunderent milites, eaque lacte ſubacta veſcerentur. Panes quoque ex ea confectos provecti ad hoſtium ſtationes, intro miſerunt projeceruntque, cum hiſce verbis, quouſque ejuſcemodi tellus ferret radices, non deſituros ſe obſidere Pompeium. At Pompeius nec eos panes nec ſermones permiſit in vulgus militum efferri, ne flacceſcerent, immanitatem ac duritiem hoſtium quaſi ferarum horrentes. Serebantur quotidie circa vallum Pompeii tumultuariæ pugnæ, in quibus Cæſar omnibus ſuperior extra unam fuit, in qua quum fœde fugerent ſui, caſtra pene amiſit. Nam quum eos eſſet Pompeius adortus, nemo locum tenuit: ſed & foſſæ cæſorum corporibus impletæ ſunt, atque ad vallum ſuum munitioneſque

μασιν ἔπιπλον ἐλαυνόμενοι προσεπάθουν. Καῖσαρ δὲ ὑπαντιάζων, ἐπειρᾶτο μὲν ἀναστρέφειν τοὺς φεύγοντας, ἐπέραινε δὲ οὐδέν· ἀλλ' ἐπιλαμβανομένου τῶν σημείων ἀπερρίπτουν οἱ κομίζοντες, ὥστε δύο καὶ τριάκοντα λαβεῖν τοὺς πολεμίους, αὐτὸς δὲ παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν. ἀνδρὶ γὰρ μεγάλῳ καὶ ῥωμαλέῳ φεύγοντι παρ' αὐτὸν ἐπιβαλὼν τὴν χεῖρα, μένειν ἐκέλευσε, καὶ στρέφεσθαι πρὸς τοὺς πολεμίους. ὁ δὲ μεστὸς ὢν ταραχῆς παρὰ τὸ δεινὸν, ἐπειρᾶτο τὴν μάχαιραν ὡς καθιξόμενος· φθάνει δὲ ὁ τοῦ Καίσαρος ὑπασπιστὴς ἀποκόψας αὐτοῦ τὸν ὦμον. οὕτω δὲ ἀπέγνω τὰ καθ' αὐτὸν, ὥστε ἐπεὶ Πομπήϊος ὑπ' εὐλαβείας τινὸς ἢ τύχης ἔργῳ μεγάλῳ τέλος οὐκ ἐπέθηκεν, ἀλλὰ καθείρξας εἰς τὸν χάρακα τοὺς φεύγοντας ἀνεχώρησεν, εἶπεν ἄρα πρὸς τοὺς φίλους ἀπιὼν ὁ Καῖσαρ, σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον. αὐτὸς δὲ παρελθὼν εἰς τὴν σκηνὴν καὶ κατακλιθεὶς, νύκτα πασῶν ἐκείνην ἀνιαρωτάτην διήγαγεν, ἐν ἀπόροις λογισμοῖς, ὡς κακῶς ἐστρατηγηκὼς, ὅτι καὶ χώρας ἐπικειμένης βαθείας καὶ πόλεων εὐδαιμόνων τῶν Μακεδονικῶν καὶ Θετταλικῶν, ἐάσας ἐκεῖ περισπάσαι τὸν πόλεμον, ἐνταῦθα καθέζοιτο πρὸς θαλάττῃ, ναυκρατούντων τῶν πολεμίων, πολιορκούμενος τοῖς ἀναγκαίοις μᾶλλον ἢ τοῖς ὅπλοις πολιορκῶν. οὕτω δὲ περισπασθεὶς καὶ ἀνιαθεὶς πρὸς τὴν ἀπορίαν καὶ χαλεπότητα τῶν παρόντων, ἀνίστη τὸν στρατὸν, ἐπὶ Σκιπίωνα προάγειν εἰς Μακεδονίαν ἐγνωκώς. ἢ γὰρ ἐπισπάσεσθαι τὸν Πομπήϊον ὅπου μαχεῖται μὴ χορηγούμενος ὁμοίως ἀπὸ τῆς θαλάττης, ἢ περιέσεσθαι μεμονωμένου Σκιπίωνος.

Τοῦ-

neſque effuſe fugientes cecidere. Fugam occurrens Cæſar quum ſiſtere niteretur, nihil profecit. Quum ille ſigna corriperet, abjiciebant ea ſigniferi, ac triginta duo in poteſtatem hoſtium venere. Cæſar ipſe fere fuit oppreſſus. Quum enim militi vaſto & robuſto fuga eum prætervehenti manus injiciens manere & convertere ſe imperaret in hoſtem, ille turbationis in diſcrimine plenus, gladio manum ad eum cædendum admovit: cujus occupavit humerum armiger Cæſaris abſcindere. Adeo autem res deploratæ Cæſaris erant, ut quum Pompeius ſive ſuſpicione aliqua ſive fortuna non eſſet facinus tam eximium proſequutus, ſed compulſis intra vallum iis qui fugiebant, receptui ceciniſſet, diceret diſcedens Cæſar ad amicos, Hodie penes hoſtes victoria erat, ſi haberent vincentem. Tabernaculum ingreſſus decubuit, noctemque egit omnium illam in perplexis conſiliis mœſtiſſimam: quod belli gerendi rationem inſtituiſſet imprudenter, qui, quum ager in propinquo latus eſſet, urbeſque abundantes Macedoniæ & Theſſaliæ, prætermiſſo illuc convertere bellum, ibi ad mare prævalentibus claſſe hoſtibus ſederet, obſeſſus magis rerum penuria neceſſariarum, quam armis obſidens hoſtes. Ita conflictatus & ſolicitatus anguſtiis atque difficultate rerum ſuarum, vaſis conclamatis ducere adverſus Scipionem in Macedoniam conſtituit; ratus aut ſe attracturum Pompeium eo ubi non perinde copiam maritimam habiturus ad manum eſſet, aut deſolatum oppreſſurum Scipionem.

Id

Τοῦτο τὴν Πομπηΐου στρατιὰν ἐπῆρε, καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας, ὡς ἡττημένου καὶ φεύγοντος ἔχεσθαι Καίσαρος. αὐτὸς μὲν γὰρ εὐλαβῶς εἶχε Πομπήϊος ἀναρρῖψαι τὴν μάχην περὶ τηλικούτων, καὶ παρεσκευασμένος ἄριστα πᾶσι πρὸς τὸν χρόνον, ἠξίου τρίβειν καὶ μαραίνειν τὴν τῶν πολεμίων ἀκμὴν βραχεῖαν οὖσαν. τὸ γάρ τοι μαχιμώτατον τῆς Καίσαρος δυνάμεως ἐμπειρίαν μὲν εἶχε καὶ τόλμαν ἀνυπόστατον πρὸς τοὺς ἀγῶνας, ἐν δὲ ταῖς πλάναις καὶ ταῖς στρατοπεδείαις καὶ τειχομαχοῦντες καὶ νυκτεγερτοῦντες ἐξέκαμνον ὑπὸ γήρως, καὶ βαρεῖς ἦσαν τοῖς σώμασι πρὸς τοὺς πόνους, δι' ἀσθένειαν ἐγκαταλιπόντες τὴν προθυμίαν. τότε δὲ καί τι νόσημα λοιμῶδες ἐλέχθη, τὴν ἀτοπίαν τῆς διαίτης ποιησάμενον ἀρχὴν, ἐν τῇ στρατιᾷ περιφέρεσθαι τῇ Καίσαρος. καὶ τὸ μέγιστον, οὔτε χρήμασιν ἐρρωμένος, οὔτε τροφῆς εὐπορῶν, χρόνου βραχέος ἐδόκει περὶ αὐτῷ καταλυθήσεσθαι.

Διὰ ταῦτα Πομπηΐῳ μάχεσθαι μὴ βουλομένῳ μόνος ἐπῄνει Κάτων, φειδοῖ τῶν πολιτῶν· ὅς γε καὶ τοὺς πεσόντας ἐν τῇ μάχῃ τῶν πολεμίων, εἰς χιλίους τὸ πλῆθος γενομένους, ἰδὼν, ἀπῆλθεν ἐγκαλυψάμενος καὶ καταδακρύσας. οἱ δ' ἄλλοι πάντες ἐκάκιζον τὸν Πομπήϊον φυγομαχοῦντα, καὶ παρώξυναν, Ἀγαμέμνονα καὶ βασιλέα βασιλέων ἀποκαλοῦντες, ὡς δὴ μὴ βουλόμενον ἀποθέσθαι τὴν μοναρχίαν, ἀλλ' ἀγαλλόμενον, ἡγεμόνων τοσούτων ἐξηρτημένων αὐτοῦ καὶ φοιτώντων ἐπὶ σκηνήν. Φαώνιος δὲ τὴν Κάτωνος παρρησίαν ὑποποιούμενος, μανικῶς ἐσχετλίαζεν, εἰ μηδὲ τῆτες ἔσται τῶν περὶ Τουσκλάνον ἀπολαῦσαι σύκων, διὰ τὴν Πομπηΐου μοναρχίαν. Ἀφράνιον δὲ

(νεωστὶ

Id exercitum duceſque Pompeianos excitavit, Cæſari ut inſtarent tanquam victo & fugienti. Nam ipſe quidem Pompeius martis aleam jacere tantis de rebus dubitabat, & quod omnibus eſſet ad prolatandum bellum optime inſtructus, in animo erat ei hoſtium temporarium vigorem atterere & exhaurire. Quippe pars Cæſaris copiarum bellaciſſima peritiam habebat & audaciam in prœliis, quam nemo ſubſiſteret: in movendis vero huc illuc & muniendis caſtris, oppugnandis muris atque excubiis agendis, flacceſcebant præ ſenio, corporaque ægre ad labores moliebantur, ob debilitatem corporis alacritate deſtituti. Ad hæc lues dicebatur ex victus vitioſitate ortum ducens in exercitu Cæſaris vagari: & quod erat graviſſimum, quum nec re pecuniaria validus eſſet, nec abundaret commeatibus, brevi videbatur ſua ſponte collapſurus.

Quapropter detrectanti prœlium Pompeio unus, quo civibus parceret, aſſentiebatur Cato. Quippe quum cecidiſſe in ſuperiori acie de hoſtibus ad mille conſpexiſſet, operto capite abſceſſit lacrymans. Cæteri tergiverſantem Pompeium increpabant irritabantque omnes, Agamemnonem & regem regum appellantes, quaſi deponere nolentem imperium, ſed gloriantem quod tam multi duces parerent ſibi, & tabernaculum ſuum frequentarent. Favonius Catonis libertatem in loquendo vecorditer uſurpans, quiritabatur quod eo anno ficubus Tuſculanis veſci ob Pompeii regnum non liceret. Afranius,

(qui

(νεωστὶ γὰρ ἐξ Ἰβηρίας ἀφῖκτο κακῶς στρατηγήσας, διαβαλλόμενος ἐπὶ χρήμασι προδοῦναι τὸν στρατὸν) ἠρώτα διὰ τί πρὸς τὸν ἔμπορον οὐ μάχεται τὸν ὠνημένον παρ' αὐτοῦ τὰς ἐπαρχίας. ἐκ τούτων ἁπάντων συνελαυνόμενος ἄκων εἰς μάχην ὁ Πομπήϊος ἐχώρει, τὸν Καίσαρα διώκων. ὁ δὲ τὴν μὲν ἄλλην πορείαν χαλεπῶς ἤνυσεν, οὐδενὸς παρέχοντος ἀγορὰν, ἀλλὰ πάντων καταφρονούντων διὰ τὴν ἔναγχος ἧτταν. ὡς δὲ εἷλε Γόμφους Θεσσαλικὴν πόλιν, οὐ μόνον ἔθρεψε τὴν στρατιὰν, ἀλλὰ καὶ τοῦ νοσήματος ἀπήλλαξε παραλόγως. ἀφθόνῳ γὰρ ἐνέτυχον οἴνῳ, καὶ πιόντες ἀνέδην, εἶτα χρώμενοι κώμοις, καὶ βακχεύοντες ἀνὰ τὴν ὁδὸν, ἐκ μέθης διεκρούσαντο καὶ παρήλλαξαν τὸ πάθος, εἰς ἕξιν ἑτέραν τοῖς σώμασι μεταπεσόντες.

Ὡς δὲ εἰς τὴν Φαρσαλίαν ἐμβαλόντες ἀμφότεροι κατεστρατοπέδευσαν, ὁ μὲν Πομπήϊος αὖθις εἰς τὸν ἀρχαῖον ἀνεκρούετο λογισμὸν τὴν γνώμην, ἔτι καὶ φασμάτων οὐκ αἰσίων προσγενομένων, καὶ καθ' ὕπνον ὄψεως. ἐδόκει γὰρ ἑαυτὸν ὁρᾶν ἐν τῷ θεάτρῳ κροτούμενον ὑπὸ Ῥωμαίων. οἱ δὲ περὶ αὐτὸν οὕτω θρασεῖς ἦσαν, καὶ τὸ νίκημα ταῖς ἐλπίσι προειληφότες, ὥστε φιλονεικεῖν ὑπὲρ τῆς Καίσαρος ἀρχιερωσύνης Δομίτιον καὶ Σπινθῆρα καὶ Σκιπίωνα, διαμιλλωμένους ἀλλήλοις· πέμπειν δὲ πολλοὺς εἰς Ῥώμην μισθουμένους καὶ προκαταλαμβάνοντας οἰκίας ὑπατεύουσι καὶ στρατηγοῦσιν ἐπιτηδείους, ὡς εὐθὺς ἄρξοντες μετὰ τὸν πόλεμον. μάλιστα δὲ ἐσφάδαζον οἱ ἱππεῖς ἐπὶ τὴν μάχην, ἠσκημένοι περιττῶς ὅπλων λαμπρότησι, καὶ τροφαῖς ἵππων, καὶ κάλλει σωμά-

(qui ex Hiſpania nuper re male geſta venerat, calumnia preſſus exercitum pecunia prodidiſſe) rogabat quid ita non cum mercatore, qui nundinatus ab ſe fuiſſet provincias, dimicaret. His omnibus Pompeius ad confligendum contra ſententiam ſuam compulſus perrexit Cæſarem inſequi. Ille reliquum iter aſperum habuit, commeatuum comparandorum præbente copiam nemine, ſed omnibus eum ob recentem cladem deſpicientibus. Ut Gomphos Theſſaliæ urbem cepit, non modo aluit exercitum, verum etiam morbo mira ratione explicavit. Quippe illic quum magnum numerum vini inveniſſent, eo largius hauſto comeſſabundi inde & bacchabundi in via ex crapula propulſaverunt alteraveruntque morbum, converſi in diverſam corporis habitudinem.

Ut vero in campos Pharſalicos ambo devenere & caſtra ſunt metati, Pompeius convertit denuo ad priſtinum conſilium mentem, quum etiam dira ſpectra & viſio eſſent ei in ſomnis oblata: videbatur enim ſibi a populo Romano plauſu in theatro excipi. At qui eum ſequebantur, adeo erant feroces, victoriamque ſpe præceperant, ut de Cæſaris ſacerdotio contenderent Domitius, Spinther, & Scipio, inter ſe rixantes: multi Romam mitterent ad conducenda & occupanda ædificia conſulatum & præturam gerentibus opportuna, quaſi mox a bello geſturi magiſtratum. Gliſcebant præcipue equites pugnam, armorum ſplendore exculti eximie, equorumque ſagina & corporum nitore inflati, & ob

μάτων μέγα φρονοῦντες, καὶ διὰ τὸ πλῆθος, ἑπτακισχίλιοι πρὸς χιλίους τοὺς Καίσαρος ὄντες. ἦν δὲ καὶ τὸ τῶν πεζῶν πλῆθος οὐκ ἀγχώμαλον, ἀλλὰ τετρακισμύριοι καὶ πεντακισχίλιοι παρετάττοντο δισμυρίοις καὶ δισχιλίοις.

Ὁ δὲ Καῖσαρ τοὺς στρατιώτας συναγαγὼν, καὶ προειπὼν ὡς δύο μὲν αὐτῷ τάγματα Κορφίνιος ἄγων ἐγγύς ἐστιν, ἄλλαι δὲ πεντεκαίδεκα σπεῖραι μετὰ Καλήνου κάθηνται περὶ Μέγαρα καὶ Ἀθήνας, ἠρώτησεν εἴτε βούλονται περιμένειν ἐκείνους, εἴτε αὐτοὶ διακινδυνεῦσαι καθ᾽ ἑαυτούς. οἱ δὲ ἀνεβόησαν, δεόμενοι μὴ περιμένειν, ἀλλὰ μᾶλλον ὅπως τάχιστα συνίωσιν εἰς χεῖρας τοῖς πολεμίοις τεχνάζεσθαι καὶ στρατηγεῖν. ποιουμένῳ δὲ καθαρμὸν αὐτῷ τῆς δυνάμεως, καὶ θύσαντι τὸ πρῶτον ἱερεῖον, εὐθὺς ὁ μάντις ἔφραζε, τριῶν ἡμερῶν μάχῃ κριθήσεσθαι πρὸς τοὺς πολεμίους. ἐρομένου δὲ τοῦ Καίσαρος εἰ καὶ περὶ τοῦ τέλους ἐνορᾷ τι τοῖς ἱερείοις εὔσημον, Αὐτὸς ἂν, ἔφη, σὺ τοῦτο βέλτιον ὑποκρίναιο σαυτῷ. μεγάλην γὰρ οἱ Θεοὶ μεταβολὴν καὶ μετάπτωσιν ἐπὶ τὰ ἐναντία τῶν καθεστώτων δηλοῦσιν· ὥστε, εἰ μὲν εὖ πράττειν ἡγῇ σεαυτὸν ἐπὶ τῷ παρόντι, τὴν χείρονα προσδόκα τύχην· εἰ δὲ κακῶς, τὴν ἀμείνονα. τῇ δὲ πρὸ τῆς μάχης νυκτὶ τὰς φυλακὰς ἐφοδεύοντος αὐτοῦ, περὶ τὸ μεσονύκτιον ὤφθη λαμπὰς οὐρανίου πυρὸς, ἣν ὑπερενεχθεῖσαν τὸ Καίσαρος στρατόπεδον, λαμπρὰν καὶ φλογώδη γενομένην, ἔδοξεν εἰς τὸ Πομπηΐου καταπεσεῖν. ἑωθινῆς δὲ φυλακῆς καὶ πανικὸν τάραχον ᾔσθοντο, γιγνόμενον παρὰ τοῖς πολεμίοις. οὐ μὴν μαχεῖσθαί γε κατ᾽ ἐκείνην προσεδόκα τὴν ἡμέραν, ἀλλὰ ὡς ἐπὶ Σκοτούσης ὁδεύων ἀνεζεύγνυεν.

Ἐπεὶ

ob multitudinem quoque, quod ſeptem millia cum mille Julianis compararentur. Nec vero peditum erat par numerus, ſed committebantur quadraginta quinque millia cum viginti duobus millibus.

Cæſar autem advocata concione demonſtravit militibus Cornificium, qui duas legiones ſibi adducebat, non longe abeſſe, alias quindecim cohortes duce Caleno prope Megaram & Athenas conſidere, quæſivitque operiri illos, an dimicare vellent ſoli: illi vero conclamarunt, orantes ne rem duceret, ſed moliretur potius & rationem iniret, quo ſigna cum hoſtibus quamprimum conferrent. Luſtranti exercitum & primam hoſtiam immolanti nunciavit aruſpex, intra triduum pugna eum cum hoſtibus decreturum. Exquirente Cæſare, ecquid in extis portenti de exitu conſideraret: Rectius, inquit, tute tibi de eo reſpondeas. Mutationem enim Dii viciſſitudinemque in diverſa grandem ſtatus præſentis præſagiunt. Itaque ſi res tuas ducis in præſentia lætas, infeſtiorem fortunam expecta: ſin triſtiores, lætiorem. Nocte, quæ pugnam anteceſſit, quum vigilias obiret, circa concubiam noctem conſpexere facem cœleſtis ignis, quæ ſuperlata Cæſaris caſtris illuſtris & flammea exiſtens, delabi viſa eſt intra Pompeii præſidia. Vigilia matutina panicum tumultum apud hoſtes animadvertere: pugnam tamen non exſpectabat in eum diem, ſed ſigna movit, ut iter Scotuſam intenderet.

De-

Ἐπεὶ δὲ τῶν σκηνῶν ἤδη καταλελυμένων οἱ σκοποὶ προσίππευσαν αὐτῷ, τοὺς πολεμίους ἐπὶ μάχῃ καταβαίνειν ἀπαγγέλλοντες, περιχαρὴς γενόμενος, καὶ εὐξάμενος τοῖς Θεοῖς, παρέταττε τὴν φάλαγγα, τὴν τάξιν τριπλῆν ποιῶν. καὶ τοῖς μὲν μέσοις ἐπέστησε Καλβῖνον Δομίτιον, τῶν δὲ κεράτων τὸ μὲν εἶχεν Ἀντώνιος, αὐτὸς δὲ τὸ δεξιὸν, ἐν τῷ δεκάτῳ τάγματι μέλλων μάχεσθαι. κατὰ τοῦτο δὲ τοὺς τῶν πολεμίων ἱππεῖς ἀντιπαρατατομένους ὁρῶν, καὶ δεδοικὼς τὴν λαμπρότητα καὶ τὸ πλῆθος αὐτῶν, ἀπὸ τῆς ἐσχάτης τάξεως ἀδήλως ἐκέλευσε περιελθεῖν πρὸς ἑαυτὸν ἓξ σπείρας, καὶ κατόπιν ἔστησε τοῦ δεξιοῦ, διδάξας ἃ χρὴ ποιεῖν ὅταν οἱ τῶν πολεμίων ἱππεῖς προσφέρωνται. Πομπήϊος δὲ τὸ μὲν αὐτὸς εἶχε τῶν κεράτων, τὸ δ' εὐώνυμον Δομίτιος, τοῦ δὲ μέσου Σκιπίων ἦρχεν ὁ πενθερός. οἱ δὲ ἱππεῖς ἅπαντες ἐπὶ τὸ ἀριστερὸν ἔβρισαν, ὡς τὸ δεξιὸν κυκλωσόμενοι τῶν πολεμίων, καὶ λαμπρὰν περὶ αὐτὸν τὸν ἡγεμόνα ποιησόμενοι τροπήν. οὐδὲν γὰρ ἀνθέξειν βάθος ὁπλιτικῆς φάλαγγος, ἀλλὰ συντρίψεσθαι καὶ καταρράξεσθαι πάντα τοῖς ἐναντίοις, ἐπιβολῆς ἅμα τοσούτων ἱππέων γενομένης. ἐπεὶ δὲ σημαίνειν ἔμελλον ἀμφότεροι τὴν ἔφοδον, Πομπήϊος μὲν ἐκέλευσε τοὺς ὁπλίτας ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τὴν ἐπιδρομὴν τῶν πολεμίων, μέχρις ἂν ὑσσοῦ βολῆς ἐντὸς γένωνται. Καῖσαρ δὲ καὶ περὶ τοῦτο διαμαρτεῖν φησιν αὐτὸν, ἀγνοήσαντα τὴν μετὰ δρόμου καὶ φοβερὰν ἐν ἀρχῇ γινομένην σύρραξιν, ὡς ἔν τε ταῖς πληγαῖς βίαν προστίθησι, καὶ συνεκκαίει τὸν θυμὸν, ἐκ πάντων ἀναρριπιζόμενον. αὐτὸς δὲ κινεῖν τὴν φάλαγγα μέλλων, καὶ προϊὼν ἐπ' ἔργον, ἤδη πρῶ-

Detenſis jam tabernaculis accurrunt ad eum ſpeculatores, inſtruere ſe ad prœlium nuntiantes hoſtem. Ibi lætus & Deos precatus aciem ornat, eamque triplicem inſtruit. Mediæ Domitium Calvinum præficit: in altero cornu Antonius: in dextro ipſe egit, quo in legione decima pugnaret. Hinc hoſtium equitatum conſpicatus oppoſitum, eorumque veritus alacritatem numerumque, ab ultima acie occulte ſex cohortes excivit, quas locavit pone dextrum cornu, docuitque quid faciendum eſſet quum hoſtium equitatus incurreret. Pompeius alterum cornu ipſe tenuit, ſiniſtrum Domitius, mediæ aciei ſocer ejus Scipio præfuit. Totius equitatus moles erat in ſiniſtro cornu ad circumveniendum dextrum hoſtium, atque ad latam fugam circa ipſum ducem efficiendam: nullam enim arbitrabantur quantumvis profundam peditum aciem ſubſtituram, ſed obtritum iri omnia conculcatumque impreſſione tot pariter equitum in hoſtes facta. Quum jam in eo eſſet ut ſigna canerent, imperavit anteſignanis Pompeius, ut in procinctu atque in veſtigio ſtantes & infeſta pila haſtaſque tenentes hoſtium impetum exciperent, quouſque intra pili jactum veniſſent. Cæſar vero & in eo ait Pompeium erraſſe, qui neſciret incitatum formidabilemque initio incurſum tum ictibus vim addere, tum animos inflammare ex omnibus excitatum. Aciem moturus & rem jam aggrediens, primum conſpicit cen-

πρῶτον ὁρᾷ τῶν ταξιαρχῶν ἄνδρα τινὰ πιστὸν αὐτῷ καὶ πολέμων ἔμπειρον, ἐπιθαρσύνοντα τοὺς ὑφ' αὐτῷ καὶ προσκαλούμενον εἰς ἄμυναν ἀλκῆς. τοῦτον ὀνομαστὶ προσαγορεύσας, Τί ἐλπίζομεν, εἶπεν, ὦ Γάϊε Κρασσίνιε, καὶ πῶς τι θάρσους ἔχομεν; ὁ δὲ Κρασσίνιος, ἐκτείνας τὴν δεξιὰν, καὶ μέγα βοήσας, Νικήσομεν, ἔφη, λαμπρῶς, ὦ Καῖσαρ. ἐμὲ γὰρ ἢ ζῶντα τήμερον ἢ τεθνηκότα ἐπαινέσεις. ταῦτα εἰπὼν, πρῶτος ἐμβάλλει τοῖς πολεμίοις δρόμῳ, συνεπισπασάμενος τοὺς περὶ αὐτὸν ἑκατὸν εἴκοσι στρατιώτας. διακόψας δὲ τοὺς πρώτους, καὶ πρόσω χωρῶν φόνῳ πολλῷ καὶ βιαζόμενος, ἀνακόπτεται ξίφει πληγεὶς διὰ τοῦ στόματος, ὥστε καὶ τὴν αἰχμὴν ὑπὲρ τὸ ἰνίον ἀνασχεῖν.

Οὕτω δὲ τῶν πεζῶν κατὰ τὸ μέσον συῤῥαγέντων καὶ μαχομένων ἀπὸ τοῦ κέρατος, οἱ τοῦ Πομπηΐου ἱππεῖς σοβαρῶς ἐπήλαυνον, εἰς κύκλωσιν τοῦ δεξιοῦ τὰς ἴλας ἀνεχόμενοι· καὶ πρὶν ἢ προσβαλεῖν αὐτοὺς, ἐκτρέχουσιν αἱ σπεῖραι παρὰ Καίσαρος, οὐχ ὥσπερ εἰώθασιν ἀκοντίσμασι χρώμενοι τοῖς ὑσσοῖς, οὐδὲ μηροὺς παίοντες ἐκ χειρὸς ἢ κνήμας τῶν πολεμίων, ἀλλὰ τῶν ὄψεων ἐφιέμενοι, καὶ τὰ πρόσωπα συντιτρώσκοντες· ὑπὸ Καίσαρος δεδιδαγμένοι τοῦτο ποιεῖν, ἐλπίζοντος ἄνδρας οὐ πολλὰ πολέμοις οὐδὲ τραύμασιν ὡμιληκότας, νέους δὲ καὶ κομῶντας ἐπὶ κάλλει καὶ ὥρᾳ, μάλιστα τὰς τοιαύτας πληγὰς ὑπόψεσθαι, καὶ μὴ μένειν τὸν ἐν τῷ παρόντι κίνδυνον, ἅμα καὶ τὴν αὖθις αἰσχύνην δεδοικότας. ὃ δὴ καὶ συνέβαινεν· οὐ γὰρ ἠνείχοντο τῶν ὑσσῶν ἀναφερομένων, οὐδὲ ἐτόλμων ἐν ὀφθαλμοῖς τὸν σίδηρον ὁρῶντες, ἀλλ' ἐπεστρέφοντο καὶ συνεκαλύπτοντο, φειδόμενοι τῶν προσώπων. καὶ τέλος, οὕτω ταρά-

ξαντες

centurionem fidum ſibi & rei militaris expertum, qui confirmabat manipulares ſuos, concitabatque ad fortiter dimicandum. Hunc nomine compellans, Quid ſpei, inquit, C. Craſſini, & quid animi habemus? Craſſinius dextra protenſa alta voce exclamans, Inſignem, inquit, Cæſar victoriam referemus. Me vero hodie aut vivum aut mortuum commendabis. Sic fatus, primus curſu in hoſtes irrupit, ſuoſque ſecum centum viginti milites trahit. Dum perrumpit principes, magnaque cæde & vi progreditur, inhibetur trajecto per os gladio, ut mucro ſub occipite extaret.

Ita pedeſtri certamine media acie commiſſo & confligente, ex cornu lævo Pompeii equites magno faſtu invehuntur, alas ad circumveniendum dextrum cornu producentes. Priuſquam fecerunt hi irruptionem, cohortes illæ Cæſaris provolant, non ut aſſueverant, pila intorquentes, neque femora hoſtium aut crura comminus cædentes, ſed ora petunt faciemque convulnerant: quod docti a Cæſare fuerant, ſperante homines juvenes parum bellis aut vulneribus aſſuetos, florentes autem ætate atque ob formæ decus jactabundos maxime ea vulnera formidaturos, neque præſens expectaturos periculum, ſimulque deformitatem in poſterum verituros: quod ſane evenit. Neque enim pila elata tolerarunt, neque ferrum aſpicere ſuſtinuerunt ſub oculis, ſed converterunt ſe, obvelaveruntque faciem, ut eam protegerent. Poſtremo ita ſemetipſi contur-

bantes

ξαντες ἑαυτοὺς ἐτράποντο φεύγειν, αἴσχιστα λυμηνάμενοι τὸ σύμπαν. εὐθὺς γὰρ οἱ μὲν νενικηκότες τούτους, ἐκυκλοῦντο τοὺς πεζοὺς, καὶ κατὰ νώτου προσπίπτοντες ἔκοπτον. Πομπήϊος δὲ ὡς κατεῖδεν ἀπὸ θατέρου τοὺς ἱππεῖς φυγῇ σκεδασθέντας, οὐκέτι ἦν ὁ αὐτὸς, οὐδ᾽ ἐμέμνητο Πομπήϊος ὢν Μάγνος, ἀλλ᾽ ὑπὸ θεοῦ μάλιστα βλαπτομένῳ τὴν γνώμην ἐοικὼς, ἢ διὰ θείας ἥττης τεθαμβημένος, ἄφθογγος ᾤχετο ἀπιὼν ἐπὶ σκηνὴν· καὶ καθεζόμενος ἐκαραδόκει τὸ μέλλον, ἄχρι οὗ τροπῆς ἁπάντων γενομένης ἐπέβαινον οἱ πολέμιοι τοῦ χάρακος, καὶ διεμάχοντο πρὸς τοὺς φυλάττοντας. τότε δὲ ὥσπερ ἔννους γενόμενος, καὶ ταύτην μόνην, ὥς φασι, φωνὴν ἀφεὶς, οὐκοῦν καὶ ἐπὶ τὴν παρεμβολήν; ἀπεδύσατο μὲν τὴν ἐναγώνιον καὶ στρατηγικὴν ἐσθῆτα, φεύγοντι δὲ πρέπουσαν μεταβαλὼν ὑπεξῆλθεν. ἀλλ᾽ οὗτος μὲν ταῖς ὕστερον χρησάμενος τύχαις, ὅπως τε παραδοὺς ἑαυτὸν τοῖς Αἰγυπτίοις ἀνδράσιν ἀνῃρέθη, δηλοῦμεν ἐν τοῖς περὶ ἐκείνου γράμμασιν.

Ὁ δὲ Καῖσαρ, ὡς ἐν τῷ χάρακι τοῦ Πομπηΐου γενόμενος, τούς τε κειμένους νεκροὺς ἤδη τῶν πολεμίων εἶδε, καὶ τοὺς ἐπικτεινομένους, εἶπεν ἄρα στενάξας, τοῦτο ἐβουλήθησαν, εἰς τοῦτό με ἀνάγκης ὑπήγαγον, ἵνα Γάϊος Καῖσαρ, ὁ μεγίστους πολέμους κατορθώσας, εἰ προηκάμην τὰ στρατεύματα, κἂν κατεδικάσθην. ταῦτα φησὶ Πολλίων Ἀσίννιος τὰ ῥήματα Ῥωμαϊστὶ μὲν ἀναφθέγξασθαι τὸν Καίσαρα παρὰ τὸν τότε καιρὸν, Ἑλληνιστὶ δ᾽ ὑπ᾽ αὐτοῦ γεγράφθαι. τῶν δὲ ἀποθανόντων τοὺς πλείστους, οἰκέτας γενέσθαι, περὶ τὴν κατάληψιν τοῦ χάρακος ἀναιρεθέντας· στρατιώτας δὲ μὴ πλείους ἑξακισχιλί-

ων

bantes turpiſſime terga dedere, ſummamque rei perdidere. Extemplo enim qui hos profligaverant, peditatum circundederunt, impetuque facto terga hoſtium ceciderunt. Pompeius ut equites conſpexit ab altero cornu effuſe fugientes, non ultra idem ille fuit, nec meminit Magnum ſe Pompeium eſſe, verum non ſecus ac ſi Deus ei mentem ademiſſet, vel clade divinitus immiſſa expaveſceret, tacitus recepit ſe in prætorium, ibique ſedens eventum expectavit pugnæ: quouſque omnibus in fugam conſternatis adorirentur hoſtes vallum, & cum ſtatione prœliarentur. Tunc quaſi ad mentem reverſus, quum unam hanc (ut ferunt) vocem miſiſſet, Etiam in caſtra? depoſitis inſignibus imperatoriis ſumptaque fugienti congrua veſte ejecit ſe clam ex caſtris. At hic in quos incidit caſus, & quemadmodum tradidit ſeſe Ægyptiis, interfectuſque eſt, in commentariis de illius vita edifferimus.

Cæſar poſtquam in caſtra Pompeii venit, & ſtrata jam hoſtium corpora eſt contemplatus, eoſque qui adhuc interficiebantur, gemens ait, Hoc voluerunt, atque huc me neceſſitatis redegerunt, ut C. Cæſar maximis perpetratis bellis, ab exercitu ſi diſceſſiſſem, damnatus eſſem. Hæc memorat Aſinius Pollio verba Latine Cæſarem id temporis dixiſſe, quæ ipſe Græce ſcripſit: Eos, qui cecidere, maxima ex parte fuiſſe ſervos, qui dum caſtra capiebantur, cæſi fuere. Milites non plus

ſex

ὧν πεσεῖν. τῶν δὲ πεζῶν τῶν ἁλόντων κατέμιξε τοὺς πλείστους ὁ Καῖσαρ εἰς τάγματα· πολλοῖς δὲ καὶ τῶν ἐπιφανῶν ἄδειαν ἔδωκεν· ὧν καὶ Βροῦτος ἦν ὁ κτείνας αὐτὸν ὕστερον, ἐφ' ᾧ λέγεται μὴ φαινομένῳ μὲν ἀγωνιάσαι, σωθέντος δὲ καὶ παραγενομένου πρὸς αὐτὸν ἡσθῆναι διαφερόντως.

Σημείων δὲ πολλῶν γενομένων τῆς νίκης, ἐπιφανέστατον ἱστορεῖται τὸ περὶ Τράλλεις. ἐν γὰρ ἱερῷ Νίκης, ἀνδριὰς εἱστήκει Καίσαρος, καὶ τὸ περὶ αὐτὸ χωρίον αὐτό τε στερεὸν φύσει, καὶ λίθῳ σκληρῷ κατεστρωμένον ἦν ἄνωθεν· ἐκ τούτου λέγουσιν ἀνατεῖλαι φοίνικα παρὰ τὴν βάσιν τοῦ ἀνδριάντος. ἐν δὲ Παταβίῳ, Γάϊος Κορνήλιος, ἀνὴρ εὐδόκιμος ἐπὶ μαντικῇ, Λιβίου τοῦ συγγραφέως πολίτης καὶ γνώριμος, ἐτύγχανεν ἐπ' οἰωνοῖς καθήμενος ἐκείνην τὴν ἡμέραν. καὶ πρῶτον μὲν, ὡς Λίβιος φησὶν, τὸν καιρὸν ἔγνω τῆς μάχης, καὶ πρὸς τοὺς παρόντας ἔφη, ὅτι καὶ δὴ περαίνεται τὸ χρῆμα, καὶ συνίασιν εἰς ἔργον οἱ ἄνδρες. αὖθις δὲ πρὸς τῇ θέᾳ γενόμενος, καὶ τὰ σημεῖα κατιδὼν, ἀνήλατο μετ' ἐνθουσιασμοῦ, βοῶν, Νικᾷς ὦ Καῖσαρ. ἐκπλαγέντων δὲ τῶν παρατυχόντων, περιελὼν τὸν στέφανον ἀπὸ τῆς κεφαλῆς, ἐνωμότως ἔφη, μὴ πρὶν ἐπιθήσεσθαι πάλιν ἢ τῇδε τῇ τέχνῃ μαρτυρῆσαι τὸ ἔργον. ταῦτα μὲν οὖν ὁ Λίβιος οὕτω γενέσθαι καταβεβαιοῦται.

Καῖσαρ δὲ τῷ Θετταλῶν ἔθνει τὴν ἐλευθερίαν ἀναθεὶς νικητήριον, ἐδίωκε Πομπήϊον· ἁψάμενος δὲ τῆς Ἀσίας, Κνιδίους δὲ, Θεοπόμπῳ τῷ συναγαγόντι τοὺς μύθους χαριζόμενος, ἠλευθέρωσεν, καὶ πᾶσι τοῖς τὴν Ἀσίαν κατοικοῦσι τὸ τρίτον τῶν φόρων ἀνῆκεν. εἰς δὲ Ἀλεξάνδρειαν ἐπὶ Πομπηΐῳ τεθνηκότι κατ-

ſex millia interfecti. Pedites captos legionibus ſuis Cæſar fere immiſcuit. Multis etiam illuſtribus viris dedit incolumitatem: in quibus Brutus, qui poſt eum occidit, fuit, de quo dicitur non comparente anxius fuiſſe, & quum veniſſet ad eum ſalvus, majorem in modum gaviſus.

Hujus victoriæ multa prodigia fuere. Clariſſimum traditur, quod Trallibus accidit. Erat in templo victoriæ Cæſaris ſtatua conſecrata. Solum circumjectum cum ſua ſponte erat rigidum, tum duro lapide in ſuperficie conſtratum. Inde referunt palmam ad ſtatuæ ejus baſim fuiſſe enatam. Patavii C. Cornelius auguralis ſcientiæ peritus, Livii hiſtorici civis & familiaris, ſub idem forte tempus operam dabat auſpicio. Hic primum (ut Livius autor eſt) tempus prœlii cognovit, præſentibuſque geri ait nunc rem, & prœlium duces committere. Ubi iterum aves inſpexit, advertitque ſigna, furore correptus exiliit clamans, Vincis Cæſar. Obſtupeſcentibus illis qui aderant, detracta capiti corona juravit non prius ſe repoſiturum eam quam huic arti res eſſet ipſa aſtipulata. Hoc Livius verum eſſe affirmat.

Cæſar victoriæ ergo data Theſſalorum genti immunitate, Pompeium inſequutus eſt. Quum Aſiam attigiſſet, Cnidiis Theopompi gratia, ejus qui fabulas ſcriptis collegit, vacationem munerum dedit. Cunctis Aſiam incolentibus remiſit tertiam tributi partem. Poſtquam Alexandriam mortuo Pompeio appulit, Theodo-

καταχθεὶς, Θεόδοτον μὲν ἀπεστράφη, τὴν Πομπηΐου κεφαλὴν φέροντα, τὴν δὲ σφραγῖδα δεξάμενος τοῦ ἀνδρὸς κατεδάκρυσεν· ὅσοι δὲ τῶν ἑταίρων αὐτοῦ καὶ συνήθων πλανώμενοι κατὰ τὴν χώραν ἑαλώκεσαν ὑπὸ τοῦ βασιλέως, πάντας εὐεργέτησεν καὶ προσηγάγετο. τοῖς δὲ φίλοις εἰς Ῥώμην ἔγραφεν ὅτι τῆς νίκης ἀπολαύοι τοῦτο μέγιστον καὶ ἥδιστον, τὸ σώζειν τινὰς ἀεὶ τῶν πεπολεμηκότων πολιτῶν αὐτῷ. τὸν δὲ αὐτόθι πόλεμον, οἱ μὲν οὐκ ἀναγκαῖον, ἀλλ' ἔρωτι Κλεοπάτρας ἄδοξον αὐτῷ καὶ κινδυνώδη γενέσθαι λέγουσιν· οἱ δὲ τοὺς βασιλικοὺς αἰτιῶνται, καὶ μάλιστα τὸν εὐνοῦχον Ποθεινὸν, ὃς πλεῖστον δυνάμενος, καὶ Πομπήϊον μὲν ἀνῃρηκὼς ἔναγχος, ἐκβεβληκὼς δὲ Κλεοπάτραν, κρύφα μὲν ἐπεβούλευε τῷ Καίσαρι· καὶ διὰ τοῦτο φασὶν αὐτὸν ἀρξάμενον ἐκ τότε διανυκτερεύειν ἐν τοῖς πότοις, ἕνεκα φυλακῆς τοῦ σώματος. φανερῶς δὲ οὐκ ἦν ἀνεκτὸς, ἐπίφθονα πολλὰ καὶ πρὸς ὕβριν εἰς τὸν Καίσαρα λέγων καὶ πράττων. τοὺς μὲν γὰρ στρατιώτας τὸν κάκιστον μετρουμένους καὶ παλαιότατον σῖτον, ἐκέλευσεν ἀνέχεσθαι καὶ στέργειν, ἐσθίοντας τὰ ἀλλότρια· πρὸς δὲ τὰ δεῖπνα σκεύεσιν ἐχρῆτο ξυλίνοις καὶ κεραμεοῖς, ὡς τὰ χρυσᾶ καὶ ἀργυρᾶ πάντα Καίσαρος ἔχοντος εἴς τι χρέος. ὤφειλεν γὰρ ὁ τοῦ βασιλεύοντος τότε πατὴρ Καίσαρι χιλίας ἑπτακοσίας πεντήκοντα μυριάδας, ὧν τὰς μὲν ἄλλας ἀνῆκεν τοῖς παισὶν αὐτοῦ πρότερον ὁ Καῖσαρ, τὰς δὲ χιλίας ἠξίου τότε λαβὼν διαθρέψαι τὸ στράτευμα. τοῦ δὲ Ποθεινοῦ νῦν μὲν αὐτὸν ἀπιέναι, καὶ τῶν μεγάλων ἔχεσθαι πραγμάτων κελεύοντος, ὕστερον δὲ κομιεῖσθαι μετὰ χάριτος, εἰπὼν ὡς Αἰγυπτίων ἐλάχιστα δέοιτο συμβούλων, κρύφα τὴν Κλεοπάτραν ἀπὸ τῆς χώρας μετεπέμπετο.

Κα-

odotum, qui caput Pompeii ſibi obtulit, averſatus eſt. Annulum ejus accipiens illacrymavit. Amicos & familiares ejus, qui ea in regione palantes capti a rege fuerant, benigne accepit omnes, ac beneficiis ſibi devinxit. Romam ad amicos ſcripſit, eum ex victoria capere ſe maximum & jucundiſſimum fructum, quod quotidie aliquos cives, qui oppugnaverant ſe, ſervaret. Bellum Alexandrinum alii non neceſſarium, ſed Cleopatræ amore fœdum ei periculorumque plenum, perhibent fuiſſe. Accuſant alii regios, & eunuchum imprimis Pothinum, qui maxima præditus autoritate, occiſo nuper Pompeio, exacta quoque Cleopatra, clam Cæſari ſtruebat inſidias: quapropter ferunt eum exinde cœpiſſe corporis tuendi cauſa in conviviis pernoctare. Ac propalam multa hic non toleranda ad Cæſaris invidiam & contumeliam loquebatur faciebatque. Nam vitioſiſſimum & vetuſtiſſimum militibus metiebatur frumentum, addens, ferrent & acquieſcerent, quod veſcerentur alienis. Ad cœnas vaſis ligneis & figlinis juſſit miniſtrari, aurea & argentea Cæſarem ferens omnia accepiſſe in ſolutum. Quippe patri regis Cæſar ſeptingenties expenſum ferebat: ex quibus cætera liberis ejus Cæſar ante condonaverat. Quadringenties tunc repetebat ad ſuſtinendum exercitum. Quum Pothinus diceret ei, in præſentia ut abiret, & magnis negotiis inſiſteret, poſt cum gratia creditum eum ablaturum; reſponſo dato, minime ſe Ægyptiorum conſilium requirere, Cleopatram clam ex agro excivit.

Illa

Κἀκείνη παραλαβοῦσα τῶν φίλων Ἀπολλόδωρον τὸν Σικελιώτην μόνον, εἰς ἀκάτιον μικρὸν ἐμβᾶσα, τοῖς μὲν βασιλείοις προσέσχεν, ἤδη συσκοτάζοντος· ἀπόρου δὲ τοῦ λαθεῖν ὄντος ἄλλως, ἡ μὲν εἰς στρωματόδεσμον ἐνδῦσα προτείνει μακρὰν ἑαυτήν, ὁ δὲ Ἀπολλόδωρος ἱμάντι συνδήσας τὸν στρωματόδεσμον, εἰσκομίζει διὰ θυρῶν πρὸς τὸν Καίσαρα. καὶ τούτῳ τε πρώτῳ λέγεται τῷ τεχνήματι τῆς Κλεοπάτρας ἁλῶναι, λαμυρᾶς φανείσης, καὶ τῆς ἄλλης ὁμιλίας καὶ χάριτος ἥττων γενόμενος, διαλλάξαι πρὸς τὸν ἀδελφόν, ὡς συμβασιλεύουσαν. ἔπειτα δὲ ταῖς διαλλαγαῖς ἑστιωμένων ἁπάντων, οἰκέτης Καίσαρος κουρεύς, διὰ δειλίαν ᾗ πάντας ἀνθρώπους ὑπερέβαλεν, οὐδὲν ἐῶν ἀνεξέταστον, ἀλλ' ὠτακουστῶν καὶ πολυπραγμονῶν, συνῆκεν ἐπιβουλὴν Καίσαρι πραττομένην ὑπ' Ἀχίλλα τοῦ στρατηγοῦ καὶ Ποθεινοῦ τοῦ εὐνούχου. φωράσας δὲ ὁ Καῖσαρ, φρουρὰν μὲν περιέστησεν τῷ ἀνδρῶνι, τὸν δὲ Ποθεινὸν ἀνεῖλεν· ὁ δὲ Ἀχίλλας φυγὼν εἰς τὸ στρατόπεδον, περιΐστησιν αὐτῷ βαρὺν καὶ δυσμεταχείριστον πόλεμον, ὀλιγοστῷ τοσαύτην ἀμυνομένῳ πόλιν καὶ δύναμιν. ἐν ᾧ πρῶτον μὲν ἐκινδύνευσεν ὕδατος ἀποκλεισθείς· αἱ γὰρ διώρυχες ἀπῳκοδομήθησαν ὑπὸ τῶν πολεμίων. δεύτερον δέ, περικοπτόμενος τὸν στόλον, ἠναγκάσθη διὰ πυρὸς ἀπώσασθαι τὸν κίνδυνον, ὃ καὶ τὴν μεγάλην βιβλιοθήκην ἐκ τῶν νεωρίων ἐπινεμόμενον διέφθειρεν. τρίτον δέ, περὶ τῇ Φάρῳ μάχης συνεστώσης, κατεπήδησεν μὲν ἀπὸ τοῦ χώματος εἰς ἀκάτιον, καὶ παρεβοήθει τοῖς ἀγωνιζομένοις. ἐπιπλεόντων δὲ πολλαχόθεν αὐτῷ τῶν Αἰγυπτίων, ῥίψας ἑαυτὸν εἰς τὴν θάλασσαν, ἀπενήξατο μόλις καὶ χαλεπῶς.

ὅτε

Illa unum ſecum trahens ex amicis Siculum Apollodorum, exiguo acatio conſcenſo primis jam tenebris applicuit ad regiam. Quum nulla alia ratione poſſet latere, culcitra involuta protendit ſe in longum. Apollodorus conſtrictam loro culcitram per portam ad Cæſarem intulit. Atque hoc primo Cleopatræ commento Cæſarem autumant captum, quod lepidam invenerit, pellectumque cætera ejus comitate & feſtivitate reconciliaviſſe eam cum fratre hac lege, ut conſors regni eſſet. Hujus reconciliationis cauſa epulantibus cunctis, ſervus Cæſaris tonſor ex timiditate, qua omnes mortales ſuperabat, nihil prætermittens inexploratum, ſed intentus auribus & curioſus, inſidias intellexit Cæſari ab Achilla duce & Pothino eunucho parari. Re comperta Cæſar cænaculum ſtatione circumdedit, & Pothinum interemit. Achillas perfugit ad exercitum, belloque Cæſarem involvit gravi & difficili, cui exigua manu tantæ civitati & viribus erat reſiſtendum. In quo primum aqua interclusus laboravit, quod obſtructi ab hoſtibus canales eſſent. Deinde, quum inſiſterent ei adimere claſſem, compulſus eſt periculum propulſare incendio, quo magna bibliotheca ex navalibus depaſcente deflagravit. Tertio commiſſa ad Pharum pugna deſiliit ex aggere in acatium, ſubvenitque certantibus. Quia vero undique invehebantur in eum Ægyptii, projecit ſe in mare, ſummoque cum labore vix enavit.

Di-

ὅτε καὶ λέγεται βιβλίδια κρατῶν πολλὰ, μὴ προέσθαι βαλλόμενος καὶ βαπτιζόμενος, ἀλλ' ἀνέχων ὑπὲρ τῆς θαλάσσης τὰ βιβλίδια, τῇ ἑτέρᾳ χειρὶ νήχεσθαι· τὸ δὲ ἀκάτιον εὐθὺς ἐβυθίσθη. τέλος δὲ, τοῦ βασιλέως πρὸς τοὺς πολεμίους ἀποχωρήσαντος, ἐπελθὼν καὶ συνάψας μάχην ἐνίκησε, πολλῶν πεσόντων, αὐτοῦ τε τοῦ βασιλέως ἀφανοῦς γενομένου. καταλιπὼν δὲ τὴν Κλεοπάτραν βασιλεύουσαν Αἰγύπτου, καὶ μικρὸν ὕστερον ἐξ αὐτοῦ τεκοῦσαν υἱὸν, ὃν Ἀλεξανδρεῖς Καισαρίωνα ὑπηγόρευσαν, ὥρμησεν ἐπὶ Συρίας.

Κἀκεῖθεν ἐπιὼν τὴν Ἀσίαν, ἐπυνθάνετο Δομίτιον μὲν, ὑπὸ Φαρνάκου τοῦ Μιθριδάτου παιδὸς ἡττημένον, ἐκ Πόντου πεφευγέναι σὺν ὀλίγοις, Φαρνάκην δὲ τῇ νίκῃ χρώμενον ἀπλήστως, καὶ Βιθυνίαν ἔχοντα καὶ Καππαδοκίαν, Ἀρμενίας ἐφίεσθαι τῆς μικρᾶς καλουμένης, καὶ πάντας ἀνιστάναι τοὺς ταύτῃ βασιλεῖς καὶ τετράρχας. εὐθὺς οὖν ἐπὶ τὸν ἄνδρα τρισὶν ἤλαυνε τάγμασι, καὶ περὶ πόλιν Ζήλαν μάχην μεγάλην συνάψας, αὐτὸν μὲν ἐξέβαλε τοῦ Πόντου φεύγοντα, τὴν δὲ στρατιὰν ἄρδην ἀνεῖλεν. καὶ τῆς μάχης ταύτης τὴν ὀξύτητα καὶ τὸ τάχος ἀναγγέλλων εἰς Ῥώμην, πρός τινα τῶν φίλων Ἀμίντιον ἔγραψεν τρεῖς λέξεις, ἦλθον, εἶδον, ἐνίκησα. Ῥωμαϊστὶ δὲ αἱ λέξεις εἰς ὅμοιον ἀπολήγουσαι σχῆμα ῥήματος, οὐκ ἀπίθανον τὴν βραχυλογίαν ἔχουσιν.

Ἐκ τούτου διαβαλὼν εἰς Ἰταλίαν, ἀνέβαινεν εἰς Ῥώμην, τοῦ μὲν ἐνιαυτοῦ καταστρέφοντος, εἰς ὃν ᾕρητο δικτάτωρ τὸ δεύτερον, οὐδέποτε τῆς ἀρχῆς ἐκείνης πρότερον ἐνιαυσίου γενομένης. εἰς δὲ τοὐπιὸν ὕπατος ἀπεδείχθη· καὶ κακῶς ἤκου-

Dicitur tunc libellos, quos manu tenebat, quum jaculis peteretur & demergeretur, non amiſiſſe, ſed eos ſupra caput tenens, altera manu nataſſe. Acatium illico depreſſum eſt. Poſtremo regem, qui ad hoſtes deſcivit, perſequutus, ſigna contulit cum eo ac victoria potitus eſt. Multi cecidere. Regi ipſi non conſtitit quid factum eſſet. Cleopatra Ægypti regina conſtituta, quæ filium brevi poſt genuit Cæſarionem ab Alexandrinis appellatum, in Syriam contendit.

In Aſiam profectus Domitium accepit a Pharnace Mithridatis filio fuſum ex Ponto cum paucis fugam cepiſſe: Pharnacem vero immodice victoria utentem, Bithynia occupata & Cappadocia, Armeniæ minori appellatæ imminere, omneſque illius oræ reges & tetrarchas concitaviſſe. Igitur movit confeſtim in eum tribus legionibus, atque ad urbem Zelam ingenti commiſſo prœlio fugatum Ponto ſummovit, exercitumque ejus internecione delevit. Hujus pernicitatem & celeritatem conflictus Romam ſignificans ad amicum quendam Amintium ſcripſit tria verba, Veni, vidi, vici, quæ dictiones ſimiliter cadentes non illepidam habent breviloquentiam.

Hinc in Italiam trajiciens Romam profectus eſt, circumagente ſe anno quo dictator iterum dictus fuerat: qui magiſtratus nunquam ante fuerat annuus. In proximum annum conſul eſt creatus. Sed male audivit, quod

ἤκουσεν ὅτι τῶν στρατιωτῶν στασιασάντων, καὶ δύο στρατηγικοὺς ἄνδρας ἀνελόντων, Κοσκώνιον καὶ Γάλβαν, ἐπετίμησε μὲν αὐτοῖς τοσοῦτον ὅσον ἀντὶ στρατιωτῶν πολίτας προσαγορεῦσαι, χιλίας δὲ διένειμεν ἑκάστῳ δραχμὰς, καὶ χώραν τῆς Ἰταλίας ἀπεκλήρωσε πολλήν. Ἦν δὲ αὐτοῦ διαβολὴ καὶ ἡ Δολοβέλλα μανία, καὶ ἡ Ἀμιντίου φιλαργυρία, καὶ μεθύων Ἀντώνιος, καὶ Κορφίνιος τὴν Πομπηΐου σκευωρούμενος οἰκίαν καὶ μετοικοδομῶν, ὡς ἱκανὴν οὐκ οὖσαν. Ἐπὶ τούτοις γὰρ ἐδυσφόρουν Ῥωμαῖοι. Καῖσαρ δὲ διὰ τὴν ὑπόθεσιν τῆς πολιτείας, οὐκ ἀγνοῶν οὔτε βουλόμενος, ἠναγκάζετο χρῆσθαι τοῖς ὑπουργοῦσιν.

Τῶν δὲ περὶ Κάτωνα καὶ Σκιπίωνα μετὰ τὴν ἐν Φαρσάλῳ μάχην εἰς Λιβύην φυγόντων, κἀκεῖ τοῦ βασιλέως Ἰόβα βοηθοῦντος αὐτοῖς ἠθροικότων δυνάμεις ἀξιολόγους, ἔγνω στρατεύειν ὁ Καῖσαρ ἐπ' αὐτούς· καὶ περὶ τροπὰς χειμερινὰς διαβὰς εἰς Σικελίαν, καὶ βουλόμενος εὐθὺς ἀποκόψαι τῶν περὶ αὐτὸν ἡγεμόνων ἅπασαν ἐλπίδα μελλήσεως καὶ διατριβῆς, ἐπὶ τοῦ κλύσματος ἔπηξεν τὴν ἑαυτοῦ σκηνήν· καὶ γενομένου πνεύματος ἐμβὰς, ἀνήχθη μετὰ τρισχιλίων πεζῶν καὶ ἱππέων ὀλίγων. Ἀποβιβάσας δὲ τούτους καὶ λαθὼν, ἀνήχθη πάλιν, ὑπὲρ τῆς μείζονος ὀῤῥωδῶν δυνάμεως· καὶ κατὰ θάλατταν οὖσιν ἤδη προστυχὼν κατήγαγεν ἅπαντας εἰς τὸ στρατόπεδον. πυνθανόμενος δὲ χρησμῷ τινι παλαιῷ θαῤῥεῖν τοὺς πολεμίους, ὡς προσῆκον ἀεὶ τῷ Σκιπιώνων γένει κρατεῖν ἐν Λιβύῃ, χαλεπὸν εἰπεῖν εἴτε φλαυρίζων παιδιᾷ τινι τὸν Σκιπίωνα στρατηγοῦντα τῶν πολεμίων, εἴτε καὶ σπουδῇ τὸν οἰωνὸν οἰκειούμενος· ἦν γὰρ παρ' αὐτῷ τις ἄνθρωπος, ἄλλως μὲν εὐκαταφρόνητος καὶ παρημελη-

quod per ſeditionem militarem duobus interfectis viris prætoriis, Coſconio & Galba, hactenus caſtigaverit milites, quod pro militibus Quirites appellaverit. Diviſit in ſingulos, millenos denarios, agrumque latum aſſignavit in Italia. Vitio ei dabatur etiam Dolobellæ furor, Amintii avaritia, ebrietas Antonii, & Cornificius ſector Pompeii domum ejus mutans, quaſi non ſatis amplam. Hæc enim populum Romanum mordebant. Cæterum Cæſar, quamvis non ignoraret vel probaret ea, cogebatur tamen ad inſtitutum ſuum uti illis adminiſtris.

Porro quia Cato & Scipio poſt aciem Pharſalicam in Africam refugerant, atque ibi regis Jubæ ope magnas coegerant copias, ſtatuit expeditionem Cæſar in illos ſuſcipere. Circa ſolſtitium brumale trajecit in Siciliam. Ut autem omnem ſtatim ducibus ſuis ſpem præcideret cunctationis & moræ, ſtatuit tabernaculum ſuum in crepidine maris, ac vento oblato conſcendens cum tribus millibus peditum & paucis equitibus vela fecit: quibus expoſitis repetiit clam mare de majore exercitus parte ſolicitus. His jam vela facientibus occurrit, omneſque in caſtra deduxit. Hoſtes vero accipiens oraculo quodam fretos veteri, fatale eſſe Scipionum gentem ſemper in Africa invictam fore, haud facile dictu, an hoſtium imperatorem Scipionem per jocum flocci faciendi gratia, an ut ſerio ad ſe traduceret omen; quod eſſet in præſidiis ſuis quidam obſcurus

μελημένος, οἰκίας δὲ τῆς Ἀφρικανῶν, Σκιπίων ἐκαλεῖτο Σαλλουτίων· τοῦτον ἐν ταῖς μάχαις προέταττεν, ὥσπερ ἡγεμόνα τῆς στρατιᾶς, ἀναγκαζόμενος πολλάκις ἐξάπτεσθαι τῶν πολεμίων καὶ φιλομαχεῖν. ἦν γὰρ οὔτε σῖτος τοῖς ἀνδράσιν ἄφθονος, οὔτε ὑποζυγίοις χιλὸς, ἀλλὰ βρύοις ἠναγκάζοντο θαλαττίοις, ἀποπλυθείσης τῆς ἁλμυρίδος, ὀλίγην ἄγρωστιν ὥσπερ ἥδυσμα παραμιγνύντες, ἐπάγειν τοῖς ἵπποις. οἱ γὰρ Νομάδες ἐπιφαινόμενοι πολλοὶ καὶ ταχεῖς ἑκάστοτε κατεῖχον τὴν χώραν. καί ποτε τῶν Καίσαρος ἱππέων σχολὴν ἀγόντων (ἔτυχε γὰρ αὐτοῖς ἀνὴρ Λίβυς ἐπιδεικνύμενος ὄρχησιν, ἅμα καὶ μοναυλῶν θαύματος ἀξίως· οἱ δὲ τερπόμενοι ἐκάθηντο, τοῖς παισὶν τοὺς ἵππους ἐπιτρέψαντες) ἐξαίφνης δὲ περιελθόντες ἐμβάλλουσιν οἱ πολέμιοι, καὶ τοὺς μὲν αὐτοῦ κτείνουσιν, τοῖς δὲ εἰς τὸ στρατόπεδον προτροπάδην ἐλαυνομένοις συνεισέπεσον. εἰ δὲ μὴ Καῖσαρ αὐτὸς, ἅμα δὲ Καίσαρι Πολλίων Ἀσίννιος βοηθοῦντες ἐκ τοῦ χάρακος ἔσχον τὴν φυγὴν, διεπέπρακτ' ἂν ὁ πόλεμος. ἔστιν δὲ ὅτε καὶ καθ' ἑτέραν μάχην ἐπλεονέκτησαν οἱ πολέμιοι συμπλοκῆς γενομένης, ἐν ᾗ Καῖσαρ τὸν ἀετοφόρον φεύγοντα λέγεται κατασχὼν ἐκ τοῦ αὐχένος, ἀναστρέψαι, καὶ εἰπεῖν, ἐνταῦθα εἰσὶν οἱ πολέμιοι.

Τούτοις μέντοι τοῖς προτερήμασιν ἐπήρθη Σκιπίων μάχῃ κριθῆναι· καὶ καταλιπὼν χωρὶς μὲν Ἀφράνιον, χωρὶς δὲ Ἰόβαν δι' ὀλίγου στρατοπεδεύοντας, αὐτὸς ἐτείχιζεν ὑπὲρ λίμνης ἔρυμα τῷ στρατοπέδῳ, περὶ πόλιν Θάψακον, ὡς εἴη πᾶσιν ἐπὶ τὴν μάχην ὁρμητήριον καὶ καταφυγή. πονουμένῳ δὲ αὐτῷ περὶ ταῦτα, Καῖσαρ ὑλώδεις τόπους καὶ προσβολὰς ἀφράστους ἔχοντας

τας

obſcurus alioquin & abjectus, ex familia tamen Africanorum (Scipio Sallutio vocatus fuit) eum in prœliis ante ſigna ut ducem exercitus locavit. Subigebatur ſubinde laceſſere & adoriri hoſtes. Quippe & re frumentaria deficiebantur milites, neque ſuppeditabat pabulum jumentis, ſed algæ marinæ abluta ſalſugine pauculam herbam pro condimento admiſtam objicere equis cogebantur. Numidæ enim frequentes & expediti ſubito exorientes regionem undique habebant infeſtam. Feriantem aliquando Cæſaris equitatum (nam forte Afer quidam ſaltationem oſtentabat, ſimulque ad miraculum uſque canebat tibia, quo oblectati milites conſidebant atque equos commiſerant pueris) circumfuſi repente adoriuntur hoſtes, partim obtruncant, partim effuſe ad caſtra fugientibus Julianis uno agmine irrumpunt. Quod ni Cæſar ipſe, unaque Aſinius Pollio ſuppetias ferentes extra vallum fugam repreſſiſſent, tranſactum erat bellum. Præterea alio in conflictu ſignis collatis ſuperiores hoſtes fuere. In eo fugientem Cæſar aquiliferum collo dicitur corripuiſſe ac convertiſſe dicens, Hic hoſtes ſunt.

His erectus ſucceſſibus Scipio eſt ad acie dimicandum, relictoque ſeorſum Afranio, ſeorſum etiam Juba, qui caſtra exiguo inde intervallo habebant, inſtitit Scipio ſuper lacum præſidium munire prope urbem Thapſacum, quo id omnibus ad pugnam ituris arx & refugium foret. Dum his laborem impendit, Cæſar loca ſaltuoſa & difficillima ob perplexitatem

τας ἀμηχάνῳ τάχει διελθὼν, τοὺς μὲν ἐκυκλοῦτο, τοῖς δὲ προσέβαλλε κατὰ στόμα. τρεψάμενος δὲ τούτους, ἐχρῆτο τῷ καιρῷ καὶ τῇ ῥύμῃ τῆς τύχης, ἐφ' ἧς αὐτοβοεὶ μὲν ᾕρει τὸ Ἀφρανίου στρατόπεδον, αὐτοβοεὶ δὲ φεύγοντος Ἰόβα διεπόρθει τὸ τῶν Νομάδων· ἡμέρας μὲν μιᾶς μέρει μικρῷ τριῶν στρατοπέδων ἐγκρατὴς γεγονὼς, καὶ πεντακισμυρίους τῶν πολεμίων ἀνῃρηκὼς, οὐδὲ πεντήκοντα τῶν ἰδίων ἀπέβαλεν. οἱ μὲν ταῦτα περὶ τῆς μάχης ἐκείνης ἀναγγέλλουσιν, οἱ δ' οὔ φασιν αὐτὸν ἐν τῷ ἔργῳ γενέσθαι, συντάττοντος δὲ τὴν στρατιὰν καὶ διακοσμοῦντος ἅψασθαι τὸ σύνηθες νόσημα· τὸν δὲ εὐθὺς αἰσθόμενον ἀρχομένου, πρὶν ἐκταράττεσθαι καὶ καταλαμβάνεσθαι παντάπασιν ὑπὸ τοῦ πάθους τὴν αἴσθησιν, ἤδη σειόμενον εἴς τινα τῶν πλησίων πύργων κομισθῆναι, καὶ διαγαγεῖν ἐν ἡσυχίᾳ. τῶν δὲ πεφευγότων ἐκ τῆς μάχης ὑπατικῶν καὶ στρατηγικῶν ἀνδρῶν, οἱ μὲν ἑαυτοὺς διέφθειραν ἁλισκόμενοι, συχνοὺς δὲ Καῖσαρ ἔκτεινεν ἁλόντας.

Κάτωνα δὲ λαβεῖν ζῶντα φιλοτιμούμενος, ἔσπευδεν πρὸς Ἰτύκην· ἐκείνην γὰρ παραφυλάττων τὴν πόλιν, οὐ μετέσχεν τοῦ ἀγῶνος. πυθόμενος δὲ ὡς ἑαυτὸν ὁ ἀνὴρ διεργάσαιτο, δῆλος μὲν ἦν δηχθεὶς, ἐφ' ᾧ δὲ, ἄδηλον. εἶπε δ' οὖν, ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου· καὶ γὰρ σύ μοι τῆς σωτηρίας ἐφθόνησας. ὁ μὲν οὖν μετὰ ταῦτα γραφεὶς ὑπ' αὐτοῦ πρὸς Κάτωνα τεθνεῶτα λόγος, οὐ δοκεῖ πράως ἔχοντος οὐδὲ εὐδιαλλάκτως σημεῖον εἶναι. πῶς γὰρ ἂν ἐφείσατο ζῶντος, εἰς ἀναίσθητον ἐκχέας ὀργὴν τοσαύτην; τῇ δὲ πρὸς Κικέρωνα καὶ Βροῦτον αὐτὸν καὶ μυρίους ἄλλους τῶν πεπολεμηκότων ἐπιεικείᾳ,

τεκ-

itinerum incredibili celeritate tranſmiſit, atque alios circumvaſit, alios in frontem eſt adortus: quibus fuſis fugatiſque occaſione & impetu fortunæ uſus eſt, quo momento Afranii caſtra cepit, momento Juba fugiente Numidarum caſtra diripuit. Ita diei unius exiguo ſpatio trinis potitus caſtris, cæſis hoſtium millibus quinquaginta, ne quinquaginta quidem deſideravit de ſuis. Ita aliqui de pugna illa tradunt. Negant alii rei gerendæ illum interfuiſſe, ſed dum inſtruit & adornat exercitum, ſolito morbo correptum: quem ut primum ſenſit ingruentem, priuſquam invaderetur & occuparetur prorſus a malo ſenſus, trementem jam in proximam turrim ablatum fuiſſe, atque ibi quieviſſe. Ex iis qui ex acie refugere, conſularibus & prætoriis viris, alii, dum comprehenduntur, ſemetipſi interfecere, multos Cæſar captos necavit.

Catonem in poteſtate habere vivum affectans Uticam properavit, quam urbem ſervans non interfuit Cato pugnæ. Ubi vero eſt ad eum allatum, manus ſibi Catonem intuliſſe, oſtendit ea re morderi ſe Cæſar. Qua vero de cauſa, obſcurum eſt: ait autem, Invideo Cato hoc lethum tibi: nempe tu mihi ſalutem invidiſti tuam. Enimvero quam poſtea in Catonem ſcripſit defunctum orationem, non apparet ſereni vel placabilis in eum animi eſſe ſignificationem: qui enim peperciſſet viventi, quum in exanimem tantam effuderit bilem? At ex ejus adverſus Ciceronem, Brutum, atque infinitos alios hoſtes ſuos augurantur clementia, nec

li-

τεκμαίρεται) καὶ τὸν λόγον ἐκεῖνον οὐκ ἐξ ἀπεχθείας, ἀλλὰ φιλοτιμίας πολιτικῆς συντετάχθαι διὰ τοιαύτην αἰτίαν. ἔγραψε Κικέρων ἐγκώμιον Κάτωνος, ὄνομα τῷ λόγῳ θέμενος Κάτωνα· καὶ πολλοῖς ὁ λόγος ἦν διὰ σπουδῆς, ὡς εἰκὸς, ὑπὸ τοῦ δεινοτάτου τῶν ῥητόρων εἰς τὴν καλλίστην πεποιημένος ὑπόθεσιν. τοῦτο ἠνία Καίσαρα, κατηγορίαν αὐτοῦ νομίζοντα τὸν τοῦ τεθνηκότος δι' αὐτὸν ἔπαινον. ἔγραψεν οὖν πολλάς τινας κατὰ τοῦ Κάτωνος αἰτίας συναγαγών· τὸ δὲ βιβλίον Ἀντικάτων ἐπιγέγραπται. καὶ σπουδαστὰς ἔχει τῶν λόγων ἑκάτερος διὰ Καίσαρα καὶ Κάτωνα πολλούς.

Ἀλλὰ γὰρ ὡς ἐπανῆλθεν εἰς Ῥώμην ἀπὸ Λιβύης, πρῶτον μὲν ὑπὲρ τῆς νίκης ἐμεγαληγόρησεν πρὸς τὸν δῆμον, ὡς τοσαύτην κεχειρωμένος χώραν ὅση παρέξει καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὸ δημόσιον, σίτου μὲν εἴκοσι μυριάδας Ἀττικῶν μεδίμνων, ἐλαίου δὲ, λιτρῶν μυριάδας τριακοσίας. ἔπειτα θριάμβους κατῆγε, τὸν Αἰγυπτιακὸν, τὸν Ποντικὸν, τὸν Λιβυκὸν, οὐκ ἀπὸ Σκιπίωνος, ἀλλ' ἀπὸ Ἰόβα δῆθεν τοῦ βασιλέως. τότε καὶ Ἰόβας υἱὸς ὢν ἐκείνου, κομιδῆ νήπιος, ἐν τῷ θριάμβῳ παρήχθη, μακαριωτάτην ἁλοὺς ἅλωσιν, ἐκ βαρβάρων καὶ Νομάδων, Ἑλλήνων τοῖς πολυμαθεστάτοις ἐνάριθμος γενέσθαι συγγραφεῦσιν. μετὰ δὲ τοὺς θριάμβους, στρατιώταις τε μεγάλας δωρεὰς ἐδίδου, καὶ τὸν δῆμον ἀνελάμβανεν ἑστιάσεσι καὶ θέαις· ἑστιάσας μὲν ἐν δισμυρίοις καὶ δισχιλίοις τρικλίνοις ὁμοῦ σύμπαντας, θέας δὲ καὶ μονομάχων καὶ ναυμάχων ἀνδρῶν παρασχὼν ἐπὶ τῇ θυγατρὶ Ἰουλίᾳ πάλαι τεθνεώσῃ. μετὰ δὲ τὰς θέας γενομένων τιμήσεων, ἀντὶ τῶν προτέρων δυεῖν καὶ τρι-

τρι-

librum illum odio, ſed civili adductum ambitione commentatum fuiſſe ex hujuſcemodi cauſa: Scripſit Cicero Catonis laudationem, cui libro Catonem nomen reddidit. Is nimirum omnium manibus terebatur, ut ab oratore eloquentiſſimo in argumento factus præſtantiſſimo. Pupugit id Cæſarem, notam ſuam ratus mortui ipſius cauſa celebrationem. Itaque vim magnam criminum in Catonem congeſſit, eique ſcripto Anticatoni titulum fecit. Habet uterque liber æmulos Cæſaris & Catonis cauſa multos.

Ut vero ad urbem eſt ex Africa regreſſus, primum hanc victoriam in concione venditavit, commemorans ſe tam latum ſubegiſſe tractum, qui vectigal quotannis penderet frumenti ducentena millia medimnorum Atticorum, olei tricies centena millia librarum. Inde tres triumphos duxit, Alexandrinum, Ponticum, Africanum, non de Scipione, ſed de rege Juba ſcilicet. Ibi Juba filius ejus admodum puer in triumpho ductus eſt. Fortunata fuit ei captivitas, qui inde ex barbaris Numidis inter eruditiſſimos Græcos hiſtoricos recenſetur. Sub triumphos ingentia præmia largitus eſt militibus, populumque epulis & ſpectaculis delinivit. Excepit eum tricliniorum in ſumma viginti duobus millibus. Spectacula edidit gladiatorum & prœlii navalis in filiæ Juliæ honorem jamdudum defunctæ. A ſpectaculis cenſu acto, pro trecentis viginti millibus civium, quot ſuperiore

cenſu

τριάκοντα μυριάδων, ἐξητάσθησαν αἱ πᾶσαι πεντεκαίδεκα. τηλικαύτην ἡ στάσις ἀπειργάσατο συμφορὰν, καὶ τοσοῦτον ἀπανήλωσε τοῦ δήμου μέρος· ἔξω τοῦ λόγου τιθεμένοις τὰ κατασχόντα τὴν ἄλλην Ἰταλίαν ἀτυχήματα καὶ τὰς ἐπαρχίας.

Συντελεσθέντων δὲ τούτων, ὕπατος ἀποδειχθεὶς τὸ τέταρτον, εἰς Ἰβηρίαν ἐστράτευσεν ἐπὶ τοὺς Πομπηΐου παῖδας, νέους μὲν ὄντας ἔτι, θαυμαστὴν δὲ τῷ πλήθει στρατιὰν συνειληχότας, καὶ τόλμαν ἀποδεικνυμένους ἀξιόχρεων πρὸς ἡγεμονίαν, ὥστε κίνδυνον τῷ Καίσαρι περιστῆσαι τὸν ἔσχατον. ἡ δὲ μεγάλη μάχη περὶ πόλιν συνέστη Μοῦνδαν, ἐν ᾗ Καῖσαρ ἐκθλιβομένους ὁρῶν τοὺς ἑαυτοῦ, καὶ κακῶς ἀντέχοντας, ἐβόα διὰ τῶν ὅπλων καὶ τῶν τάξεων διαθέων, εἰ μηδὲν αἰδοῦνται λαβόντας αὐτὸν ἐγχειρίσαι τοῖς παιδαρίοις. μόλις δὲ προθυμίᾳ πολλῇ τοὺς πολεμίους ὠσάμενος, ἐκείνων μὲν ὑπὲρ τρισμυρίους διέφθειρεν, τῶν δὲ αὐτοῦ χιλίους ἀπώλεσε τοὺς ἀρίστους. ἀπιὼν δὲ μετὰ τὴν μάχην πρὸς τοὺς φίλους εἶπεν, ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης, νῦν δὲ πρῶτον περὶ ψυχῆς. ταύτην τὴν μάχην ἐνίκησεν τῇ τῶν Διονυσίων ἑορτῇ, καθ' ἣν λέγεται καὶ Πομπήϊος Μάγνος ἐπὶ τὸν πόλεμον ἐξελθεῖν· διὰ μέσου δὲ χρόνος ἐνιαυτῶν τεσσάρων διῆλθεν. τῶν δὲ Πομπηΐου παίδων ὁ μὲν νεώτερος διέφυγεν, τοῦ δὲ πρεσβυτέρου μεθ' ἡμέρας ὀλίγας Δίδιος ἀνήνεγκεν τὴν κεφαλήν. τοῦτον ἔσχατον Καῖσαρ ἐπολέμησε τὸν πόλεμον· ὁ δὲ ἀπ' αὐτοῦ καταχθεὶς θρίαμβος, ὡς οὐδὲν ἄλλο, Ῥωμαίους ἠνίασεν. οὐ γὰρ ἀλλοφύλους ἡγεμόνας οὐδὲ βαρβάρους βασιλεῖς κατηγωνισμένον, ἀνδρὸς δὲ Ῥω-

cenſu fuerant, cenſi ſunt in totum centum quinquaginta millia: Tantam inflixit bellum civile cladem, tantamque populi portionem abſumpſit, ut taceam acceptas per reliquam Italiam & provincias calamitates.

His peractis conſul quartum deſignatus in Hiſpaniam cum exercitu profectus eſt contra Pompeii liberos: qui licet juvenes etiamnum, immenſum tamen numero coegerant exercitum, animoſque oſtendebant ei imperando pares, unde in periculum extremum eſt adductus Cæſar. Magnus conflictus eſt ad urbem Mundam commiſſus: in quo inclinatam aciem ſuam Cæſar & ægre reſiſtentem cernens, clamavit per medios diſcurrens armatos & ordines, ecquid eos puderet, quod pueris ſe proditum irent. Hoſtibus tandem acri contentione pulſis, triginta millia ex illis oppreſſit, ex ſuis mille deſideravit fortiſſimos quoſque. Revertens a pugna dixit ad amicos, Sæpe ſe pro victoria, in præſentia vero pro vita primum dimicaſſe. Hanc victoriam obtinuit Liberalibus: quibus Pompeius Magnus quoque ad bellum profectus dicitur, ſpatio annorum quatuor interjecto. Ex Pompeii liberis minor eſt elapſus. Majoris paucis poſt diebus Didius caput retulit. Hoc Cæſar bellum geſſit noviſſimum. Quem de eo duxit, triumphus ſupra modum fuit Romanis acerbus. Neque enim alienigenis ducibus vel regibus oppreſſis barbaris, ſed viri Ro-

Ῥωμαίων κρατίστου τύχῃ κεχρημένους παῖδας καὶ γένος ἄρδην ἀνῃρηκότα, ταῖς τῆς πατρίδος ἐπιπομπεύειν συμφοραῖς οὐ καλῶς εἶχεν, ἀγαλλόμενον ἐπὶ τούτοις, ὧν μία καὶ πρὸς Θεοὺς καὶ πρὸς ἀνθρώπους ἀπολογία, τὸ μετ' ἀνάγκης πεπρᾶχθαι· καὶ ταῦτα, πρότερον μήτε ἄγγελον μήτε γράμματα δημοσίᾳ πέμψαι περὶ νίκης ἀπὸ τῶν ἐμφυλίων πολέμων, ἀλλὰ ἀπωσάμενον αἰσχύνῃ τὴν δόξαν.

Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τύχην τοῦ ἀνδρὸς ἐγκεκλικότες, καὶ δεδεγμένοι τὸν χαλινὸν, καὶ τῶν ἐμφυλίων πολέμων καὶ κακῶν ἀναπνοὴν ἡγούμενοι τὴν μοναρχίαν, δικτάτωρα μὲν αὐτὸν ἀπέδειξαν διὰ βίου. τοῦτο δὲ ἦν ὁμολογουμένη μὲν τυραννὶς, τῷ ἀνυπευθύνῳ τῆς μοναρχίας τὸ ἀκατάπαυστον προσλαβούσης. τιμὰς δὲ τὰς πρώτας Κικέρωνος εἰς τὴν βουλὴν γράψαντος, ὧν ἀμωσγέπως ἀνθρώπινον ἦν τὸ μέγεθος, ἕτεροι προστιθέντες ὑπερβολὰς, καὶ διαμιλλώμενοι πρὸς ἀλλήλους, ἐξειργάσαντο καὶ τοῖς πρᾳοτάτοις ἐπαχθῆ τὸν ἄνδρα καὶ λυπηρὸν γενέσθαι, διὰ τὸν ὄγκον καὶ τὴν ἀτοπίαν τῶν ψηφιζομένων. οἷς οὐδὲν ἧττον οἴονται συναγωνίσασθαι τῶν κολακευόντων Καίσαρα τοὺς μισοῦντας, ὅπως ὅτι πλείστας κατ' αὐτοῦ προφάσεις ἔχωσι, καὶ μετὰ μεγίστων ἐγκλημάτων ἐπιχειρεῖν δοκῶσιν. ἐπεί τά γε ἄλλα τῶν ἐμφυλίων αὐτῷ πολέμων πέρας ἐσχηκότων ἀνέγκλητον παρεῖχεν· καὶ τότε τῆς ἐπιεικείας ἱερὸν οὐκ ἀπὸ τρόπου δοκοῦσιν χαριστήριον ἐπὶ τῇ πρᾳότητι ψηφίσασθαι. καὶ γὰρ ἀφῆκε πολλοὺς τῶν πεπολεμηκότων πρὸς αὐτὸν, ἐνίοις δὲ καὶ τιμὰς καὶ ἀρχὰς, ὡς Βρούτῳ καὶ Κασσίῳ, προσέθηκεν· ἐστρατήγουν γὰρ ἀμφότεροι. καὶ τὰς Πομ-

Romani ſummi calamitate afflicti liberis & familia ſemel oppreſſis fœdum habebatur patriæ inſultare calamitatibus, atque exultare ob has, quarum unica apud Deos atque homines, quod neceſſario eſſet eo compulſus, exiſtebat defenſio; idque quum ante nec nuntio nec literis victoriam ex bellis civilibus relatam publice ſignificaſſet, ſed gloriam illam rejeciſſet præ pudore.

Veruntamen ad Cæſaris fortunam inclinantes Romani frænumque jam accipientes, atque a bellis inteſtinis arbitrantes reſpirationem ab unius viri dominatu pendere, dictatorem perpetuum eum dicunt. Erat vera ea tyrannis, quum ad poteſtatem abſolutam acceſſiſſet perpetuitas. Primos honores, quos humanum ſane capiebat faſtigium, quum Cicero ei in Senatu decreviſſet, alii immodicis certatim adjiciendis Cæſarem vel apud placidiſſimos invidioſum reddidere & odioſum, ob tumorem & novitatem decretorum; in quibus non minus inimicos Cæſaris quam adulatores putant elaboraſſe, quo pluribus ex occaſionibus & offenſionibus maximis in eum viderentur inſurgere: quando cætera bellis explicatis civilibus præſtitit ſeſe irreprehenſibilem. Ac clementiæ quidem ædem tunc non immerito ad honorandum lenitatem Cæſaris decreviſſe eos dicas. Quippe hoſtibus ſuis multis ſalutem dedit, nonnullis honores quoque & magiſtratus, velut Bruto & Caſſio, addidit: quorum erat uterque prætor. Jam ſtatuas de-

Πομπηΐου καταβεβλημένας εἰκόνας οὐ περιεῖδεν, ἀλλ' ἀνέστησεν. ἐφ' ὧν καὶ Κικέρων εἶπεν, ὅτι Καῖσαρ τοὺς Πομπηΐου στήσας ἀνδριάντας, τοὺς ἰδίους ἔπηξεν. τῶν δὲ φίλων ἀξιούντων αὐτὸν δορυφορεῖσθαι, καὶ πολλῶν ἐπὶ τοῦτο παρεχόντων ἑαυτοὺς, οὐχ ὑπέμεινεν· εἰπὼν ὡς βέλτιόν ἐστιν ἅπαξ ἀποθανεῖν ἢ ἀεὶ προσδοκᾷν. τὴν δ' εὔνοιαν, ὡς κάλλιστον ἑαυτῷ ἅμα καὶ βεβαιότατον ἑαυτῷ περιβαλλόμενος φυλακτήριον, αὖθις ἀνελάμβανε τὸν δῆμον ἑστιάσεσι καὶ σιτηρεσίοις, τὸ δὲ στρατιωτικὸν, ἀποικίαις· ὧν ἐπιφανέσταται Καρχηδὼν καὶ Κόρινθος ἦσαν. αἷς καὶ πρότερον τὴν ἅλωσιν, καὶ τότε τὴν ἀνάληψιν ἅμα καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀμφοτέραις γενέσθαι συνέτυχεν.

Τῶν δὲ δυνατῶν τοῖς μὲν ὑπατείας καὶ στρατηγίας εἰς τοὔπιὸν ἐπηγγέλλετο, τοὺς δὲ ἄλλαις τισὶν ἐξουσίαις καὶ τιμαῖς παρεμυθεῖτο· πᾶσιν δὲ ἐλπίζειν ἐνεδίδου, μνηστευόμενος ἄρχειν ἑκόντων. ὡς καὶ Μαξίμου τοῦ ὑπάτου τελευτήσαντος, εἰς τὴν περιοῦσαν τῆς ἀρχῆς μίαν ἡμέραν ὕπατον ἀποδεῖξαι Κανίνιον Ῥεβίλιον. πρὸς ὃν, ὡς ἔοικε, πολλῶν δεξιώσασθαι καὶ προπέμψαι βαδιζόντων, ὁ Κικέρων, Σπεύδωμεν, ἔφη, πρὶν φθάσῃ τῆς ὑπατείας ἐξελθὼν ὁ ἄνθρωπος. ἐπεὶ δὲ τὸ φύσει μεγαλουργὸν αὐτοῦ καὶ φιλότιμον αἱ πολλαὶ κατορθώσεις οὐ πρὸς ἀπόλαυσιν ἔτρεπον τῶν πεπονημένων, ἀλλ' ὑπέκκαυμα καὶ θάρσος οὖσαι πρὸς τὰ μέλλοντα, μειζόνων ἐνέτικτον ἐπινοίας πραγμάτων, καὶ καινῆς ἔρωτα δόξης, ὡς ἀποκεχρημένῳ τῇ παρούσῃ· τὸ μὲν πάθος, οὐδὲν ἦν ἕτερον, ἢ ζῆλος αὑτοῦ, καθάπερ ἄλλου, καὶ φιλονεικία τις ὑπὲρ τῶν μελλόντων πρὸς τὰ πεπραγμένα. παρασκευὴ δὲ καὶ γνώμη, στρατεύειν μὲν ἐπὶ

Πάρ-

dejectas Pompeii non permiſit jacere, ſed repoſuit. Quamobrem Cicero ait, Cæſar, dum Pompeii ſtatuas erigit, ſuas ſtabilit. Monentibus eum amicis, ſtipatoribus ut cingeret ſe, multiſque ad id ſe offerentibus, non ſuſtinuit, præſtare dicens ſemel mori, quam ſemper timere. Sepiens vero ſe, ut optimo juxta ac fideliſſimo cuſtode, benevolentia, populum iterum epulis & teſſeris annonariis delinivit, milites coloniis deducendis, quarum fuerunt clariſſimæ Carthago & Corinthus: quibus & capi ante & tunc inſtaurari una eademque tempeſtate ambabus contigit.

Principibus partim conſulatus & præturas obtulit in poſterum, alios aliis imperiis & honoribus lenivit. Omnibus bonam ſpem oſtendit, affectans volentibus imperare. Itaque quum Maximus conſul deceſſiſſet, in diem unam magiſtratus reliquam conſulem creavit Caninium Rebilium. Ad quem de more ſalutandum & proſequendum multis contendentibus, Cicero, Maturemus, inquit, priuſquam ille abeat magiſtratu. Quia vero ingenium ejus grandia moliens & affectans multæ res præclare geſtæ non ad fruendum elaboratis vertere, ſed ut incitamenta ad audendum de futuro, majorum rerum infuderunt cogitationes, novæque gloriæ cupiditatem, quaſi conſumpta præſenti; motus erat ejus nihil aliud quam ipſius ſecum tanquam cum alio æmulatio & contentio quædam ſuperandi conſequentibus patrata. Parabat igitur & inſtituebat Parthos bello

pe-

Πάρθους, καταστρεψαμένῳ δὲ τούτους, καὶ δι' Ὑρκανίας παρὰ τὴν Κασπίαν θάλασσαν καὶ τὸν Καύκασον ἐκπεριελθόντι τόπον, εἰς τὴν Σκυθικὴν ἐμβαλεῖν· καὶ τὰ περίχωρα Γερμανοῖς, καὶ Γερμανίαν αὐτὴν ἐπιδραμόντι, διὰ Κελτῶν ἐπανελθεῖν εἰς Ἰταλίαν, καὶ συνάψαι τὸν κύκλον τοῦτον τῆς ἡγεμονίας τῷ πανταχόθεν Ὠκεανῷ περιορισθείσης. διὰ μέσου δὲ τῆς στρατείας τόν τε Κορινθίων Ἰσθμὸν ἐπεχείρει διασκάπτειν, Ἀνιηνὸν ἐπὶ τοῦτο προχειρισάμενος, καὶ τὸν Τίβεριν εὐθὺς ἀπὸ τῆς πόλεως ὑπολαβὼν διώρυχι βαθείᾳ καὶ περικλάσας ἐπὶ τὸ Κιρκαῖον ἐμβαλεῖν εἰς τὴν πρὸς Ταῤῥακίνην θάλατταν, ἀσφάλειαν ἅμα καὶ ῥᾳστώνην τοῖς δι' ἐμπορίας φοιτῶσιν εἰς Ῥώμην μηχανώμενος· πρὸς δὲ τούτοις, τὰ μὲν ἕλη τὰ περὶ Νωμεντῖνον καὶ Σήτιον ἐκτρέψας, πεδίον ἀποδεῖξαι πολλαῖς ἐνεργὸν ἀνθρώπων μυριάσι· τῇ δὲ ἔγγιστα τῆς Ῥώμης θαλάσσῃ κλεῖθρα διὰ χωμάτων ἐπαγαγών, καὶ τὰ τυφλὰ καὶ δύσορμα τῆς Ὠστιανῆς ἠϊόνος ἀνακαθηράμενος, λιμένας ἐμποιήσασθαι καὶ ναύλοχα πρὸς τοσαύτην ἀξιόπιστα ναυτιλίαν. καὶ ταῦτα μὲν ἐν παρασκευαῖς ἦν.

Ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις, καὶ διόρθωσις τῆς περὶ τὸν χρόνον ἀνωμαλίας, φιλοσοφηθεῖσα χαριέντως ὑπ' αὐτοῦ, καὶ τέλος λαβοῦσα, γλαφυρωτάτην παρέσχε χρείαν. οὐ γὰρ μόνον ἐν τοῖς παλαιοῖς πάνυ χρόνοις τεταγμέναις ἐχρῶντο Ῥωμαῖοι ταῖς τῶν μηνῶν πρὸς τὸν ἐνιαυτὸν περιόδοις, ὥστε τὰς θυσίας καὶ τὰς ἑορτὰς ὑποφερομένας κατὰ μικρὸν, εἰς ἐναντίας ἐκπεπτωκέναι τοῖς χρόνοις ὥρας, ἀλλὰ καὶ περὶ τὴν τότε οὖσαν ἡλιακὴν, οἱ μὲν ἄλλοι

petere. His ſubjugatis per Hyrcaniam ſecundum mare Caſpium & Caucaſum ambire Pontum, atque ita Scythiam invadere, incurſatiſque quæ Germaniæ circumjecta ſunt, ac Germania ipſa, per Galliam regredi in Italiam, atque hunc committere imperii Romani Oceano undique circumſcripti orbem. Interea dùm expeditio ea paratur, Iſthmum Corinthium perfodere molitus eſt. Hinc Anienem in animo habebat Tiberimque ſtatim ab urbe alta exceptos foſſa atque ad Circeum deflexos, in mare ad Tarracinam deducere, quo ſecurum & pronum mercatoribus curſum pararet ad urbem. Ad hæc paludes in Nomentanis & Setinis derivare, atque efficere campum qui multa millia poſſet capere agricolarum. Proximo urbi mari clauſtra aggeribus imponere, cæcumque & importuoſum Oſtiæ littus repurgare, ac portus ibi moliri ſtationeſque tantæ ſufficientes navigationi. Atque hæc inſtituebantur.

At faſtorum ordinatio atque inæqualitatis anni correctio, ratione mathematica ſcite explicata, ad exitumque perducta, uſum præbuit elegantiſſimum. Namque Romani non modo temporibus admodum vetuſtis non habebant certos & congruentes cum anno menſium anfractus: ut ſacrificia & feſti dies paulatim labentes, in diverſas incurrerint a temporibus ſuis tempeſtates; verum ſolaris etiam annus, qui tunc obtinebat,

ἄλλοι παντάπασι τούτων ἀσυλλογίστως εἶχον, οἱ δὲ ἱερεῖς μόνοι τὸν καιρὸν εἰδότες, ἐξαίφνης καὶ προῃσθημένου μηδενὸς τὸν ἐμβόλιμον προσέγραφον μῆνα, Μερκηδόνιον ὀνομάζοντες, ὃν Νομᾶς ὁ βασιλεὺς πρῶτος ἐμβαλεῖν λέγεται, μικρὰν καὶ διατείνουσαν οὐ πόῤῥω βοήθειαν ἐξευρὼν τῆς περὶ τὰς ἀποκαταστάσεις πλημμελείας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Καῖσαρ δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων καὶ μαθηματικῶν τὸ πρόβλημα προθεὶς, ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων ἔδειξεν ἰδίαν τινὰ καὶ διηκριβωμένην μᾶλλον ἐπανόρθωσιν, ᾗ χρώμενοι μέχρι νῦν Ῥωμαῖοι δοκοῦσιν ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν. οὐ μὴν ἀλλὰ καὶ περὶ τοῖς βασκαίνουσι καὶ βαρυνομένοις τὴν δύναμιν αἰτίας παρεῖχε. Κικέρων γοῦν ὁ ῥήτωρ, ὡς ἔοικεν, φήσαντός τινος αὔριον ἐπιτέλλειν Λύραν, Ναὶ, εἶπεν, ἐκ διατάγματος· ὡς καὶ τοῦτο πρὸς ἀνάγκην τῶν ἀνθρώπων δεχομένων.

Τὸ δὲ ἐμφανὲς μάλιστα μῖσος καὶ θανατηφόρον ἐπ' αὐτὸν ὁ τῆς βασιλείας ἔρως ἐξειργάσατο, τοῖς μὲν πολλοῖς αἰτία πρώτη, τοῖς δὲ ὑπούλοις πάλαι, πρόφασις εὐπρεπεστάτη γενομένη. καίτοι καὶ λόγον τινὰ κατέσπειραν εἰς τὸν δῆμον οἱ ταύτην Καίσαρι τὴν τιμὴν προξενοῦντες, ὡς ἐκ γραμμάτων Σιβυλλείων ἁλώσιμα τὰ Πάρθων φαίνοιτο Ῥωμαίοις σὺν βασιλεῖ στρατευομένοις ἐπ' αὐτοὺς, ἄλλως ἀνέφικτα ὄντα· καὶ καταβαίνοντος ἐξ Ἄλβης Καίσαρος εἰς τὴν πόλιν, ἐτόλμησαν αὐτὸν ἀσπάσασθαι βασιλέα. τοῦ δὲ δήμου διαταραχθέντος, ἀχθεσθεὶς ἐκεῖνος, οὐκ ἔφη βασιλεὺς ἀλλὰ Καῖσαρ καλεῖσθαι. καὶ γενομένης πρὸς τοῦτο πάντων σιωπῆς, οὐ πάνυ

bat, cæteris erat prorſus cæcus. Soli ſacerdotes momentorum conſcii repente ac nemine præſentiente menſem intercalarem adſcribebant, eumque nuncupabant Mercedonium, quem interjeciſſe rex Numa primus dicitur: quod, ut in vita illius prodidimus, minutulum excogitavit & non diuturnum auxilium. Cæſar vero, philoſophis & mathematicis præſtantiſſimis hac re delegata, effecit ex ſuppeditante jam via & ratione ſingularem quandam & exactiorem correctionem: qua hactenus populus Romanus utens non perinde ac cæteri videtur in temporum inæqualitate claudicare. Verum enimvero verterunt hoc quoque invidi & potentiam ejus exoſi in crimen. Siquidem Cicero orator, quum diceret quidam cras Lyram orituram: Nempe, inquit, ex edicto; quaſi id quoque reciperent per imperii neceſſitatem homines.

At odium maxime illuſtre in eum & funeſtum effecit regni cupido, quæ vulgo quidem prima materia, & jampridem in occulto malevolis color fuit ſpecioſiſſimus. Et quidem rumorem in plebem vulgaverunt illi qui hoc honoris quærebant Cæſari, libris Sibyllinis proditum, vinci Parthos a Romanis poſſe, ſi rege duce bellum eis moviſſent, eſſe ipſis alioquin inſuperabiles: ac redeuntem Alba ad urbem Cæſarem auſi fuere ſalutare regem. Indignante populo ille offenſus, non regem ait ſe, ſed Cæſarem vocari. Ibi quum obticuiſſent cuncti,

πάνυ φαιδρὸς οὐδ' εὐμενὴς παρῆλθεν. ἐν δὲ συγκλήτῳ τιμάς τινας ὑπερφυεῖς αὐτοῦ ψηφισαμένων, ἔτυχεν μὲν ὑπὲρ τῶν ἐμβόλων καθεζόμενος· προσιόντων δὲ τῶν ὑπάτων καὶ τῶν στρατηγῶν, ἅμα δὲ καὶ τῆς βουλῆς ἁπάσης ἑπομένης, οὐχ ὑπεξαναστὰς, ἀλλ' ὥσπερ ἰδιώταις τισὶ χρηματίζων, ἀπεκρίνατο συστολῆς μᾶλλον ἢ προσθέσεως τὰς τιμὰς δεῖσθαι. καὶ τοῦτο οὐ μόνον ἠνίασεν τὴν βουλὴν, ἀλλὰ καὶ τὸν δῆμον, ὡς ἐν τῇ βουλῇ τῆς πόλεως προπηλακιζομένης· καὶ μετὰ δεινῆς κατηφείας ἀπῆλθον εὐθὺς, οἷς ἐξῆν μὴ παραμένειν. ὥστε κἀκεῖνον ἐννοήσαντα, παραχρῆμα μὲν οἴκαδε τραπέσθαι, καὶ βοᾶν πρὸς τοὺς φίλους, ἀπαγαγόντα τοῦ τραχήλου τὸ ἱμάτιον, ὡς ἕτοιμος εἴη τῷ βουλομένῳ τὴν σφαγὴν παρέχειν. ὕστερον δὲ προφασίζεσθαι τὴν νόσον· οὐ γὰρ ἐθέλειν τὴν αἴσθησιν ἀτρεμεῖν τῶν οὕτως ἐχόντων, ὅταν ἱστάμενοι διαλέγωνται πρὸς ὄχλον, ἀλλὰ σειομένην ταχὺ καὶ περιφερομένην εἰλίγγους ἐπισπάσασθαι καὶ καταλαμβάνεσθαι. τὸ δὲ οὐκ εἶχεν οὕτως, ἀλλὰ καὶ πάνυ βουλόμενον αὐτὸν ὑπεξαναστῆναι τῇ βουλῇ, λέγουσιν ὑπό του τῶν φίλων, μᾶλλον δὲ κολάκων, Κορνηλίου Βάλβου, κατασχεθῆναι· φήσαντος, Οὐ μεμνήσῃ Καῖσαρ ὢν, οὐδὲ ἀξιώσεις ὡς κρείττονα θεραπεύεσθαι σεαυτόν;

Ἐπιγίνεται τούτοις τοῖς προσκρούσμασιν ὁ τῶν δημάρχων προπηλακισμός. ἦν μὲν γὰρ ἡ τῶν Λουπερκαλίων ἑορτὴ, περὶ ἧς πολλοὶ γράφουσιν, ὡς ποιμένων τὸ παλαιὸν εἴη, καί τι καὶ προσήκει τοῖς Ἀρκαδικοῖς λυκαίοις. τῶν δ' εὐγενῶν νεανίσκων καὶ ἀρχόντων πολλοὶ διαθέουσιν ἀνὰ τὴν πόλιν γυμνοὶ, σκύτεσιν λασίοις τοὺς ἐμποδὼν ἐπὶ παιδιᾷ καὶ γέλωτι παίοντες. πολλαὶ δὲ καὶ τῶν

cuncti, plane triſtis dolenſque tranſiit. Quum in ſenatu eximios honores ei decreviſſent, ſedebat forte pro roſtris. Adeuntibus eum conſulibus & prætoribus atque univerſo ſequente ſenatu, non adſurrexit: ſed, quaſi ageret cum privatis, reſpondit contrahendos magis quam ampliandos ſibi honores. Id non ſenatum modo, verum populum etiam offendit, tanquam deſpecta in patribus repub. atque illico illi quibus licebat non adeſſe, cum ingenti mœrore receperunt ſe. Digreſſus eſt Cæſar quoque re animadverſa domum: nudatoque jugulo apud amicos exclamavit paratum ſe eſſe cuilibet eum ad cædem offerre. Poſt ferunt eum cauſatum morbum: negavit enim ſenſum conſtare ita affectis, quum in concione ſtantes agant cum populo: ſed vibrare ſtatim eos membris, turbatoſque vertigine corripi, atque ſenſum eis intercludi. Cæterum aliter res ſe habebat: ſiquidem cupiebat omnino ſenatui aſſurgere, ſed ferunt eum ab amico, vel adulatore potius retentum, Cornelio Balbo: qui dixit, Non meminiſti te eſſe Cæſarem, neque vis pro majeſtate tua coli?

His offenſionibus ſucceſſit contumelia ejus in tribunos plebis. Lupercalia agebantur, quæ multi tradunt fuiſſe feſtum olim paſtorum. Congruunt aliquatenus cum Arcadicis Lycæis: Nobiles juvenes frequentes & magiſtratus nudi per urbem diſcurrunt hirſutis ſcuticis obvios per ludum & jocum cædentes: Multæ quoque principes fœminæ

τῶν ἐν τέλει γυναικῶν ἐπίτηδες ὑπαντῶσαι παρέχουσιν, ὥσπερ ἐν διδασκάλου, τὼ χεῖρε ταῖς πληγαῖς, πεπεισμέναι πρὸς εὐτοκίαν κυούσαις, ἀγόνοις δὲ πρὸς κύησιν ἀγαθὸν εἶναι. ταῦτα Καῖσαρ ἐθεᾶτο, καθήμενος ἐπὶ τῶν ἐμβόλων ἐπὶ δίφρου χρυσοῦ, θριαμβικῷ κόσμῳ κεκοσμημένος. Ἀντώνιος δὲ τῶν θεόντων τὸν ἱερὸν δρόμον εἷς ἦν· καὶ γὰρ ὑπάτευεν. ὡς οὖν εἰς τὴν ἀγορὰν ἐνέβαλε, καὶ τὸ πλῆθος αὐτῷ διέστη, φέρων διάδημα στεφάνῳ δάφνης περιπεπλεγμένον, ὤρεξε τῷ Καίσαρι. καὶ γίνεται κρότος οὐ λαμπρὸς, ἀλλ᾽ ὀλίγος ἐκ παρασκευῆς. ἀπωσαμένου δὲ τοῦ Καίσαρος, ἅπας ὁ δῆμος ἀνεκρότησεν. αὖθις δὲ προσφέροντος, ὀλίγοι, καὶ μὴ δεξαμένου, πάλιν ἅπαντες. οὕτω δὲ τῆς πείρας ἐξελεγχομένης, Καῖσαρ μὲν ἀνίσταται, τὸν στέφανον εἰς τὸ Καπιτώλιον ἀπενεχθῆναι κελεύσας. ὤφθησαν δὲ ἀνδριάντες αὐτοῦ διαδήμασιν ἀναδεδεμένοι βασιλικοῖς· καὶ τῶν δημάρχων δύο, Φλαούιος καὶ Μάρυλλος ἐπελθόντες ἀπέσπασαν, καὶ τοὺς ἀσπασαμένους βασιλέα τὸν Καίσαρα πρώτους ἐξευρόντες, ἀπῆγον εἰς τὸ δεσμωτήριον. ὁ δὲ δῆμος εἵπετο κροτῶν, καὶ Βρούτους ἀπεκάλει τοὺς ἄνδρας, ὅτι Βροῦτος ἦν ὁ καταλύσας τὴν τῶν βασιλέων διαδοχὴν, καὶ τὸ κράτος εἰς βουλὴν καὶ δῆμον ἐκ μοναρχίας καταστήσας. ἐπὶ τούτῳ Καῖσαρ παροξυνθεὶς, τὴν μὲν ἀρχὴν ἀφείλετο τῶν περὶ τὸν Μάρυλλον· ἐν δὲ τῷ κατηγορεῖν αὐτῶν, ἅμα καὶ τὸν δῆμον ἐφυβρίζων, πολλάκις Βρούτους τε καὶ Κυμαίους ἀπεκάλει τοὺς ἄνδρας.

Οὕτω δὲ τρέπονται πρὸς Μάρκον Βροῦτον οἱ πολλοὶ, γένος μὲν ἐκεῖθεν εἶναι δοκοῦντα πρὸς πατέρων, καὶ πρὸς μητρὸς δὲ ἀπὸ Σερβιλίων, οἰκίας ἑτέρας ἐπι-

næ ex compoſito offerunt ſe illis, ac manus ferientibus ſicut in ludo literario offerunt, creduntque id ad facile puerperium prægnantibus, & infœcundis proficere ad conceptum. Id Cæſar pro roſtris aurea ſedens ſella veſteque ornatus triumphali ſpectabat. Antonius autem, quod conſul eſſet, unus erat Lupercorum: qui, poſtquam in forum decurrit, & plebs dimovit ſe, porrexit Cæſari circumjectum laurea diadema: ac plauſus non magnus, ſed obſcurus eſt de induſtria conſequutus. Quod ubi repulit Cæſar, populus univerſus applauſit. Illo iterum diadema admovente, pauci: rejiciente Cæſare, ex integro cuncti. Ita periculo facto, Cæſar ſurgens coronam in Capitolium mitti juſſit. Jam ſtatuæ quoque ejus regiis revinctæ diadematibus conſpiciebantur. Ea duo tribuni plebis Flavius & Marullus detraxere: illoſque qui Cæſarem primi ſalutaverant regem, requiſitos in carcerem duxere. Sequutus populus eſt applaudens, eoſque Brutos appellavit: quod Brutus fuiſſet qui regum abolita ſucceſſione imperium ad ſenatum & populum ex regno traduxit. Hinc incenſus Cæſar Marullum & Flavium poteſtate tribunitia privavit: in quos dum invehitur, populo pariter inſultans, ſubinde Brutos eos & Cumanos vocavit.

Ita multitudo ad Marcum Brutum, qui genus paternum ducere exiſtimabatur a Bruto, maternum a Serviliorum alia illuſtri familia,

ἐπιφανοῦς, γαμβρὸν δὲ καὶ ἀδελφιδοῦν Κάτωνος. τοῦτον μὲν ἐξ ἑαυτοῦ ὁρμῆσαι πρὸς κατάλυσιν τῆς μοναρχίας ἤμβλυνον αἱ παρὰ Καίσαρος τιμαὶ καὶ χάριτες. οὐ γὰρ μόνον ἐσώθη περὶ Φάρσαλον ἀπὸ τῆς Πομπηΐου φυγῆς, οὐδὲ πολλοὺς τῶν ἐπιτηδείων ἔσωσεν ἐξαιτησάμενος, ἀλλὰ καὶ πίστιν εἶχεν μεγάλην παρ' αὐτῷ. καὶ στρατηγίαν μὲν ἐν τοῖς τότε τὴν ἐπιφανεστάτην ἔλαβεν, ὑπατεύειν δὲ ἔμελλεν εἰς τέταρτον ἔτος, ἐρίσαντος Κασσίου προτιμηθείς. λέγεται γὰρ ὁ Καῖσαρ εἰπεῖν ὡς δικαιότερα λέγοι μὲν Κάσσιος, αὐτὸς μέντοι Βροῦτον οὐκ ἂν παρέλθοι. καί ποτε καὶ διαβαλλόντων τινῶν τὸν ἄνδρα πραττομένης ἤδη τῆς συνωμοσίας, οὐ προσέσχεν, ἀλλὰ τοῦ σώματος τῇ χειρὶ θιγών, ἔφη πρὸς τοὺς διαβάλλοντας, Ἀναμένει τοῦτο τὸ δέρμα Βροῦτον· ὡς ἄξιον μὲν ὄντα τῆς ἀρχῆς δι' ἀρετήν, διὰ δὲ τὴν ἀρχὴν, οὐκ ἂν ἀχάριστον καὶ πονηρὸν γενόμενον. οἱ δὲ τῆς μεταβολῆς ἐφιέμενοι, καὶ πρὸς μόνον ἐκεῖνον ἢ πρῶτον ἀποβλέποντες, αὐτῷ μὲν οὐκ ἐτόλμων διαλέγεσθαι· νύκτωρ δὲ κατεπίμπλασαν γραμμάτων τὸ βῆμα, καὶ τὸν δίφρον ἐφ' οὗ στρατηγῶν ἐχρημάτιζεν· ὧν ἦν τὰ πολλὰ τοιαῦτα, Καθεύδεις Βροῦτε, καὶ, Οὐκ εἶ Βροῦτος. ὑφ' ὧν ὁ Κάσσιος αἰσθόμενος διακινούμενον ἡσυχῇ τὸ φιλότιμον αὐτοῦ, μᾶλλον ἢ πρότερον ἐνέκειτο, καὶ παρώξυνεν αὐτοὺς, ἰδίᾳ τι καὶ μίσους ἔχων πρὸς τὸν Καίσαρα, δι' αἰτίας ἃς ἐν τοῖς περὶ Βρούτου γεγραμμένοις δεδηλώκαμεν. εἶχεν μέντοι καὶ δι' ὑποψίας ὁ Καῖσαρ αὐτὸν, ὥστε καὶ πρὸς τοὺς φίλους εἰπεῖν ποτε, Τί φαίνεται βουλόμενος ὑμῖν Κάσσιος; ἐμοὶ μὲν γὰρ

οὐ

milia, generum autem & ſororis filium Catonis, ſe convertit. Hunc, ne ultro aggrederetur dominatum opprimere, delati a Cæſare honores & beneficia retundebant. Non ſolum enim ſecundum aciem Pharſalicam, quum fugiſſet Pompeius, conſervatus eſt, multoſque, pro quibus deprecaretur, conſervavit neceſſarios: verum erat in magna etiam fide apud eum. Præturam quoque inter conſortes præcipuam accepit. Ad hæc conſul in quartum annum deſignatus eſt, & competitori prælatus Caſſio: ſi quidem perhibetur Cæſar dixiſſe, Juſtiorem Caſſii cauſam eſſe, non poſſe tamen præterire ſe Brutum. Immo deferentibus aliquando nonnullis Brutum, quum eſſet jam in manibus conjuratio, non præbuit aures, ſed corpus manu tangens ad delatores ait: Hæc cutis exſpectat Brutum, ſignificans imperio quidem ob virtutem Brutum dignum, ſed imperii cauſa non futurum ingratum neque improbum. Qui vero mutationem deſiderabant, & illum ſolum vel primum reſpiciebant, quum eum hac de re non auſi eſſent verbis tentare, noctu in tribunali & ſella, qua prætor jus dicebat, ſparſerunt libellos, in quibus multa continebantur hujuſcemodi; Dormis Brute: &, Non es Brutus. Quibus Caſſius ſtimulatam nonnihil ambitionem ejus ſentiens, inſtitit, & acuit eum quam ante acrius, quod eſſet privato quodam in Cæſarem odio incenſus ex cauſis quas in vita Bruti recenſuimus. Habebat etiam eum Cæſar ſuſpectum, atque ad amicos dixit aliquando, Quid vobis videtur Caſſius velle? mihi quidem

non

οὐ λίαν ἀρέσκει, λίαν ὠχρὸς ὤν. πάλιν δὲ λέγεται περὶ Ἀντωνίου καὶ Δολαβέλλα, διαβολῆς πρὸς αὐτὸν, ὡς νεωτερίζοιεν, ἐλθούσης, οὐ πάνυ, φάναι, τούτους δέδοικα τοὺς παχεῖς καὶ κομήτας, μᾶλλον δὲ τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους· Κάσσιον λέγων καὶ Βροῦτον.

Ἀλλ᾽ ἔοικεν οὐχ οὕτως ἀπροσδόκητον, ὡς ἀφύλακτον εἶναι τὸ πεπρωμένον· ἐπεὶ καὶ σημεῖα θαυμαστὰ καὶ φάσματα φανῆναι λέγουσιν. σέλα μὲν οὖν οὐράνια καὶ τύπους νύκτωρ πολλαχοῦ διαφερομένους, καὶ καταίροντας εἰς ἀγορὰν ἐρήμους ὄρνιθας, οὐκ ἄξιον ἴσως ἐπὶ πάθει τηλικούτῳ μνημονεῦσαι. Στράβων δὲ ὁ φιλόσοφος ἱστορεῖ, πολλοὺς μὲν ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι, στρατιώτου δὲ ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς ἐκβαλεῖν πολλὴν φλόγα, καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν· ὡς δὲ ἐπαύσατο, μηδὲν ἔχειν κακὸν τὸν ἄνθρωπον. αὐτῷ δὲ Καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου, καὶ δεινὸν εἶναι τὸ τέρας· οὐ γὰρ ἂν φύσει γε συστῆναι ζῶον ἀκάρδιον. ἔστιν δὲ καὶ ταῦτα πολλῶν ἀκοῦσαι διεξιόντων, ὥς τις αὐτῷ μάντις ἡμέρᾳ Μαρτίου μηνὸς, ἣν εἰδοὺς Ῥωμαῖοι καλοῦσιν, προείποι μέγαν φυλάττεσθαι κίνδυνον. ἐλθούσης δὲ τῆς ἡμέρας, προϊὼν ὁ Καῖσαρ εἰς τὴν σύγκλητον, ἀσπασάμενος προσπαίξειε τῷ μάντει φάμενος, αἱ μὲν δὴ Μάρτιαι εἰδοὶ πάρεισιν· ὁ δὲ ἡσυχῆ πρὸς αὐτὸν εἴποι, ναὶ πάρεισιν, ἀλλ᾽ οὐ παρεληλύθασιν. πρὸ μιᾶς δὲ ἡμέρας, Μάρκου Λεπίδου δειπνίζοντος αὐτὸν, ἔτυχε μὲν ἐπιστολὰς ὑπογράφων, ὥσπερ εἰώθει, κατακείμενος· ἐμπεσόντος δὲ λόγου ποῖος ἄρα τῶν θανάτων ἄριστος, ἅπαντας φθάσας ἐξεβόησεν, ὁ ἀπροσδόκητος.

μετ

non admodum pallor ejus placet. Jam fama eſt Antonio & Dolobella apud eum delatis, quod res novas molirentur, nihil plane timere ſe hos reſpondiſſe eum, pingues & comatos, ſed pallidos illos potius & macilentos: Caſſium & Brutum deſignans.

At non perinde improviſum videtur, ut inevitabile fatum: quando tunc rara prodigia & ſpectra memorant apparuiſſe. Ac fulgores quidem cœleſtes & imagines nocturnas paſſim huc illuc diſcurrentes, aveſque ſolitarias in forum delatas minus conveniat fortaſſe tanto in caſu commemorare. At Strabo philoſophus tradit multos viros flammeos incurrere viſos: militis ſervum ingentem flammam e manu emiſiſſe, eamque viſam conſpicientibus ardere: ubi extincta eſt, nihil hominem mali habuiſſe. Ipſi Cæſari immolanti cor hoſtiæ non apparuiſſe, idque pro tetro oſtento habitum: neque enim conſiſtere naturaliter animal ſine corde poſſe. Hoc item paſſim audias commemorari, aruſpicem quendam eum præmonuiſſe, ut Idibus Martiis grave periculum caveret. Qui dies quum illuxiſſet, progrediénſque ad ſenatum ſalutaſſet Cæſar aruſpicem, ac ludens dixiſſet, Atqui Idus Martiæ Adſunt: reſpondiſſe ei aruſpicem ſubmiſſe, adſunt vero, non præterierunt tamen. Pridie quum apud M. Lepidum cœnaret, ſubſcribebat forte epiſtolis, ut ſolebat recumbens. Ibi ſermone moto, quænam mors optima foret, omnes antevertens exclamavit,

5 Ino-

μετὰ ταῦτα κοιμώμενος, ὥσπερ εἰώθει, παρὰ τῇ γυναικὶ, πασῶν ἅμα τῶν θυρῶν τοῦ δωματίου καὶ τῶν θυρίδων ἀναπεταννυμένων, διαταραχθεὶς ἅμα τῷ κτύπῳ καὶ τῷ φωτὶ, καὶ λαμπούσης τῆς σελήνης ᾔσθετο τὴν Καλπουρνίαν βαθέως μὲν καθεύδουσαν, ἀσαφεῖς δὲ φωνὰς καὶ στεναγμοὺς ἀνάρθρους ἐκ τῶν ὕπνων ἀναπέμπουσαν· ἐδόκει δὲ ἄρα κλαίειν ἐκεῖνον ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον. οἱ δὲ οὔ φασιν τῇ γυναικὶ ταύτην γενέσθαι τὴν ὄψιν· ἀλλὰ ἦν γάρ τι τῇ Καίσαρος οἰκίᾳ προσκείμενον, οἷον ἐπὶ κόσμῳ καὶ σεμνότητι τῆς βουλῆς ψηφισαμένης ἀκρωτήριον, ὡς Λίβιος ἱστορεῖ· τοῦτο ὄναρ ἡ Καλπουρνία θεασαμένη καταῤῥηγνύμενον, ἔδοξε ποτνιᾶσθαι καὶ δακρύειν. ἡμέρας δ᾽ οὖν γενομένης, ἐδεῖτο τοῦ Καίσαρος, εἰ μὲν οἷόν τε, μὴ προελθεῖν, ἀλλ᾽ ἀναβαλέσθαι τὴν σύγκλητον· εἰ δὲ τῶν ἐκείνης ὀνείρων ἐλάχιστα φροντίζει, σκέψασθαι διὰ μαντικῆς ἄλλης καὶ ἱερῶν περὶ τοῦ μέλλοντος. εἶχεν δέ τις, ὡς ἔοικεν, κἀκεῖνον ὑποψία καὶ φόβος. οὐδένα γὰρ γυναικισμὸν ἐν δεισιδαιμονίᾳ πρότερον κατεγνώκει τῆς Καλπουρνίας, τότε δὲ ἑώρα περιπαθοῦσαν. ὡς δὲ καὶ πολλὰ καταθυσάντες οἱ μάντεις ἔφασαν αὐτῷ δυσιερεῖν, ἔγνω πέμψας Ἀντώνιον, ἀφεῖναι τὴν σύγκλητον.

Ἐν δὲ τούτῳ Δέκιος Βροῦτος, ἐπίκλησιν Ἀλβῖνος, πιστευόμενος μὲν ὑπὸ Καίσαρος, ὥστε καὶ δεύτερος ὑπ᾽ αὐτοῦ κληρονόμος γεγράφθαι, τοῖς δὲ περὶ Βροῦτον τὸν ἕτερον καὶ Κάσσιον μετέχων τῆς συνωμοσίας, φοβηθεὶς μὴ τὴν ἡμέραν ἐκείνην διακρουσαμένου τοῦ Καίσαρος, ἔκπυστος ἡ πρᾶξις γένηται, τούς τε μάντεις ἐχλεύαζεν, καὶ καθήπτετο τοῦ Καίσαρος, ὡς αἰτίας καὶ διαβολὰς ἑαυτῷ

Inopinata. Inde apud uxorem more ſuo quum cubaret, omnibus cubiculi januis pariterque feneſtris patefactis, exterritus eſt ſimul ſtrepitu & lumine, Calpurniamque ſplendente luna advertit arcte ſopitam voces obſcuras ſuſpiriaque edere indiſcreta. Imaginabatur illa lugere ſe eum, quem in gremio teneret confoſſum. Eam viſionem alii negant ei oblatam: ſed quum Cæſaris ædibus eſſet ex ſenatuſconſulto adjunctum, (ut autor eſt Livius) velut ad ornamentum & amplitudinem, pinnaculum, id per quietem imaginata collabi Calpurnia, videbatur ſibi ideo lamentari & lacrymari: ac quum lux appetiſſet, rogavit Cæſarem, ſi qua fieri poſſet, ne prodiret, ſed in aliud tempus rejiceret ſenatum. Quod ſi ſomnia ſua floccipenderet, at divinationes alias hoſtiaſque conſuleret de impendentibus. Unde fuit aliqua illi quoque, ut videtur, oblata ſuſpicio & metus: quippe ſuperſtitionem nullam animadverterat ante muliebrem in ea, quam tum videbat anxiam. Ut vero multis jam cæſis hoſtiis renuntiaverunt ei aruſpices litari non poſſe, ſtatuit miſſo Antonio ſenatum dimittere.

Interea Decius Brutus, Albinus cognomento, (quem Cæſar ob fidem, quam ei habebat, in ſecundis hæredibus ſcripſerat, quum conjurationis alterius Bruti & Caſſii conſors eſſet) veritus, ne ſi diem illum exemiſſet Cæſar, res efferretur, irriſit aruſpices, Cæſaremque caſtigavit, quod criminum materiam & calumniarum

ἑαυτῷ κωμῳδίας πρὸς τὴν σύγκλητον, ἐντρυφᾶσθαι δοκοῦσαν· ἥκειν μὲν γὰρ αὐτὴν, κελεύσαντος ἐκείνου, καὶ προθύμους εἶναι ψηφίζεσθαι πάντας, ὅπως τῶν ἐκτὸς Ἰταλίας ἐπαρχιῶν βασιλεὺς ἀναγορεύοιτο, καὶ φοροίη διάδημα τὴν ἄλλην ἐπιὼν γῆν καὶ θάλασσαν· εἰ δὲ φράζοι τις αὐτοῖς καθεζομένοις, νῦν μὲν ἀπαλλάττεσθαι, παρεῖναι δὲ αὖθις ὅταν ἐντύχοι βελτίοσιν ὀνείροις Καλπουρνία, τίνας ἔσεσθαι λόγους παρὰ τῶν φθονούντων; ἢ τίνα τῶν φίλων ἀνέξεσθαι διδασκόντων ὡς οὐχὶ δουλεία ταῦτα καὶ τυραννίς ἐστιν; ἀλλ' εἰ δοκεῖ πάντως, ἔφη, τὴν ἡμέραν ἀφοσιώσασθαι, βέλτιον αὐτὸν προσελθόντα καὶ προσαγορεύσαντα τὴν βουλὴν ὑπερθέσθαι. ταῦθ' ἅμα λέγων ὁ Βροῦτος, ἦγε τῆς χειρὸς λαβόμενος τὸν Καίσαρα, καὶ μικρὸν μὲν αὐτῷ προελθόντι τῶν θυρῶν, οἰκέτης ἀλλότριος ἐντυχεῖν προθυμούμενος, ὡς ἡττᾶτο τοῦ περὶ ἐκεῖνον ὠθισμοῦ καὶ πλήθους, βιασάμενος εἰς τὴν οἰκίαν, παρέδωκεν ἑαυτὸν τῇ Καλπουρνίᾳ, φυλάττειν κελεύσας ἄχρις ἂν ἐπανέλθῃ Καῖσαρ, ὡς ἔχων μεγάλα πράγματα κατειπεῖν πρὸς αὐτόν.

Ἀρτεμίδωρος δὲ, Κνίδιος τὸ γένος, Ἑλληνικῶν λόγων σοφιστὴς, καὶ διὰ τοῦτο γεγονὼς ἐνίοις συνήθης τῶν περὶ Βροῦτον, ὥστε καὶ γνῶναι τὰ πλεῖστα τῶν πραττομένων, ἧκεν μὲν ἐν βιβλιδίῳ κομίζων ἅπερ ἔμελλεν μηνύειν· ὁρῶν δὲ τὸν Καίσαρα τῶν βιβλίων ἕκαστον δεχόμενον, καὶ παραδιδόντα τοῖς περὶ αὐτὸν ὑπηρέταις, ἐγγὺς σφόδρα προσελθὼν, Τοῦτο, ἔφη, Καῖσαρ, ἀνάγνωθι μόνος καὶ ταχέως· γέγραπται γὰρ ὑπὲρ πραγμάτων μεγάλων, καί σοι διαφερόντων. δεξάμενος οὖν ὁ Καῖσαρ, ἀναγνῶναι μὲν ὑπὸ πλή-

θους

niarum præberet adverſus ſe Patribus, qui ludibrio viderentur haberi. Conveniſſe ex ipſius edicto ſenatum, libentemque omnia decreturum, ut provinciarum extra Italiam rex diceretur, omnibuſque locis aliis terra marique diadema ferret. Quibus ſi quis conſidentibus dicat, in præſentia ut diſcedant, redeantque ubi nacta fuerit Calpurnia lætiora ſomnia: quales futuri ſint apud invidos ſermones, aut quis laturus amicos ejus oſtendere conantes, non eſſe hanc ſervitutem & tyrannidem? Quod ſi diem hunc omnino, inquit, abominaris, ſatius eſt teipſum in ſenatum venire, patribuſque appellatis rem in aliud tempus rejicere. Sic fatus Brutus ſimul Cæſarem manu prehendit eduxitque. Progreſſum paululum foras ſervus alienus convenire geſtiens Cæſarem, ubi a cingente Cæſarem multitudine eſt repulſus, conjecit ſe in domum ejus, tradiditque Calpurniæ, dum rediſſet Cæſar, cuſtodiendum. Magna habere oſtendit ſe, quæ ad eum deferret.

Artemidorus Cnidius genere, litterarum Græcarum doctor, qui ea de re nonnullis Bruti ſociis familiariter utebatur, cognoverat magna ex parte quæ agebantur: eaque in libello complexus, afferebat indicium ſuum. Qui quum Cæſarem cerneret, quos accipiebat libellos, eos comitantibus ipſum ſervis tradentem, quam proxime accedens, Hunc, inquit, Cæſar ſolus lege & cito: magnas enim res continet, & ad te pertinentes. Acceptum Cæſar legere per ſalutantium frequentiam, licet

eſſet

θους τῶν ἐντυγχανόντων ἐκωλύθη, καίπερ ὁρμήσας πολλάκις· ἐν δὲ τῇ χειρὶ κατέχων καὶ φυλάττων μόνον ἐκεῖνο, παρῆλθεν εἰς τὴν σύγκλητον. ἔνιοι δέ φασιν ἄλλον ἐπιδοῦναι τὸ βιβλίον τοῦτο, τὸν δ' Ἀρτεμίδωρον οὐδὲ ὅλως προσελθεῖν, ἀλλ' ἐκθλιβῆναι παρὰ πᾶσαν τὴν ὁδόν.

Ἀλλὰ ταῦτα μὲν ἤδη που φέρει καὶ τὸ αὐτόματον· ὁ δὲ δεξάμενος τὸν φόνον ἐκεῖνον καὶ τὸν ἀγῶνα χῶρος, εἰς ὃν ἡ σύγκλητος ἠθροίσθη, τότε Πομπηΐου μὲν εἰκόνα κειμένην ἔχων, Πομπηΐου δὲ ἀνάθημα γεγονὼς τῶν προκεκοσμημένων τῷ θεάτρῳ, παντάπασιν ἀπέφηνεν δαίμονός τινος ὑφηγουμένου καὶ καλοῦντος ἐκεῖ τὴν πρᾶξιν ἔργον γεγονέναι. καὶ γὰρ οὖν καὶ λέγεται Κάσσιος εἰς τὸν ἀνδριάντα τοῦ Πομπηΐου πρὸ τῆς ἐγχειρήσεως ἀποβλέπων, ἐπικαλεῖσθαι σιωπῇ, καίπερ οὐκ ἀλλότριος ὢν τῶν Ἐπικούρου λόγων, ἀλλ' ὁ καιρὸς, ὡς ἔοικεν, ἤδη τοῦ δεινοῦ παρεστῶτος, ἐνθουσιασμὸν ἐνεποίει καὶ πάθος, ἀντὶ τῶν προτέρων λογισμῶν. Ἀντώνιον μὲν οὖν, πιστὸν ὄντα Καίσαρι καὶ ῥωμαλέον, ἔξω παρακατεῖχεν Βροῦτος Ἀλβῖνος, ἐμβαλὼν ἐπίτηδες ὁμιλίαν μῆκος ἔχουσαν. εἰσιόντος δὲ Καίσαρος, ἡ βουλὴ μὲν ὑπεξανέστη θεραπεύουσα· τῶν δὲ περὶ Βροῦτον οἱ μὲν ἐξόπισθεν τὸν δίφρον αὐτοῦ περιέστησαν, οἱ δὲ ἀπήντησαν ὡς δὴ Μετιλλίῳ Κίμβρῳ περὶ ἀδελφοῦ φυγάδος ἐντυγχάνοντι συνδεησόμενοι, καὶ συνεδέοντο μέχρι τοῦ δίφρου παρακολουθοῦντες. ὡς δὲ καθίσας διεκρούετο τὰς δεήσεις, καὶ προσκειμένων βιαιότερον, ἠγανάκτει πρὸς ἕκαστον, ὁ μὲν Μετίλλιος τὴν τήβεννον αὐτοῦ ταῖς χερσὶν ἀμφοτέραις συλλαβὼν, ἀπὸ τοῦ τραχήλου κατῆγεν· ὅπερ ἦν σύνθημα τῆς ἐπιχειρήσεως. πρῶτος δὲ Κάσκας

eſſet ſubinde conatus, prohibitus eſt, ac manu illum tenens ſolumque ſervans venit in ſenatum. Sunt qui dicant alium porrexiſſe hunc libellum, Artemidorum vero nequaquam valuiſſe eum adire, ſed fuiſſe per totam viam aditu extruſum.

Cæterum hæc fortaſſe caſuum fert temeritas. At locus ubi cædes illa & facinus eſt patratum, in quo coactus fuit ſenatus, ubi ſtatua erat Pompeii locata, dedicatus a Pompeio inter ornamenta quæ theatro prætexuerat, omnino oſtendit numinis cujuſpiam autoris & trahentis illuc negotium factum illud fuiſſe. Quinetiam Caſſius fertur, quamvis ab Epicuri doctrina non abhorreret, eam ſtatuam ante aggreſſionem reſpiciens tacitus Pompeium invocaſſe. Verum articulus ille, utpote tanto jam ingruente diſcrimine, amotis prioribus ſententiis, fanaticum eum & commotum reddidit. Igitur Antonium fidum Cæſari & valentem moratus eſt extra curiam Decius Brutus, ſermonem ex compoſito cum eo prolixum exorſus. Ingreſſo Cæſari aſſurrexit honoris cauſa ſenatus. Bruti cohors partim pone ſellam ejus circumſteterunt, alii proceſſerunt ei obviam, tanquam cum Cimbro Tullio pro fratre ejus exule rogaturi: ac deprecantes uſque ad ſellam ſunt eum proſequuti. Ut confidens abnuit preces, inſtantibuſque acrius ſingulis infenſus eſt, Tullius togam ejus ambabus manibus correptam a collo detraxit. Id ſignum erat adoriendi. Primus Caſca

κας ξίφει παίει παρὰ τὸν αὐχένα, πληγὴν οὐ θανατηφόρον οὐδὲ βαρεῖαν, ἀλλ', ὡς εἰκὸς, ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθείς· ὥστε καὶ τὸν Καίσαρα μεταστραφέντα τοῦ ἐγχειριδίου λαβέσθαι καὶ κατασχεῖν. ἅμα δέ πως ἐξεφώνησαν, ὁ μὲν πληγεὶς, ῥωμαϊστὶ, Μιαρώτατε Κάσκα τί ποιεῖς; ὁ δὲ πλήξας, ἑλληνιστὶ πρὸς τὸν ἀδελφὸν, Ἀδελφὲ βοήθει. τοιαύτης δὲ τῆς ἀρχῆς γενομένης, τοὺς μὲν οὐδὲν συνειδότας ἔκπληξις εἶχεν, καὶ φρίκη πρὸς τὰ δρώμενα, μήτε φεύγειν, μήτε ἀμύνειν, ἀλλὰ μηδὲ φωνὴν ἐκβάλλειν τολμῶντας. τῶν δὲ παρεσκευασμένων ἐπὶ τὸν φόνον ἑκάστου γυμνὸν ἀποδείξαντος τὸ ξίφος, ἐν κύκλῳ περιεχόμενος, καὶ πρὸς ὅ, τι τρέψειε τὴν ὄψιν, πληγαῖς ἀπαντῶν, καὶ σιδήρῳ φερομένῳ καὶ κατὰ προσώπου καὶ κατ' ὀφθαλμῶν διελαυνόμενος, ὥσπερ θηρίον ἐνειλεῖτο ταῖς πάντων χερσίν. ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ φόνου. διὸ καὶ Βροῦτος αὐτῷ πληγὴν ἐνέβαλε μίαν εἰς τὸν βουβῶνα. λέγεται δὲ ὑπό τινων, ὡς ἄρα πρὸς τοὺς ἄλλους ἀπομαχόμενος, καὶ διαφέρων δεῦρο κἀκεῖ τὸ σῶμα, καὶ κεκραγὼς, ὅτε Βροῦτον εἶδεν ἐσπασμένον τὸ ξίφος, ἐφειλκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον, καὶ παρῆκεν ἑαυτὸν, εἴτε ὑπὸ τύχης, εἴτε ἀπὸ τῶν κτεινόντων ἀπωσθεὶς πρὸς τὴν βάσιν ἐφ' ἧς ὁ Πομπηΐου βέβηκεν ἀνδριάς. καὶ πολὺ καθήμαξεν αὐτὴν ὁ φόνος, ὡς δοκεῖν αὐτὸν ἐφεστάναι τῇ τιμωρίᾳ τοῦ πολεμίου Πομπήϊον ὑπὸ πόδας κεκλιμένου, καὶ περισπαίροντος ὑπὸ πλήθους τραυμάτων. εἴκοσι γὰρ καὶ τρία λαβεῖν λέγεται· καὶ πολλοὶ κατετρώθησαν ὑπ' ἀλλήλων, εἰς ἓν ἀπερειδόμενοι σῶμα πληγὰς τοσαύτας.

Κατ-

Caſca gladio vulnus ſecundum cervicem infligit ei, neque lethale neque grave, nimirum in magni facinoris exordio attonitus. At Cæſar converſus pugionem corripuit & tenuit: ſimulque clamorem ſuſtulere, Cæſar Latine, Scelerate Caſca quid agis? Caſca Græce ad fratrem, Frater ades. Eo facto initio, exortes conſilii ſtupor & horror contemplantes inceſſit, nec fugere aut ſuccurrere, ac ne vocem quidem mittere audebant. Conjuratorum unoquoque ſtrictum intentante gladium undique Cæſar circumventus, ac quocunque convertiſſet oculos, ictibus occurrens ferroque minanti, quod faciei ſuæ & oculis intentabatur, in omnium manibus inſtar feræ volutabatur. Convenerat enim ut omnes libarent & guſtarent cædem: ideoque unum Brutus vulnus ingeſſit ei ſecundum inguina. Memorant nonnulli cæteris illum repugnaſſe, corpuſque huc & illuc jactaſſe, vociferatumque fuiſſe: at ſimul ut Brutum conſpexit ſtrictum tenentem gladium, toga caput obvolviſſe, ac ſeſe demiſiſſe; fuitque fortuitone an a percuſſoribus impulſus ad baſim in qua poſita Pompeii ſtatua erat: eamque large cruore, dum interficeretur, reſperſit. Ita apparebat ultioni de hoſte ſumendæ præfuiſſe Pompeium, ad pedes ſuos abjecto atque ob vulnerum multitudinem animam agente. Tribus enim & viginti plagis confoſſus dicitur. Multi ſe mutuo ſauciavere, quum corpus unum tam crebris peterent ictibus.

In-

Κατειργασμένου δὲ τοῦ ἀνδρὸς, ἡ μὲν γερουσία, καίπερ εἰς μέσον Βρούτου ἐλθόντος, ὥς τι περὶ τῶν πεπραγμένων ἐροῦντος, οὐκ ἀνασχομένη διὰ θυρῶν ἐξέπιπτεν, καὶ φεύγουσα κατέπλησε ταραχῆς καὶ δέους ἀπόρου τὸν δῆμον, ὥστε τὰς μὲν οἰκίας κλείειν, τοὺς δὲ ἀπολείπειν τραπέζας καὶ χρηματιστήρια· δρόμῳ δὲ χωρεῖν, τοὺς μὲν ἐπὶ τὸν τόπον ὀψομένους τὸ πάθος, τοὺς δὲ ἐκεῖθεν, ἑωρακότας. Ἀντώνιος δὲ καὶ Λέπιδος, οἱ μάλιστα φίλοι Καίσαρος ὑπεκδύντες, εἰς οἰκίας ἑτέρας κατέφυγον. οἱ δὲ περὶ Βροῦτον, ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες, ἅμα πάντες ἀπὸ τοῦ βουλευτηρίου συστραφέντες ἐχώρουν εἰς τὸ Καπιτώλιον, οὐ φεύγουσιν ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ καὶ θαρραλέοι, παρακαλοῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος, καὶ προσδεχόμενοι τοὺς ἀρίστους τῶν ἐντυγχανόντων. ἔνιοι δὲ καὶ συνανέβαινον αὐτοῖς, καὶ κατεμίγνυσαν ἑαυτοὺς, ὡς μετεσχηκότες τοῦ ἔργου, καὶ προσεποιοῦντο τὴν δόξαν· ὧν ἦν καὶ Γάϊος Ὀκλάβιος καὶ Λέντλος Σπινθήρ. οὗτοι μὲν οὖν τῆς ἀλαζονείας δίκην ἔδωκαν ὕστερον, ὑπὸ Ἀντωνίου καὶ τοῦ νέου Καίσαρος ἀναιρεθέντες, καὶ μηδὲ τῆς δόξης, δι' ἣν ἀπέθνησκον, ἀπολαύσαντες, ἀπιστίᾳ τῶν ἄλλων. οὐδὲ γὰρ οἱ κολάζοντες αὐτοὺς, τῆς πράξεως, ἀλλὰ τῆς βουλήσεως τὴν δίκην ἔλαβον. μεθ' ἡμέραν δὲ τῶν περὶ Βροῦτον κατελθόντων καὶ ποιησαμένων λόγους, ὁ μὲν δῆμος οὔτε δυσχεραίνων, οὔτε ὡς ἐπαινῶν τὰ πεπραγμένα τοῖς λεγομένοις προσεῖχεν, ἀλλ' ὑπεδήλου τῇ πολλῇ σιωπῇ, Καίσαρα μὲν οἰκτείρων, αἰδούμενος δὲ Βροῦτον. ἡ δὲ σύγκλητος ἀμνηστίας τινὰς καὶ συμβάσεις πράττουσα πᾶσιν,

Καί-

Interfecto Cæſare ſenatus, quamvis Brutus in medium procederet tanquam aliquid de eo quod actum fuerat dicturus, nihil moratus confeſtim ejecit ſe foras, fugienſque implevit civitatem tumultu & terrore ingenti: ut januas obſerarent, alii menſas relinquerent & tabernas: curſu ferrentur alii illum in locum ad ſpectandum facinus: alii illinc, qui viderant: Antonius & Lepidus, amici primarii Cæſaris, ſubducentes ſe abdiderunt in tecta aliena. Conjurati autem, Brutique ſocii, cæde adhuc calentes ſtrictiſque gladiis micantes, una omnes globo facto ex curia Capitolium petiere: nec præ ſe ferebant fugam, ſed mire erecti fidenteſque vocaverunt ad libertatem populum, exceperuntque optimum quemque qui ipſos appellaret. Aliqui ſunt eos comitati, atque ſe ut facti conſortes aſſociaverunt eis, ac gloriam illam vendicarunt: in quibus Caius Octavius & Lentulus Spinther fuerunt. Hi interfecti poſt ab Antonio & Octavio Cæſare pœnas dederunt inſolentiæ: ac ne gloriæ quidem, cujus cauſa necati ſunt, quia non crediderunt alii, fructum cepere: neque enim illi qui puniverunt eos, facti piacula, ſed voluntatis exegere. Poſtero die deſcenderunt conjurati ex Capitolio, ac concionem habuerunt. Populus autem præbuit ita dicentibus aures, ut neque improbaret neque probaret factum: verum obſtinato ſilentio Cæſarem ſignificavit miſerari ſe, Brutum vero in reverentia habere. Senatus vero de oblivione præteritorum & reconciliatione inter omnes agens, decrevit Cæſari divinos hono-

Καίσαρα μὲν ὡς θεὸν τιμᾶν ἐψηφίσαντο, καὶ κινεῖν μηδὲ τὸ σμικρότατον ὧν ἐκεῖνος ἄρχων ἐβούλευσεν· τοῖς δὲ περὶ Βροῦτον ἐπαρχίας τε διένειμαν, καὶ τιμὰς ἀπέδωκε πρεπούσας· ὥστε πάντας οἴεσθαι τὰ πράγματα κατάστασιν ἔχειν, καὶ σύγκρισιν ἀπειληφέναι τὴν ἀρίστην.

Ἐπεὶ δὲ τῶν διαθηκῶν τῶν Καίσαρος ἀνοιχθεισῶν εὑρέθη δεδομένη Ῥωμαίων ἑκάστῳ δόσις ἀξιόλογος, καὶ τὸ σῶμα κομιζόμενον δι' ἀγορᾶς ἐθεάσαντο ταῖς πληγαῖς διαλελωβημένον, οὐκ ἔτι κόσμον εἶχεν οὐδὲ τάξιν αὐτῶν τὸ πλῆθος, ἀλλὰ τῷ μὲν νεκρῷ περισωρεύσαντες ἐξ ἀγορᾶς βάθρα καὶ κιγκλίδας καὶ τραπέζας, ὑφῆψαν αὐτοῦ καὶ κατέκαυσαν· ἀράμενοι δὲ δαλοὺς διαπύρους ἔθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων καταφλέξοντες, ἄλλοι δὲ ἐφοίτων πανταχόσε τῆς πόλεως, συλλαβεῖν καὶ διασπάσασθαι τοὺς ἄνδρας ζητοῦντες. οἷς ἐκείνων μὲν οὐδεὶς ἀπήντησεν, ἀλλὰ εὖ πεφραγμένοι πάντες ἦσαν. Κίννας δέ τις τῶν Καίσαρος ἑταίρων, ἔτυχεν μὲν, ὥς φασιν, τῆς παρῳχημένης νυκτὸς ὄψιν ἑωρακὼς ἄτοπον. ἐδόκει γὰρ ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον καλεῖσθαι· παραιτούμενος δὲ, ἄγεσθαι τῆς χειρὸς ὑπ' αὐτοῦ, μὴ βουλόμενος, ἀλλ' ἀντιτείνων. ὡς δὲ ἤκουσεν ἐν ἀγορᾷ τὸ σῶμα καίεσθαι τοῦ Καίσαρος, ἀναστὰς ἐβάδιζεν ἐπὶ τιμῇ, καίπερ ὑφορώμενος τὴν ὄψιν ἅμα καὶ πυρέττων. καί τις ὀφθέντος αὐτοῦ τῶν πολλῶν ἔφρασεν ἑτέρῳ τοὔνομα πυνθανομένῳ, κἀκεῖνος ἄλλῳ, καὶ διὰ πάντων εὐθὺς ἦν, ὡς οὗτός ἐστιν ὁ ἀνὴρ τῶν ἀνῃρηκότων Καίσαρα· καὶ γὰρ ἦν τις ὁμώνυμος ἐκείνῳ Κίννας ἐν τοῖς συνωμοσαμένοις, ὃν

ὃν

honores, acta ejus omnia confirmavit adeo ut ne leviſſimum quippiam mutaretur, conjuratis dedit provincias, convenienteſque tribuit honores. Unde putabant rempublicam omnes pacatam eſſe atque optime compoſitam.

At poſtquam apertis teſtamenti Cæſaris tabulis compertum eſt legatum populo Romano viritim luculentum relictum eſſe, elatumque per forum corpus vulneribus conſpexere laceratum, haud potuit ultra contineri aut regi multitudo: ſed congeſtis ex foro ſubſelliis, cancellis, menſiſque, ſuccenderunt & cremaverunt cadaver. Inde ardentibus titionibus ad domos inflammandas percuſſorum tetendere. Alii per totam urbem diſcurrerunt, requirentes eos ut comprehenderent & diſcerperent: in quos nemo illorum incurrit, ſed ſepſerant ſe omnes diligenter. Cinna quidam ex amicis Cæſaris ſomnium horrendum priore nocte habuerat. Videbatur ſibi ad cœnam invitari a Cæſare: quum renueret autem, manu ab eo invitus & reluctans duci. Hic audito Cæſaris corpus in foro cremari, etſi viſionem ſuſpectam habebat, & tenebatur etiam febre, honoris illius cauſa in forum profectus eſt. Ut conſpectus eſt, nomen quidam ex plebe quærenti alteri dixit, ille alteri. Mox omnes pervaſit, unum hunc eſſe ex Cæſaris percuſſoribus. Erat enim in conjuratis alius illi cognominis Cinna, quem, quod exiſtimarent hunc eſſe,

eſſe,

ὃν τοῦτον εἶναι προλαβόντες, ὥρμησαν εὐθὺς καὶ διέσπασαν ἐν μέσῳ τὸν ἄνθρωπον. τοῦτο μάλιστα δείσαντες οἱ περὶ Βροῦτον καὶ Κάσσιον, οὐ πολλῶν ἡμερῶν διαγενομένων ἀπεχώρησαν ἐκ τῆς πόλεως. ἃ δὲ καὶ πράξαντες καὶ παθόντες ἐτελεύτησαν, ἐν τοῖς περὶ Βρούτου γέγραπται.

Θνήσκει δὲ Καῖσαρ, τὰ μὲν πάντα γεγονὼς ἔτη πεντήκοντα καὶ ἕξ, Πομπηΐῳ δ' ἐπιβιώσας οὐ πολὺ πλέον ἐτῶν τεσσάρων· ἣν δὲ τῷ βίῳ παντὶ ἀρχὴν καὶ δυναστείαν διὰ κινδύνων τοσούτων διώκων μόλις κατειργάσατο, ταύτης οὐδὲν ὅτι μὴ τοὔνομα μόνον καὶ τὴν ἐπίφθονον καρπωσάμενος δόξαν παρὰ τῶν πολιτῶν. ὁ μέντοι μέγας αὐτοῦ δαίμων, ᾧ παρὰ τὸν βίον ἐχρήσατο, καὶ τελευτήσαντος ἐπηκολούθησεν τιμωρὸς τοῦ φόνου, διά τε γῆς πάσης καὶ θαλάσσης ἐλαύνων καὶ ἀνιχνεύων ἄχρι τοῦ μηδένα λιπεῖν τῶν ἀπεκτονότων, ἀλλὰ καὶ τοὺς καθ' ὁτιοῦν ἢ χειρὶ τοῦ ἔργου θιγόντας, ἢ γνώμης μετασχόντας ἐπεξελθεῖν. θαυμασιώτατον δὲ τῶν μὲν ἀνθρωπίνων τὸ περὶ Κάσσιον· ἡττηθεὶς γὰρ ἐν Φιλίπποις, ἐκείνῳ τῷ ξιφιδίῳ διέφθειρεν ἑαυτὸν ᾧ κατὰ Καίσαρος ἐχρήσατο· τῶν δὲ θείων, ὅ, τε μέγας κομήτης (ἐφάνη γὰρ ἐπὶ νύκτας ἑπτὰ μετὰ τὴν Καίσαρος σφαγὴν διαπρεπὴς, εἶτα ἠφανίσθη) καὶ τὸ περὶ τὸν ἥλιον ἀμαύρωμα τῆς αὐγῆς. ὅλον γὰρ ἐκεῖνον τὸν ἐνιαυτὸν ὠχρὸς μὲν ὁ κύκλος καὶ μαρμαρυγὰς οὐκ ἔχων ἀνέτελλεν, ἀδρανὲς δὲ καὶ λεπτὸν ἀπ' αὐτοῦ κατῄει τὸ θερμόν· ὥστε τὸν μὲν ἀέρα δνοφερὸν καὶ βαρὺν ἀσθενείᾳ τῆς διακρινούσης αὐτὸν ἀλέας ἐκφέρεσθαι, τοὺς δὲ καρποὺς ἡμιπέπτους καὶ ἀτελεῖς ἀπανθῆσαι καὶ παρακμάσαι διὰ τὴν ψυ-

χρό-

eſſe, impetu confeſtim facto in ipſo foro eum dilaceraverunt. Ob hanc formidinem Brutus & Caſſius paucis interjectis diebus urbe exceſſere. Quibus autem rebus inde geſtis, quibuſque preſſi calamitatibus occubuerunt, in Bruti hiſtoria ſumus perſecuti.

Obiit Cæſar annos natus non plus ſex & quinquaginta. Pompeio ſuperſtes fuit non multo annis quatuor amplius. Quod vero omni vita imperium & dominationem per tanta pericula perſecutus ægre confecit, ex hoc nihil niſi nominis invidioſæ apud cives gloriæ fructum cepit. At magnus ejus ille Genius, quo eſt in vita uſus, mortuum quoque comitatus necis ejus ultrix, atque omni terra marique perſequutus eſt, & inveſtigavit interfectores, quoad nullus ſuperfuit, ſed omnes, qui ulla re vel manu facti affines vel conſilii fuerant conſortes, vindicavit. Porro inter humana ſigna mirandum imprimis quod Caſſio accidit. Hic victus in Philippis ſemetipſe interemit eodem pugione quo violaverat Cæſarem. Ex cœleſtibus, grandis cometa, qui poſt Cæſaris necem eximie fulgens ſeptem noctes apparuit, inde ſubductus eſt; & jubaris ſolis obcæcatio. Nam anno toto illo orbis ejus pallidus ſine fulgore emerſit, debilemque & tenuem demiſit calorem. Itaque nubilus aer & gravis extitit ob imbecillitatem eum tenuantis teporis. Unde fructus crudi immaturique elanguerunt ob cœli rigorem & flaccidi eva-

χρότητα τοῦ περιέχοντος. μάλιστα δὲ τὸ Βρούτῳ γενόμενον φάσμα τὴν Καίσαρος ἐδήλωσεν σφαγὴν οὐ γενομένην θεοῖς ἀρεστήν. ἦν δὲ τοιόνδε· μέλλων τὸν στρατὸν ἐξ Ἀβύδου διαβιβάζειν εἰς τὴν ἑτέραν ἤπειρον, ἀνεπαύετο νυκτός, ὥσπερ εἰώθει, κατὰ σκηνήν, οὐ καθεύδων, ἀλλὰ φροντίζων περὶ τοῦ μέλλοντος. λέγεται γὰρ οὗτος ἀνὴρ ἥκιστα δὴ τῶν στρατηγῶν ὑπνώδης γενέσθαι, καὶ πλεῖστον ἑαυτῷ χρόνον ἐγρηγορότι χρῆσθαι πεφυκώς. ψόφου δέ τινος αἰσθέσθαι περὶ τὴν θύραν ἔδοξε, καὶ πρὸς τὸ τοῦ λύχνου φῶς ἤδη καταφερομένου σκεψάμενος, ὄψιν εἶδε φοβερὰν ἀνδρὸς ἐκφύλου τὸ μέγεθος, καὶ χαλεποῦ τὸ εἶδος. ἐκπλαγεὶς δὲ τὸ πρῶτον, ὡς ἑώρα μήτε πράττοντά τι, μήτε φθεγγόμενον, ἀλλὰ ἑστῶτα σιγῇ παρὰ τὴν κλίνην, ἠρώτα ὅστις ἐστίν. ἀποκρίνεται δ' αὐτῷ τὸ φάσμα, Ὁ σὸς ὦ Βροῦτε δαίμων κακός· ὄψῃ δέ με περὶ Φιλίππους. τότε μὲν οὖν ὁ Βροῦτος εὐθαρσῶς, Ὄψομαι, εἶπεν· καὶ τὸ δαιμόνιον εὐθὺς ἐκποδὼν ἀπῄει. τῷ δὲ ἱκνουμένῳ χρόνῳ περὶ τοὺς Φιλίππους ἀντιταχθεὶς Ἀντωνίῳ καὶ Καίσαρι, τῇ μὲν πρώτῃ μάχῃ κρατήσας τὸ καθ' ἑαυτὸν ἐτρέψατο καὶ διεξήλασεν, πορθῶν τὸ Καίσαρος στρατόπεδον· τὴν δὲ δευτέραν αὐτῷ μάχεσθαι μέλλοντι φοιτᾷ τὸ αὐτὸ φάσμα τῆς νυκτὸς αὖθις, οὐχ ὥστε τι προσειπεῖν, ἀλλὰ συνεὶς ὁ Βροῦτος τὸ πεπρωμένον, ἔρριψε φέρων ἑαυτὸν εἰς τὸν κίνδυνον. οὐ μὴν ἔπεσεν ἀγωνιζόμενος, ἀλλὰ τῆς τροπῆς γενομένης, ἀναφυγὼν πρός τι κρημνῶδες, καὶ τῷ ξίφει γυμνῷ προσβαλὼν τὸ στέρνον, ἅμα καὶ φίλου τινός, ὥς φασιν, ἐπιρρώσαντος πληγήν, ἀπέθανεν.

vaſere. Præcipue vero oblatum Bruto ſpectrum Cæſaris cædem denunciavit non fuiſſe Diis cordi. Id fuit hujuſcemodi: Tranſportaturus ex Abydo in oppoſitam continentem exercitum, quieſcebat nocte, ut aſſueverat, in tabernaculo, inſomnis adhuc, ut de belli eventu ſolicitus: ſiquidem vir hic inter omnes imperatores perhibetur minime ſomno indulſiſſe, naturaque fuiſſe vigilantiſſimus. Is ſtrepitum ſentire ad fores imaginatus eſt. Intentis autem ad lucernæ lumen jam emarceſcentis oculis, ſpeciem vidit horribilem viri immani magnitudine diroque aſpectu. Perculſus primum, ubi nihil intentantem conſpexit, neque vocem mittentem, tantum cubili ſuo tacitum aſſiſtentem: rogavit quiſnam eſſet. Reſpondit ei ſpectrum, Tuus Brute malus genius: in Philippis me videbis. Tunc forti animo Brutus, Videbo, inquit. Mox genius ille ex oculis abiit. Poſtmodo, quum in Philippis infeſtum exercitum contra Antonium & Cæſarem haberet, prima acie victor oppoſitum ſibi cornu profligavit, atque inſtans effuſis, caſtra Cæſaris diripuit. Altera inſtante pugna idem ſe ei noctu obtulit ſpectrum, neque eſt eum alloquutum: verum intelligens Brutus fatum, in periculum demiſit ſe. Non cecidit tamen in prœlio: ſed pulſis ſuis refugit ad rupem quandam, admotoque pectori ſtricto gladio, ſimulque amico quodam, ut fama eſt, ictum adjuvante, exanimatus eſt.



Apud Ful: Urſin: G. V. d. Gucht Sculp.

Φ Ω Κ Ι Ω Ν.

Δημάδης ὁ ῥήτωρ, ἰσχύων μὲν ἐν ταῖς Ἀθήναις διὰ τὸ πρὸς χάριν πολιτεύεσθαι Μακεδόνων καὶ Ἀντιπάτρου, πολλὰ δὲ γράφειν καὶ λέγειν ἀναγκαζόμενος παρὰ τὸ ἀξίωμα τῆς πόλεως καὶ τὸ ἦθος, ἔλεγε συγγνώμης ἄξιος εἶναι, πολιτευόμενος τὰ ναυάγια τῆς πόλεως. τοῦτο δὲ εἰ καὶ τῷ ῥήματι θρασύτερον εἴρηται, δόξειεν ἂν ἀληθὲς εἶναι, μετενεχθὲν ἐπὶ τὴν Φωκίωνος πολιτείαν. Δημάδης μὲν γὰρ αὐτὸς ἦν ναυάγιον τῆς πόλεως, οὕτως ἀσελγῶς βιώσας καὶ πολιτευσάμενος, ὥστε Ἀντίπατρον εἰπεῖν ἐπ' αὐτοῦ γέροντος ἤδη γεγονότος, ὅτι καθάπερ ἱερείου διαπεπραγμένου, γλῶσσα καὶ κοιλία μόνον ἀπολέλειπται· τὴν δὲ Φωκίωνος ἀρετήν, ὥσπερ ἀνταγωνιστῇ βαρεῖ καὶ βιαίῳ, καιρῷ συλλαχοῦσαν, αἱ τύχαι τῆς Ἑλλάδος ἀμαυρὰν καὶ ἀλαμπῆ πρὸς δόξαν ἐποίησαν. οὐ γὰρ Σοφοκλεῖ γε προσεκτέον ἀσθενῆ ποιοῦντι τὴν ἀρετήν, ἐν οἷς φησίν,

Ἀλλ'

Demades orator quia ad Macedonum & Antipatri nutum rempub. gerebat, Athenis plurimum pollens, quum multas leges rogare multaque dicere cogeretur præter civitatis dignitatem & morem, ignoſcendum dicebat ſibi eſſe, quod naufragia civitatis gubernaret. Fuit hoc dictum arrogantius, traductum tamen ad Phocionis in repub. actiones verum dicas. Quippe erat ipſe naufragium reipub. Demades, qui ita libidinoſe & vixit & rempub. adminiſtravit, ut de illo diceret Antipater jam ſene, ex eo ſicut hoſtia immolata linguam modo & ventrem ſupereſſe. At Phocionis virtutem, quæ gravem adverſariam erat & violentam temporum ſævitiam ſortita, fortuna Græciæ languidam & obſcuram reddidit ad gloriam. Neque enim audiendus Sophocles eſt, qui imbecillem virtutem facit hiſce carminibus,

Neque

Ἀλλ' οὐ γὰρ ὦ 'ναξ, οὐδ' ὃς ἂν βλαστῇ, μένει
Νοῦς τοῖς κακῶς πράξασιν, ἀλλ' ἐξίσταται.

τοσοῦτον δὲ τῇ τύχῃ δοτέον ἀντιταττομένη πρὸς τοὺς ἀγαθοὺς ἄνδρας ἰσχύειν, ὅσον ἀντὶ τῆς ἀξίας τιμῆς καὶ χάριτος ἐνίοις ψόγους πονηροὺς καὶ διαβολὰς ἐπιφέρουσαν, τὴν πίστιν ἀσθενεστέραν ποιεῖν τῆς ἀρετῆς.

Καίτοι δοκοῦσιν οἱ δῆμοι μᾶλλον εἰς τοὺς ἀγαθοὺς ἐξυβρίζειν, ὅταν δοκῶσιν εὐτυχεῖν ὑπὸ πραγμάτων μεγάλων καὶ δυνάμεως ἐπαιρόμενοι· συμβαίνειν δὲ τοὐναντίον. ἀεὶ γὰρ αἱ συμφοραὶ πικρὰ μὲν τὰ ἤθη καὶ μικρόλυπα καὶ ἀκρόσφαλῆ πρὸς ὀργὰς ποιοῦσιν, δύσκολον δὲ τὴν ἀκοὴν καὶ τραχεῖαν, ὑπὸ παντὸς λόγου καὶ ῥήματος τόνον ἔχοντος ἐνοχλουμένην. ὁ δ' ἐπιτιμῶν τοῖς ἐξαμαρτανομένοις, ἐξονειδίζειν τὰ δυστυχήματα δοκεῖ, καὶ καταφρονεῖν ὁ παρρησιαζόμενος. καὶ καθάπερ τὸ μέλι λυπεῖ τὰ τετρωμένα καὶ ἡλκωμένα μέρη τοῦ σώματος, οὕτως πολλάκις οἱ ἀληθινοὶ καὶ νοῦν ἔχοντες λόγοι δάκνουσι καὶ παροξύνουσι τοὺς κακῶς πράττοντας, ἐὰν μὴ προσηνεῖς ὦσιν καὶ συνείκοντες. ὥσπερ ἀμέλει τὸ ἡδὺ, μενοεικὲς ὁ ποιητὴς κέκληκεν, ὡς τῷ ἡδομένῳ τῆς ψυχῆς ὑπεῖκον, καὶ μὴ μαχόμενον μηδ' ἀντιτυποῦν. καὶ γὰρ ὄμμα φλεγμαῖνον, ἥδιστα τοῖς σκιεροῖς καὶ ἀλαμπέσιν ἐνδιατρίβει χρώμασι, τὰ δὲ αὐγὴν ἔχοντα καὶ φῶς ἀποστρέφεται. καὶ πόλις ἐν τύχαις ἀβουλήτοις γενομένη, ψοφοδεὲς καὶ τρυφερόν ἐστι δι' ἀσθένειαν ἀνέχεσθαι παρρησίας, ὅτε μάλιστα δεῖται, τῶν πραγμάτων ἀναφορὰν ἁμαρτήματος οὐκ ἐχόντων. διὸ πάντη σφαλερὸν ἡ τοιαύτη πολιτεία. συναπόλλυσι γὰρ τὸν πρὸς χάριν λέγοντα,

Neque enim ictus infortunio compos manet
Mentis: licet ante ſapuerit vel maxime.

Tantam vero infeſtæ bonis viris attribuas vim fortunæ, quatenus pro merito honore & gratia infamiam nonnullis & probra referens, fidei aliquantum deroget virtuti.

Et quidem putantur inſoleſcere magis in bonos populi, quum lætas res ſuas exiſtimant, rebus magnis & potentia exultantes. Verum diverſum accidit: ſiquidem infortunia amaros mores irritabileſque & præcipites reddunt in iram: ad hæc aures difficiles atque moroſas, quæ quovis dicto & verbo acri exacerbentur. Quippe peccantes qui caſtigat, exprobrare videtur calamitates: & deſpicere, qui libere loquitur. Atque ut corporis mel vulnera & ulcera pungit, ita frequenter vera & cordata oratio, niſi lenis ſit & blanda, mordet ac ſtimulat afflictos: quamobrem dulcia poeta animo obſecundantia (ita enim vox Græca velle videtur) vocavit, quæ quaſi animo cedunt, nec repugnant vel renituntur tumenti. Nam ut oculo inflammato opacus & fuſcus gratiſſimus color eſt, ſplendidus vero & lucidus aſperat eum: haud ſecus rebus obruta civitas parum proſperis timet refugitque ob imbecillitatem, quum maxime opus habeat, rebus eo prolapſis ut excitari nequeat ab offenſa, veritatem audire. Quapropter verſatur prorſus in lubrico talis reipub. adminiſtratio: quippe una ſecum blandientem auribus

τα, καὶ προσαπόλλυσι τὸν μὴ χαριζόμενον. ὥσπερ οὖν τὸν ἥλιον οἱ μαθηματικοὶ λέγουσιν, μήτε τὴν αὐτὴν τῷ οὐρανῷ φερόμενον φορὰν, μήτε ἄντικρυς ἐναντίαν καὶ ἀντιβατικὴν, ἀλλὰ λοξῷ καὶ παρεγκεκλιμένῳ πορείας σχήματι χρώμενον, ὑγρὰν καὶ εὐκαμπῆ καὶ περιελιττομένην ἕλικα ποιεῖν, ᾗ σώζεται πάντα καὶ λαμβάνει τὴν ἀρίστην κρᾶσιν· οὕτως ἄρα τῆς πολιτείας ὁ μὲν ὄρθιος ἄγαν καὶ πρὸς ἅπαντα τοῖς δημοσίοις ἀντιβαίνων τόνος, ἀπηνὴς καὶ σκληρός· ὥσπερ αὖ πάλιν ἐπισφαλὲς καὶ κάταντες, τὸ συνεφελκόμενον τοῖς ἁμαρτάνουσιν, ᾧ πολλοὶ καὶ συνεπιῤῥέπουσιν. ἡ δὲ ἀνθυπείκουσα πειθομένοις καὶ διδοῦσα τὸ πρὸς χάριν, εἶτ' ἀπαιτοῦσα τὸ συμφέρον ἐπιστασία καὶ κυβέρνησις ἀνθρώπων πολλὰ πρᾴως καὶ χρησίμως ὑπουργούντων, εἰ μὴ πάντα δεσποτικῶς καὶ βιαίως ἄγοιντο, σωτήριος, ἐργώδης δὲ καὶ χαλεπὴ, καὶ τὸ σεμνὸν ἔχουσα τῷ ἐπιεικεῖ δύσμικτον· ἐὰν δὲ μιχθῇ, τοῦτό ἐστιν ἡ πάντων μὲν ῥυθμῶν, πασῶν δὲ ἁρμονιῶν ἐμμελεστάτη καὶ μουσικωτάτη κρᾶσις. ᾗ καὶ τὸν κόσμον ὁ Θεὸς λέγεται διοικεῖν, οὐ βιαζόμενος, ἀλλὰ πειθοῖ καὶ λόγῳ παράγων τὴν ἀνάγκην.

Ταῦτα δὲ καὶ Κάτωνι τῷ νέῳ συνέβη. καὶ γὰρ οὗτος οὐ πιθανὸν εἶχεν οὐδὲ προσφιλὲς ὄχλῳ τὸ ἦθος, οὐδὲ ἤνθησεν ἐν τῇ πολιτείᾳ πρὸς χάριν· ἀλλ' ὁ μὲν Κικέρων φησὶν αὐτὸν, ὥσπερ ἐν τῇ Πλάτωνος πολιτείᾳ, καὶ οὐκ ἐν τῇ Ῥωμύλου πολιτευόμενον ὑποστάθμῃ, τῆς ὑπατείας ἐκπεσεῖν. ἐμοὶ δὲ ταὐτὸ δοκεῖ παθεῖν τοῖς μὴ καθ' ὥραν ἐκφανεῖσι καρποῖς. ὡς γὰρ ἐκείνους ἡδέως ὁρῶν-

bus perdit, & ingrata loquentem perdit ante. Ut igitur prædicant ſolem mathematici non eodem ac cœlum motu volvi, neque prorſus adverſo tamen & oppoſito, ſed obliquam atque leviter inflexam curſus formam tenendo, lentum, flexibilem, & ſequacem efficere anfractum, quo univerſitas conſtat, atque optimam accipit temperaturam: in repub. item nimium directus, & per omnia populi voluntati reluctans, ingratus eſt tenor & rigidus: ut contra lubricus & proclivis qui peccantes ſequitur, quum eo videat inclinare populum. Illa vero quæ parentibus viciſſim concedit indulgetque, indeque exigit quod fructiferum eſt, adminiſtratio & moderatio hominum in multis modeſte atque utiliter, niſi ubique imperioſe & violenter agantur, obtemperantium, ſalutaris quidem eſt, verum ardua, eam quæ ægre cum lenitate temperatur retinens gravitatem. Quæ cum hac ſi temperata fuerit, ea demum modulorum ſit omnium & concentuum maxime concinna & delectabilis temperatura, qua mundum quoque perhibent Deum regere, non violentia, ſed lepore & ratione inducendo leniens neceſſitatem.

Hæc Catoni minori uſu venere: neque enim blandis hic vel gratis plebi moribus præditus fuit, neque floruit in repub. obſequiis: ſed ait eum Cicero quaſi in repub. Platonis, non in Romuli fæce ageret, conſulatus repulſam tuliſſe. Mihi vero videtur idem illi quod fructibus accidiſſe intempeſtive provenientibus. Ut enim hos contemplamur liben-

ὁρῶντες καὶ θαυμάζοντες, οὐ χρῶνται· οὕτως ἡ Κάτωνος ἀρχαιοτροπία διὰ χρόνων πολλῶν ἐπιγινομένη βίοις διεφθορόσι καὶ πονηροῖς ἔθεσι, δόξαν μὲν εἶχεν μεγάλην καὶ κλέος, οὐκ ἐνήρμοσε δὲ ταῖς χρείαις, διὰ βάρος καὶ μέγεθος τῆς ἀρετῆς ἀσύμμετρον τοῖς καθεστῶσι καιροῖς. καὶ γὰρ αὐτὸς οὐ κεκλιμένης μὲν ἤδη τῆς πατρίδος, ὥσπερ ὁ Φωκίων, πολὺν δὲ χειμῶνα καὶ σάλον ἐχούσης, ὅσον ἱστίων καὶ κάλων ἐπιλαβέσθαι, καὶ παραστῆναι τοῖς πλέον δυναμένοις πολιτευσάμενος, οἰάκων δὲ καὶ κυβερνήσεως ἀπωσθεὶς, ὅμως μέγαν ἀγῶνα τῇ τύχῃ παρέστησεν. εἷλε μὲν γὰρ καὶ κατέλαβε τὴν πολιτείαν δι' ἄλλους, μόλις δὲ καὶ βραδέως, καὶ χρόνῳ πολλῷ καὶ παρὰ μικρὸν ἐλθοῦσαν περιγενέσθαι διὰ Κάτωνα καὶ τὴν Κάτωνος ἀρετήν· ᾗ παραβάλλομεν τὴν Φωκίωνος, οὐ κατὰ κοινὰς ὁμοιότητας, ὡς ἀγαθῶν καὶ πολιτικῶν ἀνδρῶν. ἔστι γὰρ ἀμέλει καὶ ἀνδρείας διαφορὰ πρὸς ἀνδρείαν, ὡς τῆς Ἀλκιβιάδου πρὸς τὴν Ἐπαμεινώνδου· καὶ φρονήσεως πρὸς φρόνησιν, ὡς τῆς Θεμιστοκλέους πρὸς τὴν Ἀριστείδου· καὶ δικαιοσύνης πρὸς δικαιοσύνην, ὡς τῆς Νομᾶ πρὸς τὴν Ἀγησιλάου. τούτων δὲ τῶν ἀνδρῶν αἱ ἀρεταὶ, μέχρι τῶν τελευταίων καὶ ἀτόμων διαφορῶν, ἕνα χαρακτῆρα καὶ μορφὴν καὶ χρῶμα κοινὸν ἤθους ἐγκεκραμένον ἐκφέρουσιν, ὥσπερ ἴσῳ μέτρῳ μεμιγμένου πρὸς τὸ αὐστηρὸν τοῦ φιλανθρώπου, καὶ πρὸς τὸ ἀσφαλὲς τοῦ ἀνδρείου, καὶ τῆς ὑπὲρ ἄλλων μὲν κηδεμονίας, ὑπὲρ αὐτῶν δὲ ἀφοβίας, καὶ πρὸς μὲν τὸ αἰσχρὸν εὐλαβείας, πρὸς δὲ τὸ δίκαιον εὐτονίας συνηρμοσμένης ὁμοίως· ὥστε λεπ-

benter miramurque, nec utimur tamen: ita mores antiqui Catonis, in civitate corrupta & depravata conſuetudine demum exiſtentes, laudem quidem habuerunt & gloriam grandem, uſui tamen propter pondus & faſtigium virtutis à præſenti abhorrens ſeculo non fuerunt conſentanei. Etenim haud præcipite jam patria, ut Phocion, magna tamen tempeſtate & fluctibus jactata, vela & rudentes ut tractare & aſſiſtere poſſet potentioribus, remp. gerens: quum a clavo eſſet & gubernaculo ſummotus, certamen exhibuit tamen fortunæ durum. Quippe ſubjugavit illa quidem & proſtravit rempub. per alios, verum ægre & tarde longoque ſpacio, quum victoria penes rempub. pene fuiſſet per Catonem & Catonis virtutem: cum qua Phocionis conferimus, non communes illas ſecuti ſimilitudines, ut bonorum & reipub. tractandæ peritorum virorum. Nempe eſt & fortitudinis cum fortitudine diſcrimen, ceu ejus quæ Alcibiadis fuit, cum illa quæ Epaminondæ; & cum prudentia prudentiæ, velut Themiſtoclis cum Ariſtidis; juſtitiæ item cum juſtitia, ut Numæ cum Ageſilai. At horum virorum virtutes uſque ad extremas & individuas differentias eundem characterem, effigiem, colorem morum communem præferunt impreſſum, quaſi temperata pari modo cum auſteritate humanitate, & cum cautione fortitudine: pro aliis ſolicitudine, pro ſemetipſis ſecuritate: turpitudinis fuga cum firmitate in perſequenda juſtitia ſimiliter in utroque coaptata. Adeo ut ad diſcernendum & eruen-

λεπτοῦ πάνυ λόγου δεῖσθαι, καθάπερ ὀργάνου πρὸς διάκρισιν καὶ ἀνεύρεσιν τῶν διαφερόντων.

Τὸ μὲν οὖν Κάτωνος ὡμολόγηται γένος ἐκ λαμπρῶν ὑπάρχειν, ὡς λεχθήσεται· Φωκίωνα δὲ τεκμαίρομαι μὴ παντάπασιν εἶναι γένους ἀτίμου καὶ καταπεπτωκότος. εἰ γὰρ ἦν, ὥς φησιν Ἰδομενεὺς, δοιδυκοποιοῦ πατρὸς, οὐκ ἂν ἐν τῷ λόγῳ Γλαύκιππος ὁ Ὑπερείδου, μυρία συνειλοχὼς καὶ εἰρηκὼς κατ' αὐτοῦ κακὰ, τὴν δυσγένειαν παρῆκεν· οὐδ' ἂν οὕτως ἐλευθερίου βίου καὶ σώφρονος καὶ παιδείας μετέσχεν, ὥστε τῆς Πλάτωνος, ἔτι μειράκιον ὤν, ὕστερον δὲ τῆς Ξενοκράτους διατριβῆς ἐν Ἀκαδημίᾳ μετασχεῖν, καὶ τῶν ἀρίστων ἐξ ἀρχῆς ἐπιτηδευμάτων ζηλωτὴς γενέσθαι. Φωκίωνα γὰρ οὔτε γελάσαντά τις, οὔτε κλαύσαντα ῥᾳδίως Ἀθηναίων εἶδεν, οὐδ' ἐν βαλανείῳ δημοσιεύοντι λουσάμενον, ὡς ἱστόρηκε Δοῦρις, οὐδὲ ἐκτὸς ἔχοντα τὴν χεῖρα τῆς περιβολῆς, ὅτε τύχοι περιβεβλημένος. ἐπεὶ κατά γε τὴν χώραν καὶ τὰς στρατείας ἀνυπόδητος ἀεὶ καὶ γυμνὸς ἐβάδιζεν, εἰ μὴ ψῦχος ὑπερβάλλον εἴη καὶ δυσκαρτέρητον, ὥστε καὶ παίζοντας ἤδη τοὺς στρατευομένους, σύμβολον μεγάλου ποιεῖσθαι χειμῶνος, ἐνδεδυμένον Φωκίωνα.

Τῷ δὲ ἤθει προσηνέστατος ὢν καὶ φιλανθρωπότατος, ἀπὸ τοῦ προσώπου δυσξύμβολος ἐφαίνετο καὶ σκυθρωπός· ὥστε μὴ ῥᾳδίως ἄν τινα μόνον ἐντυχεῖν αὐτῷ τῶν ἀσυνήθων. διὸ καὶ Χάρητί ποτε πρὸς τὰς ὀφρῦς αὐτοῦ λέγοντι, τῶν Ἀθηναίων ἐπιγελώντων, Οὐδὲν, εἶπεν, αὕτη ὑμᾶς λελύπηκεν ἡ ὀφρύς· ὁ δὲ τούτων γέλως πολλὰ κλαῦσαι τὴν πόλιν πεποίηκεν. ὁμοίως δέ πως

τοῦ

endum quatenus diſcrepent, ſubtili admodum opus ſit tanquam inſtrumento oratione.

Ac Catonis quidem in confeſſo eſt clarum genus, ut poſt dicetur, fuiſſe: Phocionem vero auguramus loci fuiſſe non omnino obſcuri & abjecti. Neque enim, ſi fuiſſet ei (ut Idomeneus autumat) pater artifex cochleariis, qui ſexcenta collegit & objecit ei convitia, generis novitatem Glaucippus Hyperidis filius prætermiſiſſet: neque mores adeo liberales & honeſtos vel inſtitutionem ſortitus eſſet: qui Platonis admodum adoleſcens, & poſt Xenocratis fuit in Academia auditor, ſtudiorumque a prima ætate ſectator optimorum. Siquidem neque ridentem neque plorantem quiſquam Athenienſium temere Phocionem vidit, neque in balneo publico lavantem, ut tradit Duris: neque extra pallium, cum amictus eſſet, manum ejus exertam. Nam peregre quidem atque in bello ſine calceis ſemper nuduſque incedebat, niſi gelu immodicum eſſet & intolerabile: ut milites per jocum pro gravis brumæ nota haberent, ubi eſſet veſtibus Phocion opertus.

Quamvis autem moribus eſſet manſuetiſſimis facillimiſque, vultum tamen moroſum & tetricum repræſentabat: unde nemo facile eum alienior convenit ſolus. Itaque quum Chares aliquando ſupercilia ejus perſtringeret, arrideretque populus Athenienſis: Nihil hoc vobis, inquit, mœroris intulit ſupercilium: at horum riſus multas civitati lacrymas invexit. Perinde

oratio

τοῦ Φωκίωνος καὶ ὁ λόγος ἦν ἐπὶ χρηστοῖς εὐτυχήμασι καὶ διανοήμασι σωτήριος, προστακτικήν τινα καὶ αὐστηρὰν καὶ ἀνήδυστον ἔχων βραχυλογίαν. ὡς γὰρ ὁ Ζήνων ἔλεγεν ὅτι δεῖ τὸν φιλόσοφον εἰς νοῦν ἀποβάπτοντα προφέρεσθαι τὴν λέξιν, οὕτως ὁ Φωκίωνος λόγος πλεῖστον ἐν ἐλαχίστῃ λέξει νοῦν εἶχεν. καὶ πρὸς τοῦτο ἔοικεν ἀπιδὼν ὁ Σφήττιος Πολύευκτος εἰπεῖν, ὅτι ῥήτωρ μὲν ἄριστος εἴη Δημοσθένης, εἰπεῖν δὲ δεινότατος ὁ Φωκίων. ὡς γὰρ ἡ τοῦ νομίσματος ἀξία πλείστην ἐν ὄγκῳ βραχυτάτῳ δύναμιν ἔχει, οὕτω λόγου δεινότης ἐδόκει πολλὰ σημαίνειν ἀπ' ὀλίγων. καὶ μέντοι καὶ αὐτόν ποτε τὸν Φωκίωνα φασὶ πληρουμένου τοῦ θεάτρου περιπατεῖν ὑπὸ σκηνήν, αὐτὸν ὄντα πρὸς ἑαυτῷ τὴν διάνοιαν· εἰπόντος δέ τινος τῶν φίλων, σκεπτομένῳ Φωκίων ἔοικας· ναὶ μὰ τὸν Δία, φάναι, σκέπτομαι εἴ τι δύναμαι τοῦ λόγου ἀφελεῖν ὃν μέλλω λέγειν πρὸς Ἀθηναίους. ὁ δὲ Δημοσθένης τῶν μὲν ἄλλων κατεφρόνει πολὺ ῥητόρων, ἀνισταμένου δὲ Φωκίωνος, εἰώθει λέγειν ἀτρέμα πρὸς τοὺς φίλους, ἡ τῶν ἐμῶν λόγων κοπὶς πάρεστιν. ἀλλὰ τοῦτο μὲν ἴσως πρὸς τὸ ἦθος ἀνοιστέον· ἐπεὶ καὶ ῥῆμα καὶ νεῦμα μόνον ἀνδρὸς ἀγαθοῦ μυρίοις ἐνθυμήμασι καὶ περιόδοις ἀντίρροπον ἔχει πίστιν.

Νέος δὲ ὢν Χαβρίᾳ προσέμιξεν ἑαυτὸν τῷ στρατηγῷ, καὶ παρείπετο, πολλὰ μὲν εἰς ἐμπειρίαν τῶν πολεμικῶν ὠφελούμενος· ἔστι δὲ ἐν οἷς ἐπανορθούμενος τὴν ἐκείνου φύσιν, ἀνώμαλον οὖσαν καὶ ἄκρατον. νωθρὸς γὰρ ὢν ὁ Χαβρίας καὶ δυσκίνητος ἄλλως, ἐν αὐτοῖς τοῖς ἀγῶσιν ὤργα καὶ διεπυροῦτο τῷ θυ-

oratio quoque fuit Phocionis utilibus ſententiis & conſiliis ſalubris, conjuncta cum imperioſa auſtera & triſti brevitate. Quippe, ut Zeno ait, mente tinctum proferre Philoſophum ſermonem debere, pari modo habuit Phocionis oratio plurimum in conciſa dictione ſententiæ; quo apparet Sphettium Polyeuctum reſpexiſſe, quum diceret oratorem eſſe Demoſthenem optimum, ſed in dicendo acutiſſimum Phocionem. Quo modo enim habet monetæ æſtimatio exigua in mole maximum valorem, ſic hujus orationis vim cenſebat verbis paucis multa ſignificare. Et vero ipſum etiam ferunt Phocionem aliquando completo theatro ſub ſcena inambulaſſe cogitabundum. Ubi quum amicus quidam diceret ei, Videris aliquid Phocion tecum meditari, Sane vero, inquit, meditor, an quid de oratione, quem habiturus ad populum Athenienſem ſum, queam reſecare. Demoſthenes magnopere contemnebat cæteros oratores: at quum ad dicendum Phocion ſurgeret, ſolebat ad amicos dicere ſummiſſe, Orationum mearum ſecuris adeſt. Cæterum hoc ſit fortaſſis ad mores ejus referendum: quando viri boni vel verbum vel nutus ſolus mille inſtar ſit ſententiarum & ambituum verborum.

Porro adoleſcens ſub duce meruit Chabria, eumque eſt affectatus, a quo fuit in ſcientia militari inſtitutus egregie. Nonnihil viciſſim illius ingenium correxit varium & intemperatum. Nam quum ſegnis alias Chabrias & tardus eſſet, ipſis in certaminibus gliſcebat & exardeſcebat animo, atque

θυμῷ, καὶ συνεξέπιπτε τοῖς θρασυτάτοις παραβολώτερον· ὥσπερ ἀμέλει καὶ κατέστρεψε τὸν βίον ἐν Χίῳ, πρῶτος εἰσελάσας τῇ τριήρει, καὶ βιαζόμενος πρὸς τὴν ἀπόβασιν. ἀσφαλὴς οὖν ἅμα καὶ δραστήριος ὁ Φωκίων φαινόμενος, τήν τε μέλλησιν ἀνεθέρμαινε τοῦ Χαβρίου, καὶ πάλιν ἀφῄρει τὴν ἄκαιρον ὀξύτητα τῆς ὁρμῆς. ὅθεν εὐμενὴς ὢν ὁ Χαβρίας καὶ χρηστὸς ἠγάπα καὶ προῆγεν αὐτὸν ἐπὶ πράξεις καὶ ἡγεμονίας, γνώριμον ποιῶν τοῖς Ἕλλησιν, καὶ τὰ πλείστης ἄξια σπουδῆς ἐκείνῳ χρώμενος. καὶ τῆς περὶ Νάξον ναυμαχίας ὄνομα καὶ δόξαν οὐ μικρὰν Φωκίωνι περιεποίησεν. τοῦ γὰρ εὐωνύμου κέρως ἀπέδωκεν αὐτῷ τὴν ἡγεμονίαν, καθ' ὃ καὶ τὴν μάχην ὀξεῖαν εἶχεν ὁ ἀγὼν, καὶ κρίσιν ἐποίησεν ταχεῖαν. πρώτην οὖν ἐκείνην ναυμαχίαν ἡ πόλις αὐτὴ δι' αὐτῆς ἀγωνισαμένη τοῖς Ἕλλησι μετὰ τὴν ἅλωσιν, καὶ κατατυχοῦσα, τόν τε Χαβρίαν ὑπερηγάπησεν, καὶ τοῦ Φωκίωνος, ὡς ἀνδρὸς ἡγεμονικοῦ, λόγον ἔσχεν. ἐνίκων δὲ μεγάλοις μυστηρίοις· καὶ παρεῖχεν οἰνοχόημα Χαβρίας Ἀθηναίοις καθ' ἕκαστον ἐνιαυτὸν τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ Βοηδρομιῶνος.

Ἐκ τούτου λέγεται, πέμποντος αὐτὸν ἐπὶ τὰς νησιωτικὰς συντάξεις τοῦ Χαβρίου, καὶ ναῦς εἴκοσι διδόντος, εἰπεῖν, εἰ μὲν ὡς πολεμήσων πέμποιτο, μείζονος δεῖν δυνάμεως, εἰ δὲ ὡς πρὸς συμμάχους, ἀρκεῖν ναῦν μίαν· καὶ πλεύσαντα τῇ αὐτοῦ τριήρει, καὶ διαλεχθέντα ταῖς πόλεσι, καὶ συγγενόμενον τοῖς ἄρχουσιν ἐπιεικῶς καὶ ἀφελῶς, καταπλεῦσαι μετὰ πολλῶν νεῶν, ἃς ἀπέστειλαν οἱ σύμμαχοι τὰ χρήματα τοῖς Ἀθηναίοις κομιζούσας. οὐ μόνον δὲ ζῶντα τὸν Χαβρίαν θεραπεύων διετέλει καὶ τιμῶν, ἀλλὰ καὶ τελευτή-

σαν-

que cum ferociſſimis proruebat præcipitantius: quo modo ſane in Chio quoque vitam projecit, quum triremi ſua ante cæteros provectus deſcenſionem urgeret. At Phocion juxta cautum & impigrum præbens ſe, qua cunctationem excitabat Chabriæ, qua contra calorem impetus intempeſtivum detrahebat. Unde candidus & probus Chabrias dilexit eum, ad negotiaque & imperia provexit, celebrem inde eum reddens apud Græcos, ejuſque arduis in rebus uſus eſt opera, atque ex pugna navali apud Naxum inſigne nomen & gloriam Phocioni conciliavit. Nam permiſit ei lævum cornu, in quo acre certamen prœlium habuit, & cito decrevit. Prima illa navali pugna civitas Athenienſis per ſe ſola, poſtquam capta fuit, conflixit cum Græcis, victrixque Chabriam mirifice complexa eſt, & Phocionem ut virum æſtimavit imperio dignum. Parta victoria eſt magnis myſteriis: cujus cauſa decimo ſexto die menſis Boedromionis dabat populo Athenienſi quotannis Chabrias vini dimenſum.

Hinc fertur, quum mitteretur a Chabria ad tributum ab inſulis exigendum ac naves viginti acciperet, dixiſſe, Si ad bellum gerendum mitteretur, majore claſſe opus eſſe: ſin vero ut ad ſocios, ſufficere navem unam. Itaque ſua navi profectum, alloquutumque civitates, & congreſſum cum magiſtratibus humaniter & aperte, decurriſſe cum frequentibus navibus, quas ſocii Athenienſibus cum ſtipendio miſere. Non autem vivum modo conſtanter obſervavit & coluit Chabriam, verum etiam

σαντος αὐτοῦ, τῶν προσηκόντων καλῶς ἐπεμελεῖτο, καὶ τὸν παῖδα Κτήσιππον ἐβούλετο μὲν ἄνδρα ποιεῖν ἀγαθόν, ἔμπληκτον δὲ ὁρῶν καὶ ἀνάγωγον, ὅμως οὐκ ἀπεῖπεν ἐπανορθούμενος καὶ ἀποκρύπτων τὰ αἴσχη. πλὴν ἅπαξ λέγεται, παρενοχλοῦντος ἐν στρατείᾳ τινὶ τοῦ νεανίσκου, καὶ κόπτοντος αὐτὸν ἐρωτήμασιν ἀκαίροις καὶ συμβουλίαις, οἷον ἐπανορθουμένου καὶ παραστρατηγοῦντος εἰπεῖν, Ὦ Χαβρία, Χαβρία, μεγάλην γέ σοι χάριν ἐκτίνω τῆς φιλίας, ὑπομένων σου τὸν υἱόν. ὁρῶν δὲ τοὺς τὰ κοινὰ πράσσοντας τότε, διῃρημένους ὥσπερ ἀπὸ κλήρου τὸ στρατήγιον καὶ τὸ βῆμα, καὶ τοὺς μὲν λέγοντας ἐν τῷ δήμῳ καὶ γράφοντας μόνον· ὧν Εὔβουλος ἦν καὶ Ἀριστοφῶν, καὶ Δημοσθένης, καὶ Λυκοῦργος, καὶ Ὑπερείδης· Διοπείθη δὲ καὶ Μενεσθέα, καὶ Λεωσθένη, καὶ Χάρητα τῷ στρατηγεῖν καὶ προσπολεμεῖν αὔξοντας ἑαυτούς· ἐβούλετο τὴν Περικλέους καὶ Ἀριστείδου καὶ Σόλωνος πολιτείαν, ὥσπερ ὁλόκληρον καὶ διηρμοσμένην ἐν ἀμφοῖν ἀναλαβεῖν καὶ ἀποδοῦναι. καὶ γὰρ τῶν ἀνδρῶν ἐκείνων ἕκαστος ἐφαίνετο κατὰ τὸν Ἀρχίλοχον,

Ἀμφότερον, θεράπων μὲν Ἐνυαλίοιο Θεοῖο,
Καὶ μουσέων ἐρατᾶν δῶρον ἐπιστάμενος.

καὶ τὴν Θεὸν ἑώρα πολεμικήν τε ἅμα καὶ πολιτικὴν οὖσαν, καὶ προσαγορευομένην.

Οὕτω δὲ συντάξας ἑαυτόν, ἐπολιτεύετο μὲν ἀεὶ πρὸς εἰρήνην καὶ ἡσυχίαν, ἐστρατήγησεν δὲ πλείστας οὐ μόνον τῶν καθ' ἑαυτὸν ἀλλὰ καὶ τῶν πρὸ αὐτοῦ στρατηγίας, οὐ παραγγέλλων, οὐδὲ μετιών, ἀλλ' οὐδὲ φεύγων, οὐδὲ ἀποδι-

am defuncti propinquorum magnam curam geſſit, & filium Cteſippum affectavit bonum virum reddere: quem licet vecordem videret & contumacem, non deſtitit tamen emendare & tegere ejus vitia. Semel tantum dicitur, quum obtunderet ipſum in quodam bello adoleſcens, fatigaretque importunis quæſtionibus & conſiliis, quaſi caſtigans atque imperatoris munus eum docere inſtituens, dixiſſe, O Chabria, Chabria, magnam ſane tibi refero amicitiæ gratiam, qui filium feram tuum. Quum videret eos qui id temporis rempublicam gerebant, partitos quaſi ſorte bellicam & forenſem adminiſtrationem, partim in concionibus dicere & rogationes promulgare tantum, ex quibus Eubulus, Ariſtophon, Demoſthenes, Lycurgus, Hyperides erant: Diopithem vero, Meneſthea, Leoſthenem, & Chareta imperando & bello gerendo opes quærere, inſtitutum viſum eſt ei Periclis, Ariſtidis, & Solonis, tanquam integrum atque ex ambobus concinnatum referre & reſtituere. Namque viſus eſt illorum virorum quiſque, ut Archilochi verba uſurpem, fuiſſe

Gradivi juxta per atrocia bella miniſter,
Dulciaque edoctus munera Pieridum.

Ac Minervam ipſam bellatricem ſimul & civilium artium peritam eſſe & appellari videbat.

Quum ita ſe comparaſſet, ſemper quidem procuravit pacem & otium, bella vero geſſit plurima omnium, non ſuorum tantum æqualium, ſed & priorum; non prenſans neque ambiens eas provincias, ſed neque defugiens tamen neque declinans, ubi uſus vocavit

διδράσκων τῆς πόλεως καλούσης. ὁμολογεῖται γὰρ ὅτι πέντε καὶ τεσσαράκοντα στρατηγίας ἔλαβεν, οὐδὲ ἅπαξ ἀρχαιρεσίοις παρατυχὼν, ἀλλ' ἀπόντα μεταπεμπομένων αὐτὸν ἀεὶ καὶ χειροτονούντων· ὥστε θαυμάζειν τοὺς οὐκ εὖ φρονοῦντας τὸν δῆμον, ὅτι πλεῖστα τοῦ Φωκίωνος ἀντικρούοντος αὐτῷ, καὶ μηδὲν εἰπόντος πώποτε μηδὲ πράξαντος πρὸς χάριν, ὥσπερ ἀξιοῦσι τοὺς βασιλεῖς τοῖς κόλαξι χρῆσθαι μετὰ τὸ τῶν χειρὸς ὕδωρ, ἐχρῆτο οὗτος τοῖς μὲν κομψοτέροις καὶ ἱλαροῖς ἐν παιδιᾶς μέρει δημαγωγοῖς, ἐπὶ δὲ τὰς ἀρχὰς ἀεὶ νήφων καὶ σπουδάζων τὸν αὐστηρότατον καὶ φρονιμώτατον ἐκάλει τῶν πολιτικῶν, καὶ μόνον ἢ μᾶλλον ταῖς βουλήσεσιν αὐτοῦ καὶ ὁρμαῖς ἀντιτασσόμενον. χρησμοῦ μὲν γὰρ ἐκ Δελφῶν ἀναγνωσθέντος, ὅτι τῶν ἄλλων Ἀθηναίων ὁμοφρονούντων, εἷς ἀνὴρ ἐναντία φρονοίη τῇ πόλει, παρελθὼν ὁ Φωκίων ἀμελεῖν ἐκέλευσεν, ὡς αὐτὸς ὢν ὁ ζητούμενος· μόνῳ γὰρ αὐτῷ μηδὲν ἀρέσκειν τῶν πραττομένων. ἐπεὶ δὲ λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει, καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν, οὐ δή πού τι κακὸν λέγων ἐμαυτὸν λέληθα;

Πρὸς δὲ θυσίαν τινὰ τῶν Ἀθηναίων αἰτούντων ἐπιδόσεις, καὶ τῶν ἄλλων ἐπιδιδόντων, κληθεὶς πολλάκις, ἔφη, τούτους αἰτεῖτε τοὺς πλουσίους· ἐγὼ δ' αἰσχυνοίμην ἂν εἰ τούτῳ μὴ ἀποδιδοὺς, ὑμῖν ἐπιδοίην· δείξας Καλλικλέα τὸν δανειστήν. ὡς δ' οὐκ ἐπαύοντο κεκραγότες καὶ καταβοῶντες, λόγον εἶπεν αὐτοῖς τοῦτον, Ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῄει, φθεγξαμένων δὲ κοράκων, τὰ ὅπλα θεὶς ἡσύχαζεν· εἶτα ἀναλαβὼν αὖθις ἐξῄει, καὶ φθεγγομένων πά-

λιν

cavit eum reipub. Conſtat enim eum quinque & quadraginta cepiſſe præturas, quum comitiis ne ſemel quidem interfuiſſet, ſed abſens ſemper electus & accerſitus eſſet. Itaque mirabantur inſipientes populum, quod quum plurimum Phocion in eum incurreret, neque unquam quicquam vel dixiſſet vel egiſſet populariter, ſicut reges cenſent uti adulatoribus debere poſt lotas manus, ita uteretur populus hic concionatoribus facetioribus & blandioribus per ludum, ad imperia ſobrius ſemper & ſedulus ſeveriſſimum vocaret ac ſapientiſſimum civem, eumque ſolum vel præ aliis qui nutibus & libidinibus ſuis reluctabatur. Quippe quum eſſet oraculum Delphicum recitatum, cæteris conſentientibus Athenienſibus unum diſſentire a civitate civem, progreſſus Phocion liberare ſe eos ait ſolicitudine, Se, quem quærerent, eſſe. Sibi enim eorum quæ agerentur uni placere nihil. Quum aliquando ſententia dicta in concione celebraretur, orationemque ſuam pariter videret ab omnibus approbari, converſus ad amicos dixit, Num quid imprudenti mihi excidit mali?

Flagitante congiarium ad ſacrificium quoddam populo Athenienſe, aliiſque præbentibus, identidem appellatus ait, Hoſce poſcite divites: me vero puderet, vobis ſi largirer, huic non ſolvere: monſtrans Calliclem fœneratorem. Ubi non ceſſarunt vociferari & increpare eum probris, hanc narravit eis fabulam. Quidam ignavus homo parabat ad bellum proficiſci. Crocientibus autem corvis poſuit arma, tenuitque ſe domi. Mox recipiens ea inſtitit pergere.

λιν ὑπέστη. καὶ τέλος εἶπεν, ὑμεῖς κεκράξεσθε μὲν μέγιστον ὡς δυνατὸν, ἐμοῦ δ' οὐ γεύσεσθε. πάλιν δέ ποτε τῶν Ἀθηναίων ἐξαγαγεῖν αὐτὸν ἐπὶ τοὺς πολεμίους κελευόντων, ὡς οὐκ ἐβούλετο, δειλὸν καὶ ἄνανδρον ἀποκαλούντων, οὔτε ὑμεῖς, εἶπεν, ἐμὲ δύνασθε ποιῆσαι θαρσαλέον, οὔτε ἐγὼ ὑμᾶς δειλούς. οὐ μὴν ἀλλ' ἴσμεν ἀλλήλους. ἐν δὲ καιροῖς ἐπισφαλέσι τραχυνομένου τοῦ δήμου πρὸς αὐτὸν σφόδρα, καὶ τῆς στρατηγίας εὐθύνας ἀπαιτοῦντος, Σωθεῖτε, εἶπεν, ὦ μακάριοι πρῶτον. ἐπεὶ δὲ πολεμοῦντες μὲν ἦσαν ταπεινοὶ καὶ περιδεεῖς, γενομένης δὲ εἰρήνης ἐθρασύνοντο, καὶ κατεβόων τοῦ Φωκίωνος, ὡς ἀφῃρημένου τὴν νίκην αὐτῶν, Εὐτυχεῖτε, εἶπεν, ἔχοντες στρατηγὸν εἰδότα ὑμᾶς· ἐπεὶ πάλαι ἂν ἀπολώλειτε. τοῖς δὲ Βοιωτοῖς οὐ βουλομένων αὐτῶν δικάζεσθαι περὶ τῆς χώρας, ἀλλὰ πολεμεῖν, συνεβούλευε διὰ τῶν λόγων, ἐν οἷς εἰσι κρείττους, μὴ διὰ τῶν ὅπλων, ἐν οἷς ἥττους, μάχεσθαι. λέγοντα δ' αὐτὸν οὐ προσιεμένων οὐδὲ ὑπομενόντων ἀκούειν, Ἐμὲ, εἶπεν, ὑμεῖς ἃ μὴ βούλομαι ποιεῖν, βιάσασθαι δύνασθε, λέγειν δὲ ἃ μὴ δεῖ παρὰ γνώμην οὐκ ἀναγκάσετε. τῶν δὲ ἀντιπολιτευομένων αὐτῷ ῥητόρων, Δημοσθένους μὲν εἰπόντος, Ἀποκτενοῦσί σε Ἀθηναῖοι Φωκίων· ἂν μανῶσιν, εἶπεν, σὲ δὲ, ἐὰν σωφρονῶσι. Πολύευκτον δὲ τὸν Σφήττιον ὁρῶν ἐν καύματι συμβουλεύοντα τοῖς Ἀθηναίοις πολεμεῖν πρὸς Φίλιππον, εἶτα ἐπ' ἄσθματος πολλοῦ καὶ ἱδρῶτος, ἅτε δὴ καὶ ὑπέρπαχυν ὄντα, πολλάκις ἐπιρροφοῦντα τοῦ ὕδατος, Ἄξιον, ἔφη, τούτῳ πιστεύσαντας ὑμᾶς ψηφίσασθαι τὸν πόλεμον· ὃν τί οἴεσθε ποιήσειν ἐν τῷ θώρακι καὶ τῇ ἀσπί-

gere. Illis denuo crocientibus, ſubſtitit, & tandem ait, Etſi vos quam maxime crocivistis, non guſtabitis me tamen. Alio tempore jubentibus Athenienſibus ut moveret in hoſtes, ubi renuit, timidum mollemque appellantibus: Neque vos, inquit, facere me audacem poteſtis, neque vos ego timidos. Attamen novimus nos inter nos. Quum dubiis temporibus perquam ageret cum eo populus aſpere, atque imperii rationes repoſceret, Servemini quæſo, inquit, prius. Quum in bello eſſent abjecti & trepidi, pace vero facta ferocirent, ac convitiis inceſſerent Phocionem, quaſi eripuiſſet ipſis victoriam, Felices eſtis, infit, ducem qui habeatis vos cognoſcentem; alioquin jamdudum periſſetis. Cum Bœotiis ubi de agro voluere non judicio ſed bello diſceptare, conſuluit ut verbis, quibus præſtarent, non, quibus eſſent inferiores, armis, cum iis digladiarentur. Quum aliquando ſententiam ejus non probarent, neque eum ſuſtinerent audire, Me vos, inquit, quæ non probo, cogere ut faciam valetis: dicere quæ non probo præter ſententiam non cogetis. Ex adverſariis ejus in repub. oratoribus quum Demoſthenes dixiſſet, Interficiet te populus Athenienſis Phocion, Si inſanire cœperit, reſpondit, te vero, ſi ſapuerit. Polyeuctum Sphettium quum videret per æſtum autorem populo Athenienſi eſſe movendi Philippo belli, inde anhelantem multum & ſudantem, utpote præpinguem, atque crebro aquam ſorbentem, Debetis ſcilicet, inquit, ex hujus ſententia bellum ſciſcere: quem in lorica & clypeo quid cenſetis facturum inſtan-

ἀσπίδι, τῶν πολεμίων ἐγγὺς ὄντων, ὅτε λέγων πρὸς ὑμᾶς ἃ ἔσκεπται, κινδυνεύει πνιγῆναι; τοῦ δὲ Λυκούργου πολλὰ βλάσφημα πρὸς αὐτὸν εἰπόντος ἐν ἐκκλησίᾳ, καὶ πρὸς ἅπασιν, ὅτι δέκα τῶν πολιτῶν ἐξαιτοῦντος Ἀλεξάνδρου συνεβούλευεν ἐκδοῦναι, εἶπεν, πολλὰ ἐγὼ συμβεβούλευκα καλὰ καὶ συμφέροντα τούτοις, ἀλλ' οὐ πείθονταί μοι.

Ἦν δέ τις Ἀρχιβιάδης ἐπικαλούμενος Λακωνιστὴς, πώγωνά τε καθειμένος ὑπερφυῆ μεγέθει, καὶ τρίβωνα φορῶν ἀεὶ καὶ σκυθρωπάζων· τοῦτον ἐν βουλῇ θορυβούμενος ὁ Φωκίων ἐπεκαλεῖτο τῷ λόγῳ μάρτυρα ἅμα καὶ βοηθόν. ὡς δὲ ἀναστὰς ἐκεῖνος, ἃ πρὸς χάριν ἦν τοῖς Ἀθηναίοις συνεβούλευεν, ἁψάμενος αὐτοῦ τῶν γενείων, Ὦ Ἀρχιβιάδη, εἶπεν, τί οὖν οὐκ ἀπεκείρω; Ἀριστογείτονος δὲ τοῦ συκοφάντου, πολεμικοῦ μὲν ὄντος ἐν ταῖς ἐκκλησίαις, καὶ παροξύνοντος ἐπὶ τὰς πράξεις τὸν δῆμον, ἐν δὲ τῷ καταλόγῳ προσελθόντος ἐπὶ βακτηρίᾳ τῷ σκέλει καταδεδεμένῳ, πόῤῥωθεν αὐτὸν ἀπὸ τοῦ βήματος ἰδὼν ὁ Φωκίων, ἀνέκραγεν, Γράφε καὶ Ἀριστογείτονα χωλὸν καὶ πονηρόν. ὥστε θαυμάζειν ὅπως καὶ ὁπόθεν τραχὺς οὕτως ἀνὴρ καὶ σκυθρωπὸς ἐκτήσατο τὴν τοῦ χρηστοῦ προσηγορίαν. ἔστιν δὲ, οἶμαι, χαλεπὸν, οὐ μὴν ἀδύνατον, ὥσπερ οἶνον καὶ ἄνθρωπον, τὸν αὐτὸν ἡδὺν ἅμα καὶ αὐστηρὸν εἶναι· καθάπερ ἕτεροι πάλιν φαινόμενοι γλυκεῖς, ἀηδέστατοι τοῖς χρωμένοις εἰσὶ καὶ βλαβερώτατοι. καίτοι φασὶν Ὑπερείδην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον, Ἄνδρες Ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον εἰ πικρὸς, ἀλλ' εἰ προῖκά εἰμι πικρός. ὥσπερ τῇ πλεονεξίᾳ μόνον ἐπαχθεῖς καὶ λυπηροὺς ὄντας, οὐχὶ μᾶλλον

ὅσοι

ſtantibus hoſtibus, quum inter dicendum apud vos ea quæ commentatus eſt, pene ſuffocetur? Quum multa ei exprobraret in concione Lycurgus, præter cætera, quod depoſcenti decem cives Alexandro, fuiſſet autor ut dederentur: ait, Multa ego his recta & ſalutaria conſilia dedi, verum non parent mihi.

Erat Archibiades quidam, quem Laconiſtam ab imitatione Spartanorum appellabant, immenſa promiſſa barba, ac læna ſemper amictus tetricuſque. Hunc in curia Phocion occlamationibus jactatus teſtem dictis ſuis & ſuffragatorem advocavit: qui ut exſurgens quæ accepta forent conſuluit Athenienſibus, apprehenſa barba ejus, Quin igitur Archibiade, inquit, tondes barbam? Quum Ariſtogiton ſycophanta, qui in concionibus bellicoſus erat, populumque ad arma incenderat, in delectu accederet baculo innixus & crure obligato, conſpicatus procul eum ex ſuggeſtu Phocion, exclamavit, Scribe etiam Ariſtogitonem claudum & improbum. Ut mirum ſit qui & unde vir adeo aſper & triſtis cognomen invenerit boni. Cæterum eſt meo judicio arduum, haud impoſſibile tamen, ut vinum, ſic hominem eundem dulcem pariter & auſterum eſſe: ſicut alii e diverſo in ſpecie dulces, ingratiſſimi uſu ſunt & nocentiſſimi. Et quidem Hyperidem memorant aliquando in concione dixiſſe, Nolite Athenienſes advertere ſolum an amarus, ſed an gratis ſim amarus: quaſi illos tantum qui avaritia importuni & odioſi ſunt, non autem hos potius

qui

ὅσοι πρὸς ὕβριν καὶ φθόνον, ἢ ὀργὴν ἢ φιλονεικίαν τινὰ χρῶνται τῇ δυνάμει, τούτους δεδιότων καὶ προβαλλομένων τῶν πολλῶν. Φωκίων τοίνυν ἔχθρα μὲν οὐδένα τῶν πολιτῶν κακῶς ἐποίησεν, οὐδὲ ἐνόμιζεν ἐχθρόν· ἀλλ᾽ ὅσον ἔδει μόνον τῶν ἐνισταμένων οἷς ἔπραττεν ὑπὲρ τῆς πατρίδος κατεξαναστῆναι, τραχὺς ὢν καὶ δυσεκβίαστος καὶ ἀπαραίτητος, εἰς τὸν ἄλλον βίον εὐμενῆ πᾶσι καὶ κοινὸν καὶ φιλάνθρωπον ἑαυτὸν παρεῖχεν, ὥστε καὶ πταίσασι βοηθεῖν, καὶ κινδυνεύουσι συνεξετάζεσθαι τοῖς διαφόροις. ἐγκαλούντων δὲ τῶν φίλων ὅτι πονηρῷ τινι κρινομένῳ συνεῖπεν, τοὺς χρηστοὺς ἔφη μὴ δεῖσθαι βοηθείας. Ἀριστογείτονος δὲ τοῦ συκοφάντου μετὰ τὴν καταδίκην πέμψαντος καὶ δεηθέντος ἐλθεῖν πρὸς αὐτὸν, ὑπακούσας ἐβάδιζεν εἰς τὸ δεσμωτήριον· οὐκ ἐώντων δὲ τῶν φίλων, Ἐάσατε, εἶπεν, ὦ μακάριοι· ποῦ γὰρ ἄν τις ἥδιον Ἀριστογείτονι συμβάλοι;

Καὶ μὴν οἵ γε σύμμαχοι καὶ οἱ νησιῶται τοὺς Ἀθήνηθεν ἀποστόλους, ἑτέρου μὲν ἐκπλέοντος στρατηγοῦ, πολεμίους νομίζοντες, ἐφράγνυντο τείχη, καὶ λιμένας ἀπεχώννυσαν, καὶ κατεκόμιζον ἀπὸ τῆς χώρας εἰς τὰς πόλεις βοσκήματα, καὶ ἀνδράποδα, καὶ γυναῖκας, καὶ παῖδας· εἰ δὲ Φωκίων ἡγοῖτο, πόρρω ναυσὶν ἰδίαις ἀπαντῶντες ἐστεφανωμένοι, καὶ χαίροντες, ὡς αὐτοὺς κατῆγον.

Παραδυομένου δὲ εἰς τὴν Εὔβοιαν τοῦ Φιλίππου, καὶ δύναμιν ἐκ Μακεδονίας διαβιβάζοντος, καὶ τὰς πόλεις οἰκειουμένου διὰ τυράννων, Πλουτάρχου δὲ τοῦ Ἐρετριέως καλοῦντος τοὺς Ἀθηναίους, καὶ δεομένου τὴν νῆσον ἐξελέσθαι κα-

qui ad impotentiam & invidiam vel iram vel contentionem abutuntur potentia, populus timeat & execretur. At Phocion inimicum ex civibus neminem afflixit, ac ne pro inimico quidem habuit, ſed quantum res poſtulabat, tantum ut adverſus obſiſtentes ſuis pro bono publico actionibus luctaretur, horridus erat, pertinax & implacabilis. Omnibus in cæteris placidum ſe communemque & humanum præbebat, lapſiſque ferebat opem, atque periclitantibus advocatus aderat adverſariis. Exprobrantibus ei amicis quod turpem hominem defendiſſet, probos ait non indigere auxilio. Ariſtogitoni ſycophantæ poſt damnationem ipſum per amicos precato ut ad ſe veniret, morem geſſit, atque ad carcerem perrexit. Retinentibus eum amicis, Sinite quæſo, inquit: ubi enim congrediare cum Ariſtogitone libentius?

Porro ſocii Athenienſium & inſulares, claſſes eorum duce miſſas alio, pro hoſtibus habebant, muros ſepiebant, portus obſtruebant, pecora, ſervitia, conjuges, liberos in urbes ex agris deportabant: ſin imperator Phocion eſſet, navibus ſuis longe occurrebant coronati & gratulabundi, deducebantque eum ad ſe.

Quum irreperet in Eubœam Philippus, eoque exercitum ex Macedonia traduceret, atque oppida ſolicitaret per tyrannos, implorante opem Athenienſium Plutarcho Eretrienſi, oranteque inſulam ut eriperet ex faucibus

καταλαμβανομένην ὑπὸ τοῦ Μακεδόνος, ἀπεστάλη στρατηγὸς ὁ Φωκίων, ἔχων δύναμιν οὐ πολλήν, ὡς τῶν ἐκεῖ συστησομένων ἑτοίμως πρὸς αὐτόν. εὑρὼν δὲ προδοτῶν ἅπαντα μεστά, καὶ νοσοῦντα, καὶ διορωρυγμένα δωροδοκίᾳ, εἰς κίνδυνον μέγαν κατέστη· καί τινα λόφον χαράδρᾳ βαθείᾳ τῶν περὶ τὰς Ταμύνας ἐπιπέδων ἀποκρυπτόμενον καταλαβών, συνεῖχεν ἐν τούτῳ καὶ συνεκράτει τὸ μαχιμώτατον τῆς δυνάμεως. τῶν δὲ ἀτάκτων καὶ λάλων καὶ πονηρῶν διαδιδρασκόντων ἐκ τοῦ στρατοπέδου, καὶ ἀποχωρούντων, ἐκέλευσεν ἀμελεῖν τοὺς ἡγεμόνας· καὶ γὰρ ἐνταῦθα δυσχρήστους ὑπὸ ἀταξίας ἔσεσθαι, καὶ βλαβεροὺς τοῖς μαχομένοις, κἀκεῖ τοιαῦτα συνειδότας αὑτοῖς ἧττον αὐτοῦ καταβοήσεσθαι, καὶ μὴ πάνυ συκοφαντήσειν.

Ὡς δὲ ἐπῆσαν οἱ πολέμιοι, κελεύσας ἐν τοῖς ὅπλοις ἀτρεμεῖν ἄχρι ἂν αὐτὸς σφαγιάσηται, πλείω διέτριβε χρόνον, ἢ δυσιερῶν, ἢ βουλόμενος ἐγγυτέρω τοὺς πολεμίους ἐπισπάσασθαι. διὸ πρῶτον μὲν ὁ Πλούταρχος, οἰόμενος ἀποδειλιᾶν καὶ κατοκνεῖν ἐκεῖνον, ἐξέδραμε μετὰ τῶν ξένων. ἔπειτα τοῦτον ἰδόντες οἱ ἱππεῖς οὐκ ἐκαρτέρησαν, ἀλλ' ἤλαυνον εὐθὺς εἰς τοὺς πολεμίους, ἀσύντακτοι καὶ σποράδες ἐκ τοῦ στρατοπέδου προσφερόμενοι. νικωμένων δὲ τῶν πρώτων, ἅπαντες ἐσκεδάσθησαν, καὶ ὁ Πλούταρχος ἔφυγε· καὶ τῷ χάρακι προσμίξαντες ἔνιοι τῶν πολεμίων, ἐκκόπτειν ἐπειρῶντο καὶ διασπᾶν, ὡς ἁπάντων κεκρατηκότες. ἐν τούτῳ δὲ τῶν ἱερῶν γενομένων, τοὺς μὲν εὐθὺς ἐκ τοῦ στρατοπέδου προσπεσόντες οἱ Ἀθηναῖοι τρέπουσι, καὶ καταβάλλουσι τοὺς πλείστους περὶ τοῖς ἐρύμασι φεύγοντας· ὁ δὲ Φωκίων τὴν μὲν φάλαγγα προσέταξεν ἐφε-

cibus Macedonum, Phocion parva manu dux miſſus eſt, quod incolas ſperarent prompte ad eum concurſuros. Qui omnia quum offendiſſet proditorum plena, affecta, & largitione conſtuprata, in periculum adductus ingens eſt: occupatoque tumulo quodam, qui cava valle a campo eſt circa Tamynas diremptus, in eo quod firmiſſimum erat in exercitu, continuit & coercuit. De incompoſitis, garrulis, & ignavis, qui ex caſtris aufugiebant & ſigna relinquebant, monuit duces nihil eſſe laborandum: quippe ob licentiam fore eos in exercitu inutiles, & obfuturos dimicantibus: domi vero, horum ſibi conſcios, minus eum inſectaturos ipſos neque multum calumniaturos.

Ut infeſti adfuere hoſtes, juſſis ſuis ſub armis conſiſtere quoad immolaviſſet, protraxit tempus diutius, vel quod non litaret, vel quo hoſtes propius alliceret. Quapropter ratus primum metu illum trepidare & obtorpeſcere Plutarchus, procurrit cum milite conductitio. Deinde conſpicati id equites, non continuerunt ſe, ſed illico admiſerunt equos in hoſtem, inconditique & effuſi proruerunt ex caſtris. Dum cæduntur primi, omnes disjecti ſunt, & fugam cepit Plutarchus. Pars hoſtium vallum adorti exſcindere moliebantur & perrumpere tanquam omnibus fuſis. Interea perpetrato ſacro erumpentes caſtris Athenienſes partem extemplo avertunt, & in fugam effuſos apud vallum plurimos concidunt, Phocion phalangem in occaſionem ſtare intentam impe-

ἐφεδρεύειν, ἀναλαμβάνουσαν ἅμα καὶ προσδεχομένην τοὺς ἐν τῇ φυγῇ πρότερον διασπαρέντας, αὐτὸς δὲ τοὺς ἐπιλέκτους ἔχων, ἐνέβαλλε τοῖς πολεμίοις. καὶ μάχης καρτερᾶς γενομένης, πάντες μὲν ἐκθύμως ἠγωνίσαντο καὶ ἀφειδῶς· Θάλλος δὲ ὁ Κινέου, καὶ Γλαῦκος ὁ Πολυμήδους, περὶ αὐτὸν τεταγμένοι τὸν στρατηγὸν, ἠρίστευσαν. οὐ μὴν ἀλλὰ καὶ Κλεοφάνης ἄξιον πλείστου παρέσχεν ἑαυτὸν ἐν ἐκείνῃ τῇ μάχῃ. τοὺς γὰρ ἱππεῖς ἀνακαλούμενος ἐκ τῆς τροπῆς, καὶ βοῶν καὶ διακελευόμενος κινδυνεύοντι τῷ στρατηγῷ βοηθεῖν, ἐποίησεν ἀναστρέψαντας ἐπιρρῶσαι τὸ νίκημα τῶν ὁπλιτῶν. ἐκ τούτου, τόν τε Πλούταρχον ἐξέβαλλεν ἐκ τῆς Ἐρετρίας, καὶ Ζάρητρα φρούριον ἑλὼν ἐπικαιρότατον, ᾗ μάλιστα συνελαύνεται τὸ πλάτος εἰς βραχὺ διάζωμα, τῆς νήσου σφιγγομένης ἑκατέρωθε ταῖς θαλάσσαις, οὔτε λαβεῖν αἰχμαλώτους Ἕλληνας ἐφῆκε, φοβηθεὶς τοὺς ῥήτορας τῶν Ἀθηναίων, μὴ πρὸς ὀργήν τινα βιάσωνται τὸν δῆμον ἀγνωμονῆσαι περὶ αὐτούς.

Ἐπεὶ δὲ ταῦτα διαπραξάμενος ἀπέπλευσεν ὁ Φωκίων, ταχὺ μὲν ἐπόθησαν οἱ σύμμαχοι τὴν χρηστότητα καὶ δικαιοσύνην αὐτοῦ, ταχὺ δὲ ἔγνωσαν οἱ Ἀθηναῖοι τὴν ἐμπειρίαν καὶ ῥώμην τοῦ ἀνδρός. ὁ γὰρ μετ' ἐκεῖνον ἐλθὼν ἐπὶ τὰ πράγματα Μολοσσὸς, οὕτως ἐπολέμησεν ὥστε καὶ ζῶν αὐτὸς ὑποχείριος γενέσθαι τοῖς πολεμίοις. ἐπεὶ δὲ μεγάλα ταῖς ἐλπίσι περινοῶν ὁ Φίλιππος εἰς Ἑλλήσποντον ἦλθεν μετὰ πάσης τῆς δυνάμεως, ὡς Χερρόνησον ἐν ταυτῷ καὶ Πέρινθον ἕξων καὶ Βυζάντιον· ὡρμημένων δὲ τῶν Ἀθηναίων βοηθεῖν, οἱ ῥήτορες ἠγωνίσαντο τὸν Χάρητα στρατηγὸν ἀποσταλῆναι· καὶ πλεύ-

perat, colligereque ſimul & recipere eos qui in ſugam ante diſſipati fuerant: ipſe cum delectis incurrit in hoſtes, commiſſaque acri pugna omnes impigre & ſtrenue certaverunt. Thallus Cineæ & Glaucus Polymedis, apud ipſum locati ducem, præter cæteros dimicaverunt fortiter, & vero etiam Cleophanes inſignem virum eo in prœlio præſtitit. Hic equites ex fuga revocans, clamans & adhortans ut periclitanti ſuccurrerent imperatori, effecit ut reverſi victoriam peditum confirmarent. Hinc Plutarchum exegit Eretria, & Zaretra opportuniſſimam arcem cepit, qua maxime coarctatur laxitas inſulæ, quæ in anguſtam cervicem utrinque aſtringitur pelago. Græcos capi non permiſit oratorum Athenienſium metu, ne populum ad ſecus in eos conſulendum inflammarent.

Poſtquam rebus hiſce geſtis domum ſe Phocion recepit, mox deſideraverunt ejus humanitatem & juſtitiam ſocii, mox etiam populus Athenienſis peritiam ejus & virtutem animadvertit: ſiquidem ſucceſſor ejus Moloſſus ita geſſit bellum, ut etiam ipſe in hoſtium poteſtatem vivus venerit. Unde grandia Philippus ſpe complexus, in Helleſpontum cum omnibus copiis movit ad occupandum ſimul Cherſonneſum, Perinthum, & Byzantium. Parantibus ſuppetias ferre Athenienſibus, contenderunt oratores ut dux mitteretur Chares. Qui eo profectus nihil

πλεύσας ἐκεῖνος οὐδὲν ἄξιον τῆς δυνάμεως ἔπραττεν, οὐδὲ αἱ πόλεις ἐδέχοντο τὸν στόλον, ἀλλ' ὕποπτος ὢν πᾶσιν ἐπλανᾶτο χρηματιζόμενος ἀπὸ τῶν συμμάχων, καὶ καταφρονούμενος ὑπὸ τῶν πολεμίων· ὁ δὲ δῆμος ὑπὸ τῶν ῥητόρων παροξυνόμενος ἠγανάκτει, καὶ μετενόει τοῖς Βυζαντίοις πέμψας τὴν βοήθειαν, ἀναστὰς ὁ Φωκίων εἶπεν ὅτι δεῖ μὴ τοῖς ἀπιστοῦσιν ὀργίζεσθαι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν. οὗτοι γὰρ ὑμᾶς ποιοῦσι φοβερούς, καίτοι χωρὶς ὑμῶν σώζεσθαι μὴ δυνάμενοι. κινηθεὶς οὖν ὁ δῆμος ὑπὸ τοῦ λόγου καὶ μεταπεσὼν, ἐκέλευεν αὐτὸν ἐκεῖνον ἑτέραν προσλαβόντα δύναμιν βοηθεῖν τοῖς συμμάχοις εἰς τὸν Ἑλλήσποντον· ὃ μεγίστην ῥοπὴν ἐποίησεν πρὸς τὸ σωθῆναι τὸ Βυζάντιον. ἦν μὲν ἤδη μεγάλη δόξα τοῦ Φωκίωνος· ἐπεὶ δὲ Κλέων ἀνὴρ Βυζαντίων πρῶτος ἀρετῇ, καὶ τῷ Φωκίωνι γεγονὼς ἐν Ἀκαδημίᾳ συνήθης, ἀνεδέξατο τὴν πίστιν ὑπὲρ αὐτοῦ πρὸς τὴν πόλιν, οὐκ εἴασαν ἔξω στρατοπεδεῦσαι βουλόμενον, ἀλλ' ἀνοίξαντες τὰς πύλας, ἐδέξαντο καὶ κατέμιξαν ἑαυτοῖς τοὺς Ἀθηναίους, οὐ μόνον ἀνεγκλήτους ταῖς διαίταις καὶ σώφρονας, ἀλλὰ καὶ προθυμοτάτους ἐν τοῖς ἀγῶσι διὰ τὴν πίστιν γενομένους. οὕτω μὲν ὁ Φίλιππος ἐξέπεσε τοῦ Ἑλλησπόντου τότε καὶ κατεφρονήθη, δοκῶν ἄμαχός τις εἶναι καὶ ἀνανταγώνιστος· ὁ δὲ Φωκίων καὶ ναῦς τινας εἷλεν αὐτοῦ, καὶ φρουρουμένας πόλεις ἀνέλαβεν, καὶ πολλαχόθι τῆς χώρας ἀποβάσεις ποιούμενος, ἐπόρθει καὶ κατέτρεχε, μέχρις οὗ τραύματα λαβὼν ὑπὸ τῶν προσβοηθούντων ἀπέπλευσεν.

Τῶν

nihil copiis ſuis geſſit dignum, neque acceperunt claſſem civitates, ſed omnibus ſuſpectus palabatur pecuniam cogens ab ſociis, & ab hoſtibus contemptus. Populus vero, quum eſſet ab oratoribus incenſus, indignatus eſt, pœnituitque eum ſummiſſæ Byzantinis opis. Ibi exſurgens Phocion concionatus eſt, Iniquum eſſe diffidentibus ſuccenſere ſociis, ſed ſuccenſendum infidis ducibus. Hi enim vos reddunt, inquit, formidabiles, quantumvis citra vos incolumibus eſſe non valentibus. Hac permotus oratione populus mutavit ſententiam, atque illum ipſum alia manu ſumpta ſociis juſſit ſubvenire in Helleſpontum: quod ad conſervandum Byzantium maximi fuit momenti. Erat nomen jam inclytum Phocionis. Ut vero etiam Cleon, Byzantinorum virtute primus, Phocioniſque pridem in Academia familiaris, apud civitatem pro eo interceſſit, non paſſi ſunt eum extra mœnia quamvis cupientem metari caſtra, verum patefactis portis acceperunt eum, domumque ad ſe duxerunt Athenienſes: qui non ſolum inculpatos ſe in hoſpitiis & abſtinentes, ſed & promptiſſimos in prœliis ſeſe ob fidem ſibi habitam exhibuere. Ita Helleſponto tunc pulſus Philippus eſt & deſpectus, qui eſſe invictus ac formidabilis videbatur. Ademit inſuper Phocion ei aliquot naves, oppidaque, quibus ille præſidium impoſuerat, recepit. Ad hæc crebras deſcenſiones faciens, fines ejus populatus eſt & vaſtavit, quoad ab iis qui ſubvenerunt vulneratus abſceſſit.

Im-

Τῶν δὲ Μεγαρέων ἐπικαλουμένων κρύφα, φοβούμενος ὁ Φωκίων τοὺς Βοιωτοὺς, μὴ προαισθόμενοι φθάσωσι τὴν βοήθειαν, ἐκκλησίαν συνήγαγεν ἕωθεν, καὶ προσαγγείλας τὰ παρὰ τῶν Μεγαρέων τοῖς Ἀθηναίοις, ὡς ἐπεψηφίσαντο, τῇ σάλπιγγι σημήνας, εὐθὺς ἀπὸ τῆς ἐκκλησίας ἦγεν αὐτοὺς τὰ ὅπλα λαβόντας. δεξαμένων δὲ τῶν Μεγαρέων προθύμως, τήν τε Νίσαιαν ἐτείχισε, καὶ διὰ μέσου σκέλη δύο πρὸς τὸ ἐπίνειον ἀπὸ τοῦ ἄστεος ἐνέβαλεν, καὶ συνῆψεν τῇ θαλάττῃ τὴν πόλιν, ὥστε τῶν κατὰ γῆν πολεμίων ὀλίγον ἤδη φροντίζουσαν ἐξηρτῆσθαι τῶν Ἀθηναίων.

Ἤδη δὲ τῶν πρὸς Φίλιππον ἐκπεπολεμωμένων παντάπασιν, καὶ στρατηγῶν, αὐτοῦ μὴ παρόντος, ἑτέρων ἐπὶ τὸν πόλεμον ᾑρημένων, ὡς κατέπλευσεν ἀπὸ τῶν νήσων, πρῶτον μὲν ἔπειθε τὸν δῆμον, εἰρηνικῶς ἔχοντος τοῦ Φιλίππου, καὶ φοβουμένου τὸν κίνδυνον ἰσχυρῶς, δέχεσθαι τὰς διαλύσεις· καί τινος ἀντικρούσαντος αὐτοῦ τῶν εἰωθότων κυλινδεῖσθαι περὶ τὴν Ἡλιαίαν καὶ συκοφαντεῖν, καὶ εἰπόντος, Σὺ δὲ τολμᾷς, ὦ Φωκίων, ἀποτρέπειν Ἀθηναίους ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας; Ἐγώ γε, εἶπεν, καὶ ταῦτα εἰδὼς, ὅτι πολέμου μὲν ὄντος ἐγώ σου, εἰρήνης δὲ γενομένης σὺ ἐμοῦ ἄρξεις. ὡς δὲ οὐκ ἔπειθεν, ἀλλ᾽ ὁ Δημοσθένης ἐκράτει κελεύων ὡς πορρωτάτω τῆς Ἀττικῆς θέσθαι μάχην τοὺς Ἀθηναίους, Ὦ τάν, ἔφη, μὴ ποῦ μαχώμεθα σκοπῶμεν, ἀλλὰ πῶς νικήσωμεν. οὕτω γὰρ ἔσται μακρὰν ὁ πόλεμος, ἡττωμένοις δὲ πᾶν ἀεὶ δεινὸν ἐγγὺς πάρεστιν. γενομένης δὲ ἥττης, καὶ τῶν θορυβοποιῶν καὶ νεωτεριστῶν τῶν

ἐν

Implorantibus clam Athenienſium opem Megarenſibus, timens Bœotios Phocion, ne, ſi præſciſſent, anteverterent ſuppetias, ſummo mane concionem advocavit, expoſitiſque populo Megarenſium poſtulatis, ubi ea ſcivere, ſigno tuba dato extemplo a concione eos, quum tantum arma ſumpſiſſent, eduxit. Receptus a Megarenſibus cupide, Niſæam munivit, ac brachia duo interjecto inter urbem & navale ſpatio duxit, eamque mari commiſit. Ita parum jam de hoſtibus per terram ſolicita, adhæſit Athenienſibus.

Quum jam indixiſſent bellum aperte Philippo, alii autem per abſentiam ejus duces belli creati eſſent, ſimul atque ab inſulis domum eſt regreſſus, ante omnia ſuaſit populo, quum pacem Philippus cuperet, formidaretque impenſe periculum, ut fœdus acciperent. Ac quum quidam ei ex illis qui jactare in ſe in foro circa ſubſellia judicum, & quadruplaturam aſſueverant facere, oblatraret, diceretque, Tune audes Phocion arma jam manibus tenentem revocare populum Athenienſem? Ego vero, inquit, idque certus bello me tibi, pace mihi te imperaturum. Ubi non flexit populum, ſed Demoſthenis valuerunt conſilia, ut ab Attica quam remotiſſime Athenienſes ſigna conferrent, Ne diſpiciamus ſodes, inquit, ubi dimicemus, verum quemadmodum vincamus: ita demum longinquum erit bellum. Victis omnia atrocia ſemper propinqua ſunt. Superatis Athenienſibus, turbatoribuſque & novatoribus ur-

banis

ἐν ἄστει τὸν Χαρίδημον ἑλκόντων ἐπὶ τὸ βῆμα, καὶ στρατηγεῖν ἀξιούντων, ἐφοβήθησαν οἱ βέλτιστοι· καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἔχοντες ἐν τῷ δήμῳ, δεόμενοι καὶ δακρύοντες μόλις ἔπεισαν ἐπιτρέψαι τῷ Φωκίωνι τὴν πόλιν. ὁ δὲ τὴν μὲν ἄλλην τοῦ Φιλίππου πολιτείαν καὶ φιλανθρωπίαν ᾤετο δεῖν προσδέχεσθαι· Δημάδου δὲ γράψαντος ὅπως ἡ πόλις μετέχοι τῆς κοινῆς εἰρήνης, καὶ τοῦ συνεδρίου τοῖς Ἕλλησιν, οὐκ εἴα πρὸ τοῦ γνῶναι τίνα Φίλιππος αὐτῷ γενέσθαι παρὰ τῶν Ἑλλήνων ἀξιώσει. κρατηθεὶς δὲ τῇ γνώμῃ διὰ τὸν καιρὸν, ὡς εὐθὺς ἑώρα τοὺς Ἀθηναίους μεταμελομένους, ὅτι καὶ τριήρεις ἔδει παρέχειν τῷ Φιλίππῳ καὶ ἱππεῖς, Ταῦτα, ἔφη, φοβούμενος ἠναντιούμην· ἐπεὶ δὲ συνέθεσθε, δεῖ μὴ βαρέως φέρειν μηδὲ ἀθυμεῖν, μεμνημένους ὅτι καὶ οἱ πρόγονοι, ποτὲ μὲν ἄρχοντες, ποτὲ δὲ ἀρχόμενοι, καλῶς δὲ ἀμφότερα ταῦτα ποιοῦντες, καὶ τὴν πόλιν ἔσωσαν καὶ τοὺς Ἕλληνας. Φιλίππου δὲ ἀποθανόντος, εὐαγγέλια θύειν τὸν δῆμον οὐκ εἴα· καὶ γὰρ ἀγεννὲς εἶναι ἐπιχαίρειν, καὶ τὴν ἐν Χαιρωνείᾳ παραταξαμένην πρὸς αὐτοὺς δύναμιν, ἑνὶ σώματι μόνον ἐλάττω γενέσθαι.

Δημοσθένους δὲ λοιδοροῦντος τὸν Ἀλέξανδρον ἤδη προσάγοντα ταῖς Θήβαις, ἔφη,

Σχέτλιε τίπτ' ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα,

καὶ δόξης μεγάλης ὀρεγόμενον; ἢ βούλει πυρκαϊᾶς τηλικαύτης οὔσης ἐγγὺς, ῥίψαι τὴν πόλιν; ἀλλ' ἡμεῖς οὐδὲ βουλομένοις ἀπολέσθαι τούτοις ἐπιτρέψομεν,

banis Charidemum in ſuggeſtum trahentibus, atque poſtulantibus ut hic præficeretur exercitui, exterriti optimates, ſenatumque Areopagi in concionem adducentes, ægre precibus & lacrymis impetraverunt ut rempub. permitterent Phocioni. Cenſuit hic leges & conditiones amplectendas humanas reliquas, quas dixerat Philippus. Sed poſtquam rogationem Demades tulit, ut civitas in ſocietatem veniret pacis communis & conventus Græciæ, interceſſit, ni prius ipſi cognoſcerent quas conditiones poſtularet a Græcis Philippus. Cujus quum temporibus adverſantibus non obtinuiſſet ſententia, Athenienſes autem illico videret pœnitentia ductos, quod naves & equites præbendi Philippo eſſent: Hæc, inquit, timens refragabar. Verum quando ita eſtis pacti, non debetis graviter ferre neque animum deſpondere, memores etiam majores veſtros nunc imperaſſe nunc paruiſſe, atque utrumque hoc recte & ordine exequentes rempub. ac Græciam conſervaſſe. Philippo defuncto immolare ob lætum nuntium prohibuit populum: quippe abjecti animi eſſe malis exultare alienis; atque exercitum qui cum ipſis ad Chæroneam conflixerat, uno tantum homine ait eſſe diminutum.

Demoſthene autem Alexandrum arrodente Thebis jam exercitum admoventem, dixit:

Cur miſer intendis regem irritare ferocem,

& inſignis gloriæ cupidum? Quo conaris tanto propinquo incendio præcipitare rempublicam? Atqui ne volentibus quidem perire his conni-

μένοι, οἱ διὰ τοῦτο στρατηγεῖν ὑπομένοντες. ὡς δ᾽ ἀπώλεσαν αἱ Θῆβαι, καὶ ὁ Ἀλέξανδρος ἐξῃτεῖτο τοὺς περὶ Δημοσθένην καὶ Λυκοῦργον καὶ Ὑπερίδην καὶ Χαρίδημον, ἡ δ᾽ ἐκκλησία πρὸς ἐκεῖνον ἀπέβλεπεν, ὀνομαστὶ πολλάκις καλούμενος ἀνέστη· καὶ τῶν φίλων ἕνα παραστησάμενος, ᾧ μάλιστα χρώμενος διετέλει καὶ πιστεύων καὶ ἀγαπῶν, εἰς τὰ τοιαῦτα, ἔφη, τὴν πόλιν οὗτοι παραγηόχασιν, ὥστ᾽ ἔγωγε, κἂν Νικοκλέα τις τοῦτον ἐξαιτῇ, διδόναι κελεύσω. τὸ μὲν γὰρ αὐτὸς ὑπὲρ ὑμῶν ἁπάντων ἀποθανεῖν, εὐτυχίαν ἐμαυτοῦ θείμην. ἐλεῶ δ᾽, εἶπεν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοὺς ἐκ Θηβῶν δεῦρο πεφευγότας. ἀρκεῖ δὲ τὰς Θήβας κλαίειν τοῖς Ἕλλησιν. διὸ βέλτιόν ἐστιν ὑπὲρ ἀμφοῖν πείθειν, καὶ παραιτεῖσθαι τοὺς κρατοῦντας, ἢ μάχεσθαι. τὸ μὲν οὖν πρῶτον ψήφισμα λέγεται Ἀλέξανδρον ὡς ἔλαβεν ῥίψαι, καὶ φυγεῖν ἀποστραφέντα τοὺς πρέσβεις· τὸ δὲ δεύτερον ἐδέξατο, κομισθὲν ὑπὸ Φωκίωνος, τῶν πρεσβυτέρων ἀκούων ὅτι καὶ Φίλιππος ἐθαύμαζε τὸν ἄνδρα τοῦτον· καὶ οὐ μόνον τὴν ἔντευξιν ὑπέμεινεν αὐτοῦ καὶ τὴν δέησιν, ἀλλὰ καὶ συμβουλεύοντος ἤκουσεν. συνεβούλευε δ᾽ ὁ Φωκίων, εἰ μὲν ἡσυχίας ὀρέγεται, θέσθαι τὸν πόλεμον· εἰ δὲ δόξης, μεταθέσθαι πρὸς τοὺς βαρβάρους ἀπὸ τῶν Ἑλλήνων τρεπόμενον. καὶ πολλὰ καὶ πρὸς τὴν Ἀλεξάνδρου φύσιν καὶ βούλησιν εὐστόχως εἰπὼν, οὕτω μετέβαλε καὶ κατεπράϋνεν αὐτὸν, ὥστε εἰπεῖν, ὅπως προσέξουσι τὸν νοῦν Ἀθηναῖοι τοῖς πράγμασιν, ὡς εἴ τι γίνοιτο περὶ αὐτὸν, ἐκείνοις ἄρχειν προσῆκον. ἰδίᾳ δὲ τὸν Φωκίωνα ποιησάμενος αὐτοῦ φίλον καὶ ξένον, εἰς τοσαύτην ἔθετο τιμὴν ὅσην

connivebimus, qui propterea ſuſcepimus magiſtratum. Ut everſæ Thebæ ſunt, quum Alexander Demoſthenem, Lycurgum, Hyperidem, & Charidemum expoſceret, conjiceret autem in illum concio oculos, crebro eum excitans, exſurrexit, atque unum ex amicis, quo ſupra cæteros aſſidue utebatur, cui fidebat, & quem charum habebat, juxta ſe ſtatuens, Huc, inquit, rempublicam iſti deduxerunt, ut equidem, ſi vel Nicoclem hunc quis depoſcat, eum juſſurus ſim dedi: nam ipſe vitam pro omnibus vobis profundere felicitatem ducerem meam. Miſeret vero me, inquit, Athenienſes, Thebanorum quoque, qui huc confugere: verum ſufficit Græcis Thebas lugere. Quare præſtat ut pro utriſque agamus & deprecemur victores, quam ut prœliemur. Ac primum plebiſcitum perhibent Alexandrum, poſtquam fuit ei oblatum, projeciſſe, adverſatumque legatos receſſiſſe. Alterum a Phocione allatum accepit, ubi de majoribus natu audivit Philippum quoque habuiſſe hunc virum in honore. Nec congreſſum modo & preces ejus admiſit, ſed & conſulenti aures præbuit. Suaſit autem ei Phocion, ſi otium expeteret, ut poneret arma: ſin gloriam, a Græcis verſa transferret ea in barbaros. Ac multis dextre pro Alexandri ingenio & mente dictis, uſque adeo eum inclinavit & demulſit, ut ille diceret, Athenienſibus advertendum rebus animum eſſe: quando ſi quid de ſe factum eſſet, pertinet ad eos imperium. Privatim vero cum Phocione jure amicitiæ & hoſpitii inito, provexit illum eo honoris quem pauci, qui nunquam

ὅσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. ὃ γ' οὖν Δοῦρις εἴρηκεν, ὡς μέγας γενόμενος, καὶ Δαρείου κρατήσας, ἀφεῖλε τῶν ἐπιστολῶν τὸ Χαίρειν, πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι. τοῦτον δὲ μόνον, ὥσπερ Ἀντίπατρον, μετὰ τοῦ Χαίρειν προσηγόρευε. τοῦτο δὲ καὶ Χάρης ἱστόρηκε.

Τὸ μέντοι περὶ τῶν χρημάτων, ὁμολογούμενόν ἐστιν, ὅτι δωρεὰν αὐτῷ κατέπεμψεν ἑκατὸν τάλαντα. τούτων κομισθέντων εἰς Ἀθήνας, ἠρώτησεν ὁ Φωκίων τοὺς φέροντας, τί δή ποτε πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ τοσαῦτα δίδωσιν Ἀλέξανδρος. εἰπόντων δ' ἐκείνων, ὅτι σὲ κρίνει μόνον ἄνδρα καλὸν καὶ ἀγαθόν· οὐκοῦν, εἶπεν ὁ Φωκίων, ἐασάτω με καὶ δοκεῖν ἀεὶ καὶ εἶναι τοιοῦτον. ὡς δ' ἀκολουθήσαντες εἰς οἶκον αὐτῷ, πολλὴν ἑώρων εὐτέλειαν, τὴν μὲν γυναῖκα μάττουσαν, ὁ δὲ Φωκίων αὐτὸς ἀνιμήσας ὕδωρ ἐκ τοῦ φρέατος, ἀπενίπτετο τοὺς πόδας, ἔτι μᾶλλον ἐνέκειντο, καὶ ἠγανάκτουν· δεινὸν εἶναι λέγοντες, εἰ φίλος ὢν τοῦ βασιλέως οὕτω διαιτήσεται πονηρῶς. ἰδὼν οὖν ὁ Φωκίων πένητα πρεσβύτην, ἐν τριβωνίῳ ῥυπαρῷ πορευόμενον, ἠρώτησεν εἰ τούτου χείρονα νομίζουσιν αὐτόν. εὐφημεῖν δ' ἐκείνων δεομένων, καὶ μὴν οὗτος, εἶπεν, ἀπ' ἐλαττόνων ἐμοῦ ζῇ, καὶ ἀρκεῖται. τὸ δ' ὅλον, ἢ μὴ χρώμενος, ἔφη, μάτην ἕξω τοσοῦτον χρυσίον, ἢ χρώμενος ἐμαυτὸν ἅμα κἀκεῖνον διαβαλῶ πρὸς τὴν πόλιν. οὕτω μὲν οὖν ἐπανῆλθε πάλιν τὰ χρήματα ἐξ Ἀθηνῶν, ἐπιδείξαντα τοῖς Ἕλλησι πλουσιώτερον τοῦ διδόντος τοσαῦτα τὸν μὴ δεόμενον. ἐπεὶ δ' Ἀλέξανδρος ἠγανάκτησε, καὶ πάλιν ἔγραψε τῷ Φωκίωνι, φίλους μὴ νομίζειν τοὺς μηδὲν αὐτοῦ δεομένους, χρήματα μὲν οὐδ' ὡς

Φω-

quam diſcedebant ab ipſo, haberent. Refert Duris, poſtquam evaſit ingens, & Darium profligavit, ex epiſtolis detraxiſſe eum Salutem, niſi quum ſcriberet Phocioni. Huic uni ſicut Antipatro Salutem in capite adſcribebat. Idem Chares ſcriptum reliquit.

Nam de pecunia quidem in confeſſo eſt, dono ei miſiſſe ex Aſia Alexandrum centum talenta. His Athenas deportatis, quæſivit ex miniſtris ejus Phocion, qua de cauſa in multis Athenienſibus tantum munus ſoli ſibi Alexander largiretur. Ubi reſponderunt illi, Quod te exiſtimet unum virum bonum & honeſtum. Ergo ſinat me, inquit Phocion, talis ut & habear & ſim. Qui ut domum eum ſequuti inſignem adverterunt frugalitatem ejus, uxorem pinſentem, & Phocion ipſe hauſta ex puteo aqua pedes lavit: magis ac magis inſtiterunt, ſtomachatique ſunt, turpe allegantes eſſe regis amicum tam vivere duriter. Ibi conſpiciens inopem ſenem Phocion in obſoleta læna prætereuntem, rogavit num eo ſe arbitrarentur deteriorem? Bona verba, inquiunt illi. Atqui hic, infit, ex re minore vivit, & eſt contentus. Brevi, aut ſi minus utar, inquit, pecunia hac, nequicquam tantum auri poſſidebo: aut ſi utar, me ipſum juxta atque illum in calumniam conjiciam ad populum. Ita reportata ex Athenis pecunia eſt: unde Græcis palam apparuit, locupletiorem tantam ſummam dante eſſe non indigentem ejus. At quum Alexander offenſus ſcripſiſſet ad Phocionem iterum, non habere ſe pro amicis eos qui nihil ab ſe vellent accipere, nummos

Φωκίων ἔλαβεν, ἀφεθῆναι δὲ ἠξίωσε τὸν σοφιστὴν Ἐχεκρατίδην, καὶ τὸν Ἴμβριον Ἀθηνόδωρον, καὶ Ῥοδίους δύο, Δημάρατον καὶ Σπάρτωνα συνειλημμένους ἐπ' αἰτίαις τισὶ καὶ κατειργμένους ἐν Σάρδεσι. τούτους μὲν οὖν εὐθὺς ἀπέλυσεν ὁ Ἀλέξανδρος, Κρατερὸν δὲ ἀποστέλλων εἰς Μακεδονίαν, ἐκέλευσε τεττάρων πόλεων ἐν Ἀσίᾳ, Κίου, Γεργήθου, Μυλάσων, Ἐλαίας, μίαν ἣν ἂν αἱρῆται παραδοῦναι τῷ Φωκίωνι· διατεινάμενος ἔτι μᾶλλον ὡς χαλεπανεῖ μὴ λαβόντος. ἀλλ' οὔτε Φωκίων ἔλαβεν, ὅ,τε Ἀλέξανδρος ταχέως ἀπέθανεν. ἡ δὲ οἰκία τοῦ Φωκίωνος ἔτι νῦν ἐν Μελίτῃ δείκνυται, χαλκαῖς λεπίσι κεκοσμημένη, τὰ δὲ ἄλλα λιτὴ καὶ ἀφελής.

Τῶν δὲ γυναικῶν ἃς ἔγημε, περὶ τῆς προτέρας οὐθὲν ἱστορεῖται, πλὴν ὅτι Κηφισόδοτος ἦν ὁ πλάστης ἀδελφὸς αὐτῆς· τῆς δὲ δευτέρας οὐκ ἐλάττων ἐπὶ σωφροσύνῃ καὶ ἀφελείᾳ λόγος ἦν παρὰ τοῖς Ἀθηναίοις, ἢ Φωκίωνος ἐπὶ χρηστότητι. καί ποτε θεωμένων καινοὺς τραγῳδοὺς Ἀθηναίων, ὁ μὲν τραγῳδὸς εἰσιέναι μέλλων, βασιλίδος πρόσωπον ᾔτει καὶ κεκοσμημένας πολλὰς πολυτελῶς ὀπαδοὺς τὸν χορηγόν· καὶ μὴ παρέχοντος, ἠγανάκτει καὶ κατεῖχε τὸ θέατρον, οὐ βουλόμενος προελθεῖν. ὁ δὲ χορηγὸς Μελάνθιος, ὠθῶν αὐτὸν εἰς τὸ μέσον, ἐβόα, Τοῦ Φωκίωνος οὐχ ὁρᾷς γυναῖκα προϊοῦσαν ἀεὶ μετὰ μιᾶς θεραπαινίδος, ἀλλ' ἀλαζονεύῃ καὶ διαφθείρεις τὴν γυναικωνῖτιν; ἐξακούστου δὲ τῆς φωνῆς γενομένης, ἐδέξατο κρότῳ πολλῷ καὶ θορύβῳ τὸ θέατρον. αὐτὴ δὲ ἡ γυνή, ξένης τινὸς Ἰωνικῆς ἐπιδεξαμένης χρυσοῦν καὶ λιθοκόλλητον κόσ-

mos Phocion ne ſic quidem cepit: poſtulavit autem, ut Echecratidem rhetorem & Imbrium Athenodorum, præterea Rhodios duos Demaratum & Spartonem, certis de criminibus comprehenſos & Sardibus vinctos liberaret. Eos Alexander extemplo ſolvit, Craterumque in Macedoniam mittens, ex oppidis quatuor Aſiæ, Cio, Gergetho, Mylaſſis, Elæa, unum juſſit, quod eligeret, ut traderet Phocioni: ac multo vehementius inſtitit, indigne laturum oſtendens ſe, ni acciperet. Cæterum nec accepit Phocion, & brevi Alexander deceſſit. Phocionis ædes etiam hac memoria in vico Melita viſuntur laminis ornatæ æreis, cætera tenues & modicæ.

Uxorum, quas duxit, de priore nihil memoriæ proditum eſt, extra quam Cephiſodotum fictorem ejus fratrem fuiſſe: altera non minus caſtitatis nomine & frugalitatis fuit Athenis celebrata, quam ob probitatem Phocion. Spectantibus nempe aliquando novos tragœdos Athenienſibus, hiſtrio, qui proditurus erat in ſcenam, perſonam popoſcit choragum reginæ ac multas eximie cultas pediſſequas. Non præbente illo ſtomachabatur, tenebatque ſuſpenſum theatrum, progredi abnuens. At choragus Melanthius propellens eum in medium, clamavit, Non cernis Phocionis uxorem una cum ancilla ſemper incedentem? Tu vero inſolens es nimioque luxu pervertis mulieres? Hanc vocem exauditam excepit theatrum ingenti plauſu & ſtrepitu. Ipſa uxor, quum hoſpita quædam ei Ionica aureum gemmiſque diſtinctum mun-

κόσμον ἐμπλοκίοις καὶ περιδεραίοις, Ἐμοὶ δὲ, ἔφη, κόσμος ἐστὶ Φωκίων, εἰκοστὸν ἔτος ἤδη στρατηγῶν Ἀθηναίων.

Φωκίων δὲ τοῦ υἱοῦ βουλομένου ἀγωνίσασθαι παναθηναίοις, ἀποβάτην ἐφῆκεν, οὐχὶ τῆς νίκης ὀρεγόμενος, ἀλλ' ὅπως ἐπιμεληθεὶς καὶ ἀσκήσας τὸ σῶμα, βελτίων ἔσοιτο. καὶ γὰρ ἦν ἄλλως φιλοπότης καὶ ἄτακτος ὁ νεανίσκος. νικήσαντος δὲ, καὶ πολλῶν αἰτουμένων ἑστιᾶσαι τὰ νικητήρια, τοὺς ἄλλους Φωκίων παραιτησάμενος, ἑνὶ τὴν φιλοτιμίαν ταύτην παρεχώρησεν. ὡς δὲ ἐλθὼν ἐπὶ τὸ δεῖπνον, ἄλλην τε σοβαρὰν ἑώρα παρασκευὴν, καὶ ποδονιπτῆρας οἴνου δι' ἀρωμάτων προσφερομένους τοῖς εἰσιοῦσι, καλέσας τὸν υἱὸν, Οὐ παύσεις, ἔφη, τὸν ἑταῖρον ὦ Φῶκε, διαφθείροντά σου τὴν νίκην; βουλόμενος δὲ καὶ καθόλου μεταστῆσαι τὸ μειράκιον ἐκ τῆς διαίτης ἐκείνης, ἀπήγαγεν εἰς Λακεδαίμονα, καὶ κατέμιξε τοῖς ἀγομένοις τὴν λεγομένην ἀγωγὴν νεανίσκοις. καὶ τοῦτο τοὺς Ἀθηναίους ἐλύπησεν, ὡς ὑπερορῶντος καὶ ὑπερφρονοῦντος τὰ οἰκεῖα τοῦ Φωκίωνος. εἰπόντος δὲ τοῦ Δημάδου πρὸς αὐτὸν, τί οὐ πείθομεν, ὦ Φωκίων, Ἀθηναίους τὴν Λακωνικὴν προσδέξασθαι πολιτείαν; ἐὰν γὰρ σὺ κελεύῃς, ἐγὼ γράφειν καὶ λέγειν ἕτοιμός εἰμι. Πάνυ γοῦν, ἔφη, πρέψειεν ἄν σοι, μύρου τοσοῦτον ὄζοντι, καὶ χλαμύδα τοιαύτην φοροῦντι, συμβουλεύειν Ἀθηναίοις περὶ φιλιτίων, καὶ τὸν Λυκοῦργον ἐπαινεῖν.

Γράψαντος δὲ τοῦ Ἀλεξάνδρου περὶ τριηρῶν, ὅπως ἀποστείλωσιν αὐτῷ, καὶ τῶν ῥητόρων ἐνισταμένων, τῆς δὲ βουλῆς τὸν Φωκίωνα λέγειν κελευούσης, Λέγω

mundum cum monilibus & torquibus oſtendiſſet, Mihi, inquit, Phocion mundus eſt, vigeſimum jam annum dux Athenienſis.

Filio cupienti deſultorem certare Panathenæis, conceſſit, non victoriæ appetens, ſed quo corpore exercitatus & meditatus evaderet melior: fuit enim alioqui vinoſus & diſſolutus adoleſcens. Victori multis petentibus epulum victoriale præbere, rejecit Phocion cæteros, atque uni hanc munificentiam conceſſit. Ut venit ad convivium, & cum alium advertit faſtuoſum paratum, tum pedum lavacra ex vino cum aromatibus convivis oblata, appellato filio, Non compeſces, inquit, amicum noſtrum, Phoce, quo minus victoriam deformet tuam? Quo autem filium ſemel ex illa vita extraheret, abduxit eum Lacedæmonem, & in contubernium dedit adoleſcentium qui celebrata illa patria diſciplina inſtituebantur. Id offendit populum Athenienſem, quaſi Phocion inſtituta deſpiceret & faſtidiret domeſtica. Cui quum dixiſſet Demades, Quin inducimus Phocion populum Athenienſem ut inſtituta Laconica recipiat: quod ſi mihi autor ſis, præſto ſum ad ferendam & ſuadendam legem: Tibi vero, inquit, admodum conveniat, tantopere unguentum redolenti & chlamydem iſtam gerenti, de conviviis Laconicis conſulere populo Athenienſi, & Lycurgum laudare.

Quum mandaſſet per literas Alexander ut naves mitterent ſibi, obſiſterent autem oratores, ſenatus vero Phocionem ſententiam rogaret: Cenſeo

γω τοίνυν ὑμῖν, εἶπεν, ἢ τοῖς ὅπλοις κρατεῖν, ἢ τοῖς κρατοῦσι φίλους εἶναι. πρὸς δὲ Πυθέαν ἀρχόμενόν ποτε πρῶτον ἐντυγχάνειν Ἀθηναίοις, ἤδη δὲ λάλον ὄντα καὶ θρασύν, Οὐ σιωπήσεις, ἔφη, καὶ ταῦτα νεώνητος ὢν τῷ δήμῳ; ἐπεὶ δὲ Ἅρπαλος μετὰ χρημάτων πολλῶν ἀποδρὰς Ἀλέξανδρον, ἐκ τῆς Ἀσίας τῇ Ἀττικῇ προσέβαλε, καὶ τῶν εἰωθότων ἀπὸ τοῦ βήματος χρηματίζεσθαι δρόμος ἦν καὶ ἅμιλλα φθειρομένων πρὸς αὐτόν, τούτοις μὲν ἀπὸ πολλῶν μικρὰ δελεάζων προήκατο καὶ διέρριψε, τῷ δὲ Φωκίωνι προσέπεμψε διδοὺς ἑπτακόσια τάλαντα, καὶ τἄλλα πάντα, καὶ μετὰ πάντων ἑαυτὸν ἐπ' ἐκείνῳ μόνῳ παρακατατιθέμενος. ἀποκρινομένου δὲ τραχέως τοῦ Φωκίωνος, οἰμώξεσθαι τὸν Ἅρπαλον, εἰ μὴ παύσηται διαφθείρων τὴν πόλιν, τότε μὲν συσταλεὶς ἀπέστη· μετ' ὀλίγον δὲ βουλευομένων Ἀθηναίων, ἑώρα τοὺς μὲν εἰληφότας τὰ χρήματα παρ' αὐτοῦ, μεταβαλλομένους καὶ κατηγοροῦντας, ἵνα μὴ φανεροὶ γένωνται· Φωκίωνα δὲ τὸν μηδὲν λαβόντα, μετὰ τοῦ κοινοῦ συμφέροντος ἅμα καὶ τὴν ἐκείνου σωτηρίαν ἔν τινι λόγῳ τιθέμενον. πάλιν οὖν ἐνεχθεὶς ἐπὶ τὸ θεραπεύειν ἐκεῖνον, αὐτὸν μὲν ὡς ἔρυμα πανταχόθεν ἀνάλωτον ὑπὸ τοῦ χρυσίου περιοδεύων ἑώρα· Χαρικλέα δὲ τὸν γαμβρὸν αὐτοῦ ποιησάμενος συνήθη καὶ φίλον, ἐνέπλησε δόξης πονηρᾶς, πάντα πιστεύων καὶ πάντα χρώμενος ἐκείνῳ.

Καὶ δὴ καὶ Πυθονίκης τῆς ἑταίρας ἀποθανούσης, ἣν εἶχεν ὁ Ἅρπαλος ἐρῶν, καὶ θυγατρίου πατὴρ ἐξ αὐτῆς γέγονε, μνημεῖον ἀπὸ χρημάτων πολλῶν ἐπιτελέσαι θελήσας, προσέταξε τῷ Χαρικλεῖ τὴν ἐπιμέλειαν. οὖσαν δὲ τὴν

ὑπουρ-

Cenſeo igitur, inquit, ut vel armis vincatis, vel victoribus ſitis amici. Aggredienti aliquando Pytheæ primum concionem Athenis habere, homini jam loquaci & audaci, Non ſilebis, inquit, idque quum novitius in populo ſis? Poſtquam Harpalus cum magna vi pecuniæ Alexandrum profugiens Atticam ex Aſia appulit, & concionalium hirudinum fuit certatim concurſatio operas ſuas ei venditantium, modicam his ille ex multis obtulit & objecit eſcam: Phocioni vero per internuntios ſeptingenta talenta obtulit, cæteraque omnia, & cum omnibus ſemetipſum fidei ejus unius commiſit. Quum reſpondiſſet aſpere Phocion, haud Harpalum laturum, ſi pergeret civitatem corrumpere, ita in præſentia quievit mœſtus. Paulo poſt quum haberet populus Athenienſis de ipſo conſilium, advertit illos qui ab ſe nummos acceperant, factos ſibi adverſarios, ne detegerentur, oppugnare ſe: Phocionem vero, qui ſe abſtinuerat, cum bono publico ſimul aliquam etiam ſalutis ſuæ habere rationem. Igitur denuo incumbens, captavit eum enixe: verum omnibus circumſpectis, advertit eum ut arcem, auro undique inexpugnabilem. Cum Charicle vero ejus genero conſuetudinem & amicitiam contrahens, quod crederet illi omnia, eoque in omnibus uteretur, conjecit eum in pravam ſuſpicionem.

Sed & Pythonicæ meretrici defunctæ, quam adamaverat, filiamque ex ea ſuſtulerat, quum Harpalus monumentum ſumptuoſum locare vellet faciendum, ejus rei demandavit Charicli curam. Hoc miniſterium per ſe

turpe

ὑπουργίαν ταύτην ἀγεννῆ προσκατήσχυνεν ὁ τάφος συντελεσθείς. διαμένει γὰρ ἔτι νῦν ἐν Ἑρμείῳ, ᾗ βαδίζομεν ἐξ ἄστεος εἰς Ἐλευσῖνα, μηδὲν ἔχων τῶν τριάκοντα ταλάντων ἄξιον, ὅσα τῷ Ἁρπάλῳ λογισθῆναι φασὶν εἰς τὸ ἔργον ὑπὸ τοῦ Χαρικλέους. καὶ μέντοι καὶ τελευτήσαντος αὐτοῦ, τὸ παιδάριον ὑπὸ τοῦ Χαρικλέους καὶ τοῦ Φωκίωνος ἀναληφθὲν ἐτύγχανε πάσης ἐπιμελείας. κρινομένου μέντοι τοῦ Χαρικλέους ἐπὶ τοῖς Ἁρπαλείοις, καὶ δεομένου βοηθεῖν αὐτῷ τὸν Φωκίωνα, καὶ συνεισελθεῖν εἰς τὸ δικαστήριον, οὐκ ἠθέλησεν, εἰπὼν, Ἐγώ σε, ὦ Χαρίκλεις, ἐπὶ πᾶσι τοῖς δικαίοις γαμβρὸν ἐποιησάμην. πρώτου δὲ Ἀθηναίοις Ἀσκληπιάδου τοῦ Ἱππάρχου τεθνάναι προσαγγείλαντος Ἀλέξανδρον, ὁ μὲν Δημάδης ἐκέλευσε μὴ προσέχειν· πάλαι γὰρ ἂν ὅλην ὄζειν νεκροῦ τὴν οἰκουμένην· ὁ δὲ Φωκίων ἐπηρμένον ὁρῶν πρὸς τὸ νεωτερίζειν τὸν δῆμον, ἐπειρᾶτο παρηγορεῖν καὶ κατέχειν. ἀναπηδώντων δὲ πολλῶν ἐπὶ τὸ βῆμα, καὶ βοώντων ἀληθῆ τὸν Ἀσκληπιάδην ἀπαγγέλλειν, καὶ τεθνάναι τὸν Ἀλέξανδρον, Οὐκοῦν, εἶπεν, εἰ σήμερον τέθνηκεν, καὶ αὔριον ἔσται, καὶ εἰς τρίτην τεθνηκώς; ὥστε ἡμᾶς ἐν ἡσυχίᾳ βουλεύσασθαι, μᾶλλον δὲ μετ' ἀσφαλείας.

Ὡς δὲ φέρων ἐνέσεισεν ὁ Λεωσθένης τὴν πόλιν εἰς τὸν Ἑλληνικὸν πόλεμον, καὶ τοῦ Φωκίωνος δυσχεραίνοντος, ἠρώτα καταγελῶν, τί πεποίηκεν ἀγαθὸν τὴν πόλιν, ἔτη τοσαῦτα στρατηγῶν; οὐ μικρὸν, ἔφη, τὸ τοὺς πολίτας ἐν τοῖς ἰδίοις μνήμασι θάπτεσθαι; πολλὰ δὲ θρασυνομένου, καὶ κομπάζοντος ἐν τῷ δήμῳ τοῦ Λεωσθένους, ὁ Φωκίων, οἱ λόγοι σου, εἶπεν, ὦ μειράκιον, ἐοί-

turpe fœdavit inſuper ſepulcrum abſolutum. Extat enim & hac ætate in Hermeo, qua Athenis Eleuſina itur: neque in eo triginta talenta, quantam ſummam expenſam tuliſſe in id opus Harpalo autumant Chariclem, comparent. Et vero etiam poſt Harpali fata educta a Charicle & Phocione puella eſt & accurate habita. Vocato tamen in crimen ob munera ab Harpalo accepta Charicle, oranteque Phocionem ut præſto eſſet ſibi, & in judicio aſſiſteret: renuit, dicens, Ego te Charicle ad omnia honeſta generum adſcivi. Quum Aſclepiades Hipparchi Athenas primus mortem Alexandri nuntiaviſſet, negavit ei Demades credendum. Jampridem enim cadaveris fœtorem totum orbem fuiſſe occupaturum. Cernens vero populum Phocion ad res novas propenſum, conabatur eum placare & frænum imponere: verum quum multi in ſuggeſtum proſilirent, clamarentque vera Aſclepiadem attuliſſe & fato functum Alexandrum: Igitur ſi hodie, inquit, mortuus eſt, & cras erit & perendie mortuus. Itaque poteritis per otium & tutius deliberare.

Poſtquam autem Leoſthenes civitatem præcipitem in bellum Græcum dictum egit, atque indignante Phocione quæſivit per ludibrium, quidnam ſuo annorum adeo multorum imperio reipublicæ profuiſſet? Non parum vero, inquit, quod cives in propriis ſepulcris ſunt humati? Quum ferociret & inſoleſceret Leoſthenes ad populum, Phocion, Oratio tua, inquit, adoleſcens cupreſſo-

rum

ἐοίκασι κυπαρίττοις. μεγάλοι γὰρ ὄντες καὶ ὑψηλοὶ καρποὺς οὐ φέρουσι. ὡς δὲ ἐπαναστὰς ὁ Ὑπερείδης ἠρώτησεν, Πότε οὖν, ὦ Φωκίων, συμβουλεύεις πολεμεῖν Ἀθηναίοις; Ὅταν, εἶπεν, τοὺς μὲν νέους ἴδω τὴν τάξιν βουλομένους φυλάττειν, τοὺς δὲ πλουσίους εἰσφέρειν, τοὺς δὲ ῥήτορας ἀπέχεσθαι τοῦ κλέπτειν τὰ δημόσια. θαυμαζόντων δὲ πολλῶν τὴν ὑπὸ τοῦ Λεωσθένους συνηγμένην δύναμιν, καὶ τοῦ Φωκίωνος πυνθανομένων πῶς τί παρεσκευάσθαι δοκοῦσιν αὐτῷ, Καλῶς, ἔφη, πρὸς τὸ στάδιον· τὸν δὲ δόλιχον τοῦ πολέμου φοβοῦμαι, μήτε χρήματα τῆς πόλεως ἕτερα, μήτε ναῦς, μήτε ὁπλίτας ἐχούσης. ἐμαρτύρει δὲ αὐτῷ καὶ τὰ ἔργα. πρῶτον μὲν γὰρ Λεωσθένης λαμπρὸς ἤρθη ταῖς πράξεσιν, τῶν τε Βοιωτῶν μάχῃ κρατήσας, καὶ τὸν Ἀντίπατρον εἰς Λαμίαν συνελάσας. ὅτε καί φασι τὴν μὲν πόλιν ἐλπίδος μεγάλης γενομένην, ἑορτάζειν εὐαγγέλια συνεχῶς, καὶ θύειν τοῖς Θεοῖς, τὸν δὲ Φωκίωνα, πρὸς τοὺς ἐλέγχειν αὐτὸν οἰομένους, καὶ πυνθανομένους εἰ ταῦτα οὐκ ἂν ἤθελεν αὐτῷ πεπρᾶχθαι, πάνυ μὲν οὖν, ἔφη· βεβουλεῦσθαι δὲ ἐκεῖνα. καὶ πάλιν ἄλλων ἐπ᾽ ἄλλοις εὐαγγελίων γραφομένων καὶ φερομένων ἀπὸ τοῦ στρατοπέδου, πότε ἄρα, φάναι, παυσόμεθα νικῶντες;

Ἐπεὶ δὲ τοῦ Λεωσθένους ἀποθανόντος, οἱ φοβούμενοι τὸν Φωκίωνα, μὴ στρατηγὸς ἐκπεμφθεὶς καταλύσῃ τὸν πόλεμον, ἄνθρωπόν τινα τῶν οὐκ ἐπιφανῶν ἐν ἐκκλησίᾳ παρεσκευάσαν ἀναστάντα λέγειν, ὅτι φίλος ὢν τοῦ Φωκίωνος καὶ συμπεφοιτηκὼς, παραινεῖ φείδεσθαι τοῦ ἀνδρὸς, καὶ φυλάσσειν, ὡς ἄλλον ὅμοιον οὐκ ἔχοντας· ἐκπέμ-

rum ſimilis eſt: hæ enim grandes ſunt & excelſæ, ſed non ferunt fructum. Ubi adortus eum Hyperides quæſivit, Quando igitur conſules, Phocion, populo Athenienſi ut arma capiat? Quum juventutem, inquit, videro ſervare ordines velle, divites conferre, oratores ærarium non expilare. Quum multi copias ab Leoſthene conſcriptas ſtuperent, rogarentque Phocionem, quemadmodum inſtructas putaret, Recte, infit, ad ſtadium: at dolichum (curſus prolixioris genus) exhorreſco belli, quod neque ſtipendium civitati aliud, neque naves, neque milites ſint. Aſtipulata eſt autem ei res ipſa. Primum enim rebus geſtis Leoſthenes, ſuperatis acie Bœotiis & intra Lamiæ mœnia redacto Antipatro, ſplendidus effloruit. Quo tempore civitatem memorant magnifica guſtata ſpe quotidie ex lætis nuntiis feſtos dies egiſſe, atque Diis honorem habuiſſe: Phocionem vero ad illos qui ſe, redarguere ipſum putantes poſſe, requirebant num hæc non optaret ſe feciſſe? Omnino ſane, dixiſſe, verum conſuluiſſe illa. Aliis rurſus ſuper alia lætis nuntiis ex caſtris ſcriptis & allatis dixiſſe: Quando tandem deſinemus vincere?

Quum defuncto Leoſthene verentes aliqui, ne dux ad exercitum Phocion miſſus pacem componeret, hominem quendam ſubornaſſent obſcurum qui exſurgens in concione diceret, quod amicus & condiſcipulus eſſet Phocionis, monere ſe ut parcerent ei reſervarentque, quum parem non haberent alium; An-

ἐκπέμπειν δ' Ἀντίφιλον ἐπὶ τὸ στράτευμα· καὶ ταῦτα τοῖς Ἀθηναίοις συνεδόκει· παρελθὼν ὁ Φωκίων ἔλεγε, μήτε συμπεφοιτηκέναι ποτὲ τῷ ἀνθρώπῳ, μήτε ἄλλως γεγονέναι γνώριμος ἢ συνήθης· Ἀλλὰ νῦν, εἶπεν, ἀπὸ τῆς σήμερον ἡμέρας καὶ φίλον σε ποιοῦμαι καὶ οἰκεῖον· ἃ γὰρ ἦν ἐμοὶ συμφέροντα συμβεβούλευκας. ὡρμημένων δὲ τῶν Ἀθηναίων ἐπὶ τοὺς Βοιωτοὺς στρατεύειν, πρῶτον μὲν ἀντεῖχε· καὶ τῶν φίλων λεγόντων, ὡς ἀποθανεῖται προσκρούων τοῖς Ἀθηναίοις, Ἀδίκως, εἶπεν, ἂν ποιῶ τὸ συμφέρον· ἂν δὲ παραβαίνω, δικαίως. ἐπεὶ δ' ὁρῶν οὐκ ἀνιέντας, ἀλλὰ βοῶντας, ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν, Ἀθηναίων τοὺς ἄχρι ἑξήκοντα ἐτῶν ἀφ' ἥβης, πέντε ἡμερῶν σιτία λαβόντας, εὐθὺς ἀκολουθεῖν ἀπὸ τῆς ἐκκλησίας. θορύβου δὲ πολλοῦ γινομένου, καὶ τῶν πρεσβυτέρων βοώντων καὶ ἀναπηδώντων, Οὐδὲν, ἔφη, δεινόν· ἐγὼ γὰρ ὁ στρατηγὸς ὀγδοηκοστὸν ἔχων ἔτος ἔσομαι μεθ' ὑμῶν. καὶ τότε μὲν οὕτως κατέπαυσεν αὐτοὺς καὶ μετέβαλεν.

Πορθουμένης δὲ τῆς παραλίας ὑπὸ Μικίωνος συχνοῖς Μακεδόσι καὶ μισθοφόροις ἀποβεβηκότος εἰς Ῥαμνοῦντα, καὶ κατατρέχοντος τὴν χώραν, ἐξήγαγε τοὺς Ἀθηναίους ἐπ' αὐτόν. ὡς δὲ προστρέχοντες ἀλλαχόθεν ἄλλος διεστρατήγουν, καὶ συνεβούλευον αὐτῷ τὸν λόφον καταλαβεῖν, ἐκεῖ περιπέμψαι τοὺς ἱππέας, ἐνταῦθα παρεμβαλεῖν, Ὦ Ἡράκλεις, εἶπεν, ὡς πολλοὺς ὁρῶ στρατηγοὺς, ὀλίγους δὲ στρατιώτας. ἐπεὶ δὲ παρατάξαντος αὐτοῦ τοὺς ὁπλίτας, εἷς πολὺ πρὸ τῶν ἄλλων προῆλθεν· εἶτα δείσας, ἀντιστάντος ἀνδρὸς πολεμίου, πά-

Antiphilum autem exercitui præficerent; atque id populus probaret: progreſſus Phocion demonſtravit, neque ſe unquam iſtius condiſcipulum, neque alias notum vel familiarem fuiſſe. Verum nunc, inquit, ex hodierno die amicitiam & neceſſitudinem ineo tecum: quandoquidem quæ e re mea ſint, conſuluiſti. Molientibus bellum in Bœotios Athenienſibus primum repugnavit, monentibuſque amicis occiſuros ipſum Athenienſes, ſi eos pergeret offendere, Injuria, inquit, ſi quod e republica eſt faciam: ſin ſecus, jure. Ubi eos videt nihilo remiſſiores, ſed obſtrepentes ſibi, pronuntiare juſſit præconi, ut Athenienſes omnes qui a pubertate intra ſexaginta annos eſſent, cum quinque dierum cibariis confeſtim ſe a concione ſequerentur. Ibi magna turba excitata, vociferantibuſque & exilientibus natu grandioribus, Quid vero mali eſt, inquit? Ego dux annos natus octoginta vobiſcum ero. Ea oratione repreſſit & reflexit illos in præſentia.

Quum vero ora maritima a Micione, qui ingenti manu Macedonum & mercenariorum in Ramnunta deſcenderat, agerque vaſtaretur: eduxit in eum exercitum Athenienſium. Ibi alio atque alio hinc inde accurrentibus, inferentibuſque ſe in partes ducis, & monentibus ut illic tumulum occuparet, illic equitatum circummitteret, hic ſubſidiarios inter principia locaret: Papæ, inquit, quam multos duces, paucos video milites! Ubi peditum aciem inſtruxit, quidam longe ante ſigna provectus, mox, timore perculſus occurrentis ſibi hoſtis, retro

πάλιν εἰς τὴν τάξιν ἀνεχώρησεν, Ὦ μειράκιον, εἶπεν, οὐκ αἰδῇ δύο τάξεις ἀπολελοιπὼς, ἣν ἐτάχθης ὑπὸ τοῦ στρατηγοῦ, καὶ πάλιν ἐφ' ἣν σεαυτὸν ἔταξας; ἐμβαλὼν δὲ τοῖς πολεμίοις καὶ κατὰ κράτος τρεψάμενος, αὐτόν τε τὸν Μικίωνα καὶ πολλοὺς ἄλλους ἀπέκτεινεν. τὸ δὲ Ἑλληνικὸν ἐν Θετταλίᾳ στράτευμα, συμμίξαντος Ἀντιπάτρῳ Λεοννάτου, καὶ τῶν ἐξ Ἀσίας Μακεδόνων, ἐνίκα μαχόμενον· καὶ Λεοννάτος ἔπεσεν, ἡγουμένου τῆς μὲν φάλαγγος Ἀντιφίλου, τῶν δὲ ἱππέων τοῦ Θεσσαλοῦ Μένωνος.

Ὀλίγῳ δὲ ὕστερον χρόνῳ Κρατεροῦ διαβάντος ἐξ Ἀσίας μετὰ πολλῆς δυνάμεως, καὶ γενομένης πάλιν ἐν Κράνωνι παρατάξεως, ἡττήθησαν μὲν οἱ Ἕλληνες, οὔτε μεγάλην ἧτταν, οὔτε πολλῶν πεσόντων· ἀπειθείᾳ δὲ πρὸς τοὺς ἄρχοντας, ἐπιεικεῖς καὶ νέους ὄντας, καὶ ἅμα τὰς πόλεις αὐτῶν πειρῶντος Ἀντιπάτρου, διαῤῥυέντες, αἴσχιστα προήκαντο τὴν ἐλευθερίαν. εὐθὺς οὖν ἐπὶ τὰς Ἀθήνας ἄγοντος τοῦ Ἀντιπάτρου τὴν δύναμιν, οἱ μὲν περὶ Δημοσθένην καὶ Ὑπερίδην ἀπηλλάγησαν ἐκ τῆς πόλεως· Δημάδης δὲ, μηθὲν μέρος ὧν ὤφειλε χρημάτων ἐκτίσαι τῇ πόλει δυνάμενος (ἡλώκει γὰρ ἑπτὰ γραφὰς παρανόμων) καὶ γεγονὼς ἄτιμος, ἐξείργετο τοῦ λέγειν, ἄδειαν εὑρόμενος τότε, γράφει ψήφισμα, καὶ πέμπει πρὸς Ἀντίπατρον ὑπὲρ εἰρήνης πρέσβεις αὐτοκράτορας. φοβουμένου δὲ τοῦ δήμου καὶ καλοῦντος Φωκίωνα, καὶ μόνῳ πιστεύειν ἐκείνῳ λέγοντος· Ἀλλ' εἴγε ἐπιστευόμην, εἶπεν, ἐγὼ συμβουλεύων ὑμῖν, οὐκ ἂν νῦν ἐβουλευόμεθα περὶ πραγμάτων τοιούτων. οὕτω δὲ τοῦ ψηφίσματος ἐπικυρωθέντος, ἀπεστάλη πρὸς Ἀντίπατρον

ἐν

retro ad ordinem ſuum recepit ſe: ibi, Non te pudet, inquit, adoleſcens duos deſeruiſſe ordines; & quo poſitus a duce fueras, & iterum ubi temet collocaſti ipſe? Hoſtes adortus fudit fugavitque eos: ipſum Micionem cum multis interfecit. Porro Græcorum exercitus in Theſſalia junctos cum Antipatro Leonnatum Macedonaſque, qui ex Aſia venerant, acie fudit: ubi pedites Antiphilus, Menon Theſſalus equites duxit: quo in prœlio cecidit Leonnatus.

Poſt paulo, quum Craterus magnis copiis ex Aſia veniſſet, ſignis iterum apud Cranona collatis cæſi ſunt Græci: non magnam cladem tamen accepere, nec multi cecidere. At contumacia adverſus duces leniores & ætate juniores, ſimulque ſolicitante civitates eorum Antipatro, dilapſi fœdiſſime libertatem prodidere. Ibi quum ſigna confeſtim moveret Antipater Athenas, Demoſthenes & Hyperides ceſſerunt urbe. Demades, qui nullam partem ejus quanti lis ei æſtimata fuerat, poterat ſolvere (quippe damnatus fuerat quod rogationes ſeptem promulgaviſſet adverſus legum interdicta) & notatus infamia prohibebatur concionem habere, tunc vero poteſtate facta, legem rogavit, ut legati cum libera poteſtate ad Antipatrum mitterentur de pace. Verente autem id populo, Phocionem accerſente, atque fidem illi uni ſe teſtante habere: Atqui ſi conſiliis, inquit, paruiſſetis meis, nunc hiſce de rebus non conſuleremus. Ita lege perlata miſſus eſt ad Antipatrum, qui habebat

ἐν τῇ Καδμείᾳ στρατοπεδεύοντα, καὶ παρασκευαζόμενον εὐθὺς εἰς τὴν Ἀττικὴν βαδίζειν. καὶ τοῦτο πρῶτον ᾔτει, τὸ μένοντα κατὰ χώραν ποιήσασθαι τὰς διαλύσεις. τοῦ δὲ Κρατεροῦ λέγοντος, ὡς οὐ δίκαια πείθει Φωκίων ἡμᾶς, τὴν τῶν συμμάχων καὶ φίλων καθημένους χώραν κακῶς ποιεῖν, δυναμένους ἐκ τῆς τῶν πολεμίων ὠφελεῖσθαι, λαβόμενος αὐτοῦ τῆς δεξιᾶς ὁ Ἀντίπατρος, Δοτέον, εἶπεν, Φωκίωνι ταύτην τὴν χάριν. περὶ δὲ τῶν ἄλλων ἐκέλευσεν αὐτοῖς ἐπιτρέπειν τοὺς Ἀθηναίους, ὥσπερ ἐν Λαμίᾳ Λεωσθένει ἐκεῖνον.

Ὡς οὖν ἐπανῆλθεν ὁ Φωκίων εἰς ἄστυ, καὶ τοῖς Ἀθηναίοις τὸ αὐτὸ ἔδοξεν ὑπ' ἀνάγκης, αὖθις εἰς Θήβας ἐβάδιζε μετὰ τῶν ἄλλων πρέσβεων, Ξενοκράτη τὸν φιλόσοφον τῶν Ἀθηναίων προσελομένων. τοσοῦτον γὰρ ἦν ἀξίωμα τῆς ἀρετῆς τοῦ Ξενοκράτους καὶ δόξα καὶ λόγος παρὰ πᾶσιν, ὥστε οἴεσθαι μήτε ὕβριν εἶναι, μήτε ὠμότητα, μήτε θυμὸν ἐν ἀνθρωπίνῃ ψυχῇ φυόμενον, ᾧ Ξενοκράτους μόνον ὀφθέντος οὐκ ἂν αἰδοῦς τι καὶ τιμῆς ἐγγένοιτο πρὸς αὐτόν. ἀπέβη δὲ τοὐναντίον, ἀγνωμοσύνῃ τινὶ καὶ μισαγαθίᾳ τοῦ Ἀντιπάτρου. πρῶτον μὲν γὰρ οὐκ ἠσπάσατο τὸν Ξενοκράτην, τοὺς ἄλλους δεξιωσάμενος· ἐφ' ᾧ φασὶν εἰπεῖν ἐκεῖνον ὡς Ἀντίπατρος καλῶς ποιεῖ, μόνον αὐτὸν αἰσχυνόμενος ἐφ' οἷς ἀγνωμονεῖν μέλλει πρὸς τὴν πόλιν. ἔπειτα λέγειν ἀρξάμενον οὐχ ὑπομένων, ἀλλ' ἀντικρούων καὶ δυσκολαίνων, ἐποίησεν ἀποσιωπῆσαι. τῶν δὲ περὶ τὸν Φωκίωνα διαλεχθέντων, ἀπεκρίνατο φιλίαν ἔσεσθαι τοῖς Ἀθηναίοις καὶ συμμαχίαν, ἐκδοῦσι μὲν τοὺς περὶ Δημοσθένην καὶ Ὑπερίδην, πολιτευομένοις δὲ τὴν πάτριον ἀπὸ τιμήματος πολιτείαν, δεξαμένοις δὲ φρου-

bat in Cadmia ſtativa, paratus mox in terram Atticam movere. Primum poſtulavit hoc ut illis in caſtris manens pacem ſanciret. Ubi Craterus iniqua fremuit ab ipſis Phocionem poſtulare, ut conſidentes ibi & amicorum fines vexarent, quum deprædari liceret hoſtiles: apprehenſa Antipater dextera ejus, Dandum, inquit, Phocioni hoc eſt beneficium. De cæteris imperavit ut Athenienſes ipſis permitterent, ſicut Lamiæ Leoſtheni voluerant ipſum.

Itaque ut reverſus in urbem eſt Phocion, & compulſi neceſſitate Athenienſes id comprobaverunt: profectus iterum Thebas eſt adjuncto ab Athenienſibus inter legatos cæteros Xenocrate philoſopho. Tantum enim virtutis Xenocratis erat nomen apud omnes & opinio & celebritas, inſolentiam vel feritatem vel excandeſcentiam ut exiſtere in animo humano exiſtimarent nullam, cui non ex ſolo Xenocratis aſpectu rubor aliquis & reverentia ejus ſubiret. Enimvero plane contrarium evenit ob improbitatem Antipatri & virtutis odium. Nam primum complexus alios non ſalutavit Xenocratem. Unde dixiſſe aiunt illum, recte facere Antipatrum: qui indignitatis cauſa, qua civitatem Athenienſem ſtatuerat afficere, unum ſe erubeſceret. Deinde dicere exorſum non ferens, ſed interpellans & infenſus, orationem ejus præcidit. Quum vero diſſeruiſſet Phocion, reſpondit amicitiam & fœdus ſe cum populo Athenienſe facturum his conditionibus: ut Demoſthenem & Hyperidem ſibi dederent, rempublicam more veteri ex cenſu tractarent, præſidium in Mu-

φρουρὰν εἰς τὴν Μουνυχίαν, ἔτι δὲ χρήματα τοῦ πολέμου καὶ ζημίαν προσεκτίσασιν. οἱ μὲν οὖν ἄλλοι πρέσβεις ἠγάπησαν ὡς φιλανθρώπους τὰς διαλύσεις, πλὴν τοῦ Ξενοκράτους. ἔφη γὰρ, ὡς μὲν δούλοις, μετρίως κεχρῆσθαι τὸν Ἀντίπατρον· ὡς δὲ ἐλευθέροις, βαρέως. τοῦ δὲ Φωκίωνος παραιτουμένου τὴν φρουρὰν καὶ δεομένου, λέγεται τὸν Ἀντίπατρον εἰπεῖν, Ὦ Φωκίων ἡμεῖς πάντα σοι χαρίζεσθαι βουλόμεθα, πλὴν τῶν καί σε ἀπολούντων καὶ ἡμᾶς. οἱ δὲ οὐχ οὕτως φασὶν, ἀλλὰ ἐρωτῆσαι τὸν Ἀντίπατρον εἰ τὴν φρουρὰν ἀνέντος αὐτοῦ τοῖς Ἀθηναίοις, ὁ Φωκίων ἐγγυᾶται τὴν πόλιν ἐμμενεῖν τῇ εἰρήνῃ, καὶ μηδὲν πολυπραγμονήσειν· σιωπῶντος δὲ ἐκείνου καὶ διαμέλλοντος, ἀναπηδήσαντα Καλλιμέδοντα τὸν Κάραβον, ἄνδρα θρασὺν καὶ μισόδημον εἰπεῖν, Ἐὰν δὲ οὗτος, ὦ Ἀντίπατρε, φλυαρῇ, σὺ πιστεύσεις, καὶ οὐ πράξεις ἃ ἔγνωκας;

Οὕτω μὲν ἐδέξαντο φρουρὰν Μακεδόνων Ἀθηναῖοι, καὶ Μένυλλον ἡγεμόνα, τῶν ἐπιεικῶν τινα, καὶ τοῦ Φωκίωνος ἐπιτηδείων. ἐφάνη δὲ ὑπερήφανον τὸ πρόσταγμα, καὶ μᾶλλον ἐξουσίας ὕβρει χρωμένης ἐπίδειξις, ἢ πραγμάτων ἕνεκα γιγνομένη κατάληψις. οὐ μικρὸν δὲ τῷ πάθει προσέθηκεν ὁ καιρός. εἰκάδι γὰρ ἡ φρουρὰ Βοηδρομιῶνος εἰσήχθη, μυστηρίων ὄντων, ᾗ τὸν Ἴακχον ἐξ ἄστεος Ἐλευσινάδε πέμπουσιν. ὥστε τῆς τελετῆς συγχυθείσης ἀναλογίζεσθαι τοὺς πολλοὺς καὶ τὰ πρεσβύτερα τῶν θείων καὶ τὰ πρόσφατα. πάλαι μὲν γὰρ ἐν τοῖς ἀρίστοις εὐτυχήμασιν τὰς μυστικὰς ὄψεις καὶ φωνὰς παραγίνεσθαι σὺν ἐκπλήξει καὶ θάμβει τῶν πολεμίων· νῦν δὲ τοῖς αὐτοῖς ἱεροῖς τὰ δυσχερέστατα πάθη τῆς Ἑλλάδος ἐπισκοπεῖν τοὺς Θεοὺς, καὶ καθυβρίζεσθαι τὸν

Munychia acciperent, præterea impenſas belli & mulctam penderent. Has conditiones præter Xenocratem alii legati ut benignas læti accepere. Ille autem moderate ait Antipatrum ut cum ſervis, ut cum liberis duriter egiſſe. Phocione autem præſidium detrectante & deprecante, fertur Antipater dixiſſe, Omnia Phocion parati ſumus tibi indulgere, exceptis iis quæ & te & nos perdent. Alii non ita, ſed interrogaſſe autumant Antipatrum, velletne Phocion, ſi præſidium remiſiſſet Athenienſibus, ſponſor eſſe fœderi civitatem ſtaturam, neque quicquam molituram novi? Tacente & cunctante illo, Callimedonta Carabum, audacem hominem & liberis populis infeſtum, exiliiſſe cum hiſce dictis, Quid ſi hic deliret, Antipater, tu credes ei & a conſiliis diſcedes tuis?

Ita præſidium Athenienſes Macedonum acceperunt, & Menyllum ducem, modeſtum virum & Phocionis neceſſarium: quod imperium ſuperbum viſum eſt, & contumelioſæ licentiæ potius oſtentatio quam utilitatis cauſa occupatio. Non parum autem exaggeravit ipſa tempeſtas calamitatem: quippe die menſis Boedromionis vigeſimo præſidium ingreſſum eſt myſteriorum ſolennibus, quo die Iacchum ex urbe Eleuſina deducunt. Itaque confuſo ſacro multi reputaverunt & quæ olim & quæ nuper divinitus acciderant. Olim enim ſecundiſſimis rebus ſpectra viſa & auditas voces hac celebritate cum ſtupore & tremore hoſtium: nunc iiſdem ſacris acerbiſſimos Græciæ caſus Deos aſpicere, polluique ſacratiſſimum

τὸν ἁγιώτατον τοῦ χρόνου καὶ ἥδιστον αὐτοῖς ἐπώνυμον τῶν μεγίστων κακῶν γενόμενον. πρότερον μὲν οὖν ὀλίγοις ἔτεσιν χρησμὸν ἐξηνέγκαν αἱ Δωδωνίδες τῇ πόλει, τὰ ἀκρωτήρια τῆς Ἀρτέμιδος φυλάσσειν, ὅπως ἄλλοι μὴ λάβωσιν· τότε δὲ περὶ τὰς ἡμέρας ἐκείνας αἱ ταινίαι μὲν, αἷς περιελίττουσι τὰς μυστικὰς κοίτας, βαπτόμεναι θάψινον ἀντὶ φοινικοῦ χρῶμα καὶ νεκρῶδες ἀνήνεγκαν. ὃ δὲ μεῖζον ἦν, τὰ παραβαπτόμενα τῶν ἰδιωτικῶν πάντα τὸ προσῆκον ἄνθος ἔσχεν. μύστην δὲ λούοντα χοιρίδιον ἐν καθαρῷ λιμένι κῆτος συνέλαβε, καὶ τὰ κάτω μέρη τοῦ σώματος ἄχρι τῆς κοιλίας κατέπιε· προδεικνύντος αὐτοῖς τοῦ Θεοῦ φανερῶς, ὅτι τῶν κάτω καὶ πρὸς θαλάσσῃ στερηθέντες, τὴν ἄνω πόλιν διαφυλάξουσιν. ἡ μὲν οὖν φρουρὰ διὰ Μένυλλον οὐδὲν ἠνίασεν τοὺς ἀνθρώπους. τῶν δὲ ἀποψηφισθέντων τοῦ πολιτεύματος διὰ πενίαν, ὑπὲρ μυρίους καὶ δισχιλίους γενομένων, οἵ τε μένοντες ἐδόκουν σχέτλια καὶ ἄτιμα πάσχειν, οἵ τε διὰ τοῦτο τὴν πόλιν ἐκλιπόντες, καὶ μεταστάντες εἰς Θρᾴκην, Ἀντιπάτρου γῆν καὶ πόλιν αὐτοῖς παρασχόντος, ἐκπεπολιορκημένοις ἐῴκεσαν.

Ὁ δὲ Δημοσθένους ἐν Καλαυρείᾳ καὶ Ὑπερείδου πρὸς Κλεωναῖς θάνατος, περὶ ὧν ἐν ἄλλοις περιγέγραπται, μονονοὐκ ἔρωτα καὶ πόθον Ἀθηναίοις Ἀλεξάνδρου καὶ Φιλίππου παρέστη. καὶ τοῦτο ὅπερ ὕστερον ἀναιρεθέντος Ἀντιγόνου καὶ τῶν ἀνελόντων ἐκεῖνον ἀρξαμένων βιάζεσθαι καὶ λυπεῖν τοὺς ἀνθρώπους, ἀνὴρ ἀγροικὸς ἐν Φρυγίᾳ χωρίον ὀρύττων πυθομένου τινὸς, τί ποιεῖς; στενάξας, Ἀντίγονον, εἶπεν, ζητῶ· τοῦτο πολλοῖς ἐπῄει λέγειν, διαμνημονεύουσι τὸν ἐκεί-

mum tempus iiſque acceptiſſimum, a quo nomen maximæ clades trahant. Siquidem paucis ante annis ſortes dederant civitati Athenienſi Dodonides, ut promontoria Dianæ cuſtodirent, ne occuparent ea extranei. Tunc circa dies illos faſciæ, quibus myſticos lectos redimiunt, tinctæ colorem retulerunt pro puniceo pallidum & luridum. Et, quod miraculum augebat, privata omnia quæ una fuerunt infecta, colorem convenientem accepere. Myſtam porcellum lavantem cetus in liquido portu corripuit; imaſque corporis partes ad ventrem uſque devoravit: portendente illis clare Deo ſpoliatos parte urbis ima & mari adjecta, ſupernam ſervaturos. Ac præſidium quidem ob ducem Menyllum nihil cives offendit: qui vero ob egeſtatem non fuerunt cenſi inter cives, quorum fuit numerus ſupra duodecim millia, hi partim, ſiqui remanebant, magna injuria & infamia videbantur affici: partim, qui idcirco exceſſerant urbe atque in Thraciam tranſmigraverant, ubi eis Antipater agrum & oppidum dedit, ſimiles apparebant expugnatis & exterminatis.

Jam Demoſthenis in Calauria, & apud Cleonas Hyperidis fatum, de quibus aliis locis tractavimus, tantum non amorem & deſiderium ſubjecit Athenienſibus Alexandri & Philippi. Atque id quod interfecto poſtmodum Antigono, ejuſque interfectoribus homines exagitare & fatigare occipientibus, ruſticus quidam, agrum in Phrygia fodiens, quum rogaretur a quopiam quid ageret, ſuſpirans, Antigonum, inquit, quæro: hoc, inquam, multis ſubiit dice-

re

ἐκείνων τῶν βασιλέων θυμὸν, ὡς τὸ μέγα καὶ γενναῖον εὐπαραίτητον εἶχον, οὐχ ὥσπερ Ἀντίπατρος, ἰδιώτου προσώπῳ, καὶ φαυλότητι χλαμυδίου, καὶ διαίτης εὐτελείᾳ κατειρωνευόμενος τὴν ἐξουσίαν, ἐπαχθέστερος ἦν τοῖς πάσχουσιν, κακὸς δεσπότης καὶ τύραννος. ὅμως δ᾽ οὖν ὁ Φωκίων καὶ φυγῆς ἀπήλλαξε πολλοὺς, δεηθεὶς τοῦ Ἀντιπάτρου· καὶ φεύγουσι διεπράξατο, μὴ καθάπερ οἱ λοιποὶ τῶν μεθισταμένων ὑπὲρ τὰ Κεραύνια ὄρη καὶ τὸν Ταίναρον ἐκπεσεῖν τῆς Ἑλλάδος, ἀλλὰ ἐν Πελοποννήσῳ κατοικεῖν· ὧν καὶ Ἁγνωνίδης ἦν ὁ συκοφάντης. ἐπιμελόμενος δὲ τῶν κατὰ τὴν πόλιν πράως καὶ νομίμως, τοὺς μὲν ἀστείους καὶ χαρίεντας ἐν ταῖς ἀρχαῖς ἀεὶ συνεῖχεν· τοὺς δὲ πολυπράγμονας καὶ νεωτεριστὰς, αὐτῷ τῷ μὴ ἄρχειν, μηδὲ θορυβεῖν ἀπομαραινομένους, ἐδίδαξεν φιλοχωρεῖν, καὶ ἀγαπᾷν γεωργοῦντας. ὁρῶν δὲ τὸν Ξενοκράτην τελοῦντα τὸ μετοίκιον, ἐβούλετο γράψαι πολίτην· ὁ δὲ ἀπεῖπε, φήσας οὐκ ἂν μετασχεῖν ταύτης τῆς πολιτείας, περὶ ἧς ἐπρέσβευεν ἵνα μὴ γένηται.

Τοῦ δὲ Μενύλλου δωρεὰν αὐτῷ καὶ χρήματα διδόντος, ἀπεκρίνατο μήτ᾽ ἐκεῖνον Ἀλεξάνδρου βελτίονα εἶναι, μήτε κρείττονα τὴν αἰτίαν ἐφ᾽ ᾗ λήψεται νῦν, ὁ τότε μὴ δεξάμενος. ἀλλὰ Φώκῳ γε τῷ παιδὶ λαβεῖν δεομένου τοῦ Μενύλλου, Φώκῳ μὲν, εἶπεν, ἐὰν μὲν σωφρονῇ μεταβαλλόμενος, ἀρκέσει τὰ τοῦ πατρός· ὡς δ᾽ ἔχει νῦν, οὐδὲν ἱκανόν ἐστιν. Ἀντιπάτρῳ δὲ τραχύτερον ἀπεκρίνατο, βουλομένῳ τί γενέσθαι δι᾽ αὐτοῦ τῶν μὴ πρεπόντων· Οὐ δύναται

re in memoriam illorum regum revocantibus animum, quam celſum, generoſum, ſimulque placabilem habuiſſent, non ſicut Antipater: qui privati perſona & chlamydis vilitate & vitæ frugalitate potentiam ſuam diſſimulans, durior erat illis quos opprimebat, teter dominus & tyrannus. Attamen Phocion cum multos precibus apud Antipatrum exilio liberavit, tum exulibus impetravit ne, ſicut reliqui qui erant trans montes Ceraunios & Tænarum ſummoti, extorres eſſent Græcia, ſed ſedes collocare in Peloponneſo poſſent: ex quibus Agnonides ſycophanta fuit. Curam gerens placide & legitime eorum qui in urbe erant, bonos & modeſtos retinebat in magiſtratibus perpetuo: curioſos & novarum rerum cupidos, eo ipſo quod in honoribus non forent, nec ſolicitare poſſent ſtatum civitatis, marceſcentes docuit libenter ruſticari & agros colere. Xenocratem quum videret penſionem ut inquilinum pendere, inſtituit eum in civitatem adſcribere. Quod ille abnuit, nolle ſe dicens in civitatem accipi eam, pro qua legatus fuerat ne conſtitueretur.

Munus ſibi Menyllo & nummos offerenti reſpondit, neque ipſum Alexandro præſtantiorem, neque meliorem eſſe cauſam quare nunc caperet, qui tunc non accepiſſet. At ut Phoco filio ſaltem caperet rogante Menyllo, Phoco, inquit, ſi mutata vita ad frugem redeat, ſufficiet patrimonium: ut autem nunc ſe gerit, nihil ei ſatis ſit. Antipatro vero reſpondit aſperius aliquid, ab ipſo contendenti quippiam minus honeſtum. Nempe non

ναται γὰρ, εἶπεν, Ἀντίπατρος ἅμα μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι. τὸν δ' Ἀντίπατρον αὐτὸν εἰπεῖν λέγουσιν, ὡς δυεῖν αὐτῷ φίλων Ἀθήνησιν ὄντων, Φωκίωνος καὶ Δημάδου, τὸν μὲν λαβεῖν οὐ πέπεικεν, τὸν δὲ διδοὺς οὐκ ἐμπέπληκεν. καὶ μέντοι Φωκίων μὲν ὡς ἀρετὴν ἐπεδείκνυτο τὴν πενίαν, ἐν ᾗ τοσαυτάκις Ἀθηναίων στρατηγήσας καὶ βασιλεῦσι φίλοις χρησάμενος ἐγκατεγήρασε· Δημάδης δὲ τῷ πλούτῳ καὶ παρανομῶν ἐκαλλωπίζετο. νόμου γὰρ ὄντος Ἀθήνησι τότε, μὴ χορεύειν ξένον, ἢ χιλίας ἀποτίνειν τὸν χορηγὸν, ἅπαντας εἰσαγαγὼν ξένους τοὺς χορεύοντας, ἑκατὸν ὄντας, ἅμα καὶ τὴν ζημίαν ἀνὰ χιλίας ὑπὲρ ἑκάστου εἰσήνεγκεν εἰς τὸ θέατρον. Δημέᾳ δὲ τῷ υἱῷ νύμφην ἀγόμενος, Ἐμοῦ μὲν, εἶπεν, ὦ παῖ, τὴν σὴν μητέρα γαμοῦντος οὐδὲ ὁ γείτων ᾔσθετο· τοῖς δὲ σοῖς γάμοις καὶ βασιλεῖς καὶ δυνάσται συγχορηγοῦσιν. ἐνοχλούντων δὲ τῷ Φωκίωνι τῶν Ἀθηναίων, ὅπως ἀπαλλάξῃ τὴν φρουρὰν πείσας τὸν Ἀντίπατρον, εἴτε μὴ προσδοκῶν πείσειν, εἴτε μᾶλλον ὁρῶν σωφρονοῦντα τὸν δῆμον καὶ πολιτευόμενον εὐτάκτως διὰ τὸν φόβον, ἐκείνην μὲν ἀεὶ διωθεῖτο τὴν πρεσβείαν, τὰ δὲ χρήματα μὴ πράττειν, ἀλλὰ μέλλειν καὶ ἀναβάλλεσθαι τὸν Ἀντίπατρον ἔπεισεν. μεταβάντες οὖν Δημάδην παρεκάλουν. ὁ δὲ προθύμως ὑπέστη, καὶ τὸν υἱὸν ἔχων ἀπῆρεν εἰς Μακεδονίαν, ὑπὸ δαίμονός τινος, ὡς ἔοικεν, εἰς τοῦτο καιροῦ κομισθεὶς, ἐν ᾧ κατείχετο μὲν Ἀντίπατρος ἤδη νόσῳ, Κάσανδρος δὲ τῶν πραγμάτων ἐγκρατὴς γεγονὼς, εὗρεν ἐπιστολὴν Δημάδου γεγραμμένην πρὸς Ἀντίγονον εἰς

non valet, inquit, Antipater me ſimul amico uti & adulatore. Ipſum referunt dixiſſe Antipatrum, duos ſibi eſſe Athenis amicos, Phocionem & Demadem: alterum horum ut quicquam capiat non poſſe inducere, alterum dando non implere. Et ſane paupertate Phocion, ut virtute gloriabatur, in qua, licet toties dux Athenienſium fuiſſet & regum uſus amicitia, conſenuit: Demades verò divitiis ſibi placebat vel per nefas conquiſitis. Quippe quum Athenis id temporis lege cautum eſſet, ne ſaltaret peregrinus, aut mille drachmas choragus mulctam ſolveret, omnes peregrinos ſaltatores centum numero exhibuit, ſimulque mulctam pro ſingulis in theatrum attulit millenas drachmas. Demeæ filio uxorem deſpondens, Quum ego, inquit, matrem tuam fili ducerem, ne vicinus quidem ſenſit: ad tuarum vero nuptiarum ſumptus conferunt etiam reges & dynaſtæ. Quum Phocionem obtunderent Athenienſes, ut Antipatrum induceret ad removendum præſidium, vel quod non ſperaret ſe eum adducturum, vel quia modeſtiorem populum videbat, & moderatius agentem ob metum, ſemper rejecit illam legationem: ſed pecuniæ exactionem ut produceret & prorogaret, perſuaſit Antipatro. Ita Demadem, relicto eo, rogaverunt: qui rem ſuſcepit libenter, trahenſque filium ſecum perrexit in Macedoniam, divinitus haud dubie illuc attractus eo articulo quo Antipater jam morbo tenebatur: & Caſſander rerum potitus, epiſtolam reperit Demadis in Aſiam ad Antigonum exara-

εἰς Ἀσίαν, παρακαλοῦντος αὐτὸν ἐπιφανῆναι τοῖς περὶ τὴν Ἑλλάδα καὶ Μακεδονίαν, ἐκ παλαιοῦ καὶ σαπροῦ κρεμαμένοις στήμονος· τὸν Ἀντίπατρον οὕτω σκώψαντος. ὡς οὖν εἶδεν αὐτὸν ἀφιγμένον ὁ Κάσανδρος συνέλαβε, καὶ πρῶτα μὲν τὸν υἱὸν ἐγγὺς προαγαγὼν προσέσφαξεν, ὥστε καταδέξασθαι τοῖς κόλποις τὸ αἷμα τὸν πατέρα, καὶ καταπλησθῆναι τοῦ φόνου· μετὰ ταῦτα δέ, εἰς ἀχαριστίαν αὐτὸν καὶ προδοσίαν πολλὰ λοιδορήσας καὶ καθυβρίσας ἀπέκτεινεν.

Ἐπεὶ δὲ Ἀντίπατρος, ἀποδείξας Πολυπέρχοντα στρατηγὸν, Κάσανδρον δὲ χιλίαρχον, ἐξέλιπεν· εὐθὺς διαναστὰς ὁ Κάσανδρος καὶ προκαταλαμβάνων τὰ πράγματα, πέμπει κατὰ τάχος Νικάνορα τῷ Μενύλλῳ διάδοχον τῆς φυλαρχίας, πρὶν ἔκδηλον τὸν Ἀντιπάτρου θάνατον γενέσθαι, κελεύσας τὴν Μουνυχίαν παραλαβεῖν. γενομένου δὲ τούτου, καὶ μεθ' ἡμέρας ὀλίγας πυθομένων τῶν Ἀθηναίων ὅτι τέθνηκεν ὁ Ἀντίπατρος, ἐν αἰτίαις ὁ Φωκίων ἦν, καὶ κακῶς ἤκουεν, ὡς προαισθόμενος, καὶ κατασιωπήσας, χάριτι τοῦ Νικάνορος. ὁ δὲ τούτων μὲν οὐκ ἐφρόντιζεν. ἐντυγχάνων δὲ τῷ Νικάνορι καὶ διαλεγόμενος, εἴς τε τἆλλα τοῖς Ἀθηναίοις πρᾶον αὐτὸν καὶ κεχαρισμένον παρεῖχεν, καὶ φιλοτιμίας τινὰς ἔπεισε καὶ δαπάνας ὑποστῆναι γενόμενον ἀγωνοθέτην.

Ἐν τούτῳ δὲ καὶ Πολυπέρχων τὴν τοῦ βασιλέως ἐπιμέλειαν ἔχων ὑφ' αὑτῷ, καὶ καταπολιτευόμενος τὸν Κάσανδρον, ἔπεμψεν ἐπιστολὴν τοῖς ἐν ἄστει γεγραμμένην, ὡς τοῦ βασιλέως ἀποδιδόντος αὐτοῖς τὴν δημοκρατίαν, καὶ

πο-

ratam, qua illum incitavit ad imperium Græciæ Macedoniæque aſſerendum, quod ex vetere & marcido ſtamine ſuſpenſum eſſet. Ita enim in Antipatrum erat cavillatus. Quem ut Caſſander conſpexit advenisse, prehendit eum. Ac primum admotum ei filium interfecit, ut cruorem pater acciperet ſinu, eoque commacularetur: deinde ingratitudine & proditione ei acerbe exprobrata, probris laceratum interemit.

Antipatro autem, quum ducem creaſſet Polyperchontem, & Caſſandrum tribunum militum, defuncto, mox properans Caſſander occupare dominatum, Nicanorem propere mittit præfecturæ Menyllo ſucceſſorem, jubetque ei, antequam Antipatri exceſſus vulgetur, accipere Munychiam. Eo facto quum paulo poſt nunciatus Athenienſibus eſſet Antipatri exitus, in crimen Phocion vocatus eſt, objectumque ei quod quum eſſet ea de re factus certior, Nicanoris gratia reticuiſſet. Enimvero nihil hic iſta eſt moratus, ſed agendo cum Nicanore & colloquendo, cum aliis in rebus facilem eum Athenienſibus & benignum præbuit, tum ut munus quoddam præberet, ſumptumque ſubiret ludis edendis induxit.

Inter hæc Polyperchon regis curæ præpoſitus ad circumveniendum Caſſandrum ſcripſit Athenienſibus literas: quibus continebatur, regem eis rempub. popularem reſtituere,

ju-

πολιτεύεσθαι κατὰ τὰ πάτρια πάντας Ἀθηναίους κελεύοντος. ἦν δὲ τοῦτο κατὰ τοῦ Φωκίωνος ἐπιβουλή. συσκευαζόμενος γὰρ εἰς ἑαυτὸν, ὡς μικρὸν ὕστερον ἔδειξε τοῖς ἔργοις, ὁ Πολυπέρχων τὴν πόλιν, οὐδὲν ἤλπιζε περαίνειν, μὴ τοῦ Φωκίωνος ἐκπεσόντος· ἐκπεσεῖσθαι δὲ ἐκεῖνον, ἅμα τῶν ἀπεψηφισμένων ἐπιχυθέντων τῇ πολιτείᾳ, καὶ πάλιν τὸ βῆμα δημαγωγῶν κατασχόντων καὶ συκοφαντῶν. ὑποκινουμένων δὲ πρὸς ταῦτα τῶν Ἀθηναίων, βουλόμενος ἐντυχεῖν αὐτοῖς ὁ Νικάνωρ ἐν Πειραιεῖ, βουλῆς γενομένης παρῆλθεν, τῷ Φωκίωνι ἐμπιστεύσας τὸ σῶμα. Δερκύλλου δὲ τοῦ ἐπὶ τῆς χώρας στρατηγοῦ συλλαβεῖν αὐτὸν ἐπιχειρήσαντος, ἐκεῖνος μὲν προαισθόμενος ἐξεπήδησεν, καὶ φανερὸς ἦν εὐθὺς ἀμυνούμενος τὴν πόλιν. ὁ δὲ Φωκίων, ἐπὶ τῷ προέσθαι τὸν ἄνδρα καὶ μὴ κατασχεῖν ἐγκαλούμενος, ἔφη πιστεύειν μὲν τῷ Νικάνορι καὶ μηδὲν ἀπ᾽ αὐτοῦ προσδοκᾶν δεινόν· εἰ δὲ μὴ, μᾶλλον ἐθέλειν ἀδικούμενος, ἢ ἀδικῶν, φανερὸς γενέσθαι. τοῦτο δὲ ὑπὲρ αὐτοῦ μὲν ἄν τινι σκοποῦντι δοκοίη καλοκαγαθικῶς λελέχθαι καὶ γενναίως· ὁ δὲ εἰς πατρίδος ἀποκινδυνεύων σωτηρίαν, καὶ ταῦτα στρατηγὸς καὶ ἄρχων, οὐκ οἶδα μὴ μεῖζόν τι παραβαίνει καὶ πρεσβύτερον τὸ πρὸς τοὺς πολίτας δίκαιον. οὐδὲ γὰρ ἐκεῖνό ἐστιν εἰπεῖν, ὅτι φοβούμενος μὲν εἰς πόλεμον ἐμβαλεῖν τὴν πόλιν ὁ Φωκίων, ἀπέσχετο τοῦ Νικάνορος, ἄλλως δὲ προὐβάλλετο τὴν πίστιν καὶ τὸ δίκαιον, ὅπως αἰδούμενος ἐκεῖνον, ἡσυχίαν ἄγῃ, καὶ μηδὲν ἀδικῇ τοὺς Ἀθηναίους· ἀλλ᾽ ὄντως ἔοικεν ἰσχυρά τις αὐτῷ περὶ τοῦ Νικάνορος ἐγγενέσθαι πίστις, ὅν γε πολλῶν προσδια-

jubereque ut omnes Athenienſes priſtinis legibus agerent. Inſidiæ hæ erant in Phocionem. Nam quum traducere ad ſe ſtuderet civitatem illam Polyperchon, niſi Phocione exterminato, ut poſtea re declaravit, nihil ſe ſperabat effecturum. Expulſum autem iri eum, ſimul atque illi qui ex civium albo fuerant eraſi, reipublicæ ſuperfuſi eſſent tractandæ, iterumque occupaſſent concionatores ſuggeſtum, & calumnias ei ſuffunderent. Quum motus hinc Athenis aliquis exiſteret, cupiens appellare Nicanor Athenienſes, ſenatu in Piræeo advocato acceſſit, corpuſque ſuum credidit Phocionis fidei: quem quum regionis extra urbem dux Dercyllus comprehendere conatus eſſet, id olfaciens ille ſubduxit ſe, ſtatimque præ ſe tulit vindictam ſe de civitate perſequuturum. Phocion autem, quum culparetur quod dimiſiſſet illum nec retinuiſſet, negavit diffidere ſe Nicanori, vel quicquam ab eo expectare mali: ſin ſecus foret, malle ſe omnibus innoteſcere injuriam accipere quam facere. Hoc ab eo ſi de ſeipſo ſolo debuiſſet cogitare videatur æſtimanti probe & fortiter dictum. At qui ſalutem patriæ in præcipitem caſum adducit, atque is dux & magiſtratus, haud ſcio anne majus violet & antiquius erga cives jus. Neque enim allegari illud poteſt, timentem ne civitatem implicaret bello, ab Nicanore abſtinuiſſe Phocionem: prætexuiſſe autem fidem & jus, quo verecundia adductus contineret ſe ille, neque populum Athenienſem violaret: ſed apparet revera fidem ei infixam validam fuiſſe Nicanoris, adeo ut multis de-

διαβαλλόντων καὶ κατηγορούντων ἐπιτίθεσθαι τῷ Πειραιεῖ, καὶ διαβιβάζειν εἰς Σαλαμῖνα ξένους, καὶ διαφθείρειν τινὰς τῶν ἐν Πειραιεῖ κατοικούντων, οὐ προσήκατο τὸν λόγον, οὐδ' ἐπίστευσεν· ἀλλὰ καὶ Φιλομήδου τοῦ Λαμπρέως ψήφισμα γράψαντος, Ἀθηναίους ἅπαντας ἐν τοῖς ὅπλοις εἶναι, καὶ τῷ στρατηγῷ Φωκίωνι προσέχειν, ἠμέλησεν ἄχρις οὗ προσάγων ὁ Νικάνωρ ἐκ τῆς Μουνυχίας τὰ ὅπλα τὸν Πειραιᾶ περιετάφρευσε.

Πραττομένων δὲ τούτων, ὁ μὲν Φωκίων ἐθορυβεῖτο, καὶ κατεφρονεῖτο, τοὺς Ἀθηναίους ἐξάγειν βουλόμενος· Ἀλέξανδρος δὲ ὁ Πολυπέρχοντος υἱὸς, ἧκεν μετὰ δυνάμεως, λόγῳ μὲν ἐπὶ τὸν Νικάνορα τοῖς ἐν ἄστει βοηθήσων, ἔργῳ δὲ τὴν πόλιν, εἰ δύναιτο, καταληψόμενος, αὐτὴν ἑαυτῇ περιπετῆ γενομένην. οἵ τε γὰρ φυγάδες αὐτῷ συνεισβαλόντες, εὐθὺς ἦσαν ἐν ἄστει· καὶ τῶν ξένων ἅμα καὶ τῶν ἀτίμων πρὸς αὐτοὺς εἰσδραμόντων ἐκκλησία παμμιγὴς ἠθροίσθη καὶ ἄτακτος, ἐν ᾗ τὸν Φωκίωνα τῆς ἀρχῆς ἀπολύσαντες, ἑτέρους εἵλοντο στρατηγούς. εἰ δὲ μὴ συνιὼν εἰς λόγους ὁ Ἀλέξανδρος τῷ Νικάνορι μόνος, παρὰ τὸ τεῖχος ὤφθη, καὶ τοῦτο ποιοῦντες πολλάκις, ὑποψίαν τοῖς Ἀθηναίοις παρεῖχον, οὐκ ἂν ἡ πόλις διέφυγε τὸν κίνδυνον. ἐπεὶ δὲ Ἀγνωνίδης ὁ ῥήτωρ εὐθὺς ἐπεφύετο τοῖς περὶ τὸν Φωκίωνα, καὶ κατηγόρει προδοσίας, οἱ μὲν περὶ Καλλιμέδοντα καὶ Περικλέα φοβηθέντες ἀπῆλθον ἐκ τῆς πόλεως· ὁ δὲ Φωκίων, καὶ μετ' αὐτοῦ τῶν φίλων οἱ παραμείναντες ᾤχοντο πρὸς Πολυπέρχοντα· καὶ συνεξῆλθον αὐτοῖς, χάριτι τοῦ Φωκίωνος, ὁ Πλαταιεὺς Σόλων, καὶ Δείναρχος ὁ Κορίνθιος, ἐπιτήδειοι τοῦ Πολυπέρχοντος εἶναι δοκοῦντες καὶ

συνή-

deferentibus,criminantibuſque Piræeum captare, mercenarium militem Salamina tranſportare, & corrumpere nonnullos Piræeum incolentes, non admiſerit crimina, neque habuerit eis fidem. Immo etiam, quum rogationem Philomedes Lamprenſis promulgaſſet, ut omnes Athenienſes arma caperent, & duci Phocioni parerent, indormivit, quoad armis Nicanor ex Munychia motis cœpit circumvallare Piræeum.

Dum ea geruntur, inſurrexit in Phocionem civitas: & quum exercitum Athenienſium educere vellet, non paruerunt ei. Jam filius Polyperchontis aderat Alexander cum copiis, verbo contra Nicanorem populo Athenienſi ſuppetias venturus: re urbem, ſi facultas daretur, diſſenſione inteſtina flagrantem occupaturus. Quippe exules, qui cum eo irruperunt, confeſtim tenuerunt urbem, peregriniſque & ignominia affectis ad illos ſe aggregantibus concio concurrit confuſa & incondita, in qua Phocioni imperio abrogato alios creaverunt duces. Quod, niſi colloqui cum Nicanore Alexander ſolus juxta mœnia viſus eſſet, idemque facientes ſubinde ſuſpicionem moviſſent Athenienſibus, haud declinaſſet civitas periculum. Ut Agnonides orator confeſtim adortus eſt Phocionem, inſimulavitque factionem ejus proditionis, Callimedon & Pericles trepidantes ceſſerunt urbe. Phocion autem & qui apud eum remanſerunt amici, conceſſerunt ad Polyperchontem: quos Phocionis gratia comitati ſunt Platæenſis Solon & Dinarchus Corinthius, Polyperchontis neceſſarii & familiares habi-

ti.

συνήθεις. ἀῤῥωσίᾳ δὲ χρησαμένου τοῦ Δεινάρχου, συχνὰς ἡμέρας ἐν Ἐλατείᾳ διέτριψαν. ἐν αἷς Ἀγνωνίδου πείσαντος, Ἀρχεστράτου δὲ τὸ ψήφισμα γράψαντος, ἔπεμπεν πρεσβείαν ὁ δῆμος κατηγορήσουσαν τοῦ Φωκίωνος. ἅμα δὲ καὶ συνέμιξαν ἀμφότεροι τῷ Πολυπέρχοντι μετὰ τοῦ βασιλέως πορευομένῳ περὶ κώμην τινὰ τῆς Φωκίδος Φάρυγας, κειμένην περὶ τὸ Ἀκρούριον ὄρος, ὃ νῦν Γαλάτην καλοῦσιν. ἐνταῦθα δὴ θεὶς ὁ Πολυπέρχων τὸν χρυσοῦν οὐρανίσκον, καὶ καθίσας ὑπ' αὐτῷ τὸν βασιλέα καὶ τοὺς φίλους, τὸν μὲν Δείναρχον εὐθὺς ἐκ προόδου λαβεῖν ἐκέλευσεν, καὶ στρεβλώσαντας ἀποκτεῖναι, τοῖς δὲ Ἀθηναίοις ἀπέδωκε λόγον. ὡς δὲ θόρυβον καὶ κραυγὴν ἐποίουν, ἀντικατηγοροῦντες ἀλλήλων ἐν τῷ συνεδρείῳ, καὶ προσελθὼν ὁ Ἀγνωνίδης εἶπεν, Ἅπαντας ἡμᾶς εἰς μίαν ἐμβαλόντες γαλεάγραν, Ἀθηναίοις ἀναπέμψατε λόγον ὑφέξοντας· ὁ μὲν βασιλεὺς ἐγέλασεν, οἱ δὲ περιεστῶτες τῷ συνεδρείῳ Μακεδόνες καὶ ξένοι σχολὴν ἄγοντες, ἐπεθύμουν ἀκούειν, καὶ τοὺς πρέσβεις παρεκάλουν ἀπὸ νεύματος, ἐνταῦθα ποιεῖσθαι τὴν κατηγορίαν. ἦν δὲ οὐδὲν ἴσον, ἀλλὰ τῷ μὲν Φωκίωνι πολλάκις ἀντέκρουσεν ὁ Πολυπέρχων λέγοντι· μέχρις οὗ τῇ βακτηρείᾳ πατάξας τὴν γῆν, ἀπέστη καὶ κατεσιώπησεν. Ἡγήμονος δὲ φήσαντος ὅτι μάρτυς αὐτῷ τῆς πρὸς τὸν δῆμον εὐνοίας Πολυπέρχων ἐστίν· καὶ τοῦ Πολυπέρχοντος ἀποκριναμένου πρὸς ὀργὴν, Παῦσαί μου πρὸς τὸν βασιλέα καταψευδόμενος, ἀναπηδήσας ὁ βασιλεὺς ὥρμησε λόγχῃ τὸν Ἡγήμονα πατάξαι. ταχὺ δὲ τοῦ Πολυπέρχοντος περιλαβόντος αὐτὸν, οὕτω διελύθη τὸ συνέδριον.

Τὸν δὲ Φωκίωνα καὶ τοὺς μετ' αὐτοῦ φυλακῆς περιεχούσης, ὅσοι τῶν ἑταί-
ρων

ti. Hi complures dies Elateæ propter Dinarchi adverſam valetudinem morati ſunt. Interea populus, ſuaſore Agnonide, ſcriptaque ab Archeſtrato rogatione, legationem miſit ad accuſandum Phocionem. Utrique ſub idem tempus adierunt Polyperchontem, qui iter faciebat cum rege circa vicum Phocidis Pharygas, juxta montem Acrorion ſitum, quem nunc Galatem appellant. Ibi Polyperchon, poſita aurea teſtudine, collatiſque ſub ea rege & amicis, maturans Dinarchum ſtatim arripi juſſit, & excruciatum necari. Inde dedit Athenienſibus audientiam: qui ut ex mutuis accuſationibus compleruut tumultu & clamore concilium, accedens autem Agnonides ait, Conjicite nos unam in caveam omnes, atque Athenas ad cauſam dicendam remittite: arriſit rex. At corona Macedonum militumque mercenariorum feriantium avebat eos audire. Itaque annuerunt legatis, accuſationem ut ibi inſtituerent. Nihil tamen erat æqui: ſed dicenti Phocioni crebro obſtrepuit Polyperchon. Is denique percuſſa baculo tellure deſtitit & conticuit. Quum Hegemon teſtem ſui erga populum ſtudii Polyperchontem nominaſſet, Polyperchon vero reſpondiſſet infenſus, Deſine me apud regem onerare mendaciis, exiliens rex Hegemonem contendit lancea ferire. Verum Polyperchon eum cito amplexus eſt, atque ita dimiſſum eſt concilium.

At Phocione illiſque qui circa eum erant cuſtodia ſeptis, quotquot ejus amici non

ρων ἔτυχον οὐκ ἐγγὺς ἑστῶτες, ὡς τοῦτο εἶδον, ἐγκαλυψάμενοι, καὶ διαφυγόντες ἐσώθησαν. ἐκείνους δὲ Κλεῖτος εἰς Ἀθήνας ἀνῆγε, λόγῳ μὲν κριθησομένους, ἔργῳ δὲ ἀποθανεῖν κατακεκριμένους. καὶ προσῆν τὸ σχῆμα τῇ κομιδῇ λυπηρόν, ἐφ' ἁμάξαις κομιζομένων αὐτῶν διὰ τοῦ Κεραμεικοῦ πρὸς τὸ θέατρον. ἐκεῖ γὰρ αὐτοὺς προσαγαγὼν ὁ Κλεῖτος συνεῖχεν, ἄχρις οὗ τὴν ἐκκλησίαν ἐπλήρωσαν οἱ ἄρχοντες, οὐ δοῦλον, οὐ ξένον, οὐκ ἄτιμον ἀποκρίναντες, ἀλλὰ πᾶσι καὶ πάσαις ἀναπεπταμένον τὸ βῆμα καὶ τὸ θέατρον παρασχόντες. ἐπεὶ δὲ ἥ τ' ἐπιστολὴ τοῦ βασιλέως ἀνεγνώσθη, λέγοντος αὐτῷ μὲν ἐγνῶσθαι προδότας γεγονέναι τοὺς ἄνδρας, ἐκείνοις δὲ διδόναι τὴν κρίσιν ἐλευθέροις τε δὴ καὶ αὐτονόμοις οὖσι, καὶ τοὺς ἄνδρας ὁ Κλεῖτος εἰσήγαγεν· οἱ μὲν βέλτιστοι τῶν πολιτῶν ὀφθέντος τοῦ Φωκίωνος ἐνεκαλύψαντο, καὶ κάτω κύψαντες ἐδάκρυον· εἷς δὲ ἀναστὰς ἐτόλμησεν εἰπεῖν, ὅτι τηλικαύτην κρίσιν ἐγκεχειρικότος τῷ δήμῳ τοῦ βασιλέως, καλῶς ἔχει τοὺς δούλους καὶ τοὺς ξένους ἀπελθεῖν ἐκ τῆς ἐκκλησίας. οὐκ ἀνασχομένων δὲ τῶν πολλῶν, ἀλλ' ἀνακραγόντων βάλλειν τοὺς ὀλιγαρχικοὺς καὶ μισοδήμους, ἄλλος μὲν οὐδεὶς ὑπὲρ τοῦ Φωκίωνος ἐπεχείρησεν εἰπεῖν, αὐτὸς δὲ χαλεπῶς καὶ μόλις ἐξακουσθείς, Πότερον, εἶπεν, ἀδίκως, ἢ δικαίως ἀποκτεῖναι βούλεσθε ἡμᾶς; ἀποκριναμένων δέ τινων ὅτι δικαίως, Καὶ τοῦτο, ἔφη, πῶς γνώσεσθε, μὴ ἀκούσαντες; ἐπεὶ δὲ οὐδὲν μᾶλλον ἤκουον, ἐγγυτέρω προσελθών, Ἐγὼ μέν, εἶπεν, ἀδικεῖν ὁμολογῶ, καὶ θανάτου τιμῶμαι τὰ πεπολιτευμένα ἐμαυτῷ· τούτους δέ, ἄνδρες Ἀθηναῖοι, διὰ τί ἀποκτενεῖτε, μηδὲν ἀδικοῦντας; ἀποκριναμένων δὲ πολλῶν,

Ὅτι

non prope aſſiſtebant, ubi hoc viderunt, capite obvelato fuga ſalutem quæſivere. Reduxit illos Athenas Clitus, verbo ad cauſam dicendam, revera capitis damnatos. Species fuit perquam triſtis vecturæ. Plauſtris vecti per Ceramicum fuerunt ad theatrum. Eo adductos Clitus cuſtodivit, quoad archontes concionem advocaverunt, non ſervis, non peregrinis, non famoſis remotis: ſed omnibus viris & fœminis ſuggeſtu ac theatro patefacto. Ut vero epiſtola lecta eſt regis, qui ſcripſit conſtare ſibi hos proditores eſſe, verum illis, qui liberi jam & ſuis legibus immunes eſſent, permittere ſe judicium, & reos introduxit Clitus: optimates civitatis Phocione conſpecto rubore perfuſi ſunt, capiteque dejecto lacrymas profuderunt. Unus autem exſurgens dicere eſt auſus, quum tanti judicii populo rex poteſtatem permiſerit, debere ſervos & peregrinos concione ſummoveri. Non ferente id plebe, ſed vociferante lapidibus cooperiendos eos qui paucorum foveant potentiam, populique hoſtes ſint, nemo ultra verba facere tentavit pro Phocione. Ille vix tandem auditus, Utrum, inquit, jure nos, an per injuriam ſtatuiſtis interficere? Reſpondentibus quibuſdam, Jure: Hoc qui cognoſcetis, inquit, niſi audiveritis? Quum nihilo magis aures præberent, accedens propius, Ego, inquit, fateor peccaſſe me, atque ob actiones meas rei capitalis me judico: verum hos, Athenienſes, qui nihil commiſerunt, quamobrem necabitis? Reſpondente multitudine: Quia amici

ci

Ὅτι σοὶ φίλοι εἰσὶν, ὁ μὲν Φωκίων ἀποστὰς ἡσυχίαν ἦγεν· ὁ δὲ Ἁγνωνίδης ψήφισμα γεγραμμένον ἔχων ἀνέγνω, καθ' ὃ τὸν δῆμον ἔδει χειροτονεῖν περὶ τῶν ἀνδρῶν, εἰ δοκοῦσιν ἀδικεῖν· τοὺς δὲ ἄνδρας, ἂν καταχειροτονηθῶσιν, ἀποθνήσκειν.

Ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος, ἠξίουν τινὲς προσγράφειν, ὅπως καὶ στρεβλωθεὶς Φωκίων ἀποθάνοι, καὶ τὸν τροχὸν εἰσφέρειν, καὶ τοὺς ὑπηρέτας καλεῖν προσέταττον. ὁ δὲ Ἁγνωνίδης καὶ τὸν Κλεῖτον ὁρῶν δυσχεραίνοντα, καὶ τὸ πρᾶγμα βαρβαρικὸν εἶναι καὶ μιαρὸν ἡγούμενος, Ὅταν, ἔφη, Καλλιμέδοντα τὸν μαστιγίαν λάβωμεν, ὦ ἄνδρες Ἀθηναῖοι, λαβόντες στρεβλώσομεν· περὶ δὲ τοῦ Φωκίωνος οὐδὲν ἐγὼ γράφω τοιοῦτον. ἐνταῦθα τῶν ἐπιεικῶν τις ὑπεφώνησεν, ὀρθῶς γε σὺ ποιῶν· ἂν γὰρ Φωκίωνα βασανίσωμεν, σὲ τί ποιήσομεν; ἐπικυρωθέντος δὲ τοῦ ψηφίσματος, καὶ τῆς χειροτονίας ἀποδοθείσης, οὐδεὶς καθήμενος, ἀλλὰ πάντες ἐξαναστάντες, οἱ δὲ πλεῖστοι καὶ στεφανωσάμενοι κατεχειροτόνησαν αὐτῶν θάνατον. ἦσαν δὲ σὺν τῷ Φωκίωνι, Νικοκλῆς, Θούδιππος, Ἡγήμων, Πυθοκλῆς· Δημητρίου δὲ τοῦ Φαληρέως καὶ Καλλιμέδοντος, καὶ Χαρικλέους, καί τινων ἄλλων ἀπόντων κατεψηφίσθη θάνατος.

Ὡς οὖν διαλύσαντες τὴν ἐκκλησίαν ἦγον εἰς τὸ δεσμωτήριον τοὺς ἄνδρας, οἱ μὲν ἄλλοι περιπλεκομένων τῶν φίλων αὐτοῖς καὶ οἰκείων, ὀδυρόμενοι καὶ καταθρηνοῦντες ἐβάδιζον· τὸ δὲ Φωκίωνος πρόσωπον, οἷον ὅτε στρατηγῶν ἀπ' ἐκκλησίας προὐπέμπετο, βλέποντες, ἐθαύμαζον τὴν ἀπάθειαν καὶ μεγαλοψυχίαν τοῦ ἀνδρός. οἱ δὲ ἐχθροὶ κακῶς ἔλεγον παρατρέχοντες· εἷς δὲ

καὶ

ci tui ſunt, abſcedens Phocion conticuit. Ibi Agnonides recitavit plebiſcitum, quod habebat ſcriptum, ex quo laturi erant ſuffragia an deliquiſſe viderentur: ſi damnati eſſent, ſumendum erat de iis ſupplicium.

Recitato plebiſcito poſtulaverunt quidam, adderetur ut Phocion ante ſupplicium tormentis laceraretur, inferrique rotam & tortores juſſerunt acciri. At Agnonides etiam Clitum videns indignantem, eamque rem barbaricam cenſens & tetram, Ubi Callimedontem, inquit, verberonem Athenienſes tenuerimus, eum tum excarnificemus: de Phocione nihil ego fero ejuſcemodi. Hic probus quidam vir ſucclamavit, Recte tu ſane: nam Phocionem ſi torſerimus, tibi quid faciamus? Comprobato plebiſcito, populoque in ſuffragia miſſo, nemo ſedens, ſed exſurgentes omnes, plerique & coronati, damnaverunt illos rei capitalis. Erant cum Phocione Nicocles, Thudippus, Hegemon, Pythocles. Inſuper Demetrium Phalereum, Callimedontem, Chariclem, nonnulloſque alios capitis abſentes damnaverunt.

Poſtquam igitur dimiſſa concione illos ad carcerem duxerunt, alii complectentibus eos amicis & familiaribus ejulantes & lamentantes ibant: At Phocionis vultum, quum talem viderent ſicut quum dux ſolet a concione deduci, ſtupebant imperterritum & excelſum animum ejus. Inimici vero prætercurrentes inceſſebant eum convitiis. Unus

etiam

καὶ προσέπτυσεν ἐξεναντίας προσελθών. ὅτε καὶ τὸν Φωκίωνα λέγεται βλέψαντα πρὸς τοὺς ἄρχοντας εἰπεῖν, οὐ παύσει τις ἀσχημονοῦντα τοῦτον; ἐπεὶ δὲ Θούδιππος ἐν τῷ δεσμωτηρίῳ γενόμενος, καὶ τὸ κώνειον ὁρῶν τριβόμενον ἠγανάκτει, καὶ κατέκλαιε τὴν συμφορὰν, ὡς οὐ προσηκόντως τῷ Φωκίωνι συναπολλύμενος· Εἶτα οὐκ ἀγαπᾷς, εἶπεν, ὅτι μετὰ Φωκίωνος ἀποθνήσκεις; ἐρομένου δέ τινος τῶν φίλων εἴ τι πρὸς Φῶκον λέγει τὸν υἱὸν, Πάνυ μὲν οὖν, ἔφη, λέγω μὴ μνησικακεῖν Ἀθηναίοις. τοῦ δὲ Νικοκλέους, ὃς ἦν αὐτῷ πιστότατος τῶν φίλων, παρακαλοῦντος ὅπως αὐτὸν ἐάσῃ τὸ φάρμακον πιεῖν πρότερον, Βαρὺ μὲν, εἶπεν, ὦ Νικόκλεις, ἐμοὶ τὸ αἴτημα καὶ λυπηρόν· ἐπεὶ δὲ οὐδὲν ἄλλο οὐδέποτέ σοι παρὰ τὸν βίον οὐδὲν ἠχαρίστησα, καὶ τοῦτο συγχωρῶ. πεπωκότων δὲ ἤδη πάντων τὸ φάρμακον ἐπέλιπε, καὶ ὁ δημόσιος οὐκ ἔφη τρίψειν ἕτερον, εἰ μὴ λάβοι δώδεκα δραχμὰς, ὅσου τὴν ὁλκὴν ὠνεῖται. χρόνου δὲ γενομένου καὶ διατριβῆς, ὁ Φωκίων καλέσας τινὰ τῶν φίλων, καὶ εἰπὼν, εἰ μηδὲ ἀποθανεῖν Ἀθήνησι δωρεάν ἐστι, ἐκέλευσε τῷ ἀνθρώπῳ δοῦναι τὸ κερμάτιον.

Ἦν δὲ ἡμέρα μηνὸς Μουνυχιῶνος ἐνάτη ἐπὶ δέκα, καὶ τῷ Διῒ τὴν πομπὴν πέμποντες οἱ ἱππεῖς παρεξήεσαν. ὧν οἱ μὲν ἀφείλοντο τοὺς στεφάνους, οἱ δὲ πρὸς τὰς θύρας δεδακρυμένοι τῆς εἱρκτῆς ἀπέβλεψαν. ἐφάνη δὲ τοῖς μὴ παντάπασιν ὠμοῖς καὶ διεφθαρμένοις ὑπ᾽ ὀργῆς καὶ φθόνου τὴν ψυχὴν, ἀνοσιώτατον γεγονέναι, τὸ μηδ᾽ ἐπισχεῖν τὴν ἡμέραν ἐκείνην, μηδὲ καθαρεῦσαι

etiam inſpuit in eum. Ibi Phocionem fama eſt converſum ad Archontas dixiſſe, Nemo hujus reprimet petulantiam? Quum Thudippus in carcere cicutam cerneret teri, queſtus eſt & deploravit calamitatem ſuam, quod injuſte cum Phocione occideretur: & tu non præclare agi, inquit, putas tecum, quod ſuſtollaris cum Phocione? Rogante quodam amico num quid ad filium vellet Phocum: Maxime, inquit, jubeo ut injuriarum populi Athenienſis obliviſcatur. Nicocle, qui amicus ejus fidiſſimus erat, rogante ſibi ut permitteret priori venenum haurire, Hæc quidem, inquit, gravis mihi Nicocle, & dura eſt petitio: verum quia nihil tibi per omnem vitam denegavi aliud, hoc quoque largior. Ubi biberunt jam omnes, defecit venenum, & carnifex aliud negavit ſe triturum, niſi duodecim drachmæ eſſent ſibi numeratæ, quanti denarii pondus venibat. Quum intercederet mora & tempus traheretur, Phocion accerſito quodam amico, ait, anne gratis quidem mori Athenis liceret, petiitque ut carnifici illud æris daret.

Dies erat menſis Munychionis nonuſdecimus, ac pompam Jovi agentes prætervehebantur equites, quorum alii coronas detraxerunt, alii fuſis lacrymis fores carceris reſpexerunt. Exiſtimaverunt illi qui non prorſus erant immanes perverſoque ira atque invidia animo, rem maxime deteſtandam, quod non ſuſtinuiſſet illo die, neque a cæde publica ſolenne agens abſtinuiſſet ci-

ρεῦσαι δημοσίου φόνου τὴν πόλιν ἑορτάζουσαν. οὐ μὴν ἀλλ' ὥσπερ ἐνδεέστερον ἠγωνισμένοις τοῖς ἐχθροῖς ἔδοξε καὶ τὸ σῶμα τοῦ Φωκίωνος ἐξορίσαι, καὶ μηδὲ πῦρ ἐναῦσαι μηδένα πρὸς τὴν ταφὴν Ἀθηναίων. διὸ φίλος μὲν οὐδεὶς ἐτόλμησεν ἅψασθαι τοῦ σώματος· Κωνωπίων δέ τις ὑπουργεῖν εἰθισμένος τὰ τοιαῦτα, μισθοῦ κομισθέντα τὸν νεκρὸν ὑπὲρ τὴν Ἐλευσῖνα, πῦρ λαβὼν ἐκ τῆς Μεγαρικῆς ἔκαυσεν. ἡ δὲ Μεγαρικὴ γυνὴ παροῦσα μετὰ τῶν θεραπαινίδων, ἔχωσεν μὲν αὐτόθι χῶμα κενὸν καὶ κατέσπεισεν· ἐνθεμένη δὲ τῷ κόλπῳ τὰ ὀστᾶ, καὶ κομίσασα νύκτωρ εἰς τὴν οἰκίαν, κατώρυξε παρὰ τὴν ἑστίαν, εἰποῦσα, Σοὶ, ὦ φίλη ἑστία, παρακατατίθεμαι ταῦτα ἀνδρὸς ἀγαθοῦ λείψανα· σὺ δὲ αὐτὰ τοῖς πατρῴοις ἀπόδος ἠρίοις, ὅταν Ἀθηναῖοι σωφρονήσωσιν.

Καὶ μέντοι χρόνου βραχέος διαγενομένου, καὶ τῶν πραγμάτων διδασκόντων οἷον ἐπιστάτην καὶ φύλακα σωφροσύνης καὶ δικαιοσύνης ὁ δῆμος ἀπώλεσεν, ἀνδριάντα μὲν αὐτοῦ χαλκοῦν ἀνέστησαν, ἔθαψαν δὲ δημοσίοις τέλεσιν τὰ ὀστᾶ. τῶν δὲ κατηγόρων Ἀγνωνίδην μὲν αὐτοὶ θάνατον καταχειροτονήσαντες ἀπέκτειναν· Ἐπίκουρον δὲ καὶ Δημόφιλον, ἀποδράντας ἐκ τῆς πόλεως, ἀνευρὼν ὁ τοῦ Φωκίωνος υἱὸς ἐτιμωρήσατο. τοῦτον οὔτε τἆλλα σπουδαῖον ἄνδρα γενέσθαι φασὶν, καὶ παιδίσκης ἐρῶντα παρὰ πορνοβοσκῷ τρεφομένης, κατὰ τύχην Θεοδώρῳ τῷ ἀθέῳ παραγενέσθαι, λόγον ἐν Λυκείῳ διαλεγομένῳ τοιοῦτον, Εἰ τὸν φίλον λύσασθαι μὴ αἰσχρόν ἐστιν, οὐδὲ τὸ φίλην ὁμοίως· εἰ δὲ μὴ τὸν ἑταῖρον, οὐδὲ τὸ ἑταίραν· θέμενον οὖν ἑαυτῷ πρὸς τὴν

ἐπι-

civitas. Atqui, quaſi nondum victoria ſaturatis ſua, viſum inimicis eſt ut etiam corpus extra fines projiceretur Phocionis, ac ne quis Athenienſis rogum funeri incenderet. Quamobrem nemo amicorum corpus fuit auſus attingere. Conopion quidam tali aſſuetus miniſterio operam locare, exportatum ultra Eleuſina cadaver igni ex æde mulieris Megaricæ ſumpto combuſſit. Ibi mulier Megarica cum ancillis aſſiſtens tumulum honorarium aggeſſit, atque inferias dedit Phocioni. Oſſa in ſinu collegit, eaque nocte domum deportata defodit apud focum cum his verbis, Apud vos, optimi penates, has boni viri reliquias depono. Eas vos, quum Athenienſes ad mentem redierint, patrio reddite ſepulchro.

Et ſane brevi intervallo rebus docti Athenienſes qualem moderationis & juſtitiæ præſidem cuſtodemque amiſiſſent, ſtatuam ei ex ære poſuere, & oſſa publice extulere. Accuſatores, Agnonidem rei capitalis ipſi damnaverunt necaveruntque: Epicurum & Demophilum ex urbe profugos Phocionis filius conſectatus eſt, pœnaſque ab eis exegit. Hunc ferunt nec alias probum virum fuiſſe, & quum adamaret puellam quæ apud lenonem alebatur, forte Theodori Athei diſputationi interfuiſſe in Lyceo habitæ hujuſcemodi: Si dilectum redimere turpe non eſt, nec dilectam: item, quod ſi non amicum, nec amicam. Hanc diſputationem ad libidinem ſuam accommodatam, ut præ-

claram,

ἐπιθυμίαν τὸν λόγον ὡς εὖ ἔχοντα, λύσασθαι τὴν ἑταίραν. ἀλλὰ τὰ μὲν περὶ Φωκίωνα πραχθέντα τὰ περὶ Σωκράτην πάλιν ἀνέμνησε τοὺς Ἕλληνας, ὡς ὁμοιοτάτης ἐκείνης τῆς ἁμαρτίας ταύτῃ καὶ δυστυχίας τῇ πόλει γενομένης.

claram, redemiſſe eum meretricem. At hoc quod commiſſum in Phocionem fuit, illam in Socratem noxam denuo refricuit apud Græcos, quod germaniſſimum huic illud admiſſum peccatum & vulnus appareret a civitate acceptum.



ΚΑΤΩΝ Ο ΝΕΩΤΕΡΟΣ.

ΚΑΤΩΝΙ δὲ τὸ μὲν γένος ἀρχὴν ἐπιφανείας ἔλαβεν καὶ δόξης ἀπὸ τοῦ προπάππου Κάτωνος, ἀνδρὸς ἐν δόξῃ καὶ δυνάμει μάλιστα Ῥωμαίων γενομένου δι᾽ ἀρετήν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· κατελείφθη δὲ γονέων ὀρφανὸς μετ᾽ ἀδελφοῦ Καιπίωνος καὶ Πορκίας ἀδελφῆς. ἦν δὲ καὶ Σερβιλία Κάτωνος ὁμομήτριος ἀδελφή. καὶ πάντες οὗτοι παρὰ Λιβίῳ Δρούσῳ τροφὴν καὶ δίαιταν εἶχον, θείῳ μὲν ὄντι τῆς μητρός, ἄγοντι δὲ τὴν πολιτείαν τότε. καὶ γὰρ εἰπεῖν δεινότατος ἦν, καὶ τἆλλα σώφρων ἀνὴρ ἐν τοῖς μάλιστα, καὶ φρονήματος οὐδενὶ Ῥωμαίων ὑφιέμενος. λέγεται δὲ Κάτων εὐθὺς ἐκ παιδίου τῇ τε φωνῇ, καὶ τῷ προσώπῳ, καὶ ταῖς περὶ τὰς παιδιὰς διατριβαῖς ἦθος ὑποφαίνειν ἄτρεπτον καὶ ἀπαθὲς καὶ βέβαιον ἐν πᾶσιν. ἰσχύν τε γὰρ εἶχον αὐτοῦ παρ᾽ ἡλικίαν τελεσιουργὸν αἱ ὁρμαί· καὶ τοῖς κολακεύουσι τραχὺς ὢν καὶ προσάντης, ἔτι μᾶλλον ἐκράτει τῶν ἐκφοβούντων. ἦν δὲ καὶ πρὸς γέλωτα

Catonis natales, claritatis incunabula & gloriæ a proavo acceperunt, viro Romæ ob virtutem clariſſimo & potentiſſimo, ut in vita illius recenſuimus. Relictus eſt hic cum fratre Cæpione & Porcia ſorore parentibus orbus. Fuit præterea Catonis Servilia ſoror uterina. Omnes hi apud Livium Druſum avunculum ac principem tunc civitatis educti ſuere. Etenim fuit ille diſertiſſimus & cætera vir cum primis bonus, ac ſiquis alius Romanorum, prudens. Fama eſt a prima ſtatim ætate mores Catonem, voce, vultu & per ludum præ ſe tuliſſe ubique inflexibiles, immobiles & ſtabiles: quippe vis perficiendi quæcunque animus impulerit ad aggrediendum major quam pro ætate affuit, eratque cum adulatoribus aſper & horridus, tum magis obnitebatur terrentibus. A riſu tam alienus,

γέλωτα κομιδῇ δυσκίνητος, ἄχρι μειδιάματος σπανίως τῷ προσώπῳ διαχεόμενος, καὶ πρὸς ὀργὴν οὐ ταχὺς, οὐδὲ ὀλισθηρός· ὀργισθεὶς δὲ, δυσπαραίτητος. ὡς οὖν εἰς τὸ μανθάνειν ἧκε, νωθρὸς ἦν ἀναλαβεῖν καὶ βραδύς· ἀναλαβὼν δὲ, κάτοχος καὶ μνημονικός. ὃ δὴ καὶ πέφυκεν ἄλλως, τοὺς μὲν εὐφυεῖς ἀναμνηστικοὺς μᾶλλον εἶναι, μνημονικοὺς δὲ, τοὺς μετὰ πόνου καὶ πραγματείας παραδεχομένους. γίνεται γὰρ οἷον ἔγκαυμα τῆς ψυχῆς, τῶν μαθημάτων ἕκαστον. ἔοικε δὲ καὶ τὸ δύσπιστον τῷ Κάτωνι ποιεῖν ἐργωδεστέραν τὴν μάθησιν. πάσχειν γάρ τι τὸ μανθάνειν ἀτεχνῶς ἐστι, καὶ τὸ πείθεσθαι ταχὺ τοῖς ἧττον ἀντέχειν δυναμένοις συμβέβηκεν. διὸ πείθονται μᾶλλον νέοι γερόντων, καὶ νοσοῦντες ὑγιαινόντων. καὶ ὅλως ἐν οἷς τὸ ἀπορεῖν ἀσθενέστατόν ἐστιν, ῥᾷστον τὸ προστιθέμενον. τῷ μέντοι παιδαγωγῷ τὸν Κάτωνα πείθεσθαι μὲν λέγουσι, καὶ ποιεῖν ἅπαν τὸ προσταττόμενον, ἑκάστου δὲ τὴν αἰτίαν ἀπαιτεῖν, καὶ τὸ διὰ τί πυνθάνεσθαι. καὶ γὰρ ἦν χαρίεις ὁ παιδαγωγὸς αὐτοῦ, καὶ λόγον ἔχων τοῦ κονδύλου προχειρότερον, ὄνομα Σαρπηδών.

Ἔτι δὲ παιδὸς τοῦ Κάτωνος ὄντος, ἔπραττον οἱ σύμμαχοι τῶν Ῥωμαίων ὅπως μεθέξουσι τῆς ἐν Ῥώμῃ πολιτείας· καὶ Πομπαίδιος Σίλλων, ἀνὴρ πολεμικὸς, καὶ μέγιστον ἔχων ἀξίωμα, τοῦ δὲ Δρούσου φίλος, κατέλυσεν παρ' αὐτῷ πλείονας ἡμέρας· ἐν αἷς γεγονὼς τοῖς παιδίοις συνήθης, ἄγε, εἶπεν, ὅπως ὑπὲρ ἡμῶν δεήσεσθε τοῦ θείου συναγωνίσασθαι περὶ τῆς πολιτείας. ὁ μὲν οὖν Καιπίων διαμειδιάσας ἐπένευσεν· τοῦ δὲ Κάτωνος οὐδὲν ἀποκριναμένου, καὶ βλέ-

enus, raro ut ad levem riſum deduceret ſupercilia. Non præceps neque proclivis ad iram: ubi vero exarſit, placatu difficilis. Ut igitur literis admotus eſt, ſtupidus erat ad percipiendum & tardus: at quod ſemel percepiſſet, id retinebat neque dabat oblivioni. Quod alioquin eſt natura comparatum, ut memoria minus valeant ſagaces: valeant autem memoria, qui cum labore & ſudore res arripuerunt; quippe exiſtit unaquæque diſciplinæ comprehenſio quaſi fax animi. Atque apparet Catonem, quod ægre induceretur, difficilius arripuiſſe literas: nam profecto patitur aliquid qui diſcit; & perſuaderi citius ſolent qui minus valent reluctari. Quare perſuadentur facilius juvenes quam ſenes, ægri quam ſani. Denique in quibus hæſitatio eſt imbecillima, ibi facillima eſt aſſenſio. Magiſtro tamen Catonem dicto audientem perhibent fuiſſe, & feciſſe quicquid ille juberet: ſed cauſam requiſiſſe ſingulorum, & rationem percunctatum. Erat namque præceptor ejus urbanus, promptiorque ad inducendum ratione quam pugno, Sarpedo nomine.

Catone etiamnum puero ſocii populi Romani de civitate Romana obtinenda agebant, & Silo Pompedius, inſignis bello vir maximaque autoritate, atque Druſi amicus, complures dies divertit apud eum. Interea factus pueris familiaris, Facite, inquit, ut avunculum pro nobis oretis quo adjutor nobis in aſſequenda civitate ſit. Ac Cæpio arridens annuit. Quum Cato nihil reſponderet, & intentis

βλέποντος εἰς τοὺς ξένους ἀτενὲς καὶ βλοσυρὸν, ὁ Πομπαίδιος, σὺ δὲ, εἶπεν, ἡμῖν ὦ νεανία τί λέγεις; οὐχ οἷος εἶ τοῖς ξένοις συλλαμβάνεσθαι πρὸς τὸν θεῖον, ὥσπερ ὁ ἀδελφός; μὴ φθεγγομένου δὲ τοῦ Κάτωνος, ἀλλὰ τῇ σιωπῇ καὶ τῷ προσώπῳ δοκοῦντος ἀπολέγεσθαι τὴν δέησιν, ἀράμενος αὐτὸν ὁ Πομπαίδιος ὑπὲρ θυρίδος, ὡς ἀφήσων, ὁμολογεῖν ἐκέλευεν, ἢ ῥίψειν ἔφασκεν· ἅμα τῇ τε φωνῇ τραχυτέρᾳ χρώμενος, καὶ ταῖς χερσὶν ἀπηρτημένον τὸ σῶμα πολλάκις ὑπὲρ τῆς θυρίδος κραδαίνων. ἐπεὶ δὲ πολὺν χρόνον οὕτω διεκαρτέρησεν ὁ Κάτων ἀνέκπληκτος καὶ ἀδεὴς, καταθέμενος αὐτὸν ὁ Πομπαίδιος, ἡσυχῆ πρὸς τοὺς φίλους εἶπεν, Οἷον εὐτύχημα τῆς Ἰταλίας ὁ παῖς οὗτός ἐστιν. εἰ δὲ ἀνὴρ ἦν, μίαν οὐκ ἂν οἶμαι ψῆφον ἡμῖν ἐν τῷ δήμῳ γενέσθαι. πάλιν δὲ συγγενοῦς τινος ἐν γενεθλίοις καλέσαντος ἐπὶ δεῖπνον ἄλλους τε παῖδας καὶ τοὺς περὶ Κάτωνα, σχολὴν ἄγοντες ἔν τινι μέρει τῆς οἰκίας ἔπαιζον αὐτοὶ καθ᾽ ἑαυτοὺς ἀναμεμιγμένοι νεώτεροι καὶ πρεσβύτεροι. τὸ δὲ παιζόμενον ἦν, δίκαι καὶ κατηγορίαι, καὶ ἀγωγαὶ τῶν ἁλισκομένων. εἷς οὖν τῶν ἑαλωκότων παίδων εὐπρεπὴς τὴν ὄψιν, ὑπὸ πρεσβυτέρου παιδὸς ἀχθεὶς εἴς τι δωμάτιον καὶ εἱρχθεὶς, ἐπεκαλεῖτο τὸν Κάτωνα. ταχὺ δὴ τὸ γινόμενον συνεὶς, ἧκεν ἐπὶ τὰς θύρας ὁ Κάτων, καὶ διωσάμενος τοὺς προεστῶτας καὶ διακωλύοντας, ἐξήγαγε τὸν παῖδα· καὶ μετ᾽ ὀργῆς ἔχων ἀπῆλθεν οἴκαδε, καὶ παῖδες ἕτεροι συνηκολούθησαν.

Οὕτω δ᾽ ἦν περιβόητος, ὥστ᾽ ἐπεὶ Σύλλας τὴν παιδικὴν καὶ ἱερὰν ἱπποδρομίαν, ἣν καλοῦσι Τροίαν, ἐπὶ θέαν διδάσκων, καὶ συναγαγὼν τοὺς εὐγενεῖς παῖδας, ἀπέδειξεν ἡγεμόνας δύο, ὧν τὸν μὲν ἕτερον οἱ παῖδες ἐδέ-

ξαντο

tentis oculis torve intueretur hoſpites, Pompedius, Tu vero, inquit, quid reſpondes adoleſcens? nonne tu etiam potes hoſpitibus apud avunculum ſicut frater præſto eſſe? Obmuteſcente Catone, ſilentioque & vultu præ ſe ferente petitionem abnuere, ſuſtollens eum Pompedius quaſi de feneſtra præcipitaturus, promittere juſſit, alioqui ipſum dejecturum ſe minatus eſt, ſimulque voce eſt aſperiore uſus, & ſuſpenſum corpus identidem ex feneſtra libravit. Quod ubi ita diu Cato ſuſtinuit intrepidus & imperterritus, Pompedius eo depoſito ſubmiſſe ait ad amicos, Quantum Italiæ promittit hic puer boni? qui ſi vir ſit, ne unum quidem ſuffragium opinor in populo ferremus. Alio tempore quum propinquus quidam Catonis inter alios pueros ipſum quoque ad cœnam natalibus ſuis vocaſſet, feriantes in parte quadam ædium colludebant inter ſe promiſcue juniores & majores. Ludus erat judicia, accuſationes & abductiones damnatorum. Ex judicatis pueris unus facie ſpecioſa a majore puero ductus in conclave quoddam & vinctus appellavit Catonem. Mox Cato re intellecta perrexit ad fores, repulſaque ſtatione & obſiſtentibus eduxit puerum, atque ira percitus recepit ſecum domum, comitatique ſunt eum pueri cæteri.

Uſque eo autem celebris erat, ut quum eſſet Sylla certamen ſacrum equeſtre puerorum, quam Troiam nominant, editurus, & contractis nobilibus pueris, duos deſignaſſet duces eorum, quorum pueri alterum matris cau-

ſa

ξαντο διὰ τὴν μητέρα (Μετέλλης γὰρ ἦν υἱὸς τῆς Σύλλα γυναικὸς) τὸν δ' ἕτερον, ἀδελφιδοῦν ὄντα Πομπηΐου, Σέξτον, οὐκ εἴων οὐδὲ ἐβούλοντο μελετᾶν οὐδὲ ἕπεσθαι. πυνθανομένου δὲ τοῦ Σύλλα τίνα βούλοιντο, πάντες ἐβόησαν, Κάτωνα· καὶ ὅ,τε Σέξτος αὐτὸς εἴξας παρεῖχεν ὡς κρείττονι τὴν φιλοτιμίαν. ἔτυχε δὲ καὶ φίλος ὢν ὁ Σύλλας πατρικὸς αὐτοῖς, καί ποτε προσηγάγετο καὶ προσωμίλησεν· ὀλίγοις πάνυ νέμων τοιαύτην φιλοφροσύνην διὰ βάρος καὶ ὄγκον ἧς εἶχεν ἀρχῆς καὶ δυνάμεως. μέγα δὴ ποιούμενος ὁ Σαρπηδὼν τοῦτο πρὸς τιμὴν ἅμα καὶ ἀσφάλειαν, ἦγεν ἀσπασόμενον τὸν Κάτωνα συνεχῶς εἰς τὴν οἰκίαν τοῦ Σύλλα, μηδὲν τότε προσιδεῖν ἀσεβῶν χώρου διαφέρουσαν, ὑπὸ πλήθους τῶν ἀγομένων καὶ στρεβλουμένων. ἦν μὲν οὖν ἔτος ἐκεῖνο τῷ Κάτωνι τεσσαρεσκαιδέκατον. ἰδὼν δὲ κεφαλὰς ἐπιφανῶν ἀνδρῶν λεγομένων ἐκκομιζομένας, καὶ κρύφα τοὺς παρόντας ἐπιστένοντας, ἠρώτησε τὸν παιδαγωγὸν, ὅτι δὴ τοῦτον τὸν ἄνθρωπον οὐδεὶς ἀποκτίννυσιν. εἰπόντος δ' ἐκείνου, Φοβοῦνται γὰρ αὐτὸν, ὦ παῖ, μᾶλλον ἢ μισοῦσιν. τί οὖν, εἶπεν, οὐκ ἐμοὶ ξίφος ἔδωκας, ἵνα αὐτὸν ἀνελὼν ἀπήλλαξα δουλείας τὴν πατρίδα; τοῦτον τὸν λόγον ἀκούσας ὁ Σαρπηδὼν, ἅμα καὶ τὸ βλέμμα καὶ τὸ πρόσωπον πιμπλάμενον αὐτοῦ ὀργῆς καὶ μένους κατιδὼν, οὕτως ἔδεισεν, ὥστε τὸ λοιπὸν ἤδη προσέχειν ἀκριβῶς καὶ παραφυλάττειν μή τι τολμήσῃ παραβολώτερον. ἔτι μὲν οὖν παιδάριον ὢν μικρὸν, ἀπεκρίνατο τοῖς ἐρωτῶσιν, τίνα φιλεῖ μάλιστα, τὸν ἀδελφόν· τίνα δεύτερον, ὁμοίως τὸν ἀδελφόν· καὶ τρίτον, ἄχρις οὗ πολ-

ſa acceperunt (nam Metellæ erat uxoris Syllæ filius) alterum non admiſerunt, quamvis Pompeii fratris filius eſſet, Sextus nomine, neque exercere ſe ſub eo neque ſequi eum ſuſtinuerunt. Percunctante Sylla quem vellent, omnes alta voce poſtulaverunt Catonem, ſubmittenſque ſe ipſe Sextus Catoni, id decus conceſſit ut præſtantiori. Erat etiam eorum Sylla amicus paternus. Unde eos aliquando accerſebat admittebatque ad colloquium: quam familiaritatem tribuebat ob majeſtatem & faſtigium imperii, quod obtinebat, & potentiæ, perquam paucis. Quod Sarpedo magnum ducens juxta ad honorem & ad ſecuritatem, Catonem ducebat aſſidue ſalutandi Syllæ cauſa domum ejus: quæ ob multos qui ducebantur & torquebantur, nihil a carnificina abhorrebat. Annum agebat tunc Cato quartumdecimum. Is multorum qui illuſtres viri dicebantur, capita efferri videns, & præſentes occulte ingemiſcentes, rogavit magiſtrum, Eum hominem cur interficeret nemo? Subjiciente illo, Nempe timent, puer, eum magis quam oderunt. Quin igitur, inquit, mihi gladium dediſti, ut eo interempto aſſeruerim ex ſervitute patriam? His verbis auditis Sarpedo obtutumque ejus & vultum iræ atque ardoris plenum conſiderans, uſque adeo metuit, ut deinceps attenderet & obſervaret diligenter ne quid periculoſius conaretur. Quum adhuc admodum puer eſſet, reſponſum dedit exquirentibus quem maxime amaret? fratrem: quem ſecundum? æque fratrem: & tertium, quouſque eodem ſub-

πολλάκις λέγοντος ἀπεῖπεν ὁ ἐρωτῶν. γενόμενος δὲ ἐν ἡλικίᾳ, μᾶλλον ἐβεβαίου τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν. ἔτη γὰρ εἴκοσι γεγονὼς, χωρὶς Καιπίωνος οὐκ ἐδείπνησεν, οὐκ ἀπεδήμησεν, εἰς ἀγορὰν οὐ προῆλθεν. μύρον δὲ ἐκείνου λαμβάνοντος, αὐτὸς παρῃτεῖτο· καὶ τἄλλα τὰ περὶ τὴν δίαιταν ἦν ἀκριβὴς καὶ συντόνος. ὁ γ' οὖν Καιπίων ἐπὶ σωφροσύνῃ καὶ μετριότητι θαυμαζόμενος, ὡμολόγει τοιοῦτος εἶναι, πρὸς τοὺς ἄλλους ἐξεταζόμενος· ἀλλ' ὅταν, ἔφη, παρὰ τὸν Κάτωνος βίον παραβάλω τὸν ἐμὸν, οὐδὲν ἐμαυτῷ φαίνομαι Σιππίου διαφέρειν· τῶν ἐπὶ τρυφῇ τινὰ καὶ μαλακίᾳ περιβοήτων ὀνομάσας.

Ὁ δὲ Κάτων, ἐπειδὴ τὴν ἱερωσύνην ἔλαβεν τοῦ Ἀπόλλωνος, μετοικήσας, καὶ νειμάμενος μοῖραν τῶν πατρῴων, ἑκατὸν εἴκοσι ταλάντων γενομένην, τὴν μὲν δίαιταν ἔτι μᾶλλον συνέστειλεν· Ἀντίπατρον δὲ Τύριον τῶν ἀπὸ τῆς στοᾶς φιλοσόφων προσεταιρισάμενος, τοῖς ἠθικοῖς μάλιστα καὶ πολιτικοῖς ἐνεφύετο δόγμασι, περὶ πᾶσαν μὲν ἀρετὴν ὥσπερ ἐπιπνοίᾳ τινὶ κατάσχετος γεγονὼς, διαφόρως δὲ τοῦ καλοῦ τὸ περὶ τὴν δικαιοσύνην ἀτενὲς καὶ ἄκαμπτον εἰς ἐπιείκειαν ἢ χάριν ὑπερηγαπηκώς. ἤσκει δὲ καὶ τὸν ὀργανικὸν εἰς πλήθη λόγον, ἀξιῶν, ὥσπερ ἐν πόλει μεγάλῃ, τῇ πολιτικῇ φιλοσοφίᾳ καὶ μάχιμον εἶναι τι παρατρεφόμενον. οὐ μέντοι μεθ' ἑτέρων ἐποιεῖτο τὰς μελέτας, οὐδ' ἠκροάσατο λέγοντος οὐδείς· ἀλλὰ καὶ πρός τινα τῶν ἑταίρων εἰπόντα, Μέμφονταί σου Κάτων οἱ ἄνθρωποι τὴν σιωπήν· Μόνον, ἔφη, μὴ τὸν βίον. ἄρξομαι δὲ λέγειν, ὅταν μὴ μέλλω λέγειν ἄξια σιωπῆς.

Ἡ

ſubinde repetito reſponſo, deſtitit alter a percunctando. Ubi adolevit, confirmavit etiam atque etiam eam benevolentiam in fratrem: ſiquidem annos natus viginti ſine Cæpione nunquam cœnaverat, non peregre profectus, non in forum progreſſus fuerat: verum unguentum ſumente illo repellebat id, cæteraque ſtrictam vitam & rigidam tenebat. Ac Cæpio, quum frugalitas ejus & moderatio extolleretur, fatebatur talem ſe eſſe, ſi cum aliis contenderetur. At ubi cum Catonis vita, inquit, comparo meam, nihil mihi ipſe videor a Sippio differre: nominans quendam decantati luxus & mollitiæ.

Cato autem poſtquam ſacerdos Apollinis eſt factus, mutato domicilio, partitus patris hæreditatem, ex qua portio fuit ejus centum & viginti talentum, vivendi rationem impendio magis adſtrinxit: atque Antipatro Tyrio, Stoicæ ſectæ philoſopho, in contubernium allecto, incubuit potiſſimum ethicis & politicis præceptis, atque ad omne genus virtutum quaſi afflatu aliquo lymphatus eſt raptus. Supra tamen cætera officia juſtitiam amplexus eſt rigidam & inflexam vel ad benignitatem vel gratiam. Excoluit etiam dicendi in concione facultatem, volens in politica Philoſophia, tanquam ampla civitate, etiam vires quaſdam obiter ali bellicas. Haud præſentibus aliis tamen exercuit ſe, neque quiſquam audivit declamantem: ſed & amico dicenti, Homines ſilentium tuum Cato reprehendunt, Modo, inquit, ne vitam: tunc ad dicendum accingar, quum non dicturus ſim ſilentio digna.

Ba-

Ἡ δὲ καλουμένη Πορκία βασιλικὴ τιμητικὸν ἦν ἀνάθημα τοῦ παλαιοῦ Κάτωνος· εἰωθότες οὖν ἐκεῖ χρηματίζειν οἱ δήμαρχοι, καὶ κίονος τοῖς δίφροις ἐμποδὼν εἶναι δοκοῦντος, ἔγνωσαν ὑφελεῖν αὐτὸν ἢ μεταστῆσαι. τοῦτο Κάτωνα πρῶτον εἰς ἀγορὰν ἄκοντα προήγαγεν. ἀντέστη γὰρ αὐτοῖς, καὶ πεῖραν ἅμα τοῦ λόγου καὶ τοῦ φρονήματος δοὺς ἐθαυμάσθη. καὶ γὰρ ὁ λόγος νεαρὸν μὲν οὐδὲν οὐδὲ κομψὸν εἶχεν, ἀλλ' ἦν ὄρθιος καὶ περιπληθὴς καὶ τραχύς. οὐ μὴν ἀλλὰ καὶ χάρις ἀγωγὸς ἀκοῆς ἐπέτρεχεν τῇ βραχύτητι τῶν νοημάτων, καὶ τὸ ἦθος αὐτοῦ καταμιγνύμενον ἡδονήν τινα καὶ μειδίαμα τῷ σεμνῷ παρεῖχεν οὐκ ἀπάνθρωπον. ἡ δὲ φωνή, μεγέθει μὲν ἀποχρῶσα, καὶ διαρκὴς εἰς τοσοῦτον ἐξικέσθαι δῆμον, ἰσχὺν δὲ καὶ τόνον ἄρρηκτον εἶχεν καὶ ἄτρυτον. ἡμέραν γὰρ ὅλην εἰπὼν πολλάκις, οὐκ ἀπηγόρευσεν. τότε δ' οὖν κρατήσας τῆς δίκης, πάλιν ἑαυτὸν εἰς τὴν σιωπὴν καὶ τὴν ἄσκησιν συνέστειλεν· καὶ διεπόνει τὸ σῶμα γυμνασίοις ἐνεργοῖς, ἐθιζόμενον ἀνέχεσθαι καὶ καύματα καὶ νιφετὸν ἀκαλύπτῳ κεφαλῇ, καὶ βαδίζειν ἐν ταῖς ὁδοῖς πᾶσαν ὥραν ἄτερ ὀχήματος. τῶν δὲ φίλων οἱ συνεκδημοῦντες ἵπποις ἐχρῶντο, καὶ πολλάκις ἑκάστῳ παρέβαλλεν ὁ Κάτων, ἐν μέρει προσδιαλεγόμενος, περιπατῶν αὐτὸς, ὀχουμένων. θαυμαστῇ δὲ καὶ περὶ τὰς νόσους ὑπομονῇ μετ' ἐγκρατείας ἐχρῆτο. πυρέττων γὰρ μόνος ἐφ' ἑαυτοῦ διημέρευε, μηδένα προσιέμενος ἄχρι οὗ βέβαιον αἴσθοιτο ῥαστώνην καὶ μεταβολὴν τοῦ νοσήματος.

Ἐν δὲ τοῖς δείπνοις ἐκληροῦτο περὶ τῶν μερίδων. εἰ δὲ ἀπολάχοι, πρῶτον αἱρεῖν

Baſilicam, quæ Porcia dicitur, dedicaverat in cenſura Cato Major. In ea tribuni plebis dare audientiam ſoliti, quum columna ſubſelliis officere videretur, eam deliberaverant removere vel trajicere. Id Catonem primum protraxit in forum invitum. Nam objecit ſe illis, mirificumque dedit eloquentiæ pariter & animorum ſpecimen. Etenim nihil oratio ejus juvenile, nihil fucatum habebat: ſed erat elata, plena & aſpera. Urbanitas tamen aures mulcens ſententiarum diſtinguebat brevitatem, moreſque ejus in oratione elucentes condimentum quoddam & leporem ſeveritati præbebant non injucundum. Vox ſatis erat canora, & ſufficiens ut a tanto populo exaudiretur. Vires & latera firmiſſima habebat & indefatigata. Nam ſubinde quum integrum diem diceret, non eſt confectus. Quum eam cauſam obtinuiſſet, reduxit ſe ad ſilentium de integro, & ad exercitationes. Corpus validis exercitationibus ſubigebat, aſſuefaciens ſe ad æſtum & nivem aperto capite ferendam, atque ad iter omnibus anni temporibus pedibus faciendum. Amici qui eum comitabantur, utebantur equis, ac ſæpe modo huic, modo illi viciſſim adjungebat ſe Cato, colloquens cum vehentibus, ipſe pedibus ingrediens. Ad hæc incredibili erat in morbis tolerantia cum continentia: febricitans enim ſolus ſecum diem traducebat nemine admiſſo, quoad firmam allevationem & converſionem ſentiret morbi.

In cœnis ſortem mittebat de portionibus. Si ſors ipſum deſtituiſſet, amicis ut pri-

αἴρειν τῶν φίλων κελευόντων, ἔλεγε μὴ καλῶς ἔχειν ἀκούσης τῆς Ἀφροδίτης. καὶ κατ' ἀρχὰς μὲν ἅπαξ ἐπιπιὼν ἐπὶ τὸ δεῖπνον ἀνέλυεν, προϊόντι δὲ τῷ χρόνῳ μάλιστα προσίετο πίνειν, ὥστε πολλάκις ἐν οἴνῳ διάγειν εἰς ὄρθρον. αἰτίαν δ' ἔλεγον οἱ φίλοι τούτου τὴν πολιτείαν καὶ τὰ δημόσια πράγματα, πρὸς οἷς ὅλας τὸν Κάτωνα τὰς ἡμέρας ὄντα, καὶ κωλυόμενον φιλολογεῖν, νύκτωρ καὶ παρὰ πότον συγγίνεσθαι τοῖς φιλοσόφοις. διὸ καὶ Μεμμίου τινὸς ἐν συλλόγῳ φήσαντος ὅλας τὸν Κάτωνα μεθύσκεσθαι τὰς νύκτας, ὑπολαβὼν ὁ Κικέρων, ἐκεῖνο δὲ οὐ λέγεις, εἶπεν, ὅτι καὶ τὰς ἡμέρας ὅλας κυβεύει. καθόλου δὲ τοῖς τότε βίοις καὶ τοῖς ἐπιτηδεύμασιν ὁ Κάτων τὴν ἐναντίαν ὁδὸν οἰόμενος δεῖν βαδίζειν, ὡς οὖσι φαύλοις καὶ μεγάλης δεομένοις μεταβολῆς, ἐπεὶ πορφύραν ἑώρα τὴν κατακόρως ἐρυθρὰν καὶ ὀξεῖαν ἀγαπωμένην, αὐτὸς ἐφόρει τὴν μέλαιναν. πολλάκις δ' ἀνυπόδητος καὶ ἀχίτων εἰς τὸ δημόσιον προῄει μετ' ἄριστον, οὐ δόξαν ἐκ ταύτης τῆς καινότητος θηρώμενος, ἀλλὰ ἐθίζων ἑαυτὸν ἐπὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι μόνοις, τῶν δ' ἄλλων ἀδόξων καταφρονεῖν. καὶ κληρονομίαν δὲ αὐτῷ προσγενομένην ἀνεψιοῦ Κάτωνος ἑκατὸν ταλάντων εἰς ἀργύριον συναγαγὼν, παρεῖχεν ἄνευ τόκων χρῆσθαι τῷ δεομένῳ τῶν φίλων. ἔνιοι δὲ καὶ χωρία καὶ θεράποντας αὐτοῦ διδόντος καὶ βεβαιοῦντος, ὑπέθεντο πρὸς τὸ δημόσιον.

Ἐπεὶ δὲ ὥραν ᾤετο πρὸς γάμον ἔχειν, οὐδεμιᾷ γυναικὶ συνεληλυθὼς, ἡρμόσατο Λεπίδαν, πρότερον μὲν ἐγγυηθεῖσαν Σκιπίωνι Μετέλλῳ, τότε δὲ ἀπειπαμένου τοῦ Σκιπίωνος, καὶ τῆς ἐγγύης λυθείσης σχολάζουσαν. οὐ μὴν ἀλλὰ πρὸ

mam tolleret inſtantibus, parum id ait convenire invita Venere. Initio ſemel tantum quum bibiſſet ſuper cœnam, digrediebatur: verum progreſſu ætatis maxime dedidit ſe potui, ac ſubinde in vino uſque ad diluculum tranſegit. Prætendebant hic rempub. amici & publica negotia, in quibus totos dies diſtrictum, & prohibitum philoſophiæ vacare Catonem, noctu atque inter pocula ſerere cum philoſophis colloquia. Quapropter quum Memmius quidam diceret in cœtu totas comeſſari noctes Catonem: ſubjiciens Cicero, Sed illud non addis, inquit, totos dies eum alea ludere. Omnino autem ab illius temporis moribus & ſtudiis diverſam cenſens Cato viam capiendam, tanquam corruptis & magnam requirentibus correctionem, quum purpuram videret affatim rubore fulgentem & ſaturam in pretio eſſe, ipſe ferebat nigram. Crebro ſine calceis & tunica procedebat a prandio in publicum: non quod gloriam ex hac novitate aucuparetur, ſed quo aſſuefaceret ſeſe ob ſolam turpitudinem erubeſcere & infamias contemnere reliquas. Quum hæreditas ei veniſſet patruelis Catonis centum talentum, redegit eam in argentum, & cui opus erat ex amicis, mutuo dabat ſine fœnore. Alii prædia quoque & ſervitia ejus concedentis & autoritatem accommodantis ærario oppignerabant.

Ubi jam ætatem ſuam connubio putavit maturam, nullius antea conſuetudine mulieris uſo deſponſa fuit Lepida, Scipioni Metello ante pacta, quæ ſponſalibus diremptis, tunc ſui juris erat. Cæterum quod pœnitentia

πρὸ τοῦ γάμου μεταμεληθεὶς πάλιν ὁ Σκιπίων, καὶ πάντα ποιήσας, ἔλαβε τὴν κόρην. ὁ δὲ Κάτων σφόδρα παροξυνθεὶς καὶ διακαεὶς, ἐπεχείρησε μὲν ἐπεξελθεῖν διὰ δίκης· ὡς δὲ οἱ φίλοι τοῦτο ἐκώλυσαν, ὀργῇ καὶ νεότητι τρέψας ἑαυτὸν εἰς ἰάμβους, πολλὰ τὸν Σκιπίωνα καθύβρισε, τῷ πικρῷ προσχρησάμενος τοῦ Ἀρχιλόχου, τὸ δὲ ἀκόλαστον ἀφεὶς καὶ παιδαριῶδες. ἔγημε δὲ Ἀτιλίαν Σωῤῥανοῦ θυγατέρα, καὶ ταύτῃ πρῶτον συνῆλθεν, οὐ μόνῃ δὲ, καθάπερ Λαίλιος ὁ Σκιπίωνος ἑταῖρος· ἀλλ᾽ εὐτυχέστερος ἐκεῖνος, ἐν πολλοῖς οἷς ἐβίωσε χρόνοις, μίαν ἣν ἔγημεν ἐξ ἀρχῆς γνοὺς γυναῖκα.

Τοῦ δὲ δουλικοῦ πολέμου συνεστῶτος, ὃν Σπαρτάκειον ἐκάλουν, Γέλλιος μὲν ἐστρατήγει, Κάτων δὲ τῆς στρατηγίας μετεῖχεν ἐθελοντὴς, διὰ τὸν ἀδελφόν· ἐχιλιάρχει γὰρ ὁ ἀδελφὸς αὐτοῦ Καιπίων. καὶ χρήσασθαι μὲν εἰς ὅσον ἐβούλετο τῇ προθυμίᾳ καὶ ἀσκήσει τῆς ἀρετῆς οὐχ ὑπῆρξεν αὐτῷ, διὰ τὸ μὴ καλῶς στρατηγεῖσθαι τὸν πόλεμον· ἄλλως δὲ, παρὰ πολλὴν μαλακίαν καὶ τρυφὴν τῶν ἐκεῖ στρατευομένων, ἐπιδεικνύμενος εὐταξίαν, καὶ ἀναγκαίαν ἀνδρείαν, καὶ τὸ θαῤῥαλέον ἐν πᾶσι καὶ ξυνετὸν, ἐδόκει μηθὲν ἀποδεῖν τοῦ παλαιοῦ Κάτωνος. ὁ δὲ Γέλλιος ἀριστείας καὶ τιμὰς αὐτῷ διαπρεπεῖς ἔγραψεν, ἃς ἐκεῖνος οὐκ ἔλαβεν, οὐδὲ προσήκατο, φήσας ἄξιον μηθὲν εἰργάσθαι τιμῶν. ἔκ τε δὴ τούτων ἀλλόκοτος ἐδόκει· καὶ νόμου γραφέντος, ὅπως τοῖς παραγγέλλουσιν εἰς ἀρχὴν ὀνοματολόγοι μὴ παρῶσιν, χιλιαρχίαν μετιὼν, μόνος ἐπέθετο τῷ νόμῳ, καὶ δι᾽ αὐτοῦ ποιησάμενος ἔργον ἀσπάζεσθαι καὶ προσαγορεύειν τοὺς ἐντυγχάνοντας, οὐδὲ αὐτοῖς ἀνεπαχθὴς ἦν τοῖς ἐπαινοῦσιν, ὅσον

tentia Scipionem ante nuptias ſubiſſet, omnia molitus duxit eam. Qua re incenſus vehementer eſt & exarſit Cato, voluitque id judicio perſequi: ſed retentus ab amicis, ira & juventute conſultricibus, ad iambica ſe convertit, multiſque probris Scipionem proſcidit. Felle in eo ſcripto uſus eſt Archilochi, relicta ejus laſcivia & nugis puerilibus. Inde Atiliam Sorani filiam matrimonio ſibi conjungit, cum qua prima concubuit: verum non cum ſola, ut Scipionis familiaris Lælius: cæterum felicior ille longo quo vixit tempore unam, quam primam duxerat, cognovit mulierem.

Bello ſervili conflato, quod Spartacium vocaverunt, præerat exercitui Gellius. Eo in bello voluntaria ſtipendia Cato fecit, fratris cauſa Cæpionis, qui tribunus militum erat. Atqui explicare quantam cupiebat alacritatem & exercitationem virtutis, quod dux gereret rem imperite, nequivit. Dum tamen in magna militum illorum ignavia & luxu præſtitit diſciplinam, atque, ubi uſus quæreret, virtutem, omnibuſque in rebus audaciam & prudentiam, nihil concedere exiſtimatus eſt veteri Catoni. Unde Gellius prœmia ei & eximios honores tribuit, quos ille non accepit neque admiſit, nihil geſtum ferens honoribus dignum. Hinc perverſus habitus eſt. Deinde lege lata ne candidati nomenclatores haberent, tribunatum militum petens ſolus legi paruit, & per ſe elaboravit ſalutare atque appellare cives. Quamobrem non caruit invidia vel apud eos ipſos qui eum commendabant: quod quo ma-

ὅσον μᾶλλον ἐνόουν τὸ καλὸν ὧν ἐπετήδευεν, τὸ δυσμίμητον αὐτῶν βαρυνομένοις.

Ἀποδειχθεὶς δὲ χιλίαρχος εἰς Μακεδονίαν, ἐπέμπετο πρὸς Ῥούβριον τὸν στρατηγόν. ἔνθα δὴ λέγεται, τῆς γυναικὸς ἀχθομένης καὶ δακρυούσης, ἕνα τῶν φίλων τοῦ Κάτωνος Μουνάτιον εἰπεῖν, Ὦ Ἀτιλία θάρσει· τοῦτον ἐγώ σοι φυλάξω· πάνυ μὲν οὖν, φάναι τὸν Κάτωνα· καὶ προελθόντα μιᾶς ἡμέρας ὁδὸν, εὐθὺς εἰπεῖν μετὰ τὸ δεῖπνον, ἄγε ὅπως ὦ Μουνάτιε τῇ Ἀτιλίᾳ τὴν ὑπόσχεσιν ἐμπεδώσῃς, μήτε ἡμέρας ἐμοῦ μήτε νυκτὸς ἀφιστάμενος. ἐκ δὲ τούτου δύο κλίνας εἰς ταὐτὸ δωμάτιον ἐκέλευσε τίθεσθαι, καὶ τὸν Μουνάτιον οὕτως ἀεὶ καθεύδειν μετὰ παιδιᾶς φυλασσόμενον ὑπὸ τοῦ Κάτωνος. εἵποντο δὲ αὐτῷ πεντεκαίδεκα μὲν οἰκέται, δύο δὲ ἀπελεύθεροι, φίλοι δὲ τέσσαρες. ὧν ὀχουμένων ἵπποις, αὐτὸς ἀεὶ περιπατῶν ἑκάστῳ παρέβαλλεν, ἐν μέρει προσδιαλεγόμενος. ἐπεὶ δὲ ἧκεν εἰς τὸ στρατόπεδον, πλειόνων ταγμάτων ὄντων, ἑνὸς ἄρχων ἀποδειχθεὶς ὑπὸ τοῦ στρατηγοῦ, τῆς μὲν ἰδίας ἀρετῆς μιᾶς οὔσης μικρὸν ἔργον ἡγεῖτο καὶ οὐ βασιλικὸν τὴν ἐπίδειξιν· αὐτῷ δὲ ποιῆσαι τοὺς ἀρχομένους ὁμοίους μάλιστα φιλοτιμούμενος, οὐ τὸν φόβον ἀφεῖλεν τῆς ἐξουσίας, ἀλλὰ προσέθηκε τὸν λόγον· ᾧ πείθων περὶ ἑκάστου καὶ διδάσκων, ἑπομένης τιμῆς καὶ κολάσεως, χαλεπὸν ἦν εἰπεῖν πότερον εἰρηνικοὺς μᾶλλον ἢ πολεμικοὺς ἢ προθυμοτέρους ἢ δικαιοτέρους παρεσκεύασε τοὺς ἄνδρας. οὕτως ἐφαίνοντο φοβεροὶ μὲν τοῖς πολεμίοις, ἥμεροι δὲ τοῖς συμμάχοις, ἄτολμοι δὲ πρὸς τὸ ἀδικεῖν, φιλότιμοι δὲ πρὸς τοὺς ἐπαίνους. οὗ δὲ ἥκιστα Κάτων ἐπεμελήθη, τοῦ-

magis laudabilia ſtudia, quæ ſectabatur, conſiderarent, hoc gravarentur magis eorum, quam non valerent imitari, excellentiam.

Tribunus militum creatus in Macedoniam miſſus eſt ad Rubrium prætorem. Hic ferunt uxore Catonis mœrore preſſa & flente, quum unus ex amicis ejus Munatius dixiſſet, Bono animo es Atilia, hunc ego cuſtodiam tibi: Sane quidem, dixiſſe Catonem: progreſſumque iter unius diei ſtatim a cœna dixiſſe, Age Munati ut præſtes Atiliæ promiſſa, neque die vel nocte abſcedas a me. Inde duos lectos eodem in cubiculo juſſit ſterni, ut ibi dormiret Munatius: atque ita fuiſſe illum per jocum a Catone aſſervatum. Comitabantur eum ſervi quindecim, duo liberti & quatuor amici: quibus equo vectis ipſe pedibus incedens applicabat ſe viciſſim cuique colloquebaturque. Ut in caſtra venit, ex pluribus legionibus uni a prætore præfectus, ſuam unius virtutem exiguum opus nec regium ducebat explicare: ſed milites ſui reddere ſimiles maxime enitens, non formidinem detraxit imperio, ſed adjecit admonitionem per rationem: qua ſingula perſuadens iis, docenſque adjuncto honore & pœna, difficile erat dicere quietiores an bellicoſiores, an alacriores, an juſtiores milites reddiderit. Adeo præbuerunt ſe hoſtibus formidabiles, manſuetos ſociis, timidos ad malum, & acres ad laudem. Unde quod minime Cato

τοῦτο πλεῖστον αὐτῷ ὑπῆρχεν, ἡ δόξα καὶ χάρις καὶ ὑπερβάλλουσα τιμὴ, καὶ φιλοφροσύνη παρὰ τῶν στρατιωτῶν. ἃ γὰρ ἑτέροις ἐπέταττεν, ἑκουσίως διαπονῶν, καὶ στολὴν μὲν καὶ δίαιταν καὶ πορείαν ἐκείνοις μᾶλλον ἢ τοῖς ἄρχουσιν ὁμοιούμενος, ἤθει δὲ καὶ φρονήματι καὶ λόγῳ πάντας ὑπεραίρων τοὺς αὐτοκράτορας καὶ στρατηγοὺς προσαγορευομένους, ἔλαθε διὰ τούτων ἅμα τὴν πρὸς αὐτὸν εὔνοιαν ἐργασάμενος τοῖς ἀνδράσιν. ἀρετῆς γὰρ ἀληθινὸς οὐκ ἐγγίνεται ζῆλος, ἢ δι᾽ ἄκρας τοῦ παραδιδόντος εὐνοίας καὶ τιμῆς. οἱ δὲ ἄνευ τοῦ φιλεῖν ἐπαινοῦντες τοὺς ἀγαθοὺς, αἰδοῦνται τὴν δόξαν αὐτῶν, οὐ θαυμάζουσι δὲ τὴν ἀρετὴν, οὐδὲ μιμοῦνται.

Πυθόμενος δὲ Ἀθηνόδωρον τὸν ἐπικαλούμενον Κορδυλίωνα μεγάλην ἕξιν ἐν τοῖς Στωϊκοῖς λόγοις ἔχοντα, διατρίβειν περὶ Πέργαμον, ἤδη γηραιὸν ὄντα, καὶ πάσαις ἐῤῥωμενέστατα ταῖς ἡγεμονικαῖς καὶ βασιλικαῖς συνηθείαις καὶ φιλίαις διαμεμηχανημένον, οὐδὲν ᾤετο πέμπων καὶ γράφων περαίνειν πρὸς αὐτὸν, ἀλλὰ ἔχων παρὰ τοῦ νόμου δεδομένην ἀποδημίαν δυεῖν μηνῶν, ἔπλευσεν εἰς τὴν Ἀσίαν ἐπὶ τὸν ἄνδρα, πιστεύων τοῖς ἐν αὑτῷ καλοῖς μὴ ἀτυχήσειν τῆς ἄγρας. συγγενόμενος δὲ καὶ καταγωνισάμενος καὶ μεταστήσας ἐκ τῆς προαιρέσεως αὐτὸν, ἧκεν ἄγων εἰς τὸ στρατόπεδον, περιχαρὴς καὶ μεγαλοφρονῶν, ὥς τι κάλλιστον ᾑρηκὼς, καὶ λαμπρότερον ὧν Πομπήϊος τότε καὶ Λεύκολλος ἐθνῶν καὶ βασιλειῶν κατεστρέφοντο σὺν ὅπλοις περιϊόντες.

Ἔτι δὲ αὐτοῦ περὶ τὴν στρατηγίαν ὄντος, ὁ ἀδελφὸς εἰς τὴν Ἀσίαν βαδίζων, ἐνόσησε περὶ Θρᾴκην ἐν Αἴνῳ. καὶ γράμματα μὲν εὐθὺς ἧκε πρὸς τὸν

to morabatur, id eſt imprimis aſſequutus, gloriam & benevolentiam, & eximium honorem, & ſtudium militum. Nam quæ aliis imperabat, ea quia ultro præſtabat ipſe, veſtitu autem & victu itinerisque labore comparabat ſe illis magis quam ducibus, gravitate vero, prudentia, facundia, omnibus antecellebat qui nomen obtinebant imperatorum & ducum: ſimul his artibus devinxit clam ſibi animos eorum. Quippe germanus virtutis amor non influit niſi per ſummum imprimentis eum ſtudium & reverentiam. Sine amore qui celebrant bonos, eorum gloriam reverentur, non ſuſpiciunt neque imitantur virtutem.

Athenodorum autem quum intellexiſſet, Cordylionem cognomine, in Stoica diſciplina præclare exercitatum apud Pergamum agere ætate jam provectum, qui pertinaciſſime omnium imperatorum regumque conſuetudinem & amicitiam repulerat: nihil arbitrabatur ſe nuntiis & literis apud eum effecturum: verum quod in duos menſes jus haberet liberæ legationis, in Aſiam eſt ad eum profectus, confidens virtutibus ſuis non fruſtratum iri ſe præda. Colloquutus cum eo, expugnatum & de propoſito dejectum deduxit in caſtra, ovans & glorians ut re præclariſſima capta, & ſplendidiore gentibus regniſque quæ Pompeius tunc & Lucullus armis circumvolantes ſubjugabant.

Interea dum in militia agit, frater ejus Aſiam petens Æni in Thracia in morbum incidit: de quo confeſtim factus eſt per literas Cato cer-

τὸν Κάτωνα. χειμῶνος δὲ πολλοῦ κατέχοντος τὴν θάλατταν, καὶ νεὼς ἱκανῆς μεγέθει μὴ παρούσης, εἰς μικρὰν ὁλκάδα, μόνον δύο φίλους καὶ τρεῖς οἰκέτας ἀναλαβὼν, ἐκ Θεσσαλονίκης ἀνήχθη· καὶ παρ' οὐδὲν ἐλθὼν καταποντωθῆναι, τύχῃ τινὶ παραλόγῳ σωθεὶς, ἄρτι τεθνηκότος τοῦ Καιπίωνος, ἐμπαθέστερον ἔδοξεν ἢ φιλοσοφώτερον ἐνεγκεῖν τὴν συμφοράν· οὐ μόνον κλαυθμοῖς καὶ περιπτύξεσι τοῦ νεκροῦ, καὶ βαρύτητι λύπης, ἀλλὰ καὶ δαπάνῃ περὶ τὴν ταφὴν, καὶ πραγματείαις θυμιαμάτων, καὶ ἱματίων πολυτελῶν συγκατακαέντων, καὶ μνήματος ξεστοῦ λίθων Θασίων ἀπὸ ταλάντων ὀκτὼ κατασκευασθέντος ἐν τῇ Αἰνίων ἀγορᾷ. ταῦτα γὰρ ἔνιοι ἐσυκοφάντουν πρὸς τὴν ἄλλην ἀτυφίαν τοῦ Κάτωνος, οὐ καθορῶντες ὅσον ἐν τῷ πρὸς ἡδονὰς καὶ φόβους καὶ δεήσεις ἀναισχύντους ἀγνάμπτῳ καὶ στερρῷ τοῦ ἀνδρὸς τὸ ἥμερον ἐνῆν καὶ φιλόστοργον. εἰς δὲ ταῦτα καὶ πόλεις αὐτῷ καὶ δυνάσται πολλὰ κατὰ τιμὴν τοῦ τεθνεῶτος ἔπεμπον· ὧν ἐκεῖνος χρήματα μὲν παρ' οὐδενὸς ἐδέξατο, θυμιάματα δὲ καὶ κόσμον ἐλάμβανεν, τιμὴν ἀποδιδοὺς τοῖς πέμπουσιν. τῆς δὲ κληρονομίας εἰς αὐτόν τε καὶ θυγάτριον τοῦ Καιπίωνος ἡκούσης, οὐθὲν ὧν ἀνήλωσε περὶ τὸν τάφον ἀπῄτησεν ἐν τῇ νεμήσει. καὶ ταῦτα πράξαντος αὐτοῦ καὶ πράττοντος, ἦν ὁ γράψας ὅτι κοσκίνῳ τὴν τέφραν τοῦ νεκροῦ μετέβαλε καὶ διήθησε, χρυσίον ζητῶν κατακεκαυμένον. οὕτως οὐ τῷ ξίφει μόνον, ἀλλὰ καὶ τῷ γραφείῳ τὸν ἀνυπεύθυνον καὶ ἀνυπόδικον ἐπίστευεν.

Ἐπεὶ δὲ τέλος εἶχεν ἡ στρατεία τῷ Κάτωνι, προεπέμφθη οὐκ εὐχαῖς, ὃ κοινόν ἐστιν, οὐδὲ ἐπαίνοις, ἀλλὰ δάκρυσι καὶ περιβολαῖς ἀπλήστοις, ὑποτιθέν-

των

certior. Quum autem gravis in mari tempeſtas ſæviret, neque eſſet ad manum amplior navis, in exigua oneraria cum duobus tantum amicis & tribus ſervis ex Theſſalonica ſolvit. Pene ſubmerſus inſperata quadam fortuna incolumis evaſit Cæpione modo defuncto. Viſus eſt autem animo imbecilliore caſum quam pro philoſopho tuliſſe, non lamentationibus ſolum & cadaveris amplexibus mœrorisque magnitudine, verum etiam ſumptu funeris, odorum magnificentia, & veſtibus pretioſis cum cadavere crematis, ac monumento polito ex Thaſio marmore, quod conſtitit octo talentis, in Æniorum foro locato. Hæc enim in cætera Catonis moderatione vellicabant quidam, non animadvertentes quantum in illius adverſus voluptates, terrores, & impudentes preces inflexibilitate & aſperitate, ineſſet lenitatis & pietatis. Multa vero ei ad funus civitates & dynaſtæ honoris defuncti cauſa miſerunt: ex quibus pecuniam ille a nemine, ſed odores & ornamenta accepit, reddito mittentibus pretio. Cæpionis autem hæreditate ſibi & illius filiæ delata, nihil eorum quæ in funus impendit, repetiit in partitione. Quæ quum feciſſet & faceret, inventus eſt tamen qui ſcriberet, quo aurum conflatum inveſtigaret, in cerniculo cribraſſe eum & colaſſe mortui cineres. Ita non gladio ſolum, verum etiam ſtylo, putavit impune ſibi quod liberet, facere.

Expleta militia Catonis, non votis eum, quod tranſlatitium erat, neque præconiis, ſed lacrymis complexibuſque proſequuti ſunt, ſub-

των τὰ ἱμάτια τοῖς ποσὶν ᾗ βαδίζοι, καὶ καταφιλούντων τὰς χεῖρας· ἃ τῶν αὐτοκρατόρων ὀλίγοις μόλις ἐποίουν οἱ τότε Ῥωμαῖοι. βουληθεὶς δὲ πρὸ τοῦ πολιτείᾳ προσελθεῖν, ἅμα μὲν πλανηθῆναι καθ' ἱστορίαν τῆς Ἀσίας, καὶ γενέσθαι θεατὴς ἠθῶν καὶ βίων καὶ δυνάμεως τῆς περὶ ἑκάστην ἐπαρχίαν· ἅμα δὲ τῷ Γαλάτῃ Δηϊοτάρῳ, διὰ ξενίαν καὶ φιλίαν πατρῴαν δεομένῳ πρὸς αὐτὸν ἐλθεῖν, μὴ ἀχαριστῆσαι· τοῦτον τὸν τρόπον ἐποιεῖτο τὴν ἀποδημίαν. προὔπεμπεν ἅμ' ἡμέρᾳ τὸν ἀρτοποιὸν καὶ τὸν μάγειρον, ὅπου καταλύσειν ἔμελλεν. οἱ δὲ πάνυ κοσμίως καὶ μεθ' ἡσυχίας εἰσελθόντες ἂν εἰς τὴν πόλιν, εἰ μηδεὶς τύχοι τῷ Κάτωνι φίλος ὢν αὐτόθι πατρῷος ἢ γνώριμος, ἐν πανδοκείῳ τὴν ὑποδοχὴν αὐτῷ παρεσκεύαζον, ἐνοχλοῦντες οὐδενί· πανδοκείου δὲ μὴ ὄντος, οὕτως πρὸς τοὺς ἄρχοντας τραπόμενοι, ξενίαν ἐλάμβανον, ἀγαπῶντες τὴν δοθεῖσαν. πολλάκις δὲ ἀπιστούμενοι, καὶ περιορώμενοι διὰ τὸ μὴ θορύβῳ μηδὲ ἀπειλῇ ταῦτα πράσσειν πρὸς τοὺς ἄρχοντας, ὑπὸ τοῦ Κάτωνος ἄπρακτοι κατελαμβάνοντο, καὶ μᾶλλον αὐτὸς ὀφθεὶς ὠλιγωρεῖτο, καὶ παρεῖχεν ἐπὶ τῶν φορτίων σιωπῇ καθεζόμενος ὑπόνοιαν ἀνθρώπου ταπεινοῦ καὶ περιδεοῦς. οὐ μὴν ἀλλὰ καὶ προσκαλούμενος αὐτὸς εἰώθει λέγειν, Ὦ μοχθηροὶ μεταβάλλεσθε ταύτης τῆς κακοξενίας. οὐ πάντες ὑμῖν ἀφίξονται Κάτωνες. ἀμβλύνατε ταῖς φιλοφροσύναις τὴν ἐξουσίαν αὐτῶν, δεομένων προφάσεως, ἵνα βίᾳ λαμβάνωσιν, ὡς παρ' ἑκόντων μὴ τυγχάνοντες.

Ἐν δὲ Συρίᾳ καὶ γελοῖόν τι λέγεται παθεῖν· βαδίζων γὰρ εἰς Ἀντιόχειαν, εἶδε περὶ τὰς πύλας ἔξω πλῆθος ἀνθρώπων ἑκατέρωθεν τῆς ὁδοῦ παρακεκριμένων.

ſubſternentes in via qua pergebat veſtes, manuſque ejus deoſculantes: quæ vix paucis imperatoribus præſtabant illius temporis Romani milites. Quum in animo haberet, prius quam ad rempublicam accederet, peragrare & viſere Aſiam, moreſque & inſtituta atque vires cujuſque provinciæ contemplari: ſimul Deiotaro Galatarum regi, ob jus hoſpitii & amicitiam paternam, ut inviſeret ſe oranti, non abnuere: hoc modo inſtituit iter ſuum. Præmittebat lucis principio, quo divertere intenderat, piſtorem & coquum. Illi perquam modeſte & ſedate oppidum ingreſſi, ſi nullum ibi amicum paternum aut notum haberet, parabant ei in diverſorio publico cibum, neque erant ulli importuni: ſi diverſorium non eſſet, tum demum magiſtratibus aditis hoſpitium accipiebant, contenti attributo. Sæpe iis pro vanis habitis deſpectiſque, quia non exigebant hoc a magiſtratibus ſtrepitu vel minis, ſuperveniebat Cato nulla dum re parata. Magis autem ipſe contemnebatur ubi fuit conſpectus, præbebatque, ſuper ſarcinas tacitus ſedens, imaginem hominis abjecti & trepidi. Veruntamen accerſitis aliquando magiſtratibus dicere ſolebat, Deponite improbi homines hanc inhoſpitalitatem: non omnes ad vos venient Catones. Hebetate comitate potentiam eorum qui occaſionem quærunt vi ut capiant, quaſi non impetrent a volentibus.

In Syria etiam rem ridiculam ei fama eſt accidiſſe. Antiochiam petens, extra portam catervam hominum ſpectavit ex utraque parte viæ digeſtorum.

μένων. ἐν οἷς ἔφηβοι μὲν χωρὶς ἐν χλαμύσι, καὶ παῖδες ἑτέρωθι κοσμίως εἱστήκεσαν· ἐσθῆτας δὲ καθαρὰς ἔνιοι καὶ στεφάνους εἶχον, ἱερεῖς Θεῶν ὄντες, ἢ ἄρχοντες. πάντων οὖν μᾶλλον οἰηθεὶς ὁ Κάτων αὑτῷ τινὰ πράττεσθαι τιμὴν καὶ δεξίωσιν ὑπὸ τῆς πόλεως, ὠργίζετο μὲν τοῖς προπεμφθεῖσι τῶν ἰδίων, ὡς μὴ κωλύσασιν· ἐκέλευσε δὲ καταβῆναι τοὺς φίλους, καὶ πεζῇ προήει μετ' αὐτῶν. ὡς δ' ἐγγὺς ἦσαν, ὁ πάντα διακοσμῶν ἐκεῖνα, καὶ τὸν ὄχλον εἰς τάξιν καθιστὰς, ἀνὴρ πρεσβύτερος ἤδη, ῥάβδον ἐν τῇ χειρὶ καὶ στέφανον κρατῶν, ἀπήντησεν τῷ Κάτωνι πρὸ τῶν ἄλλων, καὶ μηδὲ ἀσπασάμενος, ἠρώτα ποῦ Δημήτριον ἀπολελοίπασι, καὶ πηνίκα παρέσται. Πομπηΐου δὲ ἦν γεγονὼς ὁ Δημήτριος οἰκέτης· τότε δὲ πάντων, ὡς ἔπος εἰπεῖν, ἀνθρώπων εἰς Πομπήϊον ἀποβλεπόντων, ἐθεραπεύετο παρ' ἀξίαν, μέγα παρ' αὐτῷ δυνάμενος. τοῖς μὲν οὖν φίλοις τοῦ Κάτωνος γέλως ἐνέπεσε τοσοῦτος, ὥστε ἀναλαβεῖν ἑαυτοὺς οὐκ ἐδύναντο, διὰ τοῦ πλήθους ἅμα βαδίζοντες. ὁ δὲ Κάτων τότε μὲν ἰσχυρῶς διατραπεὶς, Ὦ τῆς κακοδαίμονος, ἔφη, πόλεως· ἄλλο δὲ οὐδὲν ἐφθέγξατο· χρόνῳ δὲ ὕστερον εἰώθει γελᾶν καὶ αὐτὸς ἐπὶ τούτῳ καὶ διηγούμενος καὶ μνημονεύων.

Οὐ μὴν ἀλλὰ Πομπήϊος αὐτὸς ἐπέστρεψε τοὺς ἀνθρώπους οὕτω πλημμελοῦντας εἰς τὸν Κάτωνα δι' ἄγνοιαν. ὡς γὰρ εἰς Ἔφεσον ἐλθὼν, ἐπορεύετο πρὸς αὐτὸν ἀσπασόμενος πρεσβύτερον ὄντα, καὶ δόξῃ πολὺ προήκοντα, καὶ δυνάμεων τότε μεγίστων ἡγούμενον, ἰδὼν ὁ Πομπήϊος, οὐκ ἔμεινεν οὐδὲ εἴασεν καθεζομένῳ προσελθεῖν, ἀλλ' ὥς τινι τῶν κρειττόνων ἀναθορὼν ἀπήντησε,

digeſtorum. Inter quos in chlamydibus ſtabant decore ſeorſum adulti, ſeorſum pueri. Candidas veſtes aliqui & coronas gerebant. Sacerdotes hi Deorum erant aut magiſtratus. Ratus omnino Cato honorandi & excipiendi ſui cauſa ea a civitate inſtitui, ſtomachatus eſt in ſuos quos præmiſerat, quod id non prohibuiſſent: juſſitque amicos deſcendere, atque inceſſit cum iis pedes. Ut prope ventum eſt, ille qui omnia iſta adornabat & turbam componebat, vir ætate jam provectiore, virgam & coronam manu tenens obtulit ſe præ aliis Catoni, ac ne ſalute quidem data quæſivit ubi Demetrium reliquiſſent, & quando eſſet adfuturus. Pompeii erat Demetrius libertus. Omnibus autem tunc prope mortalibus in Pompeium oculos defigentibus colebatur, quod multum poſſet apud eum ſupra dignitatem ſuam. Ibi cœperunt amici Catonis uſque adeo cachinnari, ut interea dum tranſirent per cœtum non poſſent ſe colligere. Cato vero tunc oppido confuſus, O miſeram, inquit, civitatem! Nihil præterea loquutus eſt. Poſt autem quoties id narrabat vel meminerat, ſolebat ipſe quoque ridere.

Verum ſuo exemplo erudiit ipſe Pompeius eos qui per inſcitiam inofficioſi in Catonem fuiſſent. Ut enim Epheſum ad eum ſalutandum ætate majorem, dignitateque præcellentem, & maximorum tunc ducem exercituum profectus eſt, conſpiciens hunc Pompeius non tenuit ſe loco, neque permiſit ut ſedentem adiret ſe, ſed tanquam ex primoribus alicui exiliens proceſſit ei

σε, καὶ τὴν δεξιὰν ἐνέβαλε. καὶ πολλὰ μὲν εὐθὺς ἐν τῷ φιλοφρονεῖσθαι καὶ ἀσπάζεσθαι παρόντα, πλείω δ' ἔτι μεταστάντος ἐγκώμια διῆλθεν αὐτοῦ τῆς ἀρετῆς· ὥστε πάντας ἐπιστρεφομένους καὶ προσέχοντας ἤδη τῷ Κάτωνι, θαυμάζειν ἐξ ὧν πρότερον κατεφρονεῖτο, καὶ πρᾳότητα καὶ μεγαλοψυχίαν ἀναθεωρεῖν. καὶ γὰρ ἡ Πομπηΐου σπουδὴ περὶ αὐτὸν οὐκ ἐλάνθανεν θεραπεύοντος οὖσα μᾶλλον ἢ φιλοῦντος· ἀλλ' ἔγνωσαν ὅτι θαυμάζει μὲν παρόντα, χαίρει δὲ ἀπερχομένῳ. τοὺς γὰρ ἄλλους νέους ὅσοι παρ' αὐτὸν ἀφικνοῦντο, φιλοτιμούμενος κατεῖχεν, καὶ ποθῶν αὐτῷ συνεῖναι· τοῦ δὲ Κάτωνος οὐδὲν ἐδεήθη τοιοῦτον, ἀλλ' ὥσπερ οὐκ ἀνυπεύθυνος ἄρχων ἐκείνου παρόντος, ἐξέπεμψεν ἄσμενος, μόνῳ σχεδὸν ἐκείνῳ τῶν εἰς Ῥώμην πλεόντων τὰ τέκνα καὶ τὴν γυναῖκα παρακαταθέμενος, ἄλλως αὐτῷ προσήκοντα καὶ διὰ συγγένειαν. ἐκ τούτου δόξα καὶ σπουδὴ καὶ ἅμιλλα περὶ αὐτὸν ἦν τῶν πόλεων, καὶ δεῖπνα, καὶ κλήσεις· ἐν οἷς τοὺς φίλους ἐκέλευεν προσέχειν αὐτῷ, μὴ λάθῃ βεβαιώσας τὸν Κουρίωνος λόγον. ὁ γὰρ Κουρίων ἀχθόμενος τῷ αὐστηρῷ τοῦ Κάτωνος φίλου καὶ συνήθους ὄντος, ἠρώτησεν αὐτὸν εἰ πρόθυμός ἐστιν μετὰ τὴν στρατείαν γενέσθαι τῆς Ἀσίας θεατής. τοῦ δὲ καὶ πάνυ φήσαντος, εὖ λέγεις, εἶπεν ὁ Κουρίων, ἡδίων γὰρ ἐπανήξεις ἐκεῖθεν, καὶ μᾶλλον ἥμερος· οὕτω πως καὶ τῷ ῥήματι χρησάμενος.

Δηϊόταρος δὲ ὁ Γαλάτης μετεπέμψατο μὲν τὸν Κάτωνα, πρεσβύτερος ὢν ἤδη, παραθέσθαι τοὺς παῖδας αὐτῷ βουλόμενος, καὶ τὸν οἶκον· ἐλθόντι δὲ προσφέρων δῶρα παντοδαπὰ, καὶ πειρῶν καὶ δεόμενος πάντα τρόπον, οὕτω παρώξυνεν,

ei obviam, dextramque porrexit, & multis laudibus ſtatim in amplectendo & ſalutando præſentem, pluribus etiam digreſſi virtutem extulit. Unde inflexi omnes, animoque jam ad Catonem converſo, habebant eum in admiratione ex iiſdem ex quibus faſtidiebatur pridem, quum lenitatem & animi celſitudinem ejus conſiderarent. Namque Pompeii in eum ſtudium non obſcurum erat ſuſpicientis eum potius quam diligentis eſſe: verum adverterunt honoraſſe præſentem, & gaviſum fuiſſe diſcedente. Quippe alios juvenes qui ad eum commeabant, hos invitans & deſiderans eorum conſuetudinem, retinebat: a Catone nihil contendit ejuſcemodi, ſed, quaſi non haberet illo præſente liberum imperium, dimiſit eum libenter: cui pene ſoli eorum qui Romam navigabant liberos ſuos & uxorem commendavit, alioquin propinquitate ei conjunctos. Hinc celebris opinio & ſtudium certatim erga eum civitatum extitit, cœnæ etiam & invitationes, in quibus attendere ſibi juſſit amicos num Curionis dictum imprudens comprobaſſet. Curio enim Catonis amicus & familiaris auſteritate ejus offenſus, quæſivit de eo ſtatuiſſetne poſt completa ſtipendia Aſiam viſere. Annuente illo, Bene eſt, inquit Curio: jucundior enim illinc reverteris & manſuetior. Nam eo eſt verbo uſus.

Porro Deiotarus jam gravis annis accivit Catonem, ut liberos ſuos & domum ei commendaret: quem poſtquam advenit, varia dona ei offerens, inſtanſque atque enixe rogans ut acciperet,

ξυνεν, ὥστε δείλης ἐλθόντα καὶ νυκτερεύσαντα, τῇ ὑστεραίᾳ περὶ τρίτην ὥραν ἀπᾶραι. προελθὼν μέντοι μιᾶς ἡμέρας ὁδὸν, εὗρεν ἐν Πεσσινοῦντι πλείονα τῶν ἐκεῖ δώρων αὖθις αὐτὸν ὑπομένοντα, καὶ γράμματα τοῦ Γαλάτου, δεομένου λαβεῖν αὐτόν· εἰ δὲ μὴ πρόθυμός ἐστιν, ἀλλὰ τοὺς φίλους ἐᾶσαι, πάντως μὲν ἀξίους ὄντας εὖ παθεῖν δι᾽ ἐκεῖνον, οὐκ ὄντων δὲ τῶν ἰδίων τοῦ Κάτωνος τοσούτων. ἀλλ᾽ οὐδὲ τούτοις ἐνέδωκεν ὁ Κάτων, καίπερ ἐνίους τῶν φίλων μαλασσομένους καὶ ὑπομεμφομένους ὁρῶν· ἀλλὰ φήσας ὅτι πᾶσα δωροδοκία προφάσεως ἂν εὐπορήσειεν, οἱ δὲ φίλοι μεθέξουσιν ὧν ἂν ἔχῃ καλῶς καὶ δικαίως κτησάμενος, ἀπέπεμψε τὰ δῶρα πρὸς τὸν Δηϊόταρον. ἐπεὶ δὲ μέλλοντος ἀπαίρειν εἰς τὸ Βρεντέσιον, ᾤοντο δεῖν οἱ φίλοι τὰ λείψανα τοῦ Καιπίωνος εἰς ἕτερον θέσθαι πλοῖον, εἰπὼν ὅτι τῆς ψυχῆς μεθήσεται μᾶλλον ἢ τούτων, ἀνήχθη. καὶ μέντοι λέγεται κατὰ τύχην ἐπισφαλέστατα περάσαι, τῶν ἄλλων μετρίως κομιζομένων.

Ἐπανελθὼν δὲ εἰς Ῥώμην, τὸν μὲν ἄλλον χρόνον κατ᾽ οἶκον Ἀθηνοδώρῳ, ἢ κατ᾽ ἀγορὰν τοῖς φίλοις παριστάμενος διετέλεσεν. ἐπιβάλλουσαν δὲ αὐτῷ τὴν ταμιευτικὴν ἀρχὴν οὐ πρότερον μετῆλθεν, ἢ τούς τε νόμους ἀναγνῶναι τοὺς ταμιευτικοὺς, καὶ διαπυθέσθαι τῶν ἐμπείρων ἕκαστα, καὶ τύπῳ τινὶ τῆς ἀρχῆς τὴν δύναμιν περιλαβεῖν. ὅθεν εὐθὺς εἰς τὴν ἀρχὴν καταστὰς, μεγάλην ἐποίησεν μεταβολὴν τῶν περὶ τὸ ταμεῖον ὑπηρετῶν, καὶ γραμματέων· οἳ διὰ χειρὸς ἀεὶ τὰ δημόσια γράμματα καὶ τοὺς νόμους ἔχοντες, εἶτα νέους ἄρχοντας παραλαμβάνοντες, δι᾽ ἀπειρίαν καὶ ἄγνοιαν ἀτεχνῶς διδασκάλων

ret, adeo exacerbavit, ut veſperi quum veniſſet & ibi pernoctaſſet, poſtridie abierit tertia hora. Progreſſus tamen unius diei iter, offendit Peſſinunte plura etiam prioribus quæ ipſum manebant dona, litteraſque regis quibus orabat eum ne ea repudiaret: ſin abhorreret, at permitteret ea amicis qui omnino ipſius cauſa beneficiis forent digni; præſertim quod non perinde haberet lautum patrimonium Cato. Verum ne his quidem indulſit Cato, quantumvis nonnullos amicos flecti perciperet & nonnihil conqueri. Cæterum nulli munerum acceptioni defuturum demonſtravit prætextum, amicos vero in conſortium venturos eorum quæ honeſte & juſte poſſideret: atque ita dona Deiotaro remiſit. Vela facturus Brunduſium, quum conſulerent amici ut Cæpionis reliquias alio in navigio collocaret, animam ſe prius quam has reſpondit relicturum, atque ita ſolvit. Et ſane maximo forte cum periculo, quum alii curſu mediocri uterentur, dicitur trajeciſſe.

Reverſus ad urbem, tempus traducebat perpetuo domi Athenodoro aut amicis in foro vacans. Quum petere quæſturam legitime poſſet, non ante acceſſit ad petendum quam leges perlegiſſet quæſtorias, ſingulaque ex peritis inveſtigaſſet, & ſummatim vim eſſet complexus muneris illius. Unde ſimul atque factus quæſtor eſt, multa in miniſtris ærarii & ſcribis novavit: qui quum perpetuo acta publica & leges tractarent, novoſque quæſtores acciperent, plane indigentes ob imperitiam & inſcitiam aliorum docto-

rum

λων ἑτέρων καὶ παιδαγωγῶν δεομένους, οὐχ ὑφίεντο τῆς ἐξουσίας ἐκείνοις, ἀλλὰ ἦσαν ἄρχοντες αὐτοί. μέχρις οὗ Κάτων ἐπιστὰς τοῖς πράγμασι νεανικῶς, οὐκ ὄνομα καὶ τιμὴν ἔχων ἄρχοντος, ἀλλὰ καὶ νοῦν καὶ φρόνημα καὶ λόγον, ὑπηρέταις, ὅπερ ἦσαν, ἠξίου χρῆσθαι τοῖς γραμματεῦσι, τὰ μὲν ἐξελέγχων κακουργοῦντας αὐτοὺς, τὰ δὲ ἁμαρτάνοντας ἀπειρίᾳ διδάσκων. ὡς δὲ ἦσαν ἰταμοὶ, καὶ τοὺς ἄλλους ἐθώπευον ὑποτρέχοντες, ἐκείνῳ δὲ ἐπολέμουν, τὸν μὲν πρῶτον αὐτῶν καταγνοὺς περὶ πίστιν ἐν κληρονομίᾳ γεγονέναι πονηρὸν, ἀπήλασε τοῦ ταμιείου· δευτέρῳ δέ τινι ῥᾳδιουργίας προὔθηκε κρίσιν. ᾧ Κάτλος Λουτάτιος ὁ τιμητὴς ἀνέβη βοηθήσων, ἀνὴρ μέγα τὸ τῆς ἀρχῆς ἔχων ἀξίωμα, τὸ δὲ τῆς ἀρετῆς ἔχων μέγιστον, ὡς πάντων δικαιοσύνῃ καὶ σωφροσύνῃ Ῥωμαίων διαφέρων. ἦν δὲ καὶ τοῦ Κάτωνος ἐπαινέτης καὶ συνήθης διὰ τὸν βίον. ὡς οὖν ἡττώμενος τοῖς δικαίοις, ἐξῃτεῖτο φανερῶς τὸν ἄνθρωπον, οὐκ εἴα ταῦτα ποιεῖν αὐτὸν ὁ Κάτων. ἔτι δὲ μᾶλλον προσλιπαροῦντος, αἰσχρὸν, εἶπεν, ὦ Κάτλε, σὲ τὸν τιμητὴν καὶ τοὺς ἡμετέρους βίους ὀφείλοντα δοκιμάζειν, ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι. ταύτην τὴν φωνὴν ἀφέντος τοῦ Κάτωνος, ὁ Κάτλος προσέβλεψε μὲν αὐτὸν, ὡς ἀμειψόμενος, εἶπεν δὲ οὐδὲν, ἀλλ' εἴτε ὑπ' ὀργῆς, εἴτε ὑπ' αἰσχύνης, ἀπῆλθε σιωπῇ διηπορημένος. οὐ μὴν ἥλω γε ὁ ἄνθρωπος· ἀλλ' ἐπεὶ μιᾷ ψήφῳ τὰς ἀφιείσας ὑπερέβαλον αἱ καθαιροῦσαι, καὶ Λόλλιος Μάρκος, εἷς συνάρχων τοῦ Κάτωνος, ὑπὸ ἀσθενείας ἀπελέλειπτο τῆς δίκης, πέμπει πρὸς τοῦτον ὁ Κάτλος δεόμενος βοηθῆσαι τῷ ἀνθρώπῳ· κἀκεῖνος ἐν φορείῳ κομισθεὶς μετὰ τὴν δίκην, ἔθετο τὴν ἀπολύουσαν.

-rum & magiſtrorum, non cedebant illis autoritate, ſed erant ipſi revera quæſtores: donec Cato ſtrenue negotium capeſſens, non ſatis habuit nomen & honorem tenere tunc officii, ſed mentem etiam, animos & rationem, ſcribis uti (ſicut erant) ſicut miniſtris voluit, hinc ſcelera eorum coarguens, hinc peccantes ignorantia docens: qui ut fuerunt impudentes, aliiſque ſurrepentes aſſentationibus, illi reluctabantur, principem inter eos admiſſæ in hæreditate fraudis convictum exegit ærario. Alteri teſtamenti ſubjecti formulam intendit: cujus defenſioni Lutatius Catulus cenſor obtulit ſe, magnæ vir ob illum magiſtratum autoritatis, ſed ob virtutem maximæ, quod omnibus civibus juſtitia & vitæ integritate præcelleret. Erat hic Catonis quoque vitæ ejus nomine laudator & familiaris. Cui, quum eripere jure non valeret, precibus ſuis condonari reum poſtulanti, non conceſſit Cato. Quum ille magis magiſque contenderet, Turpe, inquit, tibi Catule eſt cenſori, qui vitas noſtras probare debes, a miniſtris noſtris de gradu dimoveri. Hac a Catone miſſa voce Catulus intuitu ſuo reſponſurum ſe præferebat aliquid, nihil reſpondit tamen: ſed, ſive ira ſive pudore, tacitus atque animo conturbato abſceſſit. At ille non eſt damnatus tamen: verum quum una ſententia ſuperarent liberatorias damnatoriæ, neque ex collegis Catonis M. Lollius judicio propter adverſam valetudinem intereſſet: ad hunc allegavit Catulus, orans ut reum ſublevaret; qui lectica poſt judicium advectus, liberavit eum ſententia ſua. Non eſt

σαν. οὐ μὴν ἐχρήσατό γε τῷ γραμματεῖ ὁ Κάτων, οὐδὲ τὸν μισθὸν ἀπέδωκεν, οὐδὲ ὅλως ἐνάριθμον τοῦ Λολλίου τὴν ψῆφον ἔσχεν.

Οὕτω δὲ τοὺς γραμματεῖς ταπεινώσας καὶ ποιήσας ὑποχειρίους, καὶ τοῖς γράμμασιν ὡς αὐτὸς ἐβούλετο χρώμενος, ὀλίγῳ χρόνῳ τὸ ταμεῖον ἀπέδειξε τοῦ βουλευτηρίου σεμνότερον, ὡς καὶ λέγειν καὶ φρονεῖν ἅπαντας ὅτι Κάτων ὑπατείας ἀξίωμα τῇ ταμιείᾳ περιέθηκεν. πρότερον μὲν γὰρ εὑρὼν χρέα παλαιὰ τῷ δημοσίῳ πολλοὺς ὀφείλοντας, καὶ πολλοῖς τὸ δημόσιον, ἅμα τὴν πόλιν ἔπαυσεν ἀδικουμένην καὶ ἀδικοῦσαν· τοὺς μὲν εὐτόνως καὶ ἀπαραιτήτως ἀπαιτῶν, τοῖς δὲ ταχέως ἀποδιδοὺς καὶ προθύμως· ὥστε τὸν δῆμον αἰδεῖσθαι, τοὺς μὲν οἰομένους ἀποστερήσειν, ἐκτίνοντας ὁρῶντα, τοὺς δὲ ἃ μὴ προσεδόκων ἀπολαμβάνοντας. ἔπειτα γράμματα τῶν πολλῶν οὐ προσηκόντως ἀναφερόντων, καὶ δόγματα ψευδῆ παραδέχεσθαι χάριτι καὶ δεήσει τῶν πρότερον εἰωθότων, οὐδὲν αὐτὸν ἔλαθε γινόμενον τοιοῦτον· ἀλλ᾽ ὑπὲρ ἑνός ποτε δόγματος ἐνδοιάσας, εἰ κύριον γέγονε, πολλῶν μαρτυρούντων οὐκ ἐπίστευσεν, οὐδὲ κατέταξε πρότερον ἢ τοὺς ὑπάτους ἐπομόσαι παραγινομένους. ὄντων δὲ πολλῶν οἷς Σύλλας ἐκεῖνος ἀποκτείνασιν ἄνδρας ἐκ προγραφῆς ἑτέρας ἔδωκεν ἀνὰ μυρίας διχιλίας δραχμάς, ἅπαντες μὲν αὐτοὺς ὡς ἐναγεῖς καὶ μιαροὺς ἐμίσουν, ἀμύνασθαι δὲ οὐδεὶς ἐτόλμα· Κάτων δέ, προσκαλούμενος ἕκαστον ἔχοντα δημόσιον ἀργύριον ἀδίκως, ἐξέπραττεν ἅμα θυμῷ καὶ λόγῳ τὸ τῆς πράξεως ἀνόσιον καὶ παράνομον ἐξονειδίζων. οἱ δὲ τοῦτο παθόντες, εὐθὺς ἦσαν ἔνοχοι φόνῳ,

eſt uſus tamen Cato illo ſcriba, neque ſalarium ei ſolvit, neque prorſus ullam habuit Lollii ſententiæ rationem.

Ita depreſſis & ſubactis ſcribis, tabulis publicis & arbitrio ſuo uſus, brevi tempore ærarium curia reddidit auguſtius: ferebantque & ſentiebant omnes conſularem amplitudinem adjunctam a Catone quæſturæ. Nam quum primum nomina vetera multa ærarii comperiſſet, & ærarium multorum æs alienum habere, effecit ſimul ut nec a quoquam reſpub. fraudaretur, nec illa fraudaret quenquam, ab his rigide & acerbe exigendo, illis cito & prompte ſolvendo: ut revereretur eum populus, quum cerneret illos qui exiſtimabant ſe decocturos, dependere, & his qui nihil expectabant ſatisfieri. Deinde quum plerique tabulas publicas non rite referrent, & falſa ſenatuſconſulta ſolerent ſuperiores gratia & precibus recipere, nihil eum ſimile fefellit: ſed de uno ſenatus decreto, an ratum eſſet, quum hæſitaret, multis adſtipulantibus non habuit fidem, neque retulit id ad ærarium prius quam præſentes conſules juraſſent. Quum multi eſſent quibus dictator Sylla, quod comprehenſos cives ex ſecunda proſcriptione ſua interfeciſſent, in capita duodecies millenos denarios largitus fuerat, hos cuncti ut nefarios ac deteſtabiles oderant, ulciſci tamen audebat nemo: at Cato ſingulos accerſivit qui pecuniam publicam injuſte tenebant, eamque exegit, acerbe & cum ratione eis facti atrocitatem & fœditatem exprobrans. Ad hunc modum ab eo accepti, mox affines erant cædis,

φόνῳ, καὶ τρόπον τινὰ προηλωκότες, ἀπήγοντο πρὸς τοὺς δικαστὰς, καὶ δίκας ἔτινον, ἡδομένων πάντων, καὶ νομιζόντων συνεξαλείφεσθαι τὴν τότε τυραννίδα, καὶ Σύλλαν αὐτὸν ἐφορᾶν κολαζόμενον.

Ἥρει δὲ τοὺς πολλοὺς καὶ τὸ ἐνδελεχὲς αὐτοῦ τῆς ἐπιμελείας καὶ ἄτρυτον. οὔτε γὰρ πρῶτός τις ἀνέβη τῶν συναρχόντων εἰς τὸ ταμεῖον Κάτωνος, οὔτε ὕστερος ἀπῆλθεν. ἐκκλησίαν δὲ καὶ βουλὴν οὐδεμίαν παρῆκεν, δεδιὼς καὶ παραφυλάττων τοὺς ἑτοίμως καὶ πρὸς χάριν ὀφλημάτων καὶ τελῶν ἀνέσεις ἢ δόσεις οἷς ἔτυχεν ἐπιψηφιζομένους. ἐπιδεικνύμενος δὲ τὸ ταμιεῖον ἄβατόν τε καὶ καθαρὸν συκοφαντῶν, πλῆρες δὲ χρημάτων, ἐδίδασκεν ὅτι τῇ πόλει πλουτεῖν ἔξεστι μὴ ἀδικούσῃ. κατ' ἀρχὰς δὲ τῶν συναρχόντων ἐνίοις ἐπαχθὴς καὶ χαλεπὸς φανεὶς, ὕστερον ἠγαπᾶτο, ταῖς ἐκ τοῦ μὴ χαρίζεσθαι τὰ δημόσια, μηδὲ κρίνειν κακῶς, ἀπεχθείαις ὑποτιθεὶς ἑαυτὸν ἀντὶ πάντων, καὶ παρέχων ἀπολογεῖσθαι πρὸς τοὺς δεομένους καὶ βιαζομένους ἐκείνους, ὡς ἀμήχανόν ἐστιν ἄκοντος Κάτωνος. τῶν δὲ ἡμερῶν τῇ τελευταίᾳ σχεδὸν ὑπὸ πάντων πολιτῶν προπεμφθεὶς εἰς οἶκον, ἤκουσεν ὅτι Μαρκέλλῳ πολλοὶ συνήθεις καὶ δυνατοὶ προσπεσόντες ἐν τῷ ταμιείῳ καὶ περιέχοντες, ἐκβιάζονται γράψαι τινὰ δόσιν χρημάτων ὀφειλομένην. ἦν δὲ ὁ Μάρκελλος ἐκ παίδων φίλος τῷ Κάτωνι, καὶ σὺν ἐκείνῳ βέλτιστος ἄρχων, αὐτὸς δὲ καθ' αὑτὸν ἀγώγιμος ὑπ' αἰδοῦς τοῖς δεομένοις, καὶ κατάντης πρὸς πᾶσαν χάριν. εὐθὺς οὖν ὁ Κάτων ἐπιστρέψας, καὶ τὸν Μάρκελλον εὑρὼν ἐκβεβιασμένον γρά-

ψαι

dis, & quodammodo præjudicio jugulati abripiebantur ad judices, pœnaſque pendebant, omnibus exultantibus, exiſtimantibuſque ea re illam deleri tyrannidem, Syllamque ipſum ſe ſupplicium videre perſolventem.

Plebem etiam aſſidua ſua atque indefatigata diligentia cepit: quippe nemo ex collegio ad ærarium ventitabat prior, neque poſterior abſcedebat. Nullam concionem vel ſenatum prætermiſit, metuens & obſervans eos qui leviter & ambitioſe debitorum & vectigalium remiſſiones & condonationes quibuſvis decernebant. Quum jam ab ſycophantis ærarium repurgaſſet, nullumque iis reliquiſſet ad id acceſſum, atque ære repleviſſet: docuit poſſe rempub. citra ullius injuriam eſſe locupletem. Initio fuit quibuſdam collegis gravis & odioſus: ſed poſtmodum ab iiſdem dilectus, quod offenſiones, quas incurrebant eo quod pecuniam publicam non largiebantur, neque perperam judicabant, ipſe ſubiret pro omnibus, permitteretque iis apud illos qui orabant ipſos & inſtabant, excuſationem adferre, effici non poſſe invito Catone. Noviſſimo quæſturæ die domum a cunctis prope civibus deductus, audivit Marcellum multos familiares & potentes in ærario ſupplices circumſiſtere, contendereque ut largitionem pecuniæ quandam in tabulas referret ut debitam. Erat autem Catonis Marcellus a pueritia amicus, & laudatiſſime cum eo quæſturam adminiſtrabat: verum ſolus quum eſſet, flectebatur rubore a precantibus, & proclivis ad omnem erat gratiam ineundam. Igitur Cato confeſtim convertit ſe eo, Marcellumque offendens perſcripſiſſe expugnatum il-

4 lam

ψαι τὴν δόσιν, ᾔτησε τὰς δέλτους, καὶ ἀπήλειψεν, αὐτοῦ παρεστῶτος σιωπῇ· καὶ τοῦτο πράξας, κατήγαγεν αὐτὸν ἐκ τοῦ ταμιείου, καὶ κατέστησεν εἰς οἶκον, οὔτε τότε μεμψάμενον, οὔτε ὕστερον, ἀλλ' ἐμμείναντα τῇ συνηθείᾳ καὶ φιλίᾳ μέχρι παντός. οὐ μὴν οὐδὲ ἀπαλλαγεὶς τῆς ταμιείας, ἀφῆκε τῆς φρουρᾶς ἔρημον τὸ ταμιεῖον, ἀλλ' οἰκέται μὲν αὐτοῦ καθ' ἡμέραν ἀπογραφόμενοι τὰς διοικήσεις παρῆσαν, αὐτὸς δὲ βιβλία λόγους περιέχοντα δημοσίων οἰκονομιῶν ἀπὸ τῶν Σύλλα χρόνων εἰς τὴν ἑαυτοῦ ταμιείαν ὠνησάμενος πέντε ταλάντων, ἀεὶ διὰ χειρὸς εἶχεν.

Εἰς δὲ σύγκλητον εἰσῄει τε πρῶτος, καὶ τελευταῖος ἀπηλλάττετο· πολλάκις δὲ τῶν ἄλλων σχολῇ συναγομένων, καθεζόμενος ἀνεγίνωσκεν ἡσυχῇ, τὸ ἱμάτιον τοῦ βιβλίου προϊσχόμενος. ἀπεδήμησεν δὲ οὐδέποτε βουλῆς γινομένης. ἐπεὶ δὲ ὕστερον οἱ περὶ Πομπήϊον, ὁρῶντες αὐτὸν ἐν οἷς ἐσπούδαζον ἀδίκως, ἀμετάπειστον καὶ δυσεκβίαστον ἀεὶ, διεμηχανῶντο φιλικαῖς τισι συνηγορίαις, ἢ διαίταις, ἢ πραγματείαις ἔξω περισπᾶν· συνεὶς οὖν ταχὺ τὴν ἐπιβουλὴν, ἀπεῖπε πᾶσι, καὶ παρετάξατο βουλῆς ἀγομένης μηδὲν ἄλλο πράττειν. οὔτε γὰρ δόξης χάριν, οὔτε πλεονεξίας, οὔτε αὐτομάτως καὶ κατὰ τύχην, ὥσπερ ἕτεροί τινὲς, ἐμπεσὼν εἰς τὸ πράττειν τὰ τῆς πόλεως, ἀλλ' ὡς ἴδιον ἔργον ἀνδρὸς ἀγαθοῦ, τὴν πολιτείαν ἑλόμενος, μᾶλλον ᾤετο δεῖν προσέχειν τοῖς κοινοῖς, ἢ τῷ κηρίῳ τὴν μέλιτταν· ὅς γε καὶ τὰ τῶν ἐπαρχιῶν πράγματα, καὶ δόγματα, καὶ κρίσεις, καὶ πράξεις τὰς μεγίστας, ἔργον πεποίητο διὰ τῶν ἑκασταχόθι ξένων καὶ φίλων πέμπεσθαι πρὸς αὐτόν. ἐνστὰς δέ

ποτε

lam largitionem, tabulis poſtulatis hanc muto aſſiſtente illo induxit, eamque rem exequutus deduxit illum ex ærario domum: qui neque tunc neque poſtea cum eo hac de re expoſtulavit, ſed familiaritatem ejus & amicitiam coluit perpetuo. At enim nec poſtquam quæſtura abiit, a ſtatione deceſſit ærarii, ſed ſervi ejus quotidie agebant ibi acta deſcribentes. Ipſe codices, quibus rationes procurationis publicæ pecuniæ deſcriptæ ab Syllæ temporibus uſque ad quæſturam ſuam erant, comparatos quinque talentis ſemper in manibus terebat.

Curiam ingrediebatur primus, poſtremus digrediebatur. Quum frequenter cæteri coirent ſegniter, ſedens legebat ſubmiſſe prætenſa libro toga. Nunquam quum ſenatus haberetur, peregre aberat. Quum poſtea videret eum Pompeius in conatibus iniquis ſuis rigidum ſemper & inflexibilem adverſarium, moliebatur eum amicorum quorundam defenſionibus vel arbitriis vel negotiis extra curiam diſtrahere: qui cito animadverſis inſidiis, declinavit ſimul omnia, ſecumque ſtatuit quum ſenatus ageretur, nulli ſe alteri rei dare. Quum enim neque gloriæ cauſa vel avaritiæ, neque caſu & fortuito, ut alii nonnulli, eſſet ad rempub. capeſſendam delatus, ſed eam actionem ut munus boni viri proprium elegiſſet: acriorem reipub. curam ſibi quam api favo ducebat intendendam. Nempe etiam provincialia negotia, decreta, judicia, & acta potiſſima curavit per amicos, quos paſſim habebat, ad ſe tranſmitti. Quum

ali-

ποτε Κλωδίῳ τῷ δημαγωγῷ κινοῦντι καὶ πράττοντι μεγάλων ἀρχὰς νεωτερισμῶν, καὶ διαβάλλοντι πρὸς τὸν δῆμον ἱερεῖς καὶ ἱερείας, ἐν οἷς καὶ Φαβία Τερεντία, ἀδελφὴ τῆς Κικέρωνος γυναικὸς ἐκινδύνευσεν· τὸν μὲν Κλώδιον αἰσχύνῃ περιβαλὼν, ἠνάγκασεν ὑπεκστῆναι τῆς πόλεως· τοῦ δὲ Κικέρωνος εὐχαριστοῦντος, τῇ πόλει δεῖν ἔχειν ἔφη χάριν αὐτὸν, ὡς ἐκείνης ἕνεκα πάντα ποιῶν καὶ πολιτευόμενος. ἐκ τούτου μεγάλη δόξα περὶ αὐτὸν ἦν· ὥστε ῥήτορα μὲν, δίκῃ τινὶ μαρτυρίας μιᾶς φερομένης, εἰπεῖν πρὸς τοὺς δικαστὰς, ὡς ἑνὶ μαρτυροῦντι προσέχειν, οὐδὲ Κάτωνι, καλῶς ἔχει· πολλοὺς δὲ ἤδη περὶ τῶν ἀπίστων καὶ παραδόξων ὥσπερ ἐν παροιμίᾳ τινὶ λέγειν, ὅτι τοῦτο μὲν οὐδὲ Κάτωνος λέγοντος πιθανόν ἐστιν. μοχθηροῦ δὲ ἀνθρώπου καὶ πολυτελοῦς λόγον ἐν συγκλήτῳ διαθεμένου πρὸς εὐτέλειαν καὶ σωφρονισμὸν, ἐπαναστὰς Ἀμναῖος, Ὦ ἄνθρωπε, εἶπεν, τίς ἀνέξεταί σου, δειπνοῦντος μὲν ὡς Κράσσου, οἰκοδομοῦντος δὲ ὡς Λευκούλλου, δημηγοροῦντος δὲ ἡμῖν ὡς Κάτωνος; καὶ τῶν ἄλλων δὲ τοὺς φαύλους καὶ ἀκολάστους, τοῖς λόγοις δὲ σεμνοὺς καὶ αὐστηροὺς, χλευάζοντες ἐκάλουν Κάτωνας.

Πολλῶν δὲ αὐτὸν ἐπὶ δημαρχίαν καλούντων, οὐκ ᾤετο καλῶς ἔχειν μεγάλης ἐξουσίας καὶ ἀρχῆς, ὥσπερ ἰσχυροῦ φαρμάκου δύναμιν ἐν πράγμασιν οὐκ ἀναγκαίοις ἐξαναλῶσαι. καὶ ἅμα σχολῆς οὔσης τῶν δημοσίων, παραλαβὼν βιβλία καὶ φιλοσόφους, ἐβάδιζεν εἰς Λευκανίαν, ἀγροὺς αὐτόθι κεκτημένος ἔχοντας οὐκ ἀνελευθέρους διατριβάς. εἶτα καθ' ὁδὸν πολλοῖς τισιν ὑποζυγίοις καὶ σκεύεσι καὶ ἀκολούθοις ἀπαντήσας, καὶ πυθόμενος Νέπωτα

Με-

aliquando Clodio tribuno plebis obviam iſſet moventi & molienti magnarum initia novationum, ſacerdoteſque & virgines Veſtales ad populum calumnianti: inter quas Fabia Terentia, Ciceronis uxoris ſoror, in periculum fuit vocata; Clodium involvit infamia, atque cedere urbe coegit. Cui quum ageret Cicero gratias, reipub. inquit, agenda eſt: quod ejus cauſa omnia ageret & faceret. Hinc ingens adeptus eſt nomen. Unde orator quidam, quum proferretur in judicio unum teſtimonium, ad judices ait, Uni teſti, ne ſi Cato quidem is eſſet, ſtandum eſſe. Et vulgus jam de incredibilibus & abſonis velut proverbio quodam dicebat hoc, Ne ſi Cato quidem autor ſit, eſſe probabile. Quum homo quidam perditus & ſumptuoſus orationem in ſenatu de frugalitate & continentia haberet, exſurgens Amnæus, Quis, inquit, te bone vir ferat cœnantem ut Craſſus, ædificantem ut Lucullus, concionantem nobis ut Cato? Jam alios quoque turpes & nullius frugi, oratione autem ſeveros & auſteros, per riſum Catones appellabant.

Quum incitaretur a multis ad ambiendum tribunatum plebis, alienum exiſtimavit magnæ poteſtatis & magiſtratus ſicut validi vim medicamenti in rebus exhaurire non neceſſariis. Quod autem eadem tempeſtate vacatio eſſet negotiorum publicorum, deportans ſecum libros & philoſophos, ad prædia ſua profectus eſt in Lucaniam, ubi villas otio haud illiberali idoneas habebat. Hinc multis in itinere jumentis, impedimentis, & miniſtris occurrens, audito Metellum

Ne-

Μέτελλον εἰς Ῥώμην ἐπανέρχεσθαι, δημαρχίαν μετιέναι παρεσκευασμένον, ἐπέστη σιωπῇ, καὶ διαλιπὼν μικρὸν, ἐκέλευσεν ἀναστρέφειν ὀπίσω τοὺς ἑαυτοῦ. τῶν δὲ φίλων θαυμασάντων, Οὐκ ἴστε, εἶπεν, ὅτι καθ' αὑτὸν ὑπὸ ἐμπληξίας φοβερός ἐστιν Μέτελλος· καὶ νῦν ἐκ τῆς Πομπηΐου γνώμης ἀφιγμένος, εἰς τὴν πολιτείαν ἐμπεσεῖται δίκην σκηπτοῦ, πάντα πράγματα ταράττων; οὔκουν σχολῆς οὐδὲ ἀποδημίας καιρὸς, ἀλλὰ δεῖ κρατῆσαι τοῦ ἀνδρὸς, ἢ καλῶς ἀποθανεῖν ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζόμενον. ὅμως δὲ τῶν φίλων παραινεσάντων, ἀφίκετο πρῶτον εἰς τὰ χωρία, καὶ διέτριψεν οὐ πολὺν χρόνον, εἶτα ἐπανῆκεν εἰς πόλιν. ἑσπέρας δὲ ἐλθὼν, εὐθὺς ἕωθεν εἰς ἀγορὰν κατέβαινε δημαρχίαν μετιὼν, ὡς ἀντιταξόμενος πρὸς τὸν Μέτελλον. τὸ γὰρ ἰσχυρὸν ἡ ἀρχὴ πρὸς τὸ κωλύειν ἔχει μᾶλλον ἢ πρὸς τὸ πράττειν· κἂν πάντες οἱ λοιποὶ παρ' ἕνα ψηφίσωνται, τοῦ μὴ θέλοντος μηδὲ ἐῶντος τὸ κράτος ἐστίν.

Τὸ μὲν οὖν πρῶτον ὀλίγοι περὶ τὸν Κάτωνα τῶν φίλων ἦσαν· φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης, ὀλίγου χρόνου πάντες οἱ χρηστοὶ καὶ γνώριμοι συνέτρεχον καὶ παρεκάλουν καὶ παρεθάῤῥυνον αὐτὸν, ὡς οὐ λαμβάνοντα χάριν, ἀλλὰ τὴν μεγίστην διδόντα τῇ πατρίδι καὶ τοῖς ἐπιεικεστάτοις τῶν πολιτῶν, ὅτι πολλάκις ἀπραγμόνως ἄρξαι παρὸν, οὐ θελήσας, νῦν ὑπὲρ τῆς ἐλευθερίας καὶ πολιτείας ἀγωνιούμενος οὐκ ἀκινδύνως κάτεισι. λέγεται δὲ, πολλῶν ὑπὸ σπουδῆς καὶ φιλοφροσύνης ὠθουμένων πρὸς αὐτὸν, ἐν κινδύνῳ γενόμενος, μόλις ἐξικέσθαι διὰ πλῆθος εἰς τὴν ἀγοράν. ἀποδειχθεὶς δὲ δήμαρχος

Nepotem Romam ad petendum tribunatum plebis contendere, reſtitit cogitabundus, ac mox convertere ſuis retro iter præcepit. Stupentibus amicis, Neſcitis, inquit, ob ſtoliditatem Metellum ſua ſponte formidabilem eſſe, nunc vero adeſſe ex Pompeii ſententia atque inſtar fulminis in rempub. caſurum, omniaque perturbaturum? Non eſt igitur in præſentia nec feriandi nec ruſticandi locus: verum reprimendus iſte eſt mihi, aut pro libertate pugnanti honeſte cadendum. Monitu amicorum tamen profectus ad prædia ſua eſt, & quum non diu eſſet ibi commoratus, regreſſus eſt ad urbem. Veſperi ingreſſus illico ſummo mane in forum ad petendum tribunatum deſcendit, velut adverſarius futurus Metello. Habet enim magiſtratus ille vim in intercedendo potius quam in agendo: & ubi reliqui uno dempto quid decreverunt omnes, is obtinet qui adverſatur & intercedit.

Primum pauci amici Catonem deduxerunt: ut vero conſilium ejus palam factum eſt, brevi frequentes boni viri & familiares ejus concurrerunt, acueruntque eum & incitaverunt, quaſi non accipientem beneficium, ſed ſummum patriæ & optimatibus dantem: quod quum ſæpe tribuno eſſe ei licuiſſet citra negotium, noluiſſet, nunc autem pro libertate & repub. non ſine diſcrimine deſcenderet decertaturus. Fama eſt Catonem, quum multi illius ſtudio & favore ad eum ruerent, ægre ob frequentiam potuiſſe in forum evadere. Tribunus creatus cum aliis & cum

χος σὺν ἑτέροις, καὶ τῷ Μετέλλῳ, τὰς ὑπατικὰς ἀρχαιρεσίας ὁρῶν ὠνίους οὔσας, ἐπετίμησεν τῷ δήμῳ· καὶ καταπαύων τὸν λόγον, ἐπώμοσε τοῦ δόντος ἀργύριον, ὅστις ἂν ᾖ, κατηγορήσειν· ἕνα Σιλανὸν ὑπεξελόμενος δι᾽ οἰκειότητα. Σερβιλίαν γὰρ ἀδελφὴν Κάτωνος ὁ Σιλανὸς εἶχεν. διὸ τοῦτον μὲν παρῆκεν, Λεύκιον δὲ Μουρήναν ἐδίωκεν, ἀργυρίῳ διαπραξάμενον ἄρχοντα μετὰ τοῦ Σιλανοῦ γενέσθαι. νόμῳ δέ τινι τοῦ φεύγοντος ἀεὶ φύλακα τῷ κατηγόρῳ διδόντος, ὥστε μὴ λαθεῖν ἃ συνάγει καὶ παρασκευάζεται πρὸς τὴν κατηγορίαν, ὁ τῷ Κάτωνι δοθεὶς ὑπὸ τοῦ Μουρήνα, παρακολουθῶν καὶ παραφυλάττων, ὡς ἑώρα μηθὲν ἐπιβούλως πράττοντα, μηδὲ ἀδίκως, ἀλλὰ γενναίως καὶ φιλανθρώπως ἁπλῆν τινα τῆς κατηγορίας καὶ δικαίαν ὁδὸν πορευόμενον, οὕτως ἐθαύμαζε τὸ φρόνημα καὶ τὸ ἦθος, ὥστε κατ᾽ ἀγορὰν προσιὼν καὶ φοιτῶν ἐπὶ θύραις πυνθάνεσθαι τοῦ Κάτωνος, εἰ μέλλει τὶ σήμερον πραγματεύσασθαι τῶν περὶ τὴν κατηγορίαν· εἰ δὲ μὴ φαίη, πιστεύων ἀπῄει. τῆς δὲ δίκης λεγομένης, ὁ Κικέρων ὕπατος ὢν τότε, καὶ τῷ Μουρήνᾳ συνδικῶν, πολλὰ διὰ τὸν Κάτωνα τοὺς Στωϊκοὺς φιλοσόφους, καὶ ταῦτα δὴ τὰ παράδοξα καλούμενα δόγματα χλευάζων καὶ παρασκώπτων, γέλωτα παρεῖχε τοῖς δικασταῖς. τὸν οὖν Κάτωνα φασὶ διαμειδιάσαντα πρὸς τοὺς παρόντας εἰπεῖν, Ὦ ἄνδρες, ὡς γελοῖον ὕπατον ἔχομεν. ἀποφυγὼν δὲ ὁ Μουρήνας, οὐ πονηροῦ πάθος οὐδὲ ἄφρονος ἔπαθεν ἀνθρώπου πρὸς τὸν Κάτωνα. καὶ γὰρ ὑπατεύων ἐχρῆτο συμβούλῳ περὶ τῶν μεγίστων, καὶ τἆλλα τιμῶν καὶ πιστεύων ἐπὶ τοῦ βήματος διετέλεσεν. αἴτιος δὲ ἦν ὁ Κάτων αὐτὸς,

ἄχει

cum Metello, ubi advertit comitia conſularia venalia eſſe, populum caſtigavit, ac finita oratione juravit, qui dediſſet nummos, qui ille cunque foret, ejus ſe nomen delaturum, uno ob propinquitatem excepto Silano, qui ſororem ejus Serviliam habebat in matrimonio: quapropter hunc prætermiſit. At L. Murenam, quod per largitionem obtinuiſſet ut conſul fieret cum Silano, accuſavit. Quum autem lege quadam reus apponere accuſatori poſſet cuſtodem, ne quid clam compararet & inſtrueret ad accuſationem: qui adjunctus a Murena aſſectator & obſervator fuerat, ubi nihil inſidioſe, nihil improbe ſtruentem, ſed candide & benigne viam ingredientem eum accuſandi apertam & veram conſpexit: uſque eo ſpiritus ejus & gravitatem eſt admiratus, ut in foro adiret Catonem, domumque ejus ventitaret: & quum rogaſſet ecquid eo die acturus de accuſatione eſſet: ſi negaret, habita ei fide abſcederet. Quum accuſatio inſtitueretur, Cicero, tunc conſul & Murenæ defenſor, multum propter Catonem Stoicos philoſophos & præcepta hæc paradoxa, quæ appellant, irridens atque illudens, riſum movit judicibus. Ac Catonem arridentem aiunt ad adſtantes dixiſſe, Dii boni quam ridiculum conſulem habemus? Abſolutus Murena non ut improbus & ſtolidus homo egit cum Catone; quippe conſilio ejus conſul graviſſimis in rebus uſus, perpetuoque eum veneratus eſt, & conſilia ejus in adminiſtrando magiſtratu ſequutus. In cauſa ipſe erat Cato uſque ad

roſtra

ἄχρι τοῦ βήματος καὶ τοῦ συνεδρίου χαλεπὸς ὢν καὶ φοβερὸς ὑπὲρ τῶν δικαίων, εἶτα πᾶσιν εὐνοϊκῶς καὶ φιλανθρώπως προσφερόμενος.

Πρὶν δὲ εἰς τὴν δημαρχίαν καθίστασθαι, Κικέρωνος ὑπατεύοντος, ἄλλοις τε πολλοῖς ἀγῶσι τὴν ἀρχὴν ὤρθωσεν αὐτοῦ, καὶ ταῖς περὶ Κατιλίναν πράξεσι μεγίσταις καὶ καλλίσταις γενομέναις τέλος ἐπέθηκεν. αὐτὸς μὲν γὰρ ὁ Κατιλίνας, ὀλέθριόν τε καὶ παντελῆ μεταβολὴν ἐπάγων τοῖς Ῥωμαίων πράγμασι, καὶ στάσεις ὁμοῦ καὶ πολέμους ταράττων ἐξελεγχθεὶς ὑπὸ τοῦ Κικέρωνος, ἐξέπεσε τῆς πόλεως. Λέντλος δὲ καὶ Κέθηγος, καὶ μετ' αὐτῶν ἕτεροι συχνοί, δεξάμενοι τὴν συνωμοσίαν, καὶ τῷ Κατιλίνα δειλίαν καὶ μικρολογίαν τῶν τολμημάτων ἐπικαλοῦντες, αὐτοὶ διενοοῦντο τὴν πόλιν ἄρδην ἀναιρεῖν πυρὶ, καὶ τὴν ἡγεμονίαν ἐθνῶν ἀποστάσεσι καὶ πολέμοις ἀλλοφύλοις ἀνατρέπειν. φανερᾶς δὲ τῆς παρασκευῆς αὐτῶν γενομένης, ὡς ἐν τοῖς περὶ Κικέρωνος γέγραπται, ἐν βουλῇ γνώμην προθέντος, ὁ μὲν πρῶτος εἰπὼν Σιλανὸς, ἀπεφήνατο δοκεῖν αὐτῷ τὰ ἔσχατα παθεῖν χρῆναι τοὺς ἄνδρας. οἱ δὲ μετ' αὐτὸν ἐφεξῆς ἠκολούθησαν, ἄχρι Καίσαρος. Καῖσαρ δὲ ἀναστὰς (ἅτε δὴ καὶ δεινὸς εἰπεῖν, καὶ πᾶσαν ἐν τῇ πόλει μεταβολὴν καὶ κίνησιν, ὥσπερ ὕλην ὧν αὐτὸς διενοεῖτο, βουλόμενος αὔξειν μᾶλλον ἢ σβεννυμένην περιορᾶν) ἐπαγωγὰ πολλὰ καὶ φιλάνθρωπα διαλεχθεὶς, ἀποκτεῖναι μὲν ἀκρίτους οὐκ εἴα τοὺς ἄνδρας, εἱρχθέντας δὲ τηρεῖν ἐκέλευσεν. οὕτω δὲ τὰς γνώμας μετέστησε τῆς βουλῆς φοβηθείσης τὸν δῆμον, ὥστε καὶ Σιλανὸν ἔξαρνον εἶναι λέγειν, ὡς οὐδ' αὐτὸς εἴποι θάνατον, ἀλλ' εἱργμόν· ἔσχατον γὰρ ἀνδρὶ Ῥωμαίῳ τοῦτο κακῶν ἁπάντων. Γενο-

roſtra & ſubſellia durus atque terribilis pro juſtitia: inde benevolum ſe & humanum præbebat omnibus.

Prius quam iniret tribunatum conſule Cicerone, cum aliis multis illius magiſtratum contentionibus erexit, tum actionibus adverſus Catilinam maximis & pulcherrimis impoſuit faſtigium. Namque ipſe quidem Catilina, qui funeſtam & pernicioſam mutationem imperio Romano moliebatur, miſcebatque una ſeditiones & bella, a Cicerone detectus urbe profugerat: Lentulus vero & Cethegus, & cum iis frequentes alii, conjuratione inita, Catilinæque timiditate ac nimis anxia cura cœptorum increpita, ipſi totam urbem inflammare, imperiumque nationum rebellionibus externiſque bellis ſtatuerant evertere. Horum nudatis conſiliis, ut in vita Ciceronis expoſuimus, quum ſententias Cicero rogaret, qui primus dixit Silanus animadvertendum in conjuratos ultimo ſupplicio cenſuit: cui deinceps alii uſque ad Cæſarem ſunt aſſenſi. Cæſar ſurgens (utpote diſertus atque omnem in republica converſionem motumque quaſi ſuorum materiam conſiliorum amplificare potius quam reſtingui permittere cupiens) blanda & benigna oratione pro ſententia dixit, non eſſe indicta cauſa conjuratos necandos, verum in cuſtodia tenendos: adeoque flexit ſententias, metuente populum ſenatu, ut Silanus quoque retractaret ſuam, oſtenderetque nec ſe de pœna capitali, ſed ſenſiſſe de carcere. Id enim civi Romano ultimum eſſe ſupplicium.

Hac

Γενομένης δὲ τοιαύτης τῆς τροπῆς, καὶ ἁπάντων ἐπὶ τὸ πρᾳότερον ῥυέντων καὶ φιλανθρωπότερον, ὁ Κάτων πρὸς τὴν γνώμην ἀναστὰς, εὐθὺς ἵετο τῷ λόγῳ μετ' ὀργῆς καὶ πάθους, τόν τε Σιλανὸν κακίζων τῆς μεταβολῆς, καὶ καθαπτόμενος τοῦ Καίσαρος, ὡς σχήματι δημοτικῷ καὶ λόγῳ φιλανθρώπῳ τὴν πόλιν ἀνατρέποντος, καὶ δεδιττομένου τὴν βουλὴν, ἐφ' οἷς αὐτὸν ἔδει δεδιέναι, καὶ ἀγαπᾷν εἰ τῶν γεγονότων ἀθῷος ἀπαλλάξαι καὶ ἀνύποπτος, οὕτως περιφανῶς καὶ ἰταμῶς τοὺς κοινοὺς ἐξαρπάζων πολεμίους, καὶ τὴν παρ' οὐδὲν ἐλθοῦσαν ἀπολέσθαι πατρίδα τοιαύτην καὶ τοσαύτην ὁμολογῶν μὴ ἐλεεῖν, ἀλλ' οὓς ἔδει μὴ γενέσθαι μηδὲ φῦναι, δακρύων καὶ ἀνακλαιόμενος, εἰ φόνων μεγάλων καὶ κινδύνων ἀπαλλάξωσι τὴν πόλιν ἀποθανόντες. τοῦτον μόνον ὧν Κάτων εἶπεν διασώζεσθαι φασὶ τὸν λόγον, Κικέρωνος τοῦ ὑπάτου τοὺς διαφέροντας ὀξύτητι τῶν γραφέων σημεῖα προδιδάξαντος, ἐν μικροῖς καὶ βραχέσι τύποις πολλῶν γραμμάτων ἔχοντα δύναμιν, εἶτα ἄλλον ἀλλαχόσε τοῦ βουλευτηρίου σποράδην ἐμβαλόντος. οὔπω γὰρ ἤσκουν, οὐδ' ἐκέκτηντο τοὺς καλουμένους σημειογράφους, ἀλλὰ τότε πρῶτον εἰς ἴχνος τι καταστῆναι λέγουσιν. ἐκράτησεν δ' οὖν ὁ Κάτων, καὶ μετέστησε τὰς γνώμας ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν.

Εἰ δὲ δεῖ μηδὲ τὰ μικρὰ τῶν ἠθῶν σημεῖα παραλιπεῖν, ὥσπερ εἰκόνα ψυχῆς ὑπογραφομένους, λέγεται, τότε πολλὴν ἅμιλλαν καὶ μέγαν ἀγῶνα πρὸς τὸν Κάτωνα τοῦ Καίσαρος ἔχοντος, καὶ τῆς βουλῆς εἰς ἐκείνους ἀνηρτημένης, δελτάριόν τι μικρὸν ἔξωθεν εἰσκομισθῆναι τῷ Καίσαρι. τοῦ δὲ Κά-

τωνος

Hac facta inclinatione, omnibuſque ad mitiorem & leniorem labentibus ſententiam: Cato ei reluctans, initio ſtatim flagrante oratione & vehemente provectus, hinc Silani inconſtantiam laceravit, hinc Cæſarem momordit, quod ſub ſpecie populari & placidis verbis rempub. ſubverſum iret, ſenatumque perterreret ea in cauſa, in qua metuere ſibi ipſe deberet, & præclare putare ſecum agi, ſi iſtorum ſcelerum inſons & ſuſpicione abiret liber: qui hoſtes publicos adeo aperte & impudenter inſtitueret eripere, confitereturque in extremum adductam periculum patriam talem & tantam ſe non miſerari, ſed illos quos præſtabat nec genitos nec natos fuiſſe, deploraret mœreretque, quod urbem ſupplicio ſuo eſſent magna cæde & periculis liberaturi. Hanc orationem Catonis perhibent unam extare, quod conſul Cicero expeditiſſimos ſcribas ante docuiſſet notas quæ minutis & brevibus figuris multarum vim literarum complectebantur, inde alium alibi paſſim diſpoſuiſſet in curia. Nondum enim uſi fuerant neque habebant exceptores actuarios, ſed tunc primum rudimenta eos aſſerunt poſuiſſe. Cato igitur obtinuit, atque in ejus ſententiam diſceſſum eſt, ut ſumeretur de conjuratis capitale ſupplicium.

Quod ſi nec minutula nobis omittenda veſtigia morum ejus ſunt, qui depingimus ejus animi tanquam effigiem, fama eſt Catone id temporis vehementer cum Cæſare concertante & contendente, ſenatuque in illos intento, parvum epiſtolium foris Cæſari fuiſſe allatum. Quod

Cato

τωνος εἰς ὑποψίαν ἄγοντος τὸ πρᾶγμα, καὶ διαβάλλοντος, εἶναί τινας τοὺς κινουμένους, καὶ κελεύοντας ἀναγινώσκειν τὰ γεγραμμένα, τὸν Καίσαρα τῷ Κάτωνι προσδοῦναι τὸ δελτάριον ἐγγὺς ἑστῶτι. τὸν δὲ ἀναγνόντα Σερβιλίας τῆς ἀδελφῆς ἐπιστόλιον ἀκόλαστον πρὸς τὸν Καίσαρα γεγραμμένης, ἐρώσης καὶ διεφθαρμένης ὑπ' αὐτοῦ, προσρίψαι τε τῷ Καίσαρι καὶ εἰπεῖν, Κράτει μέθυσε· καὶ πάλιν οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον τραπέσθαι. φαίνεται δὲ ὅλως ἀτύχημα γενέσθαι τοῦ Κάτωνος ἡ γυναικωνῖτις. αὕτη μὲν γὰρ ἐπὶ Καίσαρι κακῶς ἤκουσεν· τὰ δὲ τῆς ἑτέρας Σερβιλίας, ἀδελφῆς δὲ Κάτωνος, ἀσχημονέστερα. Λευκούλλῳ γὰρ γαμηθεῖσα πρωτεύσαντι Ῥωμαίων κατὰ δόξαν ἀνδρὶ, καὶ τεκοῦσα παιδίον, ἐξέπεσε τοῦ οἴκου δι' ἀκολασίαν. τὸ δὲ αἴσχιστον, οὐδ' ἡ γυνὴ τοῦ Κάτωνος Ἀτιλία τοιούτων ἐκαθάρευσεν ἁμαρτημάτων, ἀλλὰ καίπερ ἐξ αὐτῆς δύο παιδία πεποιημένος, ἀνάγκην ἔσχεν ἐκβαλεῖν ἀσχημονοῦσαν.

Εἶτα ἔγημε θυγατέρα Φιλίππου Μαρκίαν, ἐπιεικῆ δοκοῦσαν εἶναι γυναῖκα· περὶ ἧς ὁ πλεῖστος λόγος. καθάπερ ἐν δράματι τῷ βίῳ, τοῦτο τὸ μέρος προβληματῶδες γέγονε καὶ ἄπορον. ἐπράχθη δὲ τοῦτον τὸν τρόπον, ὡς ἱστορεῖ Θρασέας, εἰς Μουνάτιον ἄνδρα Κάτωνος ἑταῖρον καὶ συμβιωτὴν ἀναφέρων τὴν πίστιν. ἐν πολλοῖς ἐρασταῖς καὶ θαυμασταῖς τοῦ Κάτωνος, ἦσαν ἑτέρων ἕτεροι μᾶλλον ἔκδηλοι καὶ διαφανεῖς, ὧν καὶ Κόϊντος Ὁρτήσιος ἀνὴρ ἀξιώματός τε λαμπροῦ, καὶ τὸν τρόπον ἐπιεικής. ἐπιθυμῶν οὖν τῷ Κάτωνι μὴ συνήθης εἶναι, μηδὲ ἑταῖρος μόνον, ἀλλ' ἀμωσγέπως εἰς οἰκειότητα κατα-

τα-

Cato quum in ſuſpicionem traheret & exagitaret, motos aliquos juſſiſſe ut recitaret literas. Ibi Cæſarem prope adſtanti tradidiſſe Catoni epiſtolium. Quod quum legiſſet (ſcripſerat enim ſoror ejus Servilia literas ad Cæſarem, quem amabat corrupta ab eo, impudicas) ad pedes id Cæſaris eum projeciſſe, cum hiſce verbis, Cape ebrie: itaque demum ad inſtitutam orationem rediiſſe. Nempe omnino apparet fortuna Catonem uſum in mulieribus parum proſpera. Hæc enim Cæſaris nomine male audivit. Altera Servilia Catonis ſoror fœdior fuit: nam principi inter Romanos gloria nupta Lucullo, ex quo genuerat filium, ob proſtratam pudicitiam fuit repudiata. Et, quod turpiſſimum fuit, ne uxor quidem Catonis eo crimine vacavit Atilia: verum hanc, tametſi duos ex ea tuliſſet liberos, exigere impudicam eſt compulſus.

Hinc Martiam duxit Philippi filiam, quæ eſt proba fœmina habita. Fuit hujus celebre nomen. Atque in vita Catonis quomodo in fabula hæc pars ambigua extitit & perplexa. Geſta autem in hunc modum res fuit, ut memoriæ prodidit Thraſeas, qui Munatium Catonis amicum & contubernalem laudat autorem. Inter multos qui Catonem diligebant & ſuſpiciebant, alii aliis perſpicue magis & apertius id declarabant: in quibus Q. Hortenſius erat, magna vir autoritate & probatis moribus. Hic Catonis geſtiens non familiaris modo & amicus eſſe, ſed omnem ſemel neceſſitudine &

6

con-

ταμίξαι καὶ κοινωνίαν πάντα τὸν οἶκον καὶ τὸ γένος, ἐπεχείρησε συμπείθειν, ὅπως τὴν θυγατέρα Πορκίαν, Βύβλῳ συνοικοῦσαν, καὶ πεποιημένην ἐκείνῳ δύο παῖδας, αὐτῷ πάλιν, ὥσπερ εὐγενῆ χώραν, ἐντεκνώσασθαι παράσχῃ. δόξῃ μὲν γὰρ ἀνθρώπων ἄτοπον εἶναι τὸ τοιοῦτον, φύσει δὲ καλὸν καὶ πολιτικὸν, ἐν ὥρᾳ καὶ ἀκμῇ γυναῖκα μήτε ἀργεῖν τὸ γόνιμον ἀποσβέσασαν, μήτε πλείονα τῶν ἱκανῶν ἐπιτίκτουσαν, ἐνοχλεῖν καὶ καταπτωχεύειν οὐδὲν δεόμενον· κοινουμένους δὲ τὰς διαδοχὰς ἀξίοις ἀνδράσι, τήν τε ἀρετὴν ἄφθονον ποιεῖν, καὶ πολύχυτον τοῖς γένεσι, καὶ τὴν πόλιν αὐτὴν πρὸς αὐτὴν ἀνακεραννύναι ταῖς οἰκειότησιν. εἰ δὲ πάντως περιέχοιτο τῆς γυναικὸς ὁ Βύβλος, ἀποδώσειν εὐθὺς τεκοῦσαν, οἰκειότερος αὐτῷ τε Βύβλῳ καὶ Κάτωνι κοινωνίᾳ παίδων γενόμενος. ἀποκριναμένου δὲ τοῦ Κάτωνος, ὡς Ὁρτήσιον μὲν ἀγαπᾷ καὶ δοκιμάζει κοινωνὸν οἰκειότητος, ἄτοπον δὲ ἡγεῖται ποιεῖσθαι λόγον περὶ γάμου θυγατρὸς ἑτέρῳ δεδομένης, μεταβαλὼν ἐκεῖνος, οὐκ ὤκνησεν ἀποκαλυψάμενος αἰτεῖν αὐτοῦ γυναῖκα Κάτωνος, νέαν μὲν οὖσαν ἔτι πρὸς τὸ τίκτειν, ἔχοντος δὲ τοῦ Κάτωνος ἀποχρῶσαν διαδοχήν. καὶ οὐκ ἔστιν εἰπεῖν ὡς ταῦτα ἔπραττεν εἰδὼς οὐ προσέχοντα τῇ Μαρκίᾳ τὸν Κάτωνα· κύουσαν γὰρ αὐτὴν τότε τυγχάνειν λέγουσιν. ὁ δ' οὖν Κάτων, ὁρῶν τὴν τοῦ Ὁρτησίου σπουδὴν καὶ προθυμίαν, οὐκ ἀντεῖπεν, ἀλλ' ἔφη δεῖν καὶ Φιλίππῳ ταῦτα συνδόξαι τῷ πατρὶ τῆς Μαρκίας. ὡς οὖν ὁ Κίλιππος ἐντευχθεὶς, ἔγνω τὴν συγχώρησιν, οὐκ ἄλλως ἐνεγγύησε τὴν Μαρκίαν, ἢ παρόντος τοῦ Κάτωνος αὐτοῦ καὶ συνεγγυῶντος.

conſortio familiam & genus ſuum cum eo conſociare, non dubitavit cum eo agere ut filiam Porciam Bibulo nuptam, cui partus duos ediderat, ſibi invicem velut frugiferum agrum collocaret ad ferendam ſtirpem. Nam eſſe hominum quidem illud opinione novum, natura pulcrum tamen & civile, mulierem in ætatis flore non vacare vel fœcunditatem exſtinguere, neque majore quam neceſſe eſſet progenita ſobole onerare & obruere domum non requirentem: communicationem autem inter probatos viros invicem mulierum, tum virtutem prorogare & dilatare ſtirpibus, tum civitatem mutuis neceſſitudinibus conglutinare. Quod ſi retinere Bibulus omnino vellet conjugem, ſimul atque peperiſſet, ubi arctiore communium liberorum eſſet vinculo cum Bibulo & Catone conglutinatus, reſtituturum ſe eam. Quum reſpondiſſet Cato, Hortenſium ſe charum habere, probareque neceſſitudinis ſocium, verum alienum arbitrari ipſum de filiæ nuptiis verba facere alteri collocatæ: mutato ille ſermone non dubitavit ei aperire ipſius Catonis ſe petere uxorem, quod juvenis etiamnum eſſet, & Catoni ſatis magna eſſet proles. Neque hic dicas illum eo progreſſum quod alieniorem a Martia cognoviſſet Catonem: quippe ferunt prægnantem tunc fuiſſe. Animadvertens ergo Cato Hortenſii deſiderium & ſtudium, non adverſatus eſt ei, ſed oportere reſpondit Philippum quoque hoc probare Martiæ parentem. Ut igitur appellatus Philippus concedere id cognovit Catonem, non aliter deſpondit ei Martiam quam præſente illo & ſponſalia

γνῶντος. ταῦτα μὲν οὖν εἰ καὶ χρόνοις ὕστερον ἐπράχθη, μνησθέντι μοι τὸ τῶν γυναικῶν προλαβεῖν ἔδοξε.

Τῶν δὲ περὶ τὸν Λέντλον ἀναιρεθέντων, καὶ τοῦ Καίσαρος, περὶ ὧν εἰσηγγέλθη καὶ διεβλήθη πρὸς τὴν σύγκλητον, εἰς τὸν δῆμον καταφυγόντος, καὶ τὰ πολλὰ νοσοῦντα καὶ διεφθαρμένα τῆς πολιτείας μέρη ταράττοντος καὶ συνάγοντος πρὸς αὐτόν, ὁ Κάτων φοβηθεὶς ἔπεισε τὴν βουλὴν ἀναλαβεῖν τὸν ἄπορον καὶ ἀνέμητον ὄχλον εἰς τὸ σιτηρέσιον, ἀναλώματος μὲν ὄντος ἐνιαυτοῦ χιλίων καὶ διακοσίων καὶ πεντήκοντα ταλάντων. περιφανῶς δὲ τῇ φιλανθρωπίᾳ ταύτῃ καὶ χάριτι τῆς ἀπειλῆς ἐκείνης διαλυθείσης, ἐνδοῦθεν εἰς τὴν δημαρχίαν ἐμπεσὼν ὁ Μέτελλος, ἐκκλησίας τε θορυβώδεις συνῆγε, καὶ νόμον ἔγραψεν, Πομπήϊον Μάγνον ἰέναι κατὰ τάχος μετὰ τῶν δυνάμεων εἰς Ἰταλίαν, καὶ παραλαβόντα σώζειν τὴν πόλιν, ὡς ὑπὸ Κατιλίνα κινδυνεύουσαν. ἦν δὲ τοῦτο λόγος εὐπρεπής, ἔργον δὲ τοῦ νόμου καὶ τέλος, ἐγχειρίσαι τὰ πράγματα Πομπηΐῳ, καὶ παραδοῦναι τὴν ἡγεμονίαν. γενομένης δὲ βουλῆς, καὶ τοῦ Κάτωνος οὐχ, ὥσπερ εἰώθει, τῷ Μετέλλῳ σφοδρῶς ἐμπεσόντος, ἀλλ' ἐπιεικῆ πολλὰ καὶ μέτρια παραινέσαντος, τέλος δὲ καὶ πρὸς δεήσεις τραπομένου, καὶ τὴν Μετέλλων οἰκίαν ἀεὶ γενομένην ἀριστοκρατικὴν ἐπαινέσαντος, ἔτι μᾶλλον ἐξαρθεὶς καὶ καταφρονήσας ὁ Μέτελλος ὡς ἐνδιδόντος αὐτοῦ καὶ πτήσσοντος, εἰς ὑπερηφάνους ἀπειλὰς καὶ λόγους θρασεῖς ἐξέπεσεν, ὡς βίᾳ πάντα τῆς βουλῆς διαπραξόμενος. οὕτω δὴ μεταβαλὼν ὁ Κάτων καὶ σχῆμα καὶ φωνὴν καὶ λόγον, ἐπειπὼν δὲ πᾶσι τοῖς ἄλλοις διατεταμένως, ὅτι ζῶντος

ſalia comprobante. Hæc quanquam temporibus conſequuta ſunt, agenti tamen de mulieribus viſum eſt mihi anticipare.

Igitur necatis conjuratis, & Cæſare ob crimina & calumnias in ſenatu jactatas ad populum confugiente, multaque ægrotantia & putrida civitatis membra conciente atque ad ſe trahente, timens Cato autor fuit ſenatui, ut inopem & turbulentam multitudinem frumenti congiario deliniret. In quam rem etſi impenderetur anno trecenties ſeſtertium, hac plane benignitate & munificentia tamen minæ ſunt illæ diſcuſſæ. At Metellus mox inito tribunatu conciones ſeditioſas habuit, legemque promulgavit ut Pompeius Magnus propere copias tranſportaret in Italiam, urbemque adventu ſuo quaſi Catilinæ cauſa periclitantem ſervaret. Id in ſpeciem dicebatur, revera lex eo ſpectabat ut rempub. dederet Pompeio, atque ei imperium traderet. Coacto ſenatu quum Cato non more ſuo in Metellum invexiſſet acriter, ſed leniter & modeſte monuiſſet eum, atque ad preces denique convertiſſet ſe, ſubjiceretque Metello ipſius familiam ſtetiſſe ſemper ab optimatibus, multo magis intumeſcens & contemnens eum Metellus, quaſi ſuccumbentem & paventem, in impotentes minas & ferocia erupit dicta, ſe invito ſenatu cœpta ſua executurum. Tunc Cato vocis, vultus, orationis commutata ſpecie, adjectoque diſerte omnibus aliis, Pompeium vivo ſe ur-

 bem

ζῶντος αὐτοῦ Πομπήϊος οὐ παρέσται μεθ᾽ ὅπλων εἰς τὴν πόλιν, ἐκεῖνο τῇ βουλῇ παρέστησεν, ὡς οὐδέτερος μὲν καθέστηκεν, οὐδὲ χρῆται λογισμοῖς ἀσφαλέσιν· ἔστι δὲ ἡ μὲν Μετέλλου πολιτεία, μανία δι᾽ ὑπερβολὴν κακίας φερομένη πρὸς ὄλεθρον καὶ σύγχυσιν ἁπάντων· ἡ δὲ Κάτωνος ἀρετή, ἐνθουσιασμὸς ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀγωνιζόμενος.

Ἐπεὶ δὲ τὴν ψῆφον ὑπὲρ τοῦ νόμου φέρειν ὁ δῆμος ἔμελλεν, καὶ Μετέλλῳ μὲν ὅπλα καὶ ξένοι καὶ μονομάχοι καὶ θεράποντες ἐπὶ τὴν ἀγορὰν τεταγμένοι παρῆσαν, καὶ τὸ ποθοῦν μεταβολῆς ἐλπίδι Πομπηΐου ὑπῆρχεν τοῦ δήμου μέρος οὐκ ὀλίγον, ἦν δὲ μεγάλη καὶ ἀπὸ Καίσαρος ῥώμη, στρατηγοῦντος τότε· Κάτωνι δὲ οἱ πρῶτοι τῶν πολιτῶν συνηγανάκτουν, καὶ συνηδικοῦντο μᾶλλον ἢ συνηγωνίζοντο, πολλὴ δὲ τὴν οἰκίαν αὐτοῦ κατήφεια καὶ φόβος εἶχεν, ὥστε τῶν φίλων ἐνίους ἀσίτους διαγρυπνῆσαι μετ᾽ ἀλλήλων, ἐν ἀπόροις ὄντας ὑπὲρ αὐτοῦ λογισμοῖς, καὶ γυναῖκας καὶ ἀδελφὰς ποτνιωμένας καὶ δακρυούσας· αὐτὸς δὲ ἀδεῶς καὶ τεθαῤῥηκότως ἐντυχὼν πᾶσι, καὶ παρηγορήσας, καὶ γενόμενος περὶ δεῖπνον, ὥσπερ εἰώθει, καὶ νυκτερεύσας, ὑφ᾽ ἑνὸς τῶν συναρχόντων Μινυκίου Θέρμου βαθέως καθεύδων ἐπηγέρθη· καὶ κατέβησαν εἰς ἀγορὰν, ὀλίγων μὲν αὐτοὺς προπεμπόντων, πολλῶν δὲ ἀπαντώντων, καὶ φυλάττεσθαι διακελευομένων. ὡς οὖν ἐπιστὰς ὁ Κάτων κατεῖδε τὸν νεὼν τῶν Διοσκούρων ὅπλοις περιεχόμενον, καὶ τὰς ἀναβάσεις φρουρουμένας ὑπὸ μονομάχων, αὐτὸν δὲ καθήμενον ἄνω μετὰ Καίσαρος τὸν Μέτελλον, ἐπιστρέψας πρὸς τοὺς φίλους, Ὦ θρασέος, εἶπεν, ἀνθρώπου καὶ δειλοῦ, ὃς καθ᾽

bem armatum non ingreſſurum, illud ſenatui repræſentavit, neutri mentem conſiſtere, neque uti eos ſanis conſiliis; ac Metelli quidem inſtitutum, inſaniam eſſe ex ſingulari improbitate ad rerum omnium ruentis interitum & confuſionem: Catonis autem virtutem divinam eſſe quandam animi commotionem pro jure & æquitate digladiantem.

Quum populus ſuffragia de lege initurus eſſet, Metelloque armati, peregrini, gladiatores, & ſervi occupato foro eſſent præſto, ac qui mutationem Pompeii deſiderio cupiebant (quæ pars erat populi non exigua) adeſſent, inſuper eo accederent Cæſaris opes prætoris tunc haud modicæ: principes vero civitatis item ac Cato eam actionem deteſtarentur, magiſque ſocii ejus in accipienda injuria eſſent quam defendenda republica: teneretur autem domus ejus ingenti mœrore & metu, adeo ut aliquot amici ejus ſine cibo una pernoctarent ei timentes, mulieres vero ſororeſque quiritarentur & plorarent: ipſe ſecure & fidenti animo appellavit omnes atque excitavit, cœnaque & nocte ex more ſuo peracta ab uno collegarum ſuorum Minutio Thermo arcte dormiens excitatus eſt. In forum deſcendit paucis quidem eum deducentibus, ſed multis occurrentibus ei, atque ut caveret ſibi monentibus. Ut igitur reſiſtens Cato ædem Caſtoris conſpexit armatis ſeptam, inſeſſos a gladiatoribus gradus, ipſum Metellum edito loco cum Cæſare conſpexit conſidentem, in amicos verſus, O hominem, inquit, ferocem juxta ac timidum,

καθ' ἑνὸς ἀνόπλου καὶ γυμνοῦ τοσούτους ἐστρατολόγησεν. ἅμα δ' εὐθὺς ἐβάδιζε μετὰ τοῦ Θέρμου. καὶ διέστησαν αὐτοῖς ἐκεῖνοι οἱ τὰς ἀναβάσεις κατέχοντες, ἄλλον δὲ οὐδένα παρῆκαν, ἢ μόλις ἐπισπάσας τῆς χειρὸς ὁ Κάτων τὸν Μουνάτιον ἀνήγαγεν· καὶ βαδίζων εὐθὺς ὡς εἶχεν, καθίζει μέσον ἐμβαλὼν ἑαυτὸν τοῦ Μετέλλου καὶ τοῦ Καίσαρος, ὥστε διακόψαι τὴν κοινολογίαν. κἀκεῖνοι μὲν διηπόρησαν, οἱ δὲ χαρίεντες θεασάμενοι καὶ θαυμάσαντες τὸ πρόσωπον καὶ τὸ φρόνημα καὶ τὸ θάρσος τοῦ Κάτωνος, ἐγγυτέρω προσῆλθον, καὶ βοῇ διεκελεύσαντο, τῷ μὲν Κάτωνι θαῤῥεῖν, μένειν δὲ ἀλλήλοις, καὶ συστρέφεσθαι, καὶ μὴ προδιδόναι τὴν ἐλευθερίαν, καὶ τὸν ὑπὲρ αὐτῆς ἀγωνιζόμενον.

Ἔνθα δὴ τοῦ ὑπηρέτου τὸν νόμον προχειρισαμένου, τοῦ δὲ Κάτωνος οὐκ ἐῶντος ἀναγινώσκειν· τοῦ δὲ Μετέλλου παραλαβόντος αὐτὸν, καὶ ἀναγινώσκοντος, ὁ μὲν Κάτων ἐξήρπασε τὸ βιβλίον· ὁ δὲ Θέρμος, ἀπὸ στόματος τοῦ Μετέλλου τὸν νόμον ἐπισταμένου καὶ λέγοντος, ἐπέσχε τῇ χειρὶ τὸ στόμα, καὶ τὴν φωνὴν ἀπέκλεισεν, ἄχρις οὗ ἄμαχον ὁρῶν ἀγῶνα τοὺς ἄνδρας ὁ Μέτελλος ἀγωνιζομένους, καὶ τὸν δῆμον ἡττώμενον, πρὸς τὸ συμφέρον τρεπόμενος, ἐκέλευσεν οἴκοθεν ὁπλίτας μετὰ φόβου καὶ κραυγῆς ἐπιτρέχειν. γενομένου δὲ τούτου, καὶ πάντων διασκεδασθέντων, ὑποστάντα μόνον τὸν Κάτωνα, καὶ βαλλόμενον λίθοις καὶ ξύλοις ἄνωθεν, οὐ περιεῖδε Μουρήνας ὁ τὴν δίκην φυγὼν ὑπ' αὐτοῦ καὶ κατηγορηθεὶς, ἀλλὰ τὴν τήβεννον προϊσχόμενος, καὶ βοῶν ἀνασχεῖν τοῖς βάλλουσι, καὶ τέλος αὐτὸν τὸν Κάτωνα πείθων καὶ περιπτύσσων,

timidum, qui adverſus unum inermem & nudum tantum habuit delectum! protinuſque illuc cum Thermo contendit. Quibus illi qui gradus tenebant, viam dedere: cæterum neminem admiſerunt præterea. Munatium tantum ægre manu Cato ſecum trahens adduxit, pergenſque illico medium ſe inter Metellum & Cæſarem ad dirimenda eorum colloquia conjecit. Quibus perplexis boni viri contemplantes ſtupenteſque Catonis vultum, ſpiritus & fidentiam, admoverunt ſe propius, voceque Catonem ut bono animo eſſet cohortati ſunt, atque ſe ut inter ſe conſiſterent cohærerentque, neque proderent libertatem & ejus vindicem.

Ibi quum accenſus legem in manibus acciperet, Cato recitare prohiberet, Metellus autem arriperet eam & legeret, extorſit ei Cato libellum. Thermus memoriter Metello legem tenenti & exponere eam aggredienti os manu obturavit, vocemque inclufit, quouſque pertinaciſſime luctari illos videns Metellus, ſuccumbentemque populum & utilitati cedentem, armatos domo excivit, ut cum terrore & clamore accurrerent. Dum id agitur, omnibus diſturbatis ſolum reſtitantem Catonem, qui lapidibus & lignis ſuperne petebatur, non deſeruit Murena, qui reus ab illo factus & accuſatus fuerat, verum obtenſa toga clamavit, omitterent jacere, atque ipſum denique Catonem movens amplectenſque abdu-

πλύσων, εἰς τὸν νεὼν τῶν Διοσκούρων ἀπήγαγεν. ἐπεὶ δὲ κατεῖδεν ὁ Μέτελλος ἐρημίαν περὶ τὸ βῆμα καὶ φυγὴν δι' ἀγορᾶς τῶν ἐναντιουμένων, παντάπασι πεισθεὶς κρατεῖν, ἐκέλευσεν ἀπεῖναι πάλιν τοὺς ὁπλοφόρους, καὶ προσελθὼν κοσμίως αὐτὸς ἐπεχείρει πράττειν τὰ περὶ τὸν νόμον. οἱ δὲ ἐναντίοι ταχέως ἀναλαβόντες ἑαυτοὺς ἐκ τῆς τροπῆς ἐπῄεσαν αὖθις, ἐμβοήσαντες μέγα καὶ θαῤῥαλέον· ὥστε τοῖς περὶ τὸν Μέτελλον ἐμπεσεῖν ταραχὴν καὶ δέος, οἰομένοις ὅπλων ποθὲν εὐπορήσαντας αὐτοὺς ἐπιφέρεσθαι, καὶ μηδένα μένειν, ἀλλὰ φεύγειν ἅπαντας ἀπὸ τοῦ βήματος. οὕτω δὴ σκεδασθέντων ἐκείνων, τοῦ δὲ Κάτωνος προσελθόντος, καὶ τὰ μὲν ἐπαινέσαντος, τὰ δ' ἐπιῤῥώσαντος τὸν δῆμον, οἵ τε πολλοὶ παρετάξαντο παντὶ τρόπῳ καταλῦσαι τὸν Μέτελλον, ἥ τε σύγκλητος ἀθροισθεῖσα παρέγγειλεν ἀρχῆθεν βοηθεῖν τῷ Κάτωνι, καὶ διαμάχεσθαι πρὸς τὸν νόμον, ὡς στάσιν ἐπεισάγοντα τῇ Ῥώμῃ, καὶ πόλεμον ἐμφύλιον.

Ὁ δὲ Μέτελλος, αὐτὸς μὲν ἦν ἄτρεπτος καὶ θρασὺς ἔτι, ὁρῶν δὲ τοὺς περὶ αὐτὸν ἐκπεπληγμένους κομιδῇ τὸν Κάτωνα, καὶ νομίζοντας ἄμαχον καὶ δυσεκβίαστον, αἰφνίδιον ἐξεπήδησεν εἰς τὴν ἀγορὰν, καὶ συναγαγὼν τὸν δῆμον, ἄλλα τε πολλὰ περὶ τοῦ Κάτωνος ἐπίφθονα διῆλθεν, καὶ φεύγειν τὴν τυραννίδα βοῶν τὴν ἐκείνου, καὶ τὴν κατὰ Πομπηΐου συνωμοσίαν, ἐφ' ᾗ μετανοήσειν ταχὺ τὴν πόλιν ἀτιμάζουσαν ἄνδρα τοσοῦτον, ὥρμησεν εὐθὺς εἰς Ἀσίαν, ὡς ταῦτα πρὸς ἐκεῖνον κατηγορήσων. ἦν οὖν δόξα μεγάλη τοῦ Κάτωνος, ἄχθος οὐ μικρὸν ἀπεσκευασμένου τῆς δημαρχίας, καὶ τρόπον τινὰ

xit in Caſtoris ædem. Ut ſolitudinem Metellus in roſtris vidit, & fugam in foro adverſariorum, exiſtimans prorſus ſe voti compotem, abſcedere imperavit armatis, tum modeſte accedens inſtitit legem perferre. Adverſarii vero ejus mox ex fuga ſeſe colligentes adfuerunt denuo cum magno & fidenti clamore. Itaque conſternata & attonita Metelli cohors, atque armis rata alicunde correptis illos incurrere, tota diffugit, omneſque roſtra reliquere. Ita illis disjectis quum Cato progrederetur, populumque hinc laudaſſet, hinc confirmaſſet, plebs ad opprimendum ſemel Metellum obfirmavit ſe, ac ſenatus coactus pro autoritate ſua edixit ut omnes Catoni ſuppetias venirent & impugnarent legem, ut quæ ſeditionem Romæ & bellum civile excitaret.

At Metellus erat ipſe quidem immotus adhuc & ferox, verum ſuos videns Catonem valde trepidantes, invictumque & inſuperabilem arbitrantes, proſiliit repente in forum: atque advocata concione cum alia multa in Catonem concionatus eſt invidioſe, tum illius vociferatus eſt ſe fugere tyrannidem & contra Pompeium conſpirationem, cujus brevi fore ut civitatem pœniteret, quod tantum virum affeciſſet ignominia. Hinc repente contendit in Aſiam, ut hæc ad Pompeium deferret. Fuit igitur magna in laude Cato, qui non leve excuſſerat a repub. tribunatus Metelli pondus, ac Pompeii quodam-

τινὰ τὴν Πομπηΐου δύναμιν ἐν Μετέλλῳ καθῃρηκότος. ἔτι δὲ μᾶλλον εὐδοκίμησε, τὴν σύγκλητον ὡρμημένην ἀτιμοῦν καὶ ἀποψηφίζεσθαι τὸν Μέτελλον οὐκ ἐάσας, ἀλλ' ἐναντιωθεὶς καὶ παραιτησάμενος. οἵ τε γὰρ πολλοὶ φιλανθρωπίας ἐποιοῦντο καὶ μετριότητος, τὸ μὴ ἐπεμβῆναι τῷ ἐχθρῷ, μηδὲ ἐνυβρίσαι, κατὰ κράτος περιγενόμενον· τοῖς τε φρονίμοις ὀρθῶς ἐφαίνετο καὶ συμφερόντως μὴ παροξύνας Πομπήϊον. ἐκ τούτου Λεύκουλλος ἐπανελθὼν ἐκ τῆς στρατείας, ἧς ἔδοξε τὸ τέλος καὶ τὴν δόξαν ἀφῃρῆσθαι Πομπήϊος, εἰς κίνδυνον ἦλθεν τοῦ μὴ θριαμβεῦσαι, Γαΐου Μεμμίου καταστασιάζοντος αὐτὸν ἐν τῷ δήμῳ, καὶ δίκας ἐπάγοντος, εἰς τὴν Πομπηΐου χάριν μᾶλλον ἢ κατ' ἔχθος ἴδιον. ὁ δὲ Κάτων, οἰκειότητός τε πρὸς Λεύκουλλον αὐτῷ γεγενημένης, ἔχοντος Σερβιλίαν τὴν ἀδελφὴν αὐτοῦ, καὶ τὸ πρᾶγμα δεινὸν ἡγούμενος, ἀντέστη τῷ Μεμμίῳ, καὶ πολλὰς ὑπέμεινε διαβολὰς καὶ κατηγορίας. τέλος δὲ, τῆς ἀρχῆς ἐκβαλλόμενος ὡς τυραννίδος, τοσοῦτον ἐκράτησεν ὥστε τὸν Μέμμιον αὐτὸν ἀναγκάσαι τῶν δικῶν ἀποστῆναι, καὶ φυγεῖν τὸν ἀγῶνα. Λεύκουλλος μὲν οὖν θριαμβεύσας, ἔτι μᾶλλον ἐνεφύετο τῇ φιλίᾳ τοῦ Κάτωνος, ἔχων ἔρυμα καὶ πρόβλημα μέγα πρὸς τὴν Πομπηΐου δύναμιν.

Πομπήϊος δὲ μέγας ἀπὸ τῆς στρατείας ἐπανιὼν, καὶ τῇ λαμπρότητι καὶ προθυμίᾳ τῆς ὑποδοχῆς πεποιθὼς οὐδὲν ἂν δεηθεὶς ἀποτυχεῖν τῶν πολιτῶν, προὔπεμπεν ἀξιῶν τὰς ὑπατικὰς ἀρχαιρεσίας ἀναβάλλεσθαι τὴν σύγκλητον, ὡς ἂν αὐτὸς παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. τῶν δὲ πλείστων ὑπεικόντων, οὐ τὴν ἀναβολὴν μέγιστον ὁ Κάτων ἡγούμενος, ἀλλὰ τὴν πεῖ-

ραν

dammodo in Metello conculcaverat potentiam. Multo magis celebratus eſt quod infamia afficere Metellum & abrogare ei magiſtratum molienti obſtiterit ſenatui, in eoque adverſatus ſit, & precibus placaverit eum ordinem. Nam vulgus humanitati & moderationi ejus adſcripſit, quod inimico non inſultaſſet, neque ludibrio habuiſſet eum quem vi ſuperaverat. Prudentibus vero recte viſus eſt & ſalubriter non laceſſiviſſe Pompeium. Inde reverſus Lucullus a bello, cujus apparebat finem & decus ei eripuiſſe Pompeium, C. Memmio populum in eum concitante, criminaque intentante, quo fuit magis Pompeii gratia quam odio adductus privato, in periculum venit amittendi triumphi. Hinc Cato cum propinquitatis cauſa, quæ cum Lucullo ei intercedebat per Serviliam ſororem ſuam, quæ erat nupta Lucullo, tum quia rem cenſebat iniquam, reſtitit Memmio, multaſque calumnias & crimina ſubiit. Poſtremo quum elaboraret ille ut tanquam regno expelleret ipſum tribunatu, eo tamen valuit, ut Memmium ipſum judicium deſerere, & litem cogeret defugere. Quare peracto triumpho Lucullus multo magis Catonis amicitiam ſectatus eſt, arcem eam exiſtimans & propugnaculum ſibi adverſus potentiam Pompeii grande.

At Pompeius ingens ex provincia regreſſus, ſplendoreque & benevolentia recipientium ſe fretus, nihil verebatur ſe fruſtra a civibus petiturum. Itaque præmiſit ad ſenatum poſtulatum ut comitia conſularia producerent, quo præſens ſtudio ſuo Piſonis petitionem valeret adjuvare. Labaſcentibus pleriſque non tanti Cato dilationem faciens, verum quo

4 Pom-

ραν ἀποκόψαι καὶ τὴν ἐλπίδα τοῦ Πομπηΐου βουλόμενος, ἀντεῖπε, καὶ μετέστησε τὴν βουλὴν, ὥστε ἀποψηφίσασθαι. τοῦτο τὸν Πομπήϊον οὐχ ἡσυχῆ διετάραξε· καὶ νομίζων οὐ μικρὰ προσπταίσειν τῷ Κάτωνι μὴ φίλῳ γενομένῳ, μετεπέμψατο Μουνάτιον ἑταῖρον αὐτοῦ· καὶ δύο τοῦ Κάτωνος ἀδελφιδᾶς ἐπιγάμους ἔχοντος, ᾔτει τὴν μὲν πρεσβυτέραν ἑαυτῷ γυναῖκα, τὴν δὲ νεωτέραν τῷ υἱῷ. τινὲς δέ φασιν οὐ τῶν ἀδελφιδῶν ἀλλὰ τῶν θυγατέρων τὴν μνηστείαν γενέσθαι. τοῦ δὲ Μουνατίου ταῦτα πρὸς τὸν Κάτωνα καὶ τὴν γυναῖκα καὶ τὰς ἀδελφὰς φράσαντος, αἱ μὲν ὑπερηγάπησαν τὴν οἰκειότητα, πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τοῦ ἀνδρός· ὁ δὲ Κάτων, οὔτ' ἐπισχὼν οὔτε βουλευσάμενος, ἀλλὰ πληγεὶς εὐθὺς εἶπεν, Βάδιζε Μουνάτιε, βάδιζε, καὶ λέγε πρὸς Πομπήϊον, ὡς Κάτων οὐκ ἔστι διὰ τῆς γυναικωνίτιδος ἁλώσιμος, ἀλλὰ τὴν μὲν εὔνοιαν ἀγαπᾷ, καὶ τὰ δίκαια ποιοῦντι φιλίαν παρέξει πάσης πιστοτέραν οἰκειότητος, ὅμηρα δὲ οὐ προήσεται τῇ Πομπηΐου δόξῃ κατὰ τῆς πατρίδος. ἐπὶ τούτοις ἤχθοντο μὲν αἱ γυναῖκες, ᾐτιῶντο δὲ οἱ φίλοι τοῦ Κάτωνος ὡς ἄγροικον ἅμα καὶ ὑπερήφανον τὴν ἀπόκρισιν. εἶτα μέντοι πράττων τινὶ τῶν φίλων ὑπατείαν ὁ Πομπήϊος, ἀργύριον εἰς τὰς φυλὰς ἔπεμπεν, καὶ περιβόητος ὁ δεκασμὸς ἦν, ἐν κήποις ἐκείνου τῶν χρημάτων ἀριθμουμένων. εἰπόντος οὖν τοῦ Κάτωνος πρὸς τὰς γυναῖκας, ὅτι τοιούτων ἦν κοινωνεῖν καὶ ἀναπίμπλασθαι πραγμάτων ἀνάγκη, Πομπηΐῳ συναφθέντα δι' οἰκειότητος, ὡμολόγουν ἐκεῖναι κάλλιον αὐτὸν βεβουλεῦσθαι διακρουσάμενον. εἰ δὲ δεῖ πρὸς τὰ συμβάντα κρίνειν, τοῦ παντὸς ἔοικεν ὁ Κάτων

Pompeii conatum & ſpem præcideret, reclamavit, eoque traduxit ſenatum ut id negaret Pompeio. Permovit hoc magnopere Pompeium: exiſtimanſque niſi ſibi Catonem conjunxiſſet, non parum ſibi fore eum obſtaculo, familiarem ejus accerſit Munatium, atque ex duabus Catonis fratris & ſororis filiabus nubilibus majorem ſibi uxorem, filio minorem petiit. Aliqui non ſororis filiarum autumant illum, ſed ſuarum nuptias ambiviſſe. Quod ubi retulit Munatius Catoni ejuſque conjugi & ſororibus, affinitas mulieribus in magnitudinem & dignitatem illius oculos conjicientibus placuit mirifice: verum Cato nihil moratus, neque deliberatione habita, ſed ictus ſtatim, reſpondit, I Munati, i, & Pompeio renuncia, irretiri Catonem non poſſe per fœminas: amplecti me benevolentiam ejus, ac recte agenti amicitiam præſtiturum omni firmiorem neceſſitudine, verum obſides adverſus patriam non daturum Pompeii gloriæ. Momordit hoc mulieres, & amici reprehenderunt Catonis ut incivile & ſuperbum reſponſum. Poſt tamen Pompeius, quum conſulatum amico cuidam quæreret, pronunciavit in tribubus pecuniam, eratque in ore omnium illa largitio, quod in hortis ejus pecunia numeraretur. Docuit ergo mulieres Cato, ſi conglutinatus cum Pompeio fuiſſet propinquitate, neceſſe fore ut in harum rerum veniret ſocietatem, iiſque aſpergeretur. Quæ fatebantur conſuluiſſe ipſum rectius quod Pompeium repudiaſſet. Quod ſi exiſtimandum ex eventu eſt, penitus apparet erraſſe Catonem, qui affinita-

τῶν ἁμαρτεῖν τὴν οἰκειότητα μὴ δεξάμενος, ἀλλ' ἐάσας πρὸς Καίσαρα τραπέσθαι, καὶ γῆμαι γάμον, ὃς τὴν Πομπηΐου δύναμιν καὶ Καίσαρος εἰς ταυτὸ συνενεγκὼν, ὀλίγου τὰ μὲν Ῥωμαίων ἀνέτρεψε πράγματα, τὴν δὲ πολιτείαν ἀνεῖλεν. ὧν οὐδὲν ἂν ἴσως συνέπεσεν, εἰ μὴ Κάτων τὰ μικρὰ τοῦ Πομπηΐου φοβηθεὶς ἁμαρτήματα, τῶν μεγίστων περιεῖδεν αὐτὸν ἑτέρων δύναμιν προσγενόμενον.

Ταῦτα μὲν οὖν ἔμελλεν ἔτι. Λουκούλλου δὲ περὶ τῶν ἐν Πόντῳ διατάξεων στασιάσαντος πρὸς Πομπήϊον (ἠξίουν γὰρ ἰσχύειν ἑκάτερος τὰ ὑφ' αὐτοῦ γενόμενα) καὶ Λουκούλλῳ Κάτωνος ἀδικουμένῳ περιφανῶς προσαμύνοντος, ἐλαττούμενος ὁ Πομπήϊος ἐν συγκλήτῳ, καὶ δημαγωγῶν, ἐπὶ νομὴν χώρας ἐκάλει τὸ στρατιωτικόν. ὡς δὲ κἀνταῦθα Κάτων ἐνιστάμενος ἐξέκρουσε τὸν νόμον, οὕτω Κλωδίου τε περιείχετο τοῦ τότε θρασυτάτου τῶν δημαγωγῶν· καὶ Καίσαρα προσήγετο, τρόπον τινὰ Κάτωνος αὐτοῦ παρασχόντος ἀρχήν. ὁ γὰρ Καῖσαρ ἀπὸ τῆς ἐν Ἰβηρίᾳ στρατηγίας ἐπανήκων, ἅμα μὲν ὑπατείαν ἐβούλετο παραγγέλλειν, ἅμα δὲ ᾔτει θρίαμβον. ἐπεὶ δὲ κατὰ νόμον ἔδει τοὺς μὲν ἀρχὴν μετιόντας παρεῖναι, τοὺς δὲ μέλλοντας εἰσελαύνειν θρίαμβον, ἔξω τείχους ὑπομένειν, ἠξίου παρὰ τῆς βουλῆς αὐτῷ δοθῆναι, δι' ἑτέρων αἰτεῖσθαι τὴν ἀρχήν. βουλομένων δὲ πολλῶν, ἀντέλεγεν ὁ Κάτων· ὡς δὲ ᾔσθετο χαριζομένους τῷ Καίσαρι, λέγων ὅλην κατανάλωσε τὴν ἡμέραν, καὶ τὴν βουλὴν οὕτως ἐξέκρουσε. χαίρειν οὖν ἐάσας τὸν θρίαμβον ὁ Καῖσαρ, εἰσελθὼν εὐθὺς εἴχετο Πομπηΐου καὶ τῆς ὑπατείας. ἀποδειχθεὶς δὲ ὕπατος, τήν τε Ἰουλίαν ἐνεγ-

γύησεν

nitatem hanc non inierit, ſed permiſerit illum devolvi ad Cæſarem, & conciliare nuptias, quæ Pompeii & Cæſaris opes in unum contrahentes, pene everterunt Romanum imperium, rempub. certe exſtinxere. Quorum fortaſſe accidiſſet nihil, niſi levia veritus Pompeii offenſa Cato in maximis conniviſſet, ut adjungeret ſe aliorum potentiæ.

Verum ea adhuc impendebant. Lucullo de actis ſuis Ponticis controverſiam cum Pompeio habente, (uterque enim acta ſua rata volebat) quum Lucullo, qui aperte lædebatur, adeſſet Cato, inferior in ſenatu Pompeius populariter in gratiam militum legem agrariam inſtitit ferre. Quia vero etiam Cato hic ſeſe opponens legem rejiciebat, ita ad Clodium ſe contulit tribunum plebis tunc violentiſſimum, Cæſaremque conjunxit ſibi, Catone ipſo quaſi exordium præbente. Cæſar enim ex provincia Hiſpania reverſus, pariter conſulatum intendebat petere & poſtulabat triumphum. Quum autem lex eos qui magiſtratum ambirent, præſentes petere, triumphaturos vero extra muros cogeret ſubſiſtere, flagitavit a ſenatu ut abſentis ſui ratio haberetur. Inclinantibus eo frequentibus, contradixit Cato: qui animadvertens illos ſtudere Cæſari, totum diem dicendo conſumpſit, atque ita ſenatus decretum excluſit. Quare depoſito Cæſar triumpho urbem extemplo ingreſſus, amicitiam Pompeii & conſulatum ſectatus eſt. Conſul deſignatus deſpondit illi Juliam, fac-

taque

γύησεν αὐτῷ, καὶ συστάντες ἤδη μετ' ἀλλήλων ἐπὶ τὴν πόλιν, ὁ μὲν εἰσέφερε νόμους τοῖς πένησι κληρουχίαν καὶ νομὴν χώρας διδόντας, ὁ δὲ παρῆν τοῖς νόμοις βοηθῶν. οἱ δὲ περὶ Λούκουλλον καὶ Κικέρωνα, Βύβλῳ τῷ ἑτέρῳ τῶν ὑπάτων συντάξαντες ἑαυτοὺς ἀντέπραττον· μάλιστα δὲ Κάτων, ἤδη μὲν ὑφορώμενος τὴν Καίσαρος καὶ Πομπηΐου φιλίαν καὶ σύστασιν ἐπ' οὐδενὶ δικαίῳ γεγενημένην· φοβεῖσθαι δὲ φάσκων οὐ τὴν νομὴν τῆς χώρας, ἀλλ' ὃν ἀντὶ ταύτης ἀπαιτήσουσι μισθὸν οἱ χαριζόμενοι καὶ δελεάζοντες τὸ πλῆθος.

Ὡς δὲ ταῦτα λέγων τήν τε βουλὴν ὁμόψηφον εἶχεν, καὶ τῶν ἐκτὸς ἀνθρώπων οὐκ ὀλίγοι παρίσταντο, δυσχεραίνοντες τὴν ἀτοπίαν τοῦ Καίσαρος· ἃ γὰρ οἱ θρασύτατοι δήμαρχοι καὶ ὀλιγωρότατοι πρὸς χάριν ἐπολιτεύοντο τῶν πολλῶν, ταῦτα ἀπ' ἐξουσίας ὑπατικῆς αἰσχρῶς καὶ ταπεινῶς ὑποδυόμενος τὸν δῆμον ἔπραττεν· φοβηθέντες οὖν ἐχώρουν διὰ βίας, καὶ πρῶτον μὲν αὐτῷ τῷ Βύβλῳ καταβαίνοντι κοπρίων ἐπεσκεδάσθη κόφινος, ἔπειτα τοῖς ῥαβδούχοις προσπεσόντες αὐτοῦ κατέκλασαν τὰς ῥάβδους· τέλος δέ, καὶ βελῶν φερομένων καὶ πολλῶν συντιτρωσκομένων, ἔφυγον ἐξ ἀγορᾶς δρόμῳ μὲν οἱ λοιποὶ πάντες, ἔσχατος δὲ Κάτων ἀπῄει βάδην, μεταστρεφόμενος καὶ καταρώμενος τοὺς πολίτας. οὐ μόνον οὖν τὴν διανομὴν ἐκύρωσαν, ἀλλὰ καὶ προσεψηφίσαντο τὴν σύγκλητον ὀμόσαι πᾶσαν, ἦ μὴν ἐπιβεβαιώσειν τὸν νόμον, καὶ βοηθήσειν ἄν τις τἀναντία πράττῃ· μεγάλα τάξαντες ἐπιτίμια κατὰ τῶν μὴ ὀμοσάντων. ὤμνυσαν οὖν ἅπαντες ἐξ ἀνάγκης, τὸ Μετέλλου τοῦ παλαιοῦ πάθος ἐν νῷ λαμβάνοντες, ὃν εἰς νόμον ὅμοιον ὀμόσαι μὴ θελήσαντα περιεῖδεν ὁ δῆμος ἐκπεσόντα φυγῇ
τῆς

taque inter ſe adverſus rempub. coitione, Cæſar leges agrarias ferebat, alter promulganti aderat. Lucullus & Cicero alteri conſuli ſe Bibulo aggregantes reluctabantur iis, imprimis Cato, qui Cæſaris & Pompeii amicitiam ac conſpirationem ad perniciem ſuſpicabatur jam reipub. conflatam, & timere dicebat ſe non agrorum diviſionem, ſed quam hujus mercedem largitionis & ineſcationis petituri eſſent a populo.

Hæc dicenti & ſenatus aſſenſus eſt, & ex populo non pauci comprobarunt, ob rei indignitatem Cæſari infenſi. Quæ enim audaciſſimi tribuni & amentiſſimi populariter agebant, hæc ille ex conſulari poteſtate fœde & abjecte populo ſubrepens moliebatur. Quare metuens factio Cæſaris convertit ſe ad vim. Ac primum in Bibulum, dum ad forum pergit, corbem ſtercoris projecit. Deinde lictores ejus adortus, faſces fregit. Ad extremum telis volantibus multiſque convulneratis profugerunt ex foro, cæteri omnes curſu, Cato noviſſimus lento gradu diſceſſit reſpectans & in capita civium deteſtans. Igitur non legem agrariam modo pertulerunt, verum etiam addiderunt ut totus ſenatus juraret legem ſe comprobaturum, & futurum auxilio ſi quis eam convelleret, mulcta ſancita gravi in eum qui non juraſſet. Quare omnes neceſſitate adacti juraverunt, exempli Metelli patrum memoria recordantes, quem jurare pari in re recuſantem permiſit populus pelli Ita-
lia

τῆς Ἰταλίας. διὸ καὶ τὸν Κάτωνα πολλὰ μὲν αἱ γυναῖκες οἴκοι δακρύουσαι καθικέτευον εἶξαι καὶ ὀμόσαι, πολλὰ δὲ οἱ φίλοι καὶ συνήθεις. ὁ δὲ μάλιστα καὶ συμπείσας καὶ ἀγαγὼν αὐτὸν ἐπὶ τὸν ὅρκον, ἦν Κικέρων ὁ ῥήτωρ, παραινῶν καὶ διδάσκων ὡς τάχα μὲν οὐδὲ δίκαιόν ἐστιν τοῖς ἐγνωσμένοις κοινῇ μόνον οἴεσθαι δεῖν ἀπειθεῖν, ἐν δὲ ἀδυνάτῳ τῷ μεταστῆσαί τι τῶν γεγονότων ἀφειδεῖν ἑαυτοῦ, παντάπασιν ἀνόητον καὶ μανικόν. ἔσχατον δὲ κακῶν, εἰ δι' ἣν ἅπαντα πράττει πόλιν ἀφεὶς καὶ προέμενος τοῖς ἐπιβουλεύουσιν, ὥσπερ ἀσμενος ἀπαλλάξεται τῶν ὑπὲρ αὐτῆς ἀγώνων. καὶ γὰρ εἰ μὴ Κάτων τῆς Ῥώμης, ἀλλ' ἡ Ῥώμη δεῖται Κάτωνος. δέονται δὲ οἱ φίλοι πάντες, ὧν αὐτὸν εἶναι πρῶτον ὁ Κικέρων ἔλεγεν, ἐπιβουλευόμενον ὑπὸ Κλωδίου διὰ δημαρχίας ἄντικρυς ἐπ' αὐτὸν βαδίζοντος. ὑπὸ τούτων φασὶ καὶ τοιούτων τὸν Κάτωνα λόγων καὶ δεήσεων μαλασσόμενον οἴκοι καὶ κατ' ἀγορὰν, ἐκβιασθῆναι μόλις, καὶ προσελθεῖν πρὸς τὸν ὅρκον, ἔσχατον ἁπάντων, πλὴν ἑνὸς Φαωνίου τῶν φίλων καὶ συνήθων.

Ἐπαρθεὶς οὖν ὁ Καῖσαρ ἄλλον εἰσέφερε νόμον, τὴν Καμπανίαν σχεδὸν ὅλην προσκατανέμοντα τοῖς ἀπόροις καὶ πένησιν. ἀντέλεγε δὲ οὐδεὶς, πλὴν τοῦ Κάτωνος. καὶ τοῦτον ἀπὸ τοῦ βήματος ὁ Καῖσαρ εἷλκεν εἰς δεσμωτήριον, οὐδέν τι μᾶλλον ὑφιέμενον τῆς παῤῥησίας, ἀλλ' ἐν τῷ βαδίζειν ἅμα περὶ τοῦ νόμου διαλεγόμενον, καὶ παραινοῦντα παύσασθαι τοιαῦτα πολιτευομένους. ἐπηκολούθει δὲ ἡ βουλὴ μετὰ κατηφείας, καὶ τοῦ δήμου τὸ βέλτιστον, ἀγανακτοῦν σιω-

πῇ

lia in exilium. Quare Catonem multum fœminæ domi lacrymabundæ obſecraverunt ut infringeret ſe & juraret, multum amici & familiares. Præcipue vero impulit eum & induxit ad juramentum Cicero orator, monens docenſque ne juſtum quidem fortaſſis eſſe ſi publice decretis unum ſe debere putaret refragari: in apertum vero ſe conjicere periculum ejus rei cauſa, quæ nullo modo reſcindi poſſet, ſtulti prorſus eſſe & amentis: id extremum vero malum, ſi, cujus cauſa omnia movet, permittat & objiciat inſidiantibus rempub. quaſi lubens explicaret ſe obeundis pro ea certaminibus. Etenim ſi Cato minus Roma, Romam certe opus habere Catone, opus eo etiam omnes habere amicos: quorum eſſe oſtendit ſe Cicero primum, cui inſidiæ pararentur a Clodio, qui per tribunatum non obſcure ſibi immineret. His ferunt atque hujuſcemodi Catonem verbis & precibus mollitum domi & in foro ægre fuiſſe expugnatum, atque ad jurandum omnium, uno dempto amico & familiari Favonio, acceſſiſſe noviſſimum.

Hinc elatus Cæſar aliam tulit legem de agro Campano ferme toto inſuper pauperibus & tenuibus dividendo, neque objecit ſe ei quiſquam præter Catonem. Hunc ex roſtris traxit Cæſar atque in carcerem duxit, qui nihilo magis libertatem linguæ ſummiſit, verum inter eundum ſimul de lege diſſeruit, & commonuit cives ut reprimerent eas actiones. Sequutus Catonem eſt mœſtus ſenatus & optimi quique ex populo ſtomachantes tacite

πῇ καὶ ἀχθόμενον, ὥστε τὸν Καίσαρα μὴ λανθάνειν βαρέως φέροντας, ἀλλὰ φιλονεικῶν καὶ περιμένων ὑπὸ τοῦ Κάτωνος ἐπίκλησιν γενέσθαι καὶ δέησιν, προῆγεν. ἐπεὶ δὲ ἐκεῖνος ἦν δῆλος οὐδὲ μελλήσων τι ποιεῖν, ἡττηθεὶς ὑπὸ αἰσχύνης καὶ ἀδοξίας ὁ Καῖσαρ, αὐτός τινα τῶν δημάρχων ὑφῆκεν, πείσας ἐξελέσθαι τὸν Κάτωνα. τοῖς μέντοι νόμοις ἐκείνοις, καὶ ταῖς χάρισι τιθασσεύσαντες τὸν ὄχλον, ἐψηφίσαντο Καίσαρι μὲν Ἰλλυριῶν καὶ Γαλατίας ἄρχειν ἁπάσης, καὶ τέσσαρα τάγματα στρατιᾶς εἰς πενταετίαν, προλέγοντος Κάτωνος, εἰς ἀκρόπολιν τὸν τύραννον αὐτοὶ ταῖς ἑαυτῶν ψήφοις ἱδρύουσιν. Πόπλιον δὲ Κλώδιον ἐκ πατρικίων εἰς δημοτικοὺς παρανόμως μεταστήσαντες, ἀπέδειξαν δήμαρχον, ἐπὶ μισθῷ τῇ Κικέρωνος ἐξελάσει, πάντα πρὸς χάριν ἐκείνοις πολιτευόμενον. ὑπάτους δὲ Πείσωνά τε Καλπούρνιον, ὃς ἦν πατὴρ τῆς Καίσαρος γυναικός, καὶ Γαβίνιον Παῦλον, ἐκ τῶν Πομπηΐου κόλπων ἄνθρωπον, ὥς φασιν οἱ τὸν τρόπον αὐτοῦ καὶ τὸν βίον εἰδότες.

Ἀλλὰ καίπερ οὕτως τὰ πράγματα κατειληφότες ἐγκρατῶς, καὶ τὸ μὲν χάριτι τῆς πόλεως, τὸ δὲ φόβῳ μέρος ὑφ᾽ ἑαυτοὺς ἔχοντες, ὅμως ἐφοβοῦντο τὸν Κάτωνα. καὶ γὰρ ἐν οἷς περιῆσαν αὐτοῦ, τότε χαλεπῶς καὶ μετὰ πόνων καὶ μὴ χωρὶς αἰσχύνης, ἀλλ᾽ ἐλεγχομένους βιάζεσθαι μόλις, ἀνιαρὸν ἦν καὶ προσάντες. ὁ δὲ Κλώδιος οὐδὲ Κικέρωνα καταλύσειν ἤλπιζεν, Κάτωνος παρόντος· ἀλλὰ τοῦτο διαμηχανώμενος πρῶτον ὡς εἰς ἀρχὴν κατέστη, μετεπέμψατο Κάτωνα, καὶ λόγους αὐτῷ προσήνεγκεν, ὡς πάντων ἐκεῖνον ἡγούμενος ἄνδρα Ῥωμαίων καθαρώτατον, ἔργῳ διδόναι πίστιν ἕτοιμός ἐστιν. πολλῶν

γὰρ

& indignantes. Nec latuit Cæſarem id illos indigne ferre, ſed ex ambitione exſpectans dum provocaret Cato & ſupplex fieret, perrexit eum ducere. Quem ut perſpicue advertit nihil minus facturum, victus pudore & infamia Cæſar ſummiſit unum ex tribunis ut Catonem eximeret. Multitudine tamen legibus illis & muneribus delinita, effecerunt ut provincia Cæſari Illyricum & tota Gallia, adhæc quatuor legiones in quinquennium decernerentur, præcinente Catone, in arce ſuis ipſos decretis collocare tyrannum. Adhæc P. Clodium ex patriciis contra leges ad populum traductum tribunum plebis creaverunt: qui pacta Ciceronis exterminatione, omnia egit ad illorum nutum. Conſules fecerunt Calpurnium Piſonem, qui ſocer erat Cæſaris, & Aulum Gabinium, hominem ex Pompeii ſinu, ut aiunt qui mores ejus & vitam norunt.

Atqui licet adeo rempub. obnoxiam tenerent, & partem civitatis beneficiis, partem metu ſubegiſſent, timebant tamen Catonem. Etenim quum conſiderarent quantas ſubiſſent moleſtias & labores in eo tunc ſuperando, quod ægre fecerant tamen & magno molimento, neque ſine macula, ſed apertum eſſe vix vi fuiſſe illum convulſum, id erat illis moleſtum & aſperum. Clodius vero nec Ciceronem affligere ſperabat ſe præſente Catone poſſe: verum id machinans, ut primum iniit magiſtratum, accerſivit Catonem, ac cum eo ſermocinatus eſt, Romanorum omnium putare ſe illum innocentiſſimum: id paratum eſſe facto probare. Quum

enim

γὰρ αἰτουμένων τὴν ἐπὶ Κύπρον ἀρχὴν, καὶ δεομένων ἀποσταλῆναι, μόνον ἄξιον ἐκεῖνον ἡγεῖσθαι, καὶ διδόναι τὴν χάριν ἡδέως. ἀνακραγόντος δὲ τοῦ Κάτωνος ὡς ἐνέδρα τὸ πρᾶγμα καὶ προπηλακισμὸς, οὐ χάρις ἐστὶν, ὑπερηφάνως ὁ Κλώδιος καὶ ὀλιγώρως, οὐκοῦν, εἶπεν, εἰ μὴ χάριν ἔχεις, ἀνιώμενος πλεύσῃ· καὶ προσελθὼν εὐθὺς εἰς τὸν δῆμον, ἐκύρωσεν νόμῳ τὴν ἔκπεμψιν τοῦ Κάτωνος. ἐξιόντι δὲ οὐ ναῦν, οὐ στρατιώτην, οὐχ ὑπηρέτην ἔδωκεν, πλὴν ἢ δύο γραμματεῖς μόνον, ὧν ὁ μὲν κλέπτης καὶ παμπόνηρος, ἅτερος δὲ Κλωδίου πελάτης. ὡς δὲ μικρὸν ἔργον αὐτῷ Κύπρον καὶ Πτολεμαῖον ἀναθεὶς, ἔτι καὶ Βυζαντίων φυγάδας κατάγειν προσέταξεν, βουλόμενος ὅτι πλεῖστον χρόνον ἐκποδὼν ἄρχοντος αὐτοῦ γενέσθαι τὸν Κάτωνα.

Τοιαύτῃ δὲ καταληφθεὶς ἀνάγκῃ, Κικέρωνι μὲν ἐλαυνομένῳ παρῄνεσεν μὴ στασιάσαι, μηδὲ εἰς ὅπλα καὶ φόνους τὴν πόλιν ἐμβαλεῖν, ἀλλ' ὑπεκστάντα τῷ καιρῷ πάλιν γενέσθαι σωτῆρα τῆς πατρίδος. Κανίδιον δέ τινα τῶν φίλων προπέμψας εἰς Κύπρον, ἔπειθε τὸν Πτολεμαῖον ἄνευ μάχης εἴκειν, ὡς οὔτε χρημάτων, οὔτε τιμῆς ἐνδεᾶ βιωσόμενον· ἱερωσύνην γὰρ αὐτῷ τῆς ἐν Πάφῳ Θεοῦ δώσειν τὸν δῆμον. αὐτὸς δὲ διέτριβεν ἐν Ῥόδῳ, παρασκευαζόμενος ἅμα καὶ τὰς ἀποκρίσεις ἀναμένων. ἐν δὲ τούτῳ Πτολεμαῖος ὁ Αἰγύπτου βασιλεὺς ὑπ' ὀργῆς τινος καὶ διαφορᾶς πρὸς τοὺς πολίτας, ἀπολελοιπὼς μὲν Ἀλεξάνδρειαν, εἰς δὲ Ῥώμην πλέων, ὡς Πομπηίου καὶ Καίσαρος αὖθις αὐτὸν μετὰ δυνάμεως καταξόντων, ἐντυχεῖν τῷ Κάτωνι βουληθεὶς, προσέπεμψεν ἐλπίζων ἐκεῖνον ὡς αὐτὸν ἥξειν. ὁ δὲ Κάτων ἐτύγχανε μὲν ὢν τότε περὶ κοι-

enim multi ſint qui provinciam Cyprum ambiant, eoque petant mitti, ſolum ipſum exiſtimare ſe dignum, atque hoc beneficium ei libenter dare. Vociferante Catone inſidias illas & contumeliam, non beneficium eſſe, arroganter Clodius & ferociter, Igitur ſi gratum non eſt, inquit, ingratiis ibis. Ac profectus extemplo in concionem, legem pertulit de Catonis legatione. Proficiſcenti non navem, non militem, non miniſtrum attribuit, extra quam duos duntaxat ſcribas, quorum fur, & improbiſſimus alter, alter cliens erat Clodii. Quaſi autem leve munus ei Cyprum & Ptolemæum impoſuiſſet, inſuper Byzantinorum exules imperavit ei reducere, moliens ut in tribunatu ſuo abeſſet Cato quam diutiſſime.

Ei implicatus neceſſitati, Ciceronem, qui jam exagitabatur, monuit ne ſeditionem concitaret, neu civitatem conjiceret in bellum & ſanguinem civilem, ſed cedens tempori conſervaret iterum patriam. Per Canidium amicum, quem præmiſit in Cyprum, egit cum Ptolemæo ut ſine certamine cederet, oſtenſa ſpe neque inopem neque abjectum ipſum victurum: ſacerdotium enim ei Veneris Paphiæ populum daturum. Ipſe ſubſtitit Rhodi, ſimul & apparatui intentus & reſponſum operiens. Inter hæc rex Ægypti Ptolemæus ex certa offenſione & diſſenſione cum civibus ſuis Alexandria relicta Romam navigavit, ut Pompeius & Cæſar ſe cum exercitu reducerent. Cupiens autem convenire Catonem, miſit ad eum, ſperans illum ad ſe venturum. Erat forte tunc Cato in levanda oc-

κοιλίας κάθαρσιν, ἥκειν δὲ τὸν Πτολεμαῖον, εἰ βούλοιτο, κελεύσας πρὸς αὐτόν· ὡς δὲ ἦλθεν, οὔτε ἀπαντήσας, οὔτε ὑπεξαναστάς, ἀλλ᾽ ὡς ἕνα τῶν ἐπιτυχόντων ἀσπασάμενος, καὶ καθίσαι κελεύσας, πρῶτον αὐτὸν τοῦτο διετάραξε, θαυμάζοντα πρὸς τὸ δημοτικὸν καὶ λιτὸν αὐτοῦ τῆς κατασκευῆς, τὴν ὑπεροψίαν καὶ βαρύτητα τοῦ ἤθους. ἐπεὶ δὲ καὶ διαλέγεσθαι περὶ τῶν καθ᾽ αὐτὸν ἀρξάμενος, ἠκροάσατο λόγων νοῦν πολὺν ἐχόντων καὶ παρρησίαν, ἐπιτιμῶντος αὐτῷ τοῦ Κάτωνος, καὶ διδάσκοντος ὅσην εὐδαιμονίαν ἀπολιπὼν ὅσαις ἑαυτὸν ὑποτίθησι λατρείαις καὶ πόνοις, καὶ δωροδοκίαις, καὶ πλεονεξίαις τῶν ἐν Ῥώμῃ δυνατῶν, οὓς μόλις ἐξαργυρωθεῖσαν ἐμπλήσειν Αἴγυπτον· συμβουλεύοντος δὲ πλεῖν ὀπίσω, καὶ διαλλάττεσθαι τοῖς πολίταις, αὐτοῦ δὲ καὶ συμπλεῖν καὶ συνδιαλλάττειν ἑτοίμως ἔχοντος, οἷον ἐκ μανίας τινὸς ἢ παρακοπῆς ὑπὸ τῶν λόγων ἔμφρων καθιστάμενος, κατανοῶν τὴν ἀλήθειαν καὶ τὴν σύνεσιν τοῦ ἀνδρός, ὥρμησε μὲν χρῆσθαι τοῖς ἐκείνου λογισμοῖς· ἀνατραπεὶς δὲ ὑπὸ τῶν φίλων αὖθις, ἅμα τῷ πρῶτον ἐν Ῥώμῃ γενέσθαι, καὶ θύραις ἑνὸς ἄρχοντος προσελθεῖν, ἔστενε τὴν αὐτοῦ κακοβουλίαν, ὡς οὐκ ἀνδρὸς ἀγαθοῦ λόγον, θεοῦ δὲ μαντείας καταφρονήσας.

Ὁ δὲ ἐν Κύπρῳ Πτολεμαῖος εὐτυχίᾳ τινὶ τοῦ Κάτωνος ἑαυτὸν φαρμάκοις ἀπέκτεινε. πολλῶν δὲ χρημάτων ἀπολελεῖφθαι λεγομένων, αὐτὸς μὲν ἔγνω πλεῖν εἰς Βυζαντίους, πρὸς δὲ τὴν Κύπρον ἐξέπεμψε τὸν ἀδελφιδοῦν Βροῦτον, οὐ πάνυ τι πιστεύων τῷ Κανιδίῳ. τοὺς δὲ φυγάδας διαλλάξας, καὶ κατα-

occupatus alvo: qui Ptolemæum juſſit, ſi ei viſum eſſet, ad ſe venire. Poſtquam venit, neque obviam ei proceſſit, neque aſſurrexit, ſed quaſi unum de vulgo ſalutavit & aſſidere juſſit: id primum commovit illum, qui miratus eſt tantum in populari & exiguo ornatu ſupercilium & ſeveritatem. Verum ubi ſermonem de rebus ſuis exorſus cordatam orationem liberamque audivit, quum incuſaret eum Cato, atque ſubjiceret quanta relicta felicitate quantis ſeſe exponeret miniſteriis, laboribus, largitionibus, & avaritiæ principum Romanorum, quos redactam in argentum Ægyptum vix expleturam: conſuleret autem ut cum claſſe reciperet ſe & cum civibus rediret in gratiam, comitem etiam ſe offerret & in reconciliando adjutorem: ille quaſi ex inſania & amentia ab ea oratione ad mentem reductus, veritate perſpecta & Catonis prudentia, inſtituit quidem illius uti conſiliis; cæterum averſus iterum ab amicis, ut primum Romam appulit atque ad fores unius acceſſit in magiſtratu poſiti, deflevit inconſulta ſua cœpta, quod non viri boni verba, ſed Dei faſtidiviſſet oracula.

Porro Cyprius Ptolemæus felicitate quadam Catonis necavit ſemetipſe veneno. Quum autem magna vis pecuniæ relicta diceretur, decrevit ipſe Byzantium proficiſci. In Cyprum ſororis filium Brutum miſit, quod non ſatis fideret Canidio. Reconciliatis exulibus cum cæteris civibus, compoſitoque con-

ταλιπὼν ἐν ὁμονοίᾳ τὸ Βυζάντιον, οὕτως εἰς Κύπρον ἔπλευσεν. οὔσης δὲ πολλῆς καὶ βασιλικῆς ἐν ἐκπώμασι καὶ τραπέζαις καὶ λίθοις καὶ πορφύραις κατασκευῆς, ἣν ἔδει πραθεῖσαν ἐξαργυρισθῆναι, πάντα βουλόμενος ἐξακριβοῦν, καὶ πάντα κατατείνειν εἰς ἄκραν τιμὴν, καὶ πᾶσιν αὐτὸς παρεῖναι, καὶ προσάγειν τὸν ἔσχατον ἐκλογισμὸν, οὐδὲ τοῖς ἔθεσι τῆς ἀγορᾶς ἐπίστευεν, ἀλλὰ ὑπονοῶν ὁμοῦ πάντας ὑπηρέτας, κήρυκας, ὠνητὰς, φίλους, τέλος αὐτὸς ἰδίᾳ τοῖς ὠνουμένοις διαλεγόμενος καὶ προσβιβάζων ἕκαστον, οὕτω τὰ πλεῖστα τῶν ἀγορασμάτων ἐπώλει. διὸ τοῖς τε ἄλλοις φίλοις ὡς ἀπιστῶν προσέκρουσε, καὶ τὸν συνηθέστατον ἁπάντων Μουνάτιον εἰς ὀργὴν ὀλίγου δεῖν ἀνήκεστον γενομένην ἐνέβαλεν· ὥστε καὶ Καίσαρι γράφοντι λόγον κατὰ τοῦ Κάτωνος, πικροτάτην τοῦτο τὸ μέρος τῆς κατηγορίας διατριβὴν παρασχεῖν.

Ὁ μέντοι Μουνάτιος οὐκ ἀπιστίᾳ τοῦ Κάτωνος, ἀλλ' ἐκείνου μὲν ὀλιγωρίᾳ πρὸς αὐτὸν, αὐτοῦ δέ τινι ζηλοτυπίᾳ πρὸς τὸν Κανίδιον, ἱστορεῖ γενέσθαι τὴν ὀργήν. καὶ γὰρ αὐτὸς σύγγραμμα περὶ Κάτωνος ἐξέδωκεν, ᾧ μάλιστα Θρασέας ἐπηκολούθησεν. λέγει δὲ ὕστερος μὲν εἰς Κύπρον ἀφικέσθαι, καὶ λαβεῖν παρημελημένην ξενίαν· ἐλθὼν δὲ ἐπὶ θύρας, ἀπωσθῆναι, σκευωρουμένου τι τοῦ Κάτωνος οἴκοι σὺν τῷ Κανιδίῳ· μεμψάμενος δὲ μετρίως, οὐ μετρίας τυχεῖν ἀποκρίσεως, ὅτι κινδυνεύει τὸ λίαν φιλεῖν, (ὥς φησι Θεόφραστος) αἴτιον τοῦ μισεῖν γίνεσθαι πολλάκις. Ἐπεὶ καὶ σὺ, φάναι, τῷ μάλιστα φι-

concordia Byzantio, tunc demum navigavit in Cyprum. Amplum invenit & regium in poculis, menſis, gemmis, purpura inſtrumentum, quod diſtrahendum & redigendum in argentum erat. Hic curioſe omnia quum perſequi vellet, omniaque ad ſummum intendere pretium, atque ipſe intereſſe omnibus, & adhibere extremum calculum, ne conſuetudini quidem credidit fori: verum ſimul omnes ſuſpectabat apparitores, præcones, ſectores, amicos. Ipſe denique cum licitantibus colloquebatur ſeorſum, & propellebat ſingulos, atque ea ratione pleraque promercalia addixit. Quare cum multos amicos quaſi diffidens eis offendit, tum intimum omnium Munatium ad offenſionem laceſſivit prope implacabilem. Ac ſcribenti orationem in Catonem Cæſari materiam dedit criminandi locus hic amariſſimam.

Munatius tamen non Catonis diffidentia, ſed illius erga ſe negligentia, & æmulatione quadam cum Canidio ſua extitiſſe iſtam ſcribit ſimultatem. Nam edidit ipſe de Catone commentarium, quem potiſſimum eſt Thraſeas ſequutus. Serius ibi oſtendit ſe in Cyprum veniſſe, atque ſordidum atque ab aliis relictum hoſpitium accepiſſe. Ubi autem ad januam Catonis venit, fuiſſe repulſum, quod componeret in abdito aliquid cum Canidio. Quum moderate cum illo expoſtulaſſet, non tuliſſe ſe moderatum reſponſum: Solere nimium amorem, ut ait Theophraſtus, cauſam eſſe frequenter odii: quandoquidem tu quoque, dixiſſe illum, quia me diligis

φιλεῖν, ἧττον οἰόμενος ἢ προσήκει τιμᾶσθαι, χαλεπαίνεις. Κανιδίῳ δὲ καὶ δι' ἐμπειρίαν χρῶμαι καὶ διὰ πίστιν ἑτέρων μᾶλλον, ἐξ ἀρχῆς μὲν ἀφιγμένῳ, καθαρῷ δὲ φαινομένῳ. ταῦτα μέντοι μόνον αὐτῷ μόνῳ διαλεχθέντα τὸν Κάτωνα πρὸς τὸν Κανίδιον ἐξενεγκεῖν. αἰσθόμενος οὖν αὐτὸς, οὔτε ἐπὶ δεῖπνον ἔτι φοιτᾷν, οὔτε σύμβουλος ὑπακούειν καλούμενος. ἀπειλοῦντος δὲ τοῦ Κάτωνος ὥσπερ εἰώθασιν τῶν ἀπειθούντων ἐνέχυρα λήψεσθαι, μηδὲν φροντίσας ἐκπλεῦσαι, καὶ πολὺν χρόνον ἐν ὀργῇ διατελεῖν· εἶτα τῆς Μαρκίας (ἔτι γὰρ συνῴκει τῷ Κάτωνι) διαλεχθείσης, τυχεῖν μὲν ὑπὸ Βάρκα κεκλημένους ἐπὶ δεῖπνον· εἰσελθόντα δὲ ὕστερον τὸν Κάτωνα τῶν ἄλλων κατακειμένων, ἐρωτᾷν ὅπου κατακλιθείη. τοῦ δὲ Βάρκα κελεύσαντος ὅπου βούλεται, περιβλεψάμενον εἰπεῖν, ὅτι παρὰ Μουνάτιον· καὶ περιελθόντα πλησίον αὐτοῦ κατακλιθῆναι, πλέον δὲ μηθὲν φιλοφρονήσασθαι παρὰ τὸ δεῖπνον. ἀλλὰ πάλιν τῆς Μαρκίας δεομένης, τὸν μὲν Κάτωνα γράψαι πρὸς αὐτὸν ὡς ἐντυχεῖν τι βουλόμενον, αὐτὸν δὲ ἥκειν ἕωθεν εἰς τὴν οἰκίαν, καὶ ὑπὸ τῆς Μαρκίας κατασχεθῆναι μέχρι πάντες ἀπηλλάγησαν· οὕτω δὲ εἰσελθόντα τὸν Κάτωνα καὶ περιβαλόντα τὰς χεῖρας ἀμφοτέρας, ἀσπάσασθαι καὶ φιλοφρονεῖσθαι. ταῦτα μὲν οὐχ ἧττον οἰόμενοι τῶν ὑπαίθρων καὶ μεγάλων πράξεων πρὸς ἔνδειξιν ἤθους καὶ κατανόησιν ἔχειν τινὰ σαφήνειαν, ἐπὶ πλέον διήλθομεν.

Τῷ δὲ Κάτωνι συνήχθη μὲν ἀργυρίου τάλαντα μικρὸν ἑπτακισχιλίων ἀποδέοντα· δεδιὼς δὲ τοῦ πλοῦ τὸ μῆκος, ἀγγεῖα πολλὰ κατασκευάσας, ὧν ἑκα-

gis plurimum, quum minus quam deceat exiſtimes te haberi in honore, ſtomacharis. Canidio vero & propter rerum uſum utor, & propter fidem magis quam cæteris, qui initio adfuit, & præbuit ſe, ut animadverti, abſtinentem. Hæc verba tamen, quæ remotis arbitris fecerat ſecum, apud Canidium Catonem effutiiſſe. Quod ipſe ubi reſcivit, nec ad cœnam ejus ſe deinceps iviſſe, nec ad concilium vocatum paruiſſe. Denuntiante Catone ut ſolenne habebant a non obtemperantibus, pignora ſe ab ipſo capturum, id floccipendentem abnavigaſſe, diuque perſtitiſſe in ſimultate. Inde Martia, quæ adhuc in matrimonio erat Catonis, cum ipſo colloquuta, fuiſſe ad cœnam a Barca invitatum. Quum tardius Cato veniſſet, accubantibus cæteris, ubi cubaret, rogaſſe. Jubente Barca ubi vellet, circumlatis oculis dixiſſe, apud Munatium velle. Ita circumiſſe atque juxta ipſum recubuiſſe, nihil ultra tamen ſuper cœna egiſſe illum ſecum amice. Verum inſtante jam denuo Martia, Catonem ſibi ſcripſiſſe cupere ipſum conventum: veniſſe ſe mane ad eum domum, ac detentum a Martia fuiſſe quoad digreſſi eſſent omnes: tum ingreſſum Catonem complexumque ambabus manibus, ſalutaſſe ſe & accepiſſe humaniter. Hæc nos, quod ea non minus quam in publico patratas & magnas actiones ad declarandos & ſubjiciendos mores habere lumen arbitremur, proſequuti ſumus prolixius.

Porro Cato paulo minus ſeptem millia argenti talentorum coegit. Veritus autem longam navigationem, multa vaſa paravit, quorum capiebant

ἕκαστον ἐχώρει δύο τάλαντα καὶ δραχμὰς πεντακοσίας, καλώδιον ἑκάστῳ μακρὸν προσήρτησεν, οὗ τῇ ἀρχῇ προσείχετο φελλὸς εὐμεγέθης, ὅπως, εἰ ῥαγείη τὸ πλοῖον, ἔχων διὰ βυθοῦ τὸ ἄρτημα σημαίνοι τὸν τόπον. τὰ μὲν οὖν χρήματα, πλὴν ὀλίγων τινῶν, ἀσφαλῶς διεκομίσθη· λόγους δὲ πάντων ὧν διῴκησε γεγραμμένους ἐπιμελῶς ἔχων ἐν δυσὶ βιβλίοις, οὐδέτερον ἔσωσεν, ἀλλὰ τὸ μὲν ἀπελεύθερος αὐτοῦ κομίζων, ὄνομα Φιλάργυρος, ἐκ Κεγχρεῶν ἀναχθεὶς, ἀνετράπη καὶ συναπώλεσε τοῖς φορτίοις· τὸ δὲ αὐτὸς ἄχρι Κερκύρας φυλάξας, ἐν ἀγορᾷ κατεσκήνωσεν· τῶν δὲ ναυτῶν διὰ τὸ ῥιγοῦν πυρὰ πολλὰ καιόντων τῆς νυκτὸς, ἥφθησαν αἱ σκηναὶ, καὶ τὸ βιβλίον ἠφανίσθη. τοὺς μὲν οὖν ἐχθροὺς καὶ συκοφάντας ἐπιστομεῖν ἤμελλον οἱ βασιλικοὶ διοικηταὶ παρόντες· ἄλλως τε τῷ Κάτωνι τὸ πρᾶγμα δηγμὸν ἤνεγκεν. οὐ γὰρ εἰς πίστιν ὑπὲρ αὐτοῦ τοὺς λόγους, ἀλλὰ παράδειγμα τοῖς ἄλλοις ἀκριβείας ἐξενεγκεῖν φιλοτιμούμενος ἐνεμεσήθη.

Περαιωθεὶς δὲ ταῖς ναυσὶν οὐκ ἔλαθε τοὺς Ῥωμαίους, ἀλλὰ πάντες μὲν ἄρχοντες καὶ ἱερεῖς, πᾶσα δὲ ἡ βουλὴ, πολὺ δὲ τοῦ δήμου μέρος ἀπήντων πρὸς τὸν ποταμόν· ὥστε τὰς ὄχθας ἀμφοτέρας ἀποκεκρύφθαι, καὶ θριάμβου μηδὲν ὄψει καὶ φιλοτιμίᾳ λείπεσθαι τὸν ἀνάπλουν αὐτοῦ. καίτοι σκαιὸν τοῦτο ἐφαίνετο καὶ αὔθαδες, ὅτι τῶν ὑπάτων καὶ τῶν στρατηγῶν παρόντων, οὔτε ἀπέβη πρὸς αὐτοὺς, οὔτε ἐπέσχε τὸν πλοῦν, ἀλλὰ ῥοθίῳ τὴν ὄχθην παρεξελαύνων ἐπὶ νεὼς ἑξήρους βασιλικῆς, οὐκ ἀνῆκε πρότερον ἢ καθορμίσαι τὸν στόλον εἰς τὸ νεώριον. οὐ μὴν ἀλλὰ τῶν χρημάτων παρακομιζομένων δι᾽ ἀγορᾶς,

piebant ſingula bina talenta & drachmas quingenas. Singulis longum alligavit funiculum, cujus capiti corticem ſuberis prægrandem annexuit, quo ſi afflictum eſſet navigium, alligatus ab imo locum commonſtraret. Atque argentum quidem omne pauco excepto proſpere tranſvectum eſt: at rationes omnium quæ procuraverat, habebat in duobus codicibus deſcriptas diligenter; neutrum ſervavit tamen, ſed alterum libertus ejus, Philargyrus nomine, ferens, quum ex Cenchreis ſolviſſet, demerſo navigio una cum ſarcinis amiſit. Alterum ipſe Corcyram uſque ſervaverat, verum quum in foro tetendiſſet, nautæ autem crebras pyras ob gelu nocte incendiſſent, inflammatis tentoriis ſimul codex eſt deſideratus. Quamvis vero inimicos quidem & calumniatores redditurí erant procuratores præſentes regii elingues, pupugit res tamen Catonem. Neque enim ad ſuam probandam fidem confecerat rationes, ſed ſedulitatis præbere aliis exemplum geſtienti fortuna invidit.

Ut trajeciſſe eum navibus nuntiatum Romam eſt, illico omnibus magiſtratibus & ſacerdotibus, univerſo ſenatu & frequenti populo obviam ei ad flumen prodeuntibus, completæ utrinque ripæ fuere, nihilque a triumphi ſpecie & ſplendore diſceſſit ejus ſubvectio. Tametſi quibuſdam abſurdum hoc & inſolens viſum, quod ad conſules & prætores effuſos obviam non deſcenderit, neque curſum inhibuerit, ſed incitata hexeri regia ripam prævectus non ante remiſerit curſum, quam claſſe ſit navale invectus. Attamen tranſlatæ per forum pecuniæ cepit

ρᾶς, ὅ,τε δῆμος ἐθαύμαζε τὸ πλῆθος, ἥ τε βουλὴ συναχθεῖσα μετὰ τῶν πρεπόντων ἐπαίνων ἐψηφίσατο τῷ Κάτωνι στρατηγίαν ἐξαίρετον δοθῆναι, καὶ τὰς θέας αὐτὸν ἐν ἐσθῆτι περιπορφύρῳ θεάσασθαι. ταῦτα μὲν οὖν ὁ Κάτων παρῃτήσατο· Νικίαν δὲ, τὸν οἰκονόμον τῶν βασιλικῶν, ἐλεύθερον ἔπεισε τὴν βουλὴν ἀφεῖναι, μαρτυρήσας ἐπιμέλειαν καὶ πίστιν. ὑπάτευε δὲ Φίλιππος ὁ πατὴρ τῆς Μαρκίας, καὶ τρόπον τινὰ τὸ ἀξίωμα τῆς ἀρχῆς καὶ ἡ δύναμις εἰς Κάτωνα περιῆλθεν, οὐκ ἐλάττονα τοῦ συνάρχοντος δι᾽ ἀρετὴν, ἢ δι᾽ οἰκειότητα τοῦ Φιλίππου τῷ Κάτωνι τιμὴν προστιθέντος.

Ἐπεὶ δὲ Κικέρων ἐκ τῆς φυγῆς ἣν ἔφυγεν ὑπὸ Κλωδίου κατελθὼν, καὶ δυνάμενος μέγα, τὰς δημαρχικὰς δέλτους, ἃς ὁ Κλώδιος ἔθηκεν ἀναγράψας εἰς τὸ Καπιτώλιον, ἀπέσπασε βίᾳ καὶ καθεῖλε, τοῦ Κλωδίου μὴ παρόντος· ἐπὶ τούτοις δὲ βουλῆς ἀθροισθείσης, καὶ τοῦ Κλωδίου κατηγοροῦντος, ἔλεγε, παρανόμως τῷ Κλωδίῳ τῆς δημαρχίας γενομένης, ἀτελῆ καὶ ἄκυρα δεῖν εἶναι τὰ τότε πραχθέντα καὶ γραφέντα, προσέκρουσεν ὁ Κάτων αὐτῷ λέγοντι, καὶ τέλος ἀναστὰς ἔφη, τῆς μὲν Κλωδίου πολιτείας μηδὲν ὑγιὲς μηδὲ χρηστὸν ὅλως νομίζειν· εἰ δὲ ἀναιρεῖ τις ὅσα δημαρχῶν ἔπραξεν, ἀναιρεῖσθαι πᾶσαν αὐτοῦ τὴν περὶ Κύπρον πραγματείαν, καὶ μὴ γεγονέναι τὴν ἀποστολὴν νόμιμον, ἄρχοντος παρανόμου ψηφισαμένου. παρανόμως μὲν οὖν δήμαρχον αἱρεθῆναι τὸν Κλώδιον, ἐκ πατρικίων μεταστάντα, νόμου διδόντος, εἰς δημοτικὸν οἶκον. εἰ δὲ μοχθηρὸς, ὥσπερ ἄλλοι, γέγονεν ἄρχων, αὐτὸν εὐθύνειν τὸν ἀδικήσαντα, μὴ λύειν τὴν συναδικηθεῖσαν ἀρχὴν εἶναι προσῆκον. ἐκ

τούτου

cepit populum admiratio, & ſenatus coactus Catonem meritis tulit laudibus, eique præturam extra ordinem decrevit, & jus ſpectandi in prætexta ludos. Cæterum hæc Cato repudiavit. Nicias autem regius procurator, cui teſtimonium præbuit diligentiæ & fidei, petivit ab ſenatu ut manu mitteretur. Conſul id temporis Philippus erat Martiæ pater, reciditque autoritas & vis magiſtratus quodam modo ad Catonem, quod non minorem Philippi collega Catoni ob virtutem, quam ob affinitatem Philippus honorem haberet.

Poſtquam Cicero ab exilio, quod ei irrogatum fuerat a Clodio, rediit, multumque pollens tabulas tribunitias, quas publice Clodius in Capitolio fixerat, vi abſente revulſit & detraxit Clodio: hac de re ſenatu convocato quum accuſaret Clodius Ciceronem, ille vero defenderet, quia contra leges eſſet tribunus factus Clodius, caſſa illius temporis acta & ſcripta irritaque eſſe debere, dicenti obſtrepuit Cato, ac poſtremo exſurgens oſtendit nihil prorſus in tribunatu ſe Clodium putare ſani vel boni egiſſe. Sed ſi quis omnia ejus tribunatus acta reſcindat, reſcindi ſuam quoque in Cypro procurationem, neque miſſum ſe fuiſſe ex illegitimi rogatione tribuni legitime. Non illegitime autem creatum tribunum Clodium, qui legis permiſſu ex patriciis in familiam plebeiam tranſiverat. Quod ſi tribunatum geſſiſſet ſicut alii improbe, ipſum qui peccavit poſtulandum, non qui pariter eſſet violatus, retexendum magiſtratum.

τούτου δι' ὀργῆς ὁ Κικέρων ἔσχε τὸν Κάτωνα, καὶ φίλῳ χρώμενος ἐπαύσατο χρόνον πολύν, εἶτα μέντοι διηλλάγησαν.

Ἐκ τούτου Πομπήιος καὶ Κράσσος ὑπερβάλλοντι τὰς Ἄλπεις Καίσαρι συγγενόμενοι, γνώμην ἐποιήσαντο κοινῇ δευτέραν ὑπατείαν μετιέναι· καὶ καταστάντες εἰς αὐτήν, Καίσαρι μὲν τῆς ἀρχῆς ἄλλον τοσοῦτον ἐπιψηφίζεσθαι χρόνον, αὐτοῖς δὲ τῶν ἐπαρχιῶν τὰς μεγίστας, καὶ χρήματα καὶ στρατιωτικὰς δυνάμεις. ὅπερ ἦν ἐπὶ νεμήσει τῆς ἡγεμονίας καὶ καταλύσει τῆς πολιτείας συνωμοσία. πολλῶν δὲ καὶ ἀγαθῶν ἀνδρῶν μετιέναι τὴν ἀρχὴν τότε παρασκευαζομένων, τοὺς μὲν ἄλλους ὀφθέντας ἐν ταῖς παραγγελίαις ἀπέτρεψαν, μόνον δὲ Λεύκιον Δομίτιον, Πορκίᾳ συνοικοῦντα τῇ ἀδελφῇ, Κάτων ἔπεισε μὴ ἐκστῆναι, μηδὲ ὑφίεσθαι τοῦ ἀγῶνος, οὐ περὶ ἀρχῆς ὄντος, ἀλλὰ περὶ τῆς Ῥωμαίων ἐλευθερίας. καὶ μέντοι καὶ λόγος ἐχώρει διὰ τοῦ σωφρονοῦντος ἔτι τῆς πόλεως μέρους, ὡς οὐ περιοπτέον, εἰς ταὐτὸ τῆς Κράσσου καὶ Πομπηίου δυνάμεως συνελθούσης, παντάπασιν ὑπέρογκον καὶ βαρεῖαν τὴν ἀρχὴν γινομένην, ἀλλ' ἀφαιρετέον αὐτῆς τὸν ἕτερον. καὶ συνίσταντο πρὸς τὸν Δομίτιον, παρορμῶντες καὶ παραθαρρύνοντες ἀντιλαμβάνεσθαι· πολλοὺς γὰρ αὐτῷ καὶ τῶν σιωπώντων διὰ δέος ἐν ταῖς ψήφοις ὑπάρξειν. τοῦτο δὴ δείσαντες οἱ περὶ Πομπήιον, ὑφεῖσαν ἐνέδραν τῷ Δομιτίῳ καταβαίνοντι ὄρθρον ὑπὸ λαμπάδων εἰς τὸ πεδίον. καὶ πρῶτος μὲν ὁ προφαίνων ἐπιστὰς τῷ Δομιτίῳ, πληγεὶς καὶ πεσὼν ἀπέθανεν· μετὰ δὲ τοῦτον ἤδη καὶ τῶν ἄλλων συντιτρωσκομένων, ἐγίνετο φυγή, πλὴν Κάτωνος καὶ Δομιτίου. κατεῖχεν γὰρ αὐτὸν ὁ Κάτων, καίπερ αὐτὸς εἰς τὸν

ſtratum. Hinc ſimultas inter Ciceronem & Catonem extitit, diuque mutuus eſt intermiſſus uſus; poſt tamen redierunt in gratiam.

Inde Pompeius & Craſſus Cæſarem, qui ex Gallia tranſalpina venerat, convenerunt, habitoque concilio ſecundum conſulatum una ſtatuerunt petere: quem adepti provinciam Cæſari in quinquennium alterum prorogare, ſibi maximas provincias, ſtipendia, & exercitus decernere. Ea ad partiendum imperium & opprimendam rempub. erat conjuratio. Quum vero multi & præſtantes virtute viri petere pararent conſulatum, alios horum in comitiis conſpectus deterruit: unum L. Domitium, ſororis maritum, impulit Cato ne cederet, nec certamen deponeret, quod non de conſulatu, ſed de populi Romani eſſet libertate. Ferebatur etiam per ſanam adhuc civitatis partem ſermo, non eſſe permittendum ut coeunte Craſſi & Pompeii potentia pluſquam modicus & enormis evaderet conſulatus, ſed detrahendum ei alterum; conſpiraveruntque cum Domitio, incitantes eum & cohortantes ut ſe offerret: multa enim eum illorum quoque qui ob metum obmuteſcerent, laturum ſuffragia. Hoc timens Pompeius, Domitio in campum ante lucem ad faces deſcendenti locavit inſidias, ac primus, qui prælucebat proxime Domitium, ictus cecidit. Poſt eum quum alii præterea ſauciarentur, fit fuga omnium præter Catonem & Domitium. Nam Cato quamvis in brachio vulneratus, retinuit eum,

τὸν βραχίονα τετρωμένος, καὶ παρεκελεύετο μένειν, καὶ μὴ προλιπεῖν ἕως ἐμπνέωσι τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα πρὸς τοὺς τυράννους· οἵ τίνα τρόπον χρήσονται τῇ ἀρχῇ δηλοῦσι, διὰ τηλικούτων ἀδικημάτων ἐπ' αὐτὴν βαδίζοντες.

Οὐχ ὑποστάντος δὲ τοῦ Δομιτίου τὸ δεινὸν, ἀλλ' εἰς τὴν οἰκίαν καταφυγόντος, ᾑρέθησαν μὲν ὕπατοι, Πομπήϊος καὶ Κράσσος· οὐκ ἀπέκαμε δὲ ὁ Κάτων, ἀλλ' αὐτὸς προελθὼν στρατηγίαν μετῄει, βουλόμενος ὁρμητήριον ἔχειν τῶν πρὸς ἐκείνους ἀγώνων, καὶ πρὸς ἄρχοντας ἀντικαθίστασθαι μὴ ἰδιώτης. οἱ δὲ καὶ τοῦτο δείσαντες, ὡς τῆς στρατηγίας ἀξιομάχου διὰ Κάτωνα πρὸς τὴν ὑπατείαν γενησομένης, πρῶτον μὲν ἐξαίφνης καὶ τῶν πολλῶν ἀγνοούντων βουλὴν συναγαγόντες, ἐψηφίσαντο τοὺς αἱρεθέντας στρατηγοὺς εὐθὺς ἄρχειν, καὶ μὴ διαλιπόντας τὸν νόμιμον χρόνον, ἐν ᾧ καὶ τοῖς δεκάσασι τὸν δῆμον ἦσαν. ἔπειτα διὰ τοῦ ψηφίσματος τὸ διδόναι δίκας ἀνυπεύθυνον κατασκευάσαντες, ὑπηρέτας αὐτῶν καὶ φίλους ἐπὶ τὴν στρατηγίαν προσῆγον, αὐτοὶ μὲν διδόντες ἀργύριον, αὐτοὶ δὲ ταῖς ψήφοις φερομέναις ἐφεστῶτες. ὡς δὲ καὶ τούτων ἡ Κάτωνος ἀρετὴ καὶ δόξα περιῆν, ὑπ' αἰδοῦς τῶν πολλῶν ἐν δεινῷ πολλῷ τιθεμένων ἀποδόσθαι Κάτωνα ταῖς ψήφοις, ὃν καλῶς εἶχε πρίασθαι τῇ πόλει στρατηγὸν, ἥ τε πρώτη κληθεῖσα τῶν φυλῶν ἐκεῖνον ἀπέδειξεν, ἐξαίφνης ὁ Πομπήϊος βροντῆς ἀκηκοέναι ψευσάμενος, αἴσχιστα ἔλυσε τὴν ἐκκλησίαν, εἰθισμένων ἀφοσιοῦσθαι τὰ τοιαῦτα, καὶ μηδὲν ἐπικυροῦν διοσημείας γενομένης. αὖθις δὲ πολλῷ χρησάμενοι τῷ δεκασμῷ, τοὺς βελτίστους ὤσαν-

eum, acuitque ut maneret, neque propugnationem deſereret, quoad ſpiraret, pro libertate adverſus tyrannos: qui quemadmodum geſturi magiſtratum eſſent, per tanta ſcelera irruentes in eum declararent.

Verum quia non ſuſtinens periculum domum refugit Domitius, Pompeius & Craſſus conſules deſignati ſunt. Nec deſtitit tamen Cato, ſed præturam inſtitit petere, quo hanc quaſi arcem haberet ex qua cum illis contenderet, nec cum conſulibus depugnaret privatus. Illi id ipſum metuentes, æquaturam ex Catonis perſona conſulatum præturam, primum advocaverunt repente ſenatum. Ubi per infrequentiam decretum fuit ut deſignati prætores extemplo magiſtratum inirent, præciſo legitimo tempore quo illos qui populum corrupiſſent largitionibus, poſtulare licebat: deinde quum plebiſcito effeciſſent ut ſoluti eſſent a cauſa dicenda, clientes & amicos ſuos ad præturam provexerunt, ipſi pecuniam præbuerunt, ipſi ſuffragiis præfuerunt. Quibus etiam quum eſſet Catonis virtus & autoritas ſuperior, plebe præ verecundia rem indignam cenſente ut venderet ſuffragiis Catonem, quæ emere reipub. eum prætorem deberet, ac prærogativa tribus illum diceret prætorem, Pompeius ſubito tonitru audiviſſe ſe ementitus, fœdiſſime comitia dimiſit. Abominari enim id ſolent, nec quicquam Jove tonante ratum habere. Grandi autem iterum pronuntiata pecunia, atque optimis quibuſque

ὥσαντες ἐκ τοῦ πεδίου, βίᾳ διεπράξαντο Βατίνιον ἀντὶ Κάτωνος αἱρεθῆναι στρατηγόν. ἔνθα δὴ λέγεται τοὺς μὲν οὕτω παρανόμως καὶ ἀδίκως θεμένους τὴν ψῆφον, εὐθὺς ὥσπερ ἀποδράντας οἴχεσθαι· τοῖς δὲ ἄλλοις συνισταμένοις καὶ ἀγανακτοῦσι δημάρχου τινὸς αὐτόθι παρασχόντος ἐκκλησίαν, καὶ καταστάντα τὸν Κάτωνα, ἅπαντα μὲν ὥσπερ ἐκ Θεῶν ἐπίπνουν τὰ μέλλοντα τῇ πόλει προειπεῖν, παρορμῆσαι δὲ τοὺς πολίτας ἐπὶ Πομπήϊον καὶ Κράσσον, ὡς τοιαῦτα συνειδότας αὑτοῖς, καὶ τοιαύτης ἁπτομένους πολιτείας, δι' ἣν ἔδεισαν Κάτωνα μὴ στρατηγὸς αὐτῶν περιγένηται. τέλος δὲ, ἀπιόντα εἰς τὴν οἰκίαν προὔπεμψε πλῆθος τοσοῦτον, ὅσον οὐδὲ σύμπαντας ἅμα τοὺς ἀποδεδειγμένους στρατηγούς.

Γαΐου δὲ Τρεβωνίου γράψαντος νόμον ὑπὲρ νομῆς ἐπαρχιῶν τοῖς ὑπάτοις, ὥστε τὸν μὲν Ἰβηρίαν ἔχοντα καὶ Λιβύην ὑπ' αὐτῷ, τὸν δὲ Συρίαν καὶ Αἴγυπτον, οἷς βούλοιντο πολεμεῖν καὶ καταστρέφεσθαι, ναυτικαῖς καὶ πεζικαῖς δυνάμεσιν ἐπιόντας, οἱ μὲν ἄλλοι τὴν ἀντίπραξιν καὶ κώλυσιν ἀπεγνωκότες, ἐξέλιπον καὶ τὸ ἀντειπεῖν· Κάτωνι δὲ ἀναβάντι πρὸ τῆς ψηφοφορίας ἐπὶ τὸ βῆμα, καὶ βουλομένῳ λέγειν, μόλις ὡρῶν δυεῖν λόγον ἔδωκαν. ὡς δὲ πολλὰ λέγων καὶ διδάσκων καὶ προθεσπίζων κατανάλωσε τὸν χρόνον, οὐκ ἔτι λέγειν αὐτὸν εἴων, ἀλλ' ἐπιμένοντα κατέσπασεν ὑπηρέτης προσελθών. ὡς δὲ καὶ κάτωθεν ἱστάμενος ἐβόα, καὶ τοὺς ἀκούοντας καὶ συναγανακτοῦντας εἶχεν, πάλιν ὁ ὑπηρέτης ἐπιλαβόμενος καὶ ἀγαγὼν αὐτὸν, ἔξω τῆς ἀγορᾶς κατέστησε. καὶ οὐκ ἔφθη πρῶτον ἀφεθεὶς, καὶ πάλιν ἀναστρέψας ἵετο πρὸς τὸ βῆμα, μετὰ

κραυ-

buſque comitio expulſis, per vim obtinuerunt ut renuntiaretur Vatinius pro Catone prætor. Ibi perhibent illos qui tam prave & inique ſuffragia tulerant, confeſtim ſicut fugientes abiiſſe. Cæteris vero coeuntibus & indignantibus, concionis habendæ poteſtatem quum Catoni ſtatim unus ex tribunis faceret, progreſſum eum imminentia reipub. quaſi numine afflatum omnia prædixiſſe, concitaſſeque populum in Pompeium & Craſſum, qui eſſent talium rerum ſibi conſcii, atque ita rempub. intenderent gerere, ut timerent Catonem ne prætor eos premeret. Poſtremo domum regredientem adeo frequens populus eſt proſequutus, ut nec cunctos ſimul deſignatos prætores.

Quum jam C. Trebonius rogationem de provinciis conſularibus promulgaſſet, ut unus Hiſpaniam & Africam, alter Syriam & Ægyptum obtinerent, ac quibus videretur terra marique bellum facerent & domarent, cæteri intercedere & impedire deſperantes ſe poſſe, omiſerunt & contradicere. Catoni vero antequam populus in ſuffragia mitteretur roſtra conſcendenti, atque concionem habere volenti, vix duarum horarum permiſerunt ſpatium. Quem, quum multa commemorando, ſubjiciendo & præcinendo tempus conſumeret, interpellarunt dicentem, perſiſtentemque accedens lictor detraxit ex roſtris. Quum etiam ex inferiore loco vociferaret, eſſentque qui eum audirent, & fremerent, corripuit iterum eum lictor, ac foro emovit. At ille ſtatim, ut dimiſſus eſt, repetiit forum,

ſub-

κραυγῆς ἐγκελευόμενος τοῖς πολίταις ἀμύνειν. πολλάκις δὲ τοῦτο γινομένου, περιπαθῶν ὁ Τρεβώνιος ἐκέλευσεν αὐτὸν εἰς τὸ δεσμωτήριον ἄγεσθαι· καὶ πλῆθος ἐπηκολούθει λέγοντος ἅμα σὺν τῷ βαδίζειν ἀκροώμενον· ὥστε δείσαντα τὸν Τρεβώνιον ἀφεῖναι. κἀκείνην μὲν οὕτω τὴν ἡμέραν ὁ Κάτων κατηνάλωσε· ταῖς δ' ἐφεξῆς, οὓς μὲν δεδιξάμενοι τῶν πολιτῶν, οὓς δὲ συσκευασάμενοι χάρισι καὶ δωροδοκίαις, ἕνα δὲ τῶν δημάρχων Ἀκύλλιον ὅπλοις εἴρξαντες ἐκ τοῦ βουλευτηρίου προσελθεῖν, αὐτὸν δὲ τὸν Κάτωνα βροντὴν γεγονέναι βοῶντα τῆς ἀγορᾶς ἐκβαλόντες, οὐκ ὀλίγους δὲ τρώσαντες, ἐνίων δὲ καὶ πεσόντων, βίᾳ τὸν νόμον ἐκύρωσαν· ὥστε πολλοὺς συστραφέντας ὀργῇ τοὺς Πομπηΐου βάλλειν ἀνδριάντας. ἀλλὰ τοῦτο μὲν ἐπελθὼν ὁ Κάτων διεκώλυσε· τῷ δὲ Καίσαρι πάλιν νόμου γραφομένου περὶ τῶν ἐπαρχιῶν καὶ τῶν στρατοπέδων, οὐκ ἔτι πρὸς τὸν δῆμον ὁ Κάτων, ἀλλὰ πρὸς αὐτὸν τραπόμενος Πομπήϊον, ἐμαρτύρατο καὶ προὔλεγεν, ὡς ἐπὶ τὸν αὑτοῦ τράχηλον ἀναλαμβάνων Καίσαρα νῦν μὲν οὐκ οἶδεν, ὅταν δὲ ἄρχηται βαρύνεσθαι καὶ κρατεῖσθαι, μήτε ἀποθέσθαι δυνάμενος, μήτε φέρειν ὑπομένων, εἰς τὴν πόλιν ἐμπεσεῖται σὺν αὐτῷ· καὶ μεμνήσεται τότε τῶν Κάτωνος παραινέσεων, ὡς οὐδὲν ἧττον ἐν αὐταῖς τὸ Πομπηΐου συμφέρον ἐνῆν, ἢ τὸ καλὸν καὶ δίκαιον. ταῦτα πολλάκις ἀκούων ὁ Πομπήϊος ἠμέλει καὶ παρέπεμπεν ἀπιστίᾳ τῆς Καίσαρος μεταβολῆς, διὰ πίστιν εὐτυχίας τῆς αὑτοῦ καὶ δυνάμεως.

Εἰς δὲ τὸ ἑξῆς ἔτος αἱρεθεὶς ὁ Κάτων στρατηγὸς, οὐδὲν ἔδοξε προστιθέναι τῇ ἀρχῇ τοσοῦτον εἰς σεμνότητα καὶ μέγεθος ἄρχων καλῶς, ὅσον ἀφαιρεῖν

καὶ

ſublato clamore incitans populum ut ſuccurreret. Quod quum faceret ſæpius, æſtuans Trebonius duci eum juſſit in carcerem. Sequuta eum plebs eſt, audiens inter eundum diſſerentem. Ita Trebonius metu eum miſſum fecit. Atque eum diem Cato hoc modo exemit. Inſequentibus, populo partim conſternato, partim præmiis & largitione redempto, uno etiam tribuno plebis Aquilio armis prohibito ex curia prodire, ipſo vero Catone, qui Jovem clamabat tonaſſe, a foro ſummoto, multiſque vulneratis & nonnullis interfectis, legem vi pertulere. Unde multi globo facto infeſti Pompeii ſtatuas dejicere cœperunt. Cæterum id ſuperveniens interpellavit Cato. Quum mox alia lex de Cæſaris provinciis & legionibus promulgaretur, non jam ad populum Cato, ſed ad ipſum converſus Pompeium teſtato denuntiavit non intelligere ipſum nunc recipere in humeros ſuos Cæſarem: ubi vero gravari cœpiſſet & opprimi, nec deponere poſſet, nec ſuſtineret ferre, facturum ipſum ut ſecum onus conjiceret in rempub. ac tunc Catonis admonitionum memorem fore, non minus Pompeio ſalutarium quam honeſtarum atque juſtarum. Ea Pompeius quum crebro audiret, felicitate ſua & potentia fretus contempſit & tranſmiſit, non credens futurum ut ſe immutaret Cæſar.

In proximum annum Cato prætor factus eſt: neque tantum habitus eſt magiſtratui majeſtatis & faſtigii recte adminiſtrando adjeciſſe,

καὶ καταισχύνειν ἀνυπόδητος καὶ ἀχίτων πολλάκις ἐπὶ τὸ βῆμα προσερχόμενος, καὶ θανατικὰς δίκας ἐπιφανῶν ἀνδρῶν οὕτω βραβεύων. ἔνιοι δέ φασι καὶ μετ' ἄριστον οἶνον πεπωκότα χρηματίζειν. ἀλλὰ τοῦτο μὲν οὐκ ἀληθῶς λέγεται. διαφθειρομένου δὲ τοῦ δήμου ταῖς δωροδοκίαις ὑπὸ τῶν φιλαρχούντων, καὶ χρωμένων τῷ δεκάζεσθαι καθάπερ ἐργασίᾳ συνήθει τῶν πολλῶν, βουλόμενος ἐκκόψαι παντάπασι τὸ νόσημα τοῦτο τῆς πόλεως, ἔπεισε δόγμα θέσθαι τὴν σύγκλητον, ὅπως οἱ κατασταθέντες ἄρχοντες, εἰ μηδένα κατήγορον ἔχοιεν, αὐτοὶ παριόντες ἐξ ἀνάγκης εἰς ἔνορκον δικαστήριον εὐθύνας διδῶσιν. ἐπὶ τούτῳ χαλεπῶς μὲν ἔσχον οἱ μετιόντες ἀρχάς, ἔτι δὲ χαλεπώτερον ὁ μισθαρνῶν ὄχλος. ἕωθεν οὖν ἐπὶ τὸ βῆμα τοῦ Κάτωνος προελθόντος, ἀθρόοι προσπεσόντες ἐβόων, ἐβλασφήμουν, ἔβαλλον· ὥστε φεύγειν ἀπὸ τοῦ βήματος ἅπαντας, αὐτὸν δὲ ἐκεῖνον ἐξωσθέντα τῷ πλήθει καὶ παραφερόμενον μόλις ἐπιλαβέσθαι τῶν ἐμβόλων. ἐνταῦθα ἀναστάς, τῷ μὲν ἰταμῷ καὶ θαρροῦντι τῆς ὄψεως εὐθὺς ἐκράτησε τοῦ θορύβου, καὶ τὴν κραυγὴν ἔπαυσεν· εἰπὼν δὲ τὰ πρέποντα, καὶ μεθ' ἡσυχίας ἀκουσθείς, παντάπασι διέλυσε τὴν ταραχήν. ἐπαινούσης δὲ τῆς βουλῆς αὐτόν, ἐγὼ δέ, εἶπεν, ὑμᾶς οὐκ ἐπαινῶ, κινδυνεύοντα στρατηγὸν ἐγκαταλιπόντας, καὶ μὴ προσαμύνοντας. τῶν δὲ μετιόντων ἀρχὴν ἕκαστος ἀπόρῳ πάθει συνείχετο, φοβούμενος μὲν αὐτὸς δεκάζειν, φοβούμενος δὲ ἑτέρου τοῦτο πράξαντος ἐκπεσεῖν τῆς ἀρχῆς. ἔδοξεν οὖν αὐτοῖς, εἰς ταὐτὸ συνελθοῦσι, παραβαλέσθαι δραχμὰς ἕκαστον ἀργυρίου δέκα δύο ἥμισυ μυριάδας, εἶτα μετιέναι τὴν ἀρχὴν πάντας ὀρθῶς καὶ δικαίως· τὸν δὲ παραβάντα

quantum detraxiſſe & deformaſſe, quod frequenter ſine calceis & tunica ad tribunal accederet, & de capite illuſtrium virorum diſpenſaret eo habitu judicia. Nonnulli autumant etiam a prandio, poſtquam potaſſet, jus eum dicere ſolitum: verum id falſum eſt. Adulterato candidatorum largitionibus populo, plebeque nundinationem ſicut opificium exercente, cupiens hunc morbum radicitus e repub. exſcindere, ſuaſit in ſenatu ut lex ferretur qua deſignati magiſtratus, ſi nullum haberent accuſatorem, ipſi cogerentur judicio jurato ſe offerre, atque ibi rationem reddere parati magiſtratus. Id candidatos offendit, magiſque mercenariam multitudinem. Itaque quum mane Cato progrederetur ad tribunal, magna manus incurrens obſtrepuit ei, convitia ingeſſit, lapidibus inceſſit; ut a tribunali diffugerent omnes, ipſe Cato a multitudine impulſus jactatuſque ægre evaſerit in roſtra. Ibi reſtitans vultus fidentia & conſtantia illico compeſcuit turbam, & clamorem ſedavit. Quum vero diſſeruiſſet quæ ad rem pertinebant, & eſſet magno ſilentio auditus, tumultum ſemel compreſſit. Ibi laudante eum ſenatu, Ego vos, inquit, non laudo, qui prætorem deſeruiſtis in diſcrimine, neque ei ſuccurriſtis. At candidati omnes malo fluctuabant ancipiti, quod quiſque hinc timeret largiri nummos, hinc vereretur ne, ſi id feciſſet alius, decideret a magiſtratu. Viſum igitur iis eſt ut ex compromiſſo deponerent ſinguli quingena ſeſtertia, deinde magiſtratum omnes peterent legitime: qui ſecus feciſſet

βάντα καὶ χρησάμενον δεκασμῷ στέρεσθαι τοῦ ἀργυρίου. ταῦτα ὁμολογήσαντες, αἱροῦνται φύλακα καὶ βραβευτὴν καὶ μάρτυρα τὸν Κάτωνα, καὶ χρήματα φέροντες ἐκείνῳ προσετίθεντο· καὶ τὰς συνθήκας ἐγράψαντο πρὸς ἐκεῖνον ἀντὶ τῶν χρημάτων ἐγγυητὰς λαβόντα, τὰ δὲ χρήματα μὴ δεξάμενον. ὡς δὲ ἧκεν ἡ κυρία τῆς ἀναδείξεως, παραστὰς ὁ Κάτων τῷ βραβεύοντι δημάρχῳ, καὶ παραφυλάξας τὴν ψῆφον, ἕνα τῶν παραβαλλομένων ἀπέφηνε κακουργοῦντα, καὶ προσέταξεν ἀποδοῦναι τοῖς ἄλλοις τὸ ἀργύριον. ἀλλ' ἐκεῖνοι μὲν ἐπαινέσαντες αὐτοῦ τὴν ὀρθότητα καὶ θαυμάσαντες, ἀνεῖλον τὸ πρόστιμον, ὡς ἱκανὴν δίκην ἔχοντες παρὰ τοῦ ἀδικήσαντος· τοὺς δὲ ἄλλους ἐλύπησεν ὁ Κάτων, καὶ φθόνον ἔσχεν ἀπὸ τούτου πλεῖστον, ὡς βουλῆς καὶ δικαστηρίου καὶ ἀρχόντων δύναμιν αὑτῷ περιποιησάμενος. οὐδεμιᾶς γὰρ ἀρετῆς δόξα καὶ πίστις ἐπιφθόνους ποιεῖ μᾶλλον ἢ τῆς δικαιοσύνης, ὅτι καὶ δύναμις αὐτῇ καὶ πίστις ἕπεται μάλιστα παρὰ τῶν πολλῶν. οὐ γὰρ τιμῶσι μόνον, ὡς τοὺς ἀνδρείους, οὐδὲ θαυμάζουσιν, ὡς τοὺς φρονίμους, ἀλλὰ καὶ φιλοῦσι τοὺς δικαίους, καὶ θαῤῥοῦσιν αὐτοῖς καὶ πιστεύουσιν. ἐκείνων δὲ τοὺς μὲν φοβοῦνται, τοῖς δὲ ἀπιστοῦσι· πρὸς δὲ τούτοις, ἐκείνους μὲν οἴονται φύσει μᾶλλον ἢ τῷ βούλεσθαι διαφέρειν· ἀνδρείαν καὶ φρόνησιν, τὴν μὲν, ὀξύτητά τινα, τὴν δὲ, εὐρωστίαν ψυχῆς τιθέμενοι. δικαίου δὲ ὑπάρχοντος εὐθὺς εἶναι τῷ βουλομένῳ, μάλιστα τὴν ἀδικίαν ὡς κακίαν ἀπροφάσιστον αἰσχύνονται.

Διὸ καὶ τῷ Κάτωνι πάντες οἱ μεγάλοι προσεπολέμουν, ὡς ἐλεγχόμενοι. Πομπήϊος δὲ καὶ κατάλυσιν τῆς ἑαυτοῦ δυνάμεως τὴν ἐκείνου δόξαν ἡγούμενος,

ἀεί

ſet & largitionem adhibuiſſet, is ut eam pecuniam perderet. Hæc pacti, cuſtodem, arbitrum & teſtem capiunt Catonem, pecuniam allatam ei offerunt, atque apud eum pacta conſcribunt. Ille pro pecunia prædes accepit, quum pecuniam nollet. Ut dies comitiorum venit, aſſiſtens Cato tribuno, qui præerat comitiis, obſervatiſque ſuffragiis, unum ex iis qui compromiſerant dolo uſum pronunciavit, præcepitque ei ut competitoribus ſuis ſolveret pecuniam: qui commendantes & extollentes integritatem ejus, mulctam remiſerunt, quod ſatis ſe habere pœnæ ab illius fraude exiſtimarent. Enimvero reliquis odioſus fuit Cato, eaque de re invidioſiſſimus, quaſi curiæ & fori, & magiſtratuum ſibi vendicaſſet poteſtatem. Quippe nullius gloria & autoritas virtutis invidiam conciliat majorem quam juſtitiæ: quod potentia eam & fides potiſſimum comitetur apud multitudinem. Neque enim colunt ſolum ut fortes, neque ſuſpiciunt ut prudentes, ſed diligunt etiam juſtos, eiſque fidunt & credunt. Illorum ſuperiores metuunt, his diffidunt. Adhæc illos natura potius cenſent quam voluntate præcellere; prudentiam, ſagacitatem quandam: firmitatem, mentis fortitudinem eſſe ducentes. At quum ſtatim juſtus eſſe qui velit, poſſit, injuſtitia præcipue ut vitio inexcuſabili erubeſcunt homines.

Quapropter omnes principes quaſi ab eo reprehenſi oppugnabant Catonem. Pompeius vero, etiam illius gloriam pro potentiæ ſuæ everſione habens, objiciebat ei aſſidue

ali-

ἀεί τινας προσέβαλλεν αὐτῷ λοιδορησομένους· ὧν καὶ Κλώδιος ἦν ὁ δημαγωγὸς, αὖθις εἰς Πομπήϊον καταῤῥυεὶς, καὶ καταβοῶν τοῦ Κάτωνος, ὡς πολλὰ μὲν ἐκ Κύπρου χρήματα νοσφισαμένου, Πομπηΐῳ δὲ πολεμοῦντος, ἀπαξιώσαντι γάμον αὐτοῦ θυγατρός. ὁ δὲ Κάτων ἔλεγεν ὅτι χρήματα μὲν ἐκ Κύπρου τοσαῦτα τῇ πόλει συναγάγοι, μήτε ἵππον ἕνα μήτε στρατιώτην λαβὼν, ὅσα Πομπήϊος ἐκ πολέμων τοσούτων καὶ θριάμβων τὴν οἰκουμένην κυκήσας οὐκ ἀνήνεγκε· κηδεστὴν δὲ μηδέποτε προελέσθαι Πομπήϊον, οὐκ ἀνάξιον ἡγούμενος, ἀλλ᾽ ὁρῶν τὴν ἐν τῇ πολιτείᾳ διαφοράν. Αὐτὸς μὲν γὰρ, ἔφη, διδομένης μοι μετὰ τὴν στρατηγίαν ἐπαρχίας, ἀπέστην· οὗτος δὲ τὰς μὲν ἔχει λαβὼν, τὰς δὲ δίδωσιν ἑτέροις. νυνὶ δὲ καὶ τέλος ἑξακισχιλίων ὁπλιτῶν δύναμιν Καίσαρι κέχρηκεν εἰς Γαλατίαν, ἃ οὔτ᾽ ἐκεῖνος ᾔτησε παρ᾽ ὑμῶν, οὔτε οὗτος ἔδωκε μεθ᾽ ὑμῶν, ἀλλὰ δυνάμεις τηλικαῦται καὶ ὅπλα καὶ ἵπποι, χάριτές εἰσιν ἰδιωτῶν καὶ ἀντιδόσεις. καλούμενος δὲ αὐτοκράτωρ καὶ στρατηγὸς, ἄλλοις τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας παραδέδωκεν· αὐτὸς δὲ τῇ πόλει παρακάθηται, στάσεις ἀγωνοθετῶν ἐν ταῖς παραγγελίαις, καὶ θορύβους μηχανώμενος, ἐξ ὧν οὐ λέληθε δι᾽ ἀναρχίας μοναρχίαν ἑαυτῷ μνηστευόμενος.

Οὕτως μὲν ἠμύνατο τὸν Πομπήϊον. ἦν δὲ Μάρκος Φαώνιος, ἑταῖρος αὐτοῦ καὶ ζηλωτὴς, οἷος ὁ Φαληρεὺς Ἀπολλόδωρος ἱστορεῖται περὶ Σωκράτην γενέσθαι τὸν παλαιὸν, ἐμπαθὴς καὶ παρακεκινηκὼς πρὸς τὸν λόγον, οὐ σχέδην οὐδὲ πράως, ἀλλ᾽ ἄκρατον αὐτοῦ καθαψάμενον ὡς πάροινον καὶ μανι-

κώ-

aliquos convitiatores. Ex quibus Clodius ille plebis concitator, qui ſe denuo ad Pompeium aggregaverat, traducebat Catonem, multum eum ex Cypria gaza intervertiſſe, & adverſari Pompeio, quia filiæ ejus nuptias repudiaviſſet. Cato contra tantum prædicavit ſe ex Cypro argenti reipub. coegiſſe, quum ne unum quidem equum vel militem accepiſſet, quantum ex tot bellis & triumphis exagitato orbe terræ non retuliſſet Pompeius. Affinem nequaquam optaviſſe Pompeium, non quin dignum cenſeret, ſed quod videret diſſenſionem inter ipſos in repub. Ego enim, inquit, provinciam mihi ex prætura oblatam abdicavi: hic habet alias quas ipſe ſumpſit, alias tribuit aliis. Ac nunc denique Cæſari in Gallia commodavit ſex millia militum: quæ neque ille a vobis petiit, neque hic dedit de ſententia veſtra. Sed tanti exercitus, arma, & equi beneficia ſunt & dona mutua privatorum. Imperator appellatur & dux, quum aliis legiones & provincias tradiderit, ipſe vero muris adſideat ſeditionum in comitiis arbiter & tumultuum architectus. Ex quibus patet eum confuſione publica dominatum ſibi quærere.

Ita Pompeium ultus eſt. Erat M. Favonius familiaris ejus & æmulator, qualis Apollodorus Phalereus traditur quondam fuiſſe Socratis, incitatus & mente motus ab ejus oratione, quæ non ſenſim neque modice, ſed acrius eum rapuerat quaſi ebrium & fanati-

ti-

κώτερον. ἔτος ἀγορανομίαν μετιὼν ἡτλᾶτο, συμπαρὼν δὲ ὁ Κάτων προσέσχε ταῖς δέλτοις μιᾷ χειρὶ γεγραμμέναις· καὶ τὴν κακουργίαν ἐξελέγξας, τότε μὲν ἐπικλήσει δημάρχων ἔλυσε τὸν ἀνάδειξιν· ὕστερον δὲ τοῦ Φαωνίου καταστάθέντος ἀγορανόμου, τά τε ἄλλα τῆς ἀρετῆς ἐπεμελεῖτο, καὶ τὰς θέας διέπεν τῷ θεάτρῳ, διδοὺς καὶ τοῖς θυμελικοῖς στεφάνους μὲν οὐ χρυσοῦς, ἀλλ᾽, ὥσπερ ἐν Ὀλυμπίᾳ, κοτίνων· δῶρα δὲ ἀντὶ τῶν πολυτελῶν, τοῖς μὲν Ἕλλησι τεῦτλα καὶ θρίδακας, καὶ ῥαφανίδας καὶ ἀπίους· τοῖς δὲ Ῥωμαίοις οἴνου κεράμια, καὶ κρέα ὕεια, καὶ σῦκα, καὶ σικύους, καὶ ξύλων ἀγκαλίδας· ὧν τὴν εὐτέλειαν οἱ μὲν ἐγέλων, οἱ δὲ ἠδοῦντο, τοῦ Κάτωνος τὸ αὐστηρὸν καὶ κατεστυμμένον ὁρῶντες, ἡσυχῇ μετέβαλλον εἰς διάχυσιν. τέλος δὲ ὁ Φαώνιος, εἰς τὸν ὄχλον ἐμβαλὼν ἑαυτὸν, καὶ καθεζόμενος ἐν τοῖς θεαταῖς, ἐκρότει τὸν Κάτωνα, καὶ διδόναι τοῖς εὐημεροῦσι καὶ τιμᾶν ἐβόα, καὶ συμπαρεκάλει τοὺς θεατὰς, ὡς ἐκείνῳ τὴν ἐξουσίαν παραδεδωκώς. ἐν δὲ τῷ ἑτέρῳ θεάτρῳ Κουρίων ὁ Φαωνίου συνάρχων ἐχορήγει πολυτελῶς· ἀλλ᾽ ἐκεῖνον ἀπολιπόντες οἱ ἄνθρωποι, μετέβαινον ἐνταῦθα, καὶ συνέπαιζον προθύμως ὑποκρινομένῳ τῷ Φαωνίῳ τὸν ἰδιώτην, καὶ τῷ Κάτωνι τὸν ἀγωνοθέτην. ἔπραττε δὲ ταῦτα, διασύρων τὸ πρᾶγμα, καὶ διδάσκων ὅτι παίζοντα δεῖ τῇ παιδιᾷ χρῆσθαι, καὶ χάριτι παραπέμπειν ἀτύφῳ μᾶλλον ἢ παρασκευαῖς καὶ πολυτελείαις, εἰς τὰ μηδενὸς ἄξια φροντίδας μεγάλας καὶ σπουδὰς κατατιθέμενον.

Ἐπεὶ δὲ Σκιπίωνος καὶ Ὑψαίου καὶ Μίλωνος ὑπατείαν μετερχομένων, οὐ μόνον ἐκείνοις τοῖς συντρόφοις ἤδη καὶ συμπολιτευομένοις ἀδικήμασι, δωροδοκίαις

ticum. Hic ædilitius candid tus repulſam tulit. Cato autem qui aſſiſtebat, obſervavit tabulas eadem manu ſcriptas: ac demonſtrans fraudem, in præſentia quidem renunciationem eam tribunis appellatis circumduxit. Poſt Favonio ædili creato, cum in cæteris magiſtratus muneribus præſto fuit, tum ludos ejus in theatro curavit, deditque coronas thymelicis non aureas, ſed, ut Olympiis, ex oleaſtro: dona loco magnificorum, Græcis betam, lactucam, raphanum, pira: Romanis vini amphoras, carnem ſuillam, ficus, cucumeres, lignorum faſciculos: quorum vilitatem alii irridebant, alii oblectabantur, Catonis auſteritatem & contractionem videntes tranſire ſenſim in remiſſionem. Poſtremo Favonius immiſcens ſe plebi atque inter ſpectatores conſidens plauſit Catoni: ac donaret honoraretque merentes clamavit, teſtatuſque ſpectatores eſt in illius poteſtate ſe omnia poſuiſſe. In altero theatro collega Favonii Curio ſplendidum exhibebat munus. Spectatores tamen relicto illo huc tranſierunt applauſeruntque effuſe agenti Favonio privatum, & Catoni agonothetam. Hæc autem deſignavit quo conſuetudinem eam irrideret, doceretque ludentem oportere ludo uti, ac benignitate potius defungi communi quam apparatibus & ſumptibus, in rebus nihili magnas curas & ſolicitudines ponentes.

Quum Scipio, Hypſæus & Milo conſulatum peterent, nec ſolum receptis illis jam atque uſitatis improbitatibus, largitionibus & cor-

δοκίαις καὶ δεκασμοῖς, ἀλλ' ἄντικρυς δι' ὅπλων καὶ φόνων εἰς ἐμφύλιον πόλεμον ὠθουμένων τόλμῃ καὶ ἀπονοίᾳ, Πομπήϊον τινὲς ἠξίουν ἐπιστῆσαι ταῖς ἀρχαιρεσίαις· τὸ μὲν πρῶτον ἀντεῖπεν ὁ Κάτων, οὐ τοῖς νόμοις ἐκ Πομπηΐου φάμενος, ἀλλ' ἐκ τῶν νόμων Πομπηΐῳ δεῖν ὑπάρχειν τὴν ἀσφάλειαν. ὡς δὲ πολὺν χρόνον ἀναρχίας οὔσης, καὶ τριῶν στρατοπέδων τὴν ἀγορὰν ὁσημέραι περιεχόντων, ὀλίγον ἀπέλειπεν ἀνεπίσχετον γεγονέναι τὸ κακὸν, ἔγνω τὰ πράγματα πρὸ τῆς ἐσχάτης ἀνάγκης εἰς Πομπήϊον ἑκουσίῳ χάριτι τῆς βουλῆς περιστῆσαι, καὶ τῷ μετριωτάτῳ τῶν παρανομημάτων χρησάμενος ἰάματι τῆς τῶν μεγίστων καταστάσεως, τὴν μοναρχίαν ἐπαγαγέσθαι μᾶλλον, ἢ περιϊδεῖν τὴν στάσιν εἰς μοναρχίαν τελευτῶσαν. εἶπεν οὖν ἐν τῇ βουλῇ γνώμην Βύβλος, ὢν οἰκεῖος Κάτωνος, ὡς χρὴ μόνον ἑλέσθαι Πομπήϊον ὕπατον· ἢ γὰρ ἕξειν καλῶς τὰ πράγματα, ἐκείνου καταστήσαντος, ἢ τῷ κρατίστῳ δουλεύσειν τὴν πόλιν. ἀναστὰς δὲ ὁ Κάτων, οὐδενὸς ἂν προσδοκήσαντος, ἐπῄνεσε τὴν γνώμην, καὶ συνεβούλευε πᾶσαν ἀρχὴν ὡς ἀναρχίας κρείττονα· Πομπήϊον δὲ καὶ προσδοκᾶν ἄριστα τοῖς παροῦσι χρήσεσθαι πράγμασι, καὶ φυλάξειν διαπιστευθέντα τὴν πόλιν.

Οὕτω δὲ ἀποδειχθεὶς ὕπατος ὁ Πομπήϊος, ἐδεήθη τοῦ Κάτωνος ἐλθεῖν πρὸς αὐτὸν εἰς τὸ προάστειον. ἐλθόντα δὲ δεξάμενος φιλοφρόνως ἀσπασμοῖς καὶ δεξιώσεσι, καὶ χάριν ὁμολογήσας, παρεκάλει σύμβουλον αὐτῷ καὶ πρόεδρον εἶναι τῆς ἀρχῆς. ὁ δὲ Κάτων ἀπεκρίνατο, μήτε τὰ πρῶτα πρὸς ἀπέχθειαν εἰπεῖν Πομπηΐου, μήτε ταῦτα πρὸς χάριν, ἀλλ' ἐπὶ συμφέροντι πάντα

corruptionibus, ſed propalam per arma & cædes in bellum civile ruerent amentia & audacia, atque ideo Pompeium quidam præponere vellent comitiis: primum repugnavit Cato, negans legibus ex Pompeio, ſed ex legibus debere Pompeio ſuppetere ſecuritatem. Ut vero per diuturnum interregnum, & tribus exercitibus forum quotidie obſidentibus parum abfuit quin malum ſiſti non poſſet, ſtatuit ante ultimam neceſſitatem ſummam rerum ſpontaneo ſenatus beneficio conferre in Pompeium, & quam minimo malo pro medicina utens ad maximas lites componendas, dominatum invehere potius quam permittere ut ſeditio terminaret in dominatum. Igitur Bibulus Catonis neceſſarius ſententiam dixit, Pompeium ſolum conſulem creandum: aut enim rempub. eum ordinaturum recte, aut civitatem optimo ſervituram. Unde ſurgens Cato eam ſententiam præter omnium exſpectationem probavit, docuitque quodvis imperium præſtare, quam vacare magiſtratibus civitatem. Pompeium etiam expectare ſe optime uſurum poteſtate, & concreditam ſibi rempublicam conſervaturum.

Ita conſul Pompeius declaratus Catonem oravit ut in ſuburbium veniret ad ſe: quem, ut venit, excepit benigne ſalutationibus & complexibus, gratiiſque actis rogavit ut conſilio adeſſe ſibi & præeſſe vellet in conſulatu. Reſpondit Cato neque prima odio ſe dixiſſe Pompeii, neque hæc ſtudio, ſed omnia boni

πάντα τῆς πόλεως. ἰδίᾳ μὲν οὖν αὐτῷ παρακαλοῦντι σύμβουλος ἔσεσθαι, δημοσίᾳ δὲ, κἂν μὴ παρακαλῆται, πάντως ἐρεῖν τὸ φαινόμενον. καὶ ταῦτα ἔπραττεν ὡς εἶπε. πρῶτον μὲν γὰρ ἐπὶ τοὺς δεκάσαντας ἤδη τὸν δῆμον ἐπιτίμια καινὰ καὶ δίκας μεγάλας τοῦ Πομπηΐου νομοθετοῦντος, ἀμελεῖν ἐκέλευε τῶν γεγονότων, καὶ προσέχειν τοῖς μέλλουσιν. οὔτε γὰρ ὅπου στήσεται τὰ προημαρτημένα ζητεῖν ὁρίσαι ῥᾴδιον, ἐάν τε νεώτερα γράφηται τῶν ἀδικημάτων ἐπιτίμια, δεινὰ πείσεσθαι, τοῦτον ὃν οὐ παρέβαινον οὔτ᾽ ἠδίκουν νόμον, κατὰ τοῦτον κολαζομένους. ἔπειτα, πολλῶν κρινομένων ἐπιφανῶν ἀνδρῶν, ἐνίων δὲ καὶ φίλων τοῦ Πομπηΐου καὶ οἰκείων, ὁρῶν αὐτὸν ἐνδιδόντα ἐν πολλοῖς καὶ καμπτόμενον, ἐπετίμα σφοδρῶς καὶ διήγειρεν. ἐπεὶ δὲ νόμῳ τοὺς εἰωθότας λέγεσθαι περὶ τῶν κρινομένων ἐπαίνους αὐτὸς ἀφελὼν, Μουνατίῳ Φλάκκῳ συγγράψας ἔπαινον ἐπὶ τῆς δίκης ἔδωκεν, ἐπισχόμενος ὁ Κάτων τὰ ὦτα ταῖς χερσὶν (ἔτυχε γὰρ δικάζων) ἐκώλυεν ἀναγινώσκεσθαι τὴν μαρτυρίαν. ὁ δὲ Φλάκκος ἀπέλεξεν αὐτὸν ἐκ τῶν δικαστῶν μετὰ τοὺς λόγους, καὶ οὐδὲν ἧττον ἥλω. καὶ ὅλως ἄπορον ἦν πρᾶγμα καὶ δυσμεταχείριστον ὁ Κάτων τοῖς φεύγουσι, μήτε βουλομένοις αὐτὸν ἀπολιπεῖν δικαστὴν, μήτε ἀπολέγειν τολμῶσιν. ἥλωσαν γὰρ οὐκ ὀλίγοι, τὸν Κάτωνα φεύγειν δόξαντες, οὐ θαῤῥεῖν τοῖς δικαίοις. ἐνίους δὲ καὶ προὔφερον οἱ λοιδοροῦντες, ὡς ὄνειδος μέγα, τὸ μὴ δέξασθαι κριτὴν Κάτωνα, προτεινόμενοι.

Ἐπεὶ δὲ Καίσαρος αὐτοῦ μὲν ἐμπεφυκότος τοῖς στρατεύμασιν ἐν Γαλατίᾳ,

ni publici cauſa. Privatim igitur petenti conſilium daturum, publice etiamſi non petat, omnino dicturum quod ſibi eſſet viſum. Atque hæc ut dixit, ita egit. Primum namque adverſus eos qui pecuniam in populo pronunciaverant, novas mulctas & pœnas graves paranti promulgare Pompeio, omittere conſuluit præterita & providere in futurum. Haud enim ubi præteritis peccatis ſubſiſteret excutiendis, proclive futurum ſtatuere: & ſi recentiores ſanciantur mulctæ offenſis, injuriam paſſuros hos, ſi quam non violaverunt, neque perruperunt legem, ea puniantur. Deinde quum multi rei fierent clari viri, aliqui etiam Pompeii amici & neceſſarii, animadvertens multis conniventem & remiſſum, increpavit acriter & excitavit eum. Quum vero laudationes, quæ dici pro reis ſolebant, ipſe Pompeius lege interdixiſſet, & tamen Munatio Flacco ſcriptam dediſſet in judicio laudationem: obturans Cato manibus aures, (erat enim inter judices) prohibuit illud teſtimonium recitari. At Flaccus ex judicibus eum poſt actiones rejecit, nec minus eſt damnatus. Omnino vero curam præbebat Cato reis ancipitem atque implicatam: quod neque relinquere vellent eum judicem, neque auderent rejicere. Multi enim everſi judicio ſunt, quod Catonem declinare, non niti innocentia putarentur. Nonnullos etiam nominabant inſectatores, velut magnum probrum, quod Catonem judicem repuliſſent, objicientes.

Porro quum ipſe Cæſar legionibus Gallicis incubaret,

τία, καὶ τῶν ὅπλων ἐχομένου, δώροις δὲ καὶ χρήμασι καὶ φίλοις μάλιστα πρὸς τὴν ἐν τῇ πόλει χρωμένου δύναμιν, ἤδη μὲν αἱ Κάτωνος προαγορεύσεις ἀνέφερον τὸν Πομπήϊον ἐκ πολλῆς ἤδη τῆς πρόσθεν ἀπιστίας ὀνειροπολοῦντα τὸ δεινόν· ἐπεὶ δὲ τὴν ὄκνου καὶ μελλήσεως ἀτόλμου πρὸς τὸ κωλύειν καὶ ἐπιχειρεῖν ὑπόπλεως, ὥρμησεν ὁ Κάτων ὑπατείαν παραγγέλλειν, ὡς ἀφαιρησόμενος εὐθὺς τὰ ὅπλα τοῦ Καίσαρος, ἢ τὴν ἐπιβουλὴν ἐξελέγξων. οἱ δ' ἀντιπαραγγέλλοντες αὐτῷ, χαρίεντες μὲν ἦσαν ἀμφότεροι, Σουλπίκιος δὲ καὶ πολλὰ τῆς τοῦ Κάτωνος ἐν τῇ πόλει δόξης τε καὶ δυνάμεως ἀπολελαυκώς. οὐ μέτριον οὖν ἐδόκει πρᾶγμα ποιεῖν, οὐδ' εὐχάριστον· οὐ μὴν ὅ γε Κάτων ἐνεκάλει. Τί γὰρ, ἔφη, θαυμαστὸν, εἰ ὅ τις νομίζει τῶν ἀγαθῶν μέγιστον, ἑτέρῳ μὴ παρίησι; πείσας δὲ τὴν βουλὴν ψηφίσασθαι τοὺς μετιόντας τὴν ἀρχὴν αὐτοὺς δεξιοῦσθαι τὸν δῆμον, δι' ἑτέρου δὲ μὴ δεῖσθαι, μηδὲ ἐντυγχάνειν ὑπὲρ αὐτῶν περιιόντας, ἔτι μᾶλλον ἐξηγρίαινε τοὺς ἀνθρώπους· εἰ μὴ μόνον τὸ λαβεῖν μισθὸν, ἀλλὰ καὶ τὸ διδόναι χάριν αὐτοὺς ἀφῃρημένος, ἄπορον καὶ ἄτιμον ὁμοῦ τὸν δῆμον πεποίηκε. πρὸς δὲ τούτῳ μήτε αὐτὸς ἐντυχεῖν ὑπὲρ αὐτοῦ πιθανὸς ὤν, ἀλλ' ἐν ἤθει τὸ τοῦ βίου μᾶλλον ἀξίωμα βουλόμενος φυλάσσειν, ἢ προσλαβεῖν τὸ τῆς ἀρχῆς, ποιούμενος τὰς δεξιώσεις, μήτε τοὺς φίλους ἐάσας, οἷς ὄχλος ἁλίσκεται καὶ θεραπεύεται, ποιεῖν, ἀπέτυχε τῆς ἀρχῆς.

Φέροντος δὲ τοῦ πράγματος οὐκ αὐτοῖς μόνοις τοῖς ἀποτυχοῦσιν, ἀλλὰ καὶ φίλοις

cubaret, & armis inſiſteret, dona autem, largitionem & amicos potiſſimum adhiberet ad urbanam potentiam parandam, jam præmonita Catonis excitabant Pompeium ex ſecuritate magna priore veluti per inſomnium imaginantem periculum. Quia vero nimium erat lentus & ſegnis ad obſiſtendum Cæſari, atque ad rem aggrediendam, conſtituit Cato conſulatum petere, ut confeſtim Cæſari arma extorqueret, aut denudaret ejus conſilia. Competitores Catonis ambo boni viri erant: Sulpitius etiam multum ex Catonis in rep. autoritate & opibus acceperat emolumenti. Quare habebatur non boni neque grati viri officio fungi: nihil eſt tamen offenſus Cato. Quid eſt enim, inquit, miri, ſi quod quis ſummum arbitratur bonum, non concedat alteri? Suaſit autem ſenatui decernere, candidati populum ut per ſe prenſarent, nec per alium rogarent vel appellarent pro ſe circumeuntes. Quare exaſperavit multo magis homines, quod non modo mercedem capiendam, verum etiam beneficii ipſis collationem adimens, inopem ſimul & contemptam plebem efficeret. Ad hæc quum nec ad ambiendum eſſet pro ſe ipſe appoſitus, verum in gravitate mallet morum ſuorum retinere dignitatem, quam amplitudinem acquirere conſulatus, atque ſic prenſans, neque amicis permittens facere ea quibus ducitur & capitur multitudo, repulſam conſulatus tulit.

Quæ res quum adferre ſolita eſſet non ipſis modo qui repulſam tulerant, ſed & eorum ami-

φίλοις αὐτοῦ καὶ οἰκείοις σὺν αἰσχύνῃ τινὶ κατήφειαν καὶ πένθος ἐφ' ἡμέρας πολλὰς, οὕτως ἤνεγκε ῥαθύμως τὸ συμβεβηκὸς, ὥστε ἀλειψάμενος μὲν ἐν τῷ πεδίῳ σφαιρίσαι, μετ' ἄριστον δὲ πάλιν, ὥσπερ εἴθιστο, καταβὰς εἰς ἀγορὰν ἀνυπόδητος καὶ ἀχίτων, περιπατῆσαι μετὰ τῶν συνήθων. αἰτιᾶται δὲ Κικέρων ὅτι τῶν πραγμάτων ἄρχοντος τοιούτου δεομένων, οὐκ ἐποιήσατο σπουδὴν, οὐδὲ ὑπῆλθεν ὁμιλίᾳ φιλανθρώπῳ τὸν δῆμον, ἀλλὰ καὶ πρὸς τὸ λοιπὸν ἐξέκαμε καὶ ἀπηγόρευε, καίτοι τὴν στρατηγίαν αὖθις ἐξ ὑπαρχῆς μετελθών. ἔλεγεν οὖν ὁ Κάτων ὅτι τῆς μὲν στρατηγίας οὐ κατὰ γνώμην ἐξέπεσε τῶν πολλῶν, ἀλλὰ βιασθέντων, ἢ διαφθαρέντων· ἐν δὲ ταῖς ὑπατικαῖς ψήφοις μηδεμιᾶς κακουργίας γενομένης, ἔγνω καὶ τῷ δήμῳ προσκεκρουκὼς διὰ τὸν αὑτὸν τρόπον, ὃν οὔτε μεταθέσθαι πρὸς ἑτέρων χάριν, οὔτε χρώμενον ὁμοίῳ πάλιν ὅμοια παθεῖν, νοῦν ἔχοντος ἀνδρός ἐστιν.

Τοῦ δὲ Καίσαρος ἐμβαλόντος εἰς ἔθνη μάχιμα, καὶ παραβόλως κρατήσαντος, Γερμανοῖς δὲ καὶ σπονδῶν γενομένων δοκοῦντος ἐπιθέσθαι καὶ καταβαλεῖν τριάκοντα μυριάδας, οἱ μὲν ἄλλοι τὸν δῆμον ἠξίουν εὐαγγέλια θύειν· ὁ δὲ Κάτων ἐκέλευεν ἐκδιδόναι τὸν Καίσαρα τοῖς παρανομηθεῖσι, καὶ μὴ τρέπειν εἰς αὐτοὺς μηδὲ ἀναδέχεσθαι τὸ ἄγος εἰς τὴν πόλιν. οὐ μὴν ἀλλὰ καὶ τοῖς Θεοῖς, ἔφη, θύομεν, ὅτι τῆς τοῦ στρατηγοῦ μανίας καὶ ἀπονοίας τὴν δίκην εἰς τοὺς στρατιώτας οὐ τρέπουσιν, ἀλλὰ φείδονται τῆς πόλεως. ἐκ τούτου Καῖσαρ ἐπιστολὴν γράψας ἀπέστειλεν εἰς τὴν σύγκλητον· ὡς δὲ ἀνεγνώσθη βλασφημίας πολλὰς ἔχουσα καὶ κατηγορίας τοῦ Κάτωνος, ἀναστὰς ἐκεῖνος, οὐχ ὑπ'

micis familiaribuſque permultos dies cum aliquo rubore triſtitiam ac mœrorem: adeo eum caſum tulit lente, ut unctus pila luderet in comitio, & a prandio rurſus in forum more ſuo ſine calceis & abſque tunica deſcendens deambularet cum familiaribus. Culpat eum Cicero, quod quum reſpub. talem conſulem deſideraret, non incubuerit ſedulo, nec comiter populum ſubierit, ſed & elanguerit in futurum obtorpueritque, quamvis præturam iterum petiiſſet. At Cato prætura reſpondit ſe non plebis voluntate, ſed ea vi compulſa vel redempta fuiſſe dejectum: in comitiis vero conſularibus, quum fraus nulla interceſſiſſet, populum cognoſſe ſibi offenſum ob eoſdem mores: quos neque immutare aliorum gratia, neque paribus utentem pariter denuo incurrere viri foret cordati.

Porro quum Cæſar nationibus bellicoſis arma moviſſet, eaſque magno cum periculo viciſſet, Germanos etiam pace adortus eſſe videretur, & ſtraviſſet trecenta millia; alii ſupplicationem a populo cenſebant decernendam: Cato vero Cæſarem violatis dedendum dixit pro ſententia, ne in ſe verterent piaculum, vel obſtringerent religione civitatem. Veruntamen Diis, inquit, honos habeatur: quod inſaniæ & flagitii ducis pœnam non in milites vertant ſed parcant civitati noſtræ. Hinc litteras Cæſar ad ſenatum plenas convitiorum & probrorum in Catonem miſit: quibus recitatis ſurgens ille, non ſtomachoſe neque

ὑπ' ὀργῆς οὐδὲ φιλονεικίας, ἀλλ' ὥσπερ ἐκ λογισμοῦ καὶ παρασκευῆς, τὰ μὲν εἰς ἑαυτὸν ἐγκλήματα λοιδορίαις καὶ σκώμμασιν ὅμοια, καὶ παιδιάν τινα καὶ βωμολοχίαν τοῦ Καίσαρος ἀπέδειξεν· ἁψάμενος δὲ τῶν ἐκείνου βουλευμάτων ἀπ' ἀρχῆς, καὶ πᾶσαν αὐτοῦ τὴν διάνοιαν, ὥσπερ οὐκ ἐχθρὸς, ἀλλὰ συνωμότης καὶ κοινωνὸς ἐκκαλύψας, καὶ διδάξας ὡς οὐ Βρεττανῶν, οὐδὲ Κελτῶν παῖδας, ἀλλ' ἐκεῖνον αὐτὸν, εἰ σωφρονοῦσιν, φοβητέον ἐστὶν αὐτοῖς, οὕτως ἐπέστρεψε καὶ παρώξυνεν, ὡς τοὺς φίλους τοῦ Καίσαρος μετανοεῖν, ὅτι τὴν ἐπιστολὴν ἀναγνόντες ἐν τῇ βουλῇ καιρὸν τῷ Κάτωνι λόγων δικαίων καὶ κατηγοριῶν ἀληθῶν παρέσχον. ἐκυρώθη μὲν οὖν οὐδὲν, ἀλλ' ἐλέχθη μόνον ὅτι καλῶς ἔχει διάδοχον Καίσαρι δοθῆναι. τῶν δὲ φίλων ἀξιούντων καὶ Πομπήϊον ἐξ ἴσου τὰ ὅπλα καταθέσθαι, καὶ ἀποδοῦναι τὰς ἐπαρχίας, ἢ μηδὲ Καίσαρα, νῦν ἐκεῖνα βοῶν ὁ Κάτων ἃ προὔλεγεν αὐτοῖς ἥκειν, καὶ βιάζεσθαι τὸν ἄνθρωπον, ἀναφανδὸν ἤδη τῇ δυνάμει χρώμενον ἣν ἔσχεν ἐξαπατῶν καὶ φενακίζων τὴν πόλιν, ἔξω μὲν οὖν οὐδὲν ἐπέραινε, τοῦ δήμου θέλοντος ἀεὶ τὸν Καίσαρα μέγιστον εἶναι, τὴν δὲ σύγκλητον εἶχε πειθομένην, καὶ φοβουμένην τὸν δῆμον.

Ὡς δὲ Ἀρίμινον κατείληπτο, καὶ Καῖσαρ κατηγγέλλετο μετὰ στρατιᾶς ἐλαύνειν ἐπὶ τὴν πόλιν, ἐνταῦθα δὴ πάντες ἐπ' ἐκεῖνον ἀφεώρων, οἵ τε πολλοὶ, καὶ Πομπήϊος, ὡς μόνον μὲν ἐξ ἀρχῆς προαισθόμενον, πρῶτον δὲ φανερῶς προειπόντα τὴν Καίσαρος γνώμην. εἶπεν οὖν ὁ Κάτων, Ἀλλ' εἴγε οἷς ἐγὼ προὔλεγον ἀεὶ καὶ συνεβούλευον ἐπείσθη τις ὑμῶν, ἄνδρες, οὔτ' ἂν ἕνα ἐφοβεῖ-

σθε

que contentioſe, verum quaſi cogitato & præmeditato quæ ſibi objecta eſſent, ea probrorum & dicteriorum ſimilia diverſionemque quandam & cavillationem oſtendit Cæſaris eſſe. Inde exorſus, illius a fonte conſilia mentemque omnem, non ſicut inimicus, ſed conjuratus & ſocius detegens, demonſtranſque non Britannos neque Gallos ipſis, verum ipſum illum eſſe, ſi ſaperent, formidandum: uſque eo commovit concitavitque ſenatum, ut pœniteret amicos Cæſaris quod Catoni lecta in ſenatu Cæſaris epiſtola juſtæ querelæ & verorum criminum dediſſent occaſionem. Ac nihil quidem tunc decretum eſt: tantum jactatum, ex re eſſe ut ſucceſſor Cæſari mitteretur. Poſtulantibus Cæſaris amicis ut ab exercitibus æque diſcederet Pompeius, redderetque provincias, aut nec cogi Cæſarem: nunc illa vociferatus Cato eſt quæ prædixerat ipſis venire, & vim illum adferre, non obſcure jam vires uſurpantem quas imponendo & decipiendo civitatem comparaſſet. Extra curiam autem quod populus quam ampliſſimum Cæſarem eſſe perpetuo vellet, nihil effecit. Senatus præbebat ei aures, ſed timebat populum.

Ut vero Ariminum occupavit Cæſar, & cum exercitu ad urbem nunciatus eſt contendere: ibi omnes in illum & populus & Pompeius intenderunt oculos; quod unus a principio præſenſiſſet & Cæſaris conſilia primus aperte prænuntiaſſet. Ait igitur Cato, Si monitis & conſiliis meis aliquis veſtrum Patres Conſcripti paruiſſet, nunc unum non timeretis, nec

in

σθε νῦν, οὔτε ἐν ἑνὶ τὰς ἐλπίδας εἴχετε. Πομπηΐου δὲ εἰπόντος, μαντικώτερα μὲν εἰρῆσθαι Κάτωνι, φιλικώτερα δὲ αὐτῷ πεπρᾶχθαι, συνεβούλευεν ὁ Κάτων ἑνὶ Πομπηΐῳ τὰ πράγματα τὴν σύγκλητον ἐγχειρίσαι· τῶν γὰρ αὐτῶν εἶναι καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. ὁ μὲν οὖν Πομπήϊος οὔτε δύναμιν ἔχων ἑτοίμην, οὔτε οὓς κατέλεγε τότε προθύμους ὁρῶν, ἐξέλιπε τὴν Ῥώμην. (ὁ δὲ Κάτων ἕπεσθαι καὶ συμφεύγειν ἐγνωκὼς, τὸν μὲν νεώτερον υἱὸν εἰς Βρεττίους ὑπεξέθετο πρὸς Μουνάτιον, τὸν δὲ πρεσβύτερον εἶχε σὺν ἑαυτῷ. τῆς δὲ οἰκίας καὶ τῶν θυγατέρων κηδεμόνος δεομένων, ἀνέλαβε πάλιν τὴν Μαρκίαν χηρεύουσαν ἐπὶ χρήμασι πολλοῖς. ὁ γὰρ Ὁρτήσιος θνήσκων ἐκείνην ἀπέλιπεν κληρονόμον. εἰς ὃ δὴ μάλιστα λοιδορούμενος ὁ Καῖσαρ τῷ Κάτωνι φιλοπλουτίαν προσφέρει καὶ μισθαρνίαν ἐπὶ τῷ γάμῳ. Τί γὰρ ἔδει παραχωρεῖν δεόμενον γυναικὸς, ἢ τί μὴ δεόμενον αὖθις ἀναλαμβάνειν; εἰ μὴ δέλεαρ ἐξ ἀρχῆς ὑφείθη τὸ γύναιον Ὁρτησίῳ, καὶ νέαν ἔχρησεν, ἵνα πλουσίαν ἀπολάβῃ; πρὸς μὲν οὖν ταῦτα μετρίως ἔχει τὸ Εὐριπίδειον ἐκεῖνο,

> Πρῶτα μὲν οὖν τὰ ῥήτ᾽ ἐν ἀρρήτοισι γὰρ
> Τὴν σὴν νομίζω δειλίαν, ὦ Ἡράκλεις.

ὅμοιον γάρ ἐστι τῷ Ἡρακλεῖ μαλακίαν ὀνειδίζειν, καὶ κατηγορεῖν αἰσχροκέρδειαν Κάτωνος. εἰ δὲ ἄλλῃ πῃ μὴ καλῶς πέπρακται περὶ τὸν γάμον, ἐπισκεπτέον. ἐγγυησάμενος γὰρ τὴν Μαρκίαν ὁ Κάτων, καὶ τὸν οἶκον ἐπιτρέψας ἐκείνῃ, καὶ τὰς θυγατέρας, αὐτὸς ἐδίωκε Πομπήϊον.

Ἀπ᾽

in uno ſpem reponeretis. Quum diceret Pompeius melius Catonem divinaſſe, ſe vero egiſſe amicius: conſuluit Cato ut uni Pompeio ſenatus ſummam rerum permitteret. Nam eorundem eſſe & facere magna mala & comprimere. Pompeius, quod nec copias paratas haberet, nec quas conſcripſerat, videret alacres, deſeruit urbem. Cato ſequi & comitari fugientem certum habens, minorem filium clam in Brutios miſit ad Munatium, majorem traxit ſecum. Quia vero domus ejus & filiæ curatorem requirebant, accepit iterum Martiam viduam cum grandi dote: ſiquidem Hortenſius eam moriens reliquerat hæredem. Quod præcipue objectans Cæſar Catoni, exprobrat ei avaritiam, & mercenarium maritum appellat. Quid enim concedere eam opus erat, inquit, alteri, ſi requirebat uxorem? aut ſi non requirebat, iterum recipere, niſi eſca ab initio hæc mulier ſubmiſſa Hortenſio fuiſſet, & juvenem commodaſſet ut divitem reciperet? Ad id refellendum ſatis quadrat Euripideum illud,

> *Primum nefanda redarguam. Nefas enim eſt*
> *Labem timoris exprobrarier Herculi.*

Quippe perinde ſit ac Herculi mollitiem objicere, exprobrare turpem quæſtum Catoni. Quod ſi alias hæ improbandæ ſunt nuptiæ, id quidem æſtimandum. Nam ut adjunxit matrimonio Martiam, domum commiſit ei & filias ſuas, ſequutuſque eſt Pompeium.

Ex

Ἀπ᾽ ἐκείνης δὲ λέγεται τῆς ἡμέρας μήτε κεφαλὴν ἔτι κείρασθαι, μήτε γένεια, μήτε στέφανον ἐπιθέσθαι, πένθους δὲ καὶ κατηφείας καὶ βαρύτητος ἐπὶ ταῖς συμφοραῖς τῆς πατρίδος ἓν σχῆμα, νικώντων ὁμοίως καὶ νικωμένων, ἄχρι τελευτῆς διαφυλάξαι. τότε δὲ κλήρῳ λαχὼν Σικελίαν, διέβη μὲν εἰς Συρακούσας· πυθόμενος δὲ Ἀσίνιον Πολλίωνα παρὰ τῶν πολεμίων ἀφῖχθαι μετὰ δυνάμεως εἰς Μεσσήνην, ἔπεμψε λόγον ἀπαιτῶν παρ᾽ αὐτοῦ τῆς διαβάσεως. ἀνταπαιτηθεὶς δὲ λόγον ὑπ᾽ ἐκείνου τῆς τῶν πραγμάτων μεταβολῆς, καὶ Πομπήϊον ἀκούσας ἐκλελοιπότα παντελῶς Ἰταλίαν ἐν Δυρραχίῳ στρατοπεδεύειν, πολὺν ἔφη περὶ τὰ θεῖα πλάνον εἶναι καὶ ἀσάφειαν, εἰ Πομπήϊον, ἐν οἷς ὑγιὲς οὐδὲν οὐδὲ δίκαιον ἔπραττεν, ἀήττητον γενόμενον, νῦν ὅτε τὴν πατρίδα βούλεται σώζειν, καὶ τῆς ἐλευθερίας ὑπερμάχεται, προλέλοιπε τὸ εὐτυχεῖν. Ἀσίνιον μὲν οὖν ἔφη δυνατὸς εἶναι Σικελίας ἐκβαλεῖν, ἄλλης δὲ μείζονος ὑπερχομένης δυνάμεως, οὐ βούλεσθαι τὴν νῆσον ἐν πολέμῳ ἀπολέσθαι· χωρεῖν δὲ πρὸς τὸ κρατοῦν καὶ σώζεσθαι παραινέσας Συρακουσίοις ἐξέπλευσεν. ἀφικόμενος δὲ πρὸς Πομπήϊον, ἀεὶ μὲν εἴχετο μιᾶς γνώμης, χρονοτριβεῖν τὸν πόλεμον· ἐλπίζων διαλύσεις, καὶ μὴ βουλόμενος ἐν ἀγῶνι χείρω γενομένην τὴν πόλιν αὐτὴν ὑφ᾽ αὑτῆς παθεῖν τὰ ἔσχατα σιδήρῳ. διακριθεῖσαν. ἄλλα δὲ τούτων ἀδελφὰ Πομπήϊον ἔπεισε καὶ τοὺς συνέδρους ψηφίσασθαι, μήτε πόλιν ὑπήκοον Ῥωμαίων διαρπάζειν, μήτε ἄνδρα Ῥωμαῖον ἔξω παρατάξεως ἀναιρεῖν· καὶ δόξαν ἤνεγκε, καὶ προσηγάγετο πολλοὺς τῇ Πομπηΐου μερίδι, τὴν ἐπιείκειαν αὐτοῦ καὶ τὸ ἥμερον ἀσπασαμένους.

Ἐκ-

Ex ea die dicitur neque capillum neque barbam totondiſſe, neque coronam ſumpſiſſe: luctus, mœſtitiæ, doloris ob calamitatem patriæ unum habitum, ſive vincerent, ſive vincerentur, retinuiſſe uſque ad extremum. Siciliam tunc ſortitus Syracuſas trajecit. Quum nunciatum ei eſſet miſſum ab hoſtibus Aſinium Pollionem appuliſſe cum exercitu Meſſanam, miſit ad eum quæſitum quamobrem eo trajeciſſet. Quum ille ex altera parte requiſiviſſet ab eo rerum commutatarum rationem, nunciatoque Pompeium Italia ſemel relicta Dyrrachii caſtra habere, magnam ait eſſe de providentia Deorum perplexitatem & incertitudinem: quod Pompeium, ubi nihil ſani vel recti egiſſet, invictum, nunc quum patriam cupiat ſervare & libertatem tueri, deſeruiſſet felicitas. Atque Aſinium quidem potuiſſe oſtendit ſe Sicilia expellere: cæterum quia majores copiæ ſubveniebant illi, noluiſſe eam inſulam bello implicare. Ita Syracuſanos monuit adjungerent ſe fortioribus & ſaluti conſulerent: mox abnavigavit. Poſtquam ad Pompeium venit, in una perſtitit ſententia, bellum ducendum eſſe, pacem ſperans, nolenſque certamine acciſam civitatem ferroque decernentem ab ſe ipſam extrema mala pati. Alia his conſimilia Pompeio & concilio autor fuit decernendi, ut ne quam urbem populo Romano pacatam diriperent, neque civem Romanum extra aciem interficerent. Hac re gloriam comparavit magnam, multoſque partibus aſſociavit Pompeii, humanitate & lenitate ſua captos.

In

Ἐκπεμφθεὶς δὲ εἰς Ἀσίαν, ὡς τοῖς ἐκεῖ συνάγουσι πλοῖα καὶ στρατιὰν ὠφέλιμος γένοιτο, Σερβιλίαν ἐπηγάγετο ἀδελφιδῆν, καὶ τὸ Λευκόλλου παιδίον ἐξ ἐκείνης γεγονός. ἠκολούθησε γὰρ αὐτῷ χηρεύουσα, καὶ πολὺ τῶν εἰς τὸ ἀκόλαστον αὐτῆς διαβολῶν ἀφεῖλεν, ὑποδῦσα τὴν ὑπὸ Κάτωνι φρουρὰν καὶ πλάνην καὶ δίαιταν ἑκουσίως. ἀλλ' ὅ γε Καῖσαρ οὐδὲ τῶν ἐπ' ἐκείνῃ βλασφημιῶν τοῦ Κάτωνος ἐφείσατο. πρὸς μὲν οὖν τἄλλα, τοῦ Κάτωνος οὐδὲν, ὡς ἔοικεν, ἐδεήθησαν οἱ Πομπηΐου στρατηγοί· Ῥοδίους δὲ πείθει προσαγαγόμενος, καὶ τὴν Σερβιλίαν αὐτόθι καὶ τὸ παιδίον ἀπολιπὼν, ἐπανῆλθε πρὸς Πομπήϊον, ἤδη πεζικῆς τε λαμπρᾶς καὶ ναυτικῆς δυνάμεως περὶ αὐτὸν οὔσης. ἔνθα δὲ καὶ μάλιστα τῆς γνώμης κατάφωρος ἔδοξε γεγονέναι Πομπήϊος. ὥρμησε μὲν γὰρ ἐγχειρίσαι τῷ Κάτωνι τὴν τῶν νεῶν ἡγεμονίαν· ἦσαν δὲ πεντακοσίων μὲν οὐκ ἐλάττους αἱ μάχιμοι, λιβυρνικὰ δὲ καὶ κατασκοπικὰ καὶ ἄφρακτα, παμπληθῆ. ταχὺ δὲ ἐννοήσας, ἢ διδαχθεὶς ὑπὸ τῶν φίλων, ὡς ἕν ἐστι κεφάλαιον Κάτωνι, πάσης πολιτείας ἐλευθερῶσαι τὴν πατρίδα, κἂν γένηται κύριος τηλικαύτης δυνάμεως, ἧς ἂν ἡμέρας καταγωνίσωνται Καίσαρα, τῆς αὐτῆς ἐκείνης ἀξιώσει καὶ Πομπήϊον τὰ ὅπλα καταθέσθαι, καὶ τοῖς νόμοις ἕπεσθαι, μετέγνω καίπερ ἤδη διειλεγμένος αὐτῷ, καὶ Βύβλον ἀπέδειξεν ναύαρχον. οὐ μὴν ᾔσθετό γε παρὰ τοῦτο τῆς προθυμίας τοῦ Κάτωνος ἀμβλυτέρας· ἀλλὰ καὶ λέγεται πρός τινα μάχην πρὸ τοῦ Δυρραχίου, αὐτοῦ τε Πομπηΐου παρορμῶντος τὴν δύναμιν, καὶ τῶν ἄλλων ἕκαστον ἡγεμόνων εἰπεῖν τι καὶ προτρέψασθαι κελεύοντος, ἀργῶς καὶ σιωπῇ τοὺς στρατιώτας ἀκούειν·

In Aſiam miſſus, ut cogentes illic navigia & milites adjuvaret, duxit ſecum ſororem Serviliam, atque natum ex ea Luculli filium. Quippe adhæſit ei vidua, quæ impudicitiæ crimina multum elevavit quod Catonis ſe cuſtodiæ, peregrinationibus & contubernio ultro ſubjeciſſet. Atqui Cæſar ne illius quidem nomine abſtinuit Catoni obtrectare. Cæteris nihil ſane duces Pompeii Catonem adhibuere. Rhodios vero benevolentia adjunxit: apud quos Servilia cum filio relicta, ad Pompeium reverſus eſt, quum eſſet jam ille egregiis pedeſtribus & navalibus viribus ſuccinctus. Hic maxime denudaſſe mentem ſuam videtur Pompeius: ſiquidem ſtatuit claſſi præficere Catonem. Erant naves bellicæ haud infra quingentas: liburnicarum, ſpeculatoriarum, & apertarum immenſus numerus. Mox autem reputans aut edoctus ab amicis, hoc caput eſſe in omnibus actionibus ſuis Catoni, ut undequaque liberaret rempub. unius dominatu: qui ſi virium tantarum factus potens eſſet, quo die ſuperaſſent Cæſarem, eodem coacturum eum arma Pompeium ponere ac legibus parere, mutavit ſententiam, tametſi ea de re jam fuiſſet cum eo colloquutus, impoſuitque claſſi Bibulum. Nihilo ob id tamen promptitudinem ſenſit Catonis languidiorem. Immo vero quum ad conflictum quendam apud Dyrrhachium, & ipſe exercitum Pompeius adhortaretur, & ducem quemque alium incitare oratione aliqua imperaret milites, ſegniter eos & cum ſilentio fama eſt audiviſſe

ἀκούειν· Κάτωνος δὲ μετὰ πάντας, ὅσα καιρὸς εἶχε, τῶν ἀπὸ φιλοσοφίας ἀκούειν λεγομένων περὶ ἐλευθερίας καὶ ἀρετῆς καὶ θανάτου καὶ δόξης διελθόντος αὐτοπαθῶς, καὶ τελευτῶντα τρέψαντος τὸν λόγον εἰς Θεῶν ἀνάκλησιν, ὡς παρόντων καὶ ἐφορώντων τὸν ὑπὲρ τῆς πατρίδος ἀγῶνα, τηλικοῦτον ἀλαλαγμὸν γενέσθαι καὶ τοσοῦτον κίνημα τῆς στρατιᾶς ἐπαρθείσης, ὥστε πάντας ἐλπίδων μεστοὺς ἐπὶ τὸν κίνδυνον ὁρμῆσαι τοὺς ἡγεμόνας. τρεψαμένων δὲ καὶ κρατησάντων ἀφείλετο τὴν παντελῆ νίκην ὁ Καίσαρος δαίμων, τῇ τοῦ Πομπηΐου χρησάμενος εὐλαβείᾳ καὶ ἀπιστίᾳ περὶ τὸ εὐτύχημα. ταῦτα μὲν οὖν ἐν τοῖς περὶ Πομπηΐου γέγραπται. χαιρόντων δὲ πάντων καὶ μεγαλυνόντων τὸ ἔργον, ὁ Κάτων ἀπεδάκρυε τὴν πατρίδα, καὶ τὴν ὀλέθριον καὶ κακοδαίμονα φιλαρχίαν ὠδύρετο, πολλοὺς καὶ ἀγαθοὺς ὁρῶν πολίτας ὑπ᾽ ἀλλήλων πεπτωκότας.

Ἐπεὶ δὲ Καίσαρα διώκων Πομπήϊος εἰς Θεσσαλίαν ἀνεζεύγνυε, πολλὰ καταλιπὼν περὶ Δυῤῥάχιον ὅπλα καὶ χρήματα καὶ σώματα συγγενῆ καὶ οἰκεῖα, πάντων ἀπέδειξεν ἡγεμόνα καὶ φύλακα τὸν Κάτωνα, πεντεκαίδεκα σπείρας ἔχοντα στρατιωτῶν, δι᾽ ἀπιστίαν ἅμα καὶ φόβον τοῦ ἀνδρός. ἡττωμένῳ μὲν γὰρ πάντων εἶναι βεβαιότατον ἐνόμιζεν· εἰ δὲ νικῴη, μὴ ἐπιτρέψειν παρόντα χρήσασθαι τοῖς πράγμασιν, ὡς προείρηται. πολλοὶ δὲ καὶ τῶν ἐπιφανῶν ἀνδρῶν ἀπεῤῥίφησαν ἐν Δυῤῥαχίῳ μετὰ Κάτωνος. γενομένης δὲ τῆς κατὰ Φάρσαλον ἥττης, οὕτως ἔστη τοῖς λογισμοῖς ὁ Κάτων, ὡς εἰ μὲν τεθνήκοι Πομ-

audiviſſe cæteros: at ubi omnium noviſſimus Cato, quæ tempus ſuggerebat ex philoſophia afferre, de libertate, virtute, morte, gloria, magno animi ſui motu diſſeruit, atque extremam orationem ad Deorum implorationem quaſi præſentium, & illud pro patria inſpectantium certamen, convertit, tantum ſublatum clamorem fuiſſe, tantumque excitati motum exercitus, ut duces concitarentur ſpei pleni omnes ad diſcrimen. Cæterum vincentibus & pellentibus hoſtes extorſit conſummatam victoriam fortuna Cæſaris, nimia Pompeii uſa cautione & ſucceſſus diffidentia. Cæterum hæc ſunt in hiſtoria Pompeii explicata. Ovantibus omnibus atque rem geſtam extollentibus, Cato patriam deflebat, ambitionemque lamentabatur funeſtam & infelicem, quod multos & egregios cives conſpiceret mutua cæde confectos.

Quum jam Pompeius ad perſequendum Cæſarem in Theſſaliam caſtra moveret, magnam autem vim relinqueret apud Dyrrhachium armorum, hominumque propinquorum & neceſſariorum: ducem & cuſtodem omnibus Catonem præpoſuit, attribuitque ei quindecim cohortes, quod nec ſatis fideret ei & timeret. Nam victo, omnium fore exiſtimabat ſibi firmiſſimum: ſin vinceret, non permiſſurum, ut diximus, præſentem rebus ad nutum ſuum uti. Complures præterea cum Catone illuſtres viri ablegati Dyrrhachium ſunt. Devicto ad Pharſalum Pompeio ita conſtituerat Cato, ſi cecidiſſet Pompei-

Πομπήϊος, εἰς Ἰταλίαν τοὺς σὺν αὐτῷ περαιώσων, αὐτὸς δὲ προσωτάτω τῆς τυραννίδος ἐπὶ φυγῇ βιωσόμενος· εἰ δὲ σώζοιτο, πάντως ἐκείνῳ διαφυλάξων τὴν δύναμιν. οὕτω δὴ διαβαλὼν εἰς Κέρκυραν, ὅπου τὸ ναυτικὸν ἦν, ἐξίστατο μὲν Κικέρωνι τῆς ἀρχῆς, ὡς ὑπατικῷ στρατηγικός· οὐ δεξαμένου δὲ Κικέρωνος, ἀλλ᾽ ἀπαίροντος εἰς Ἰταλίαν, ἰδὼν τὸν Πομπήϊον ὑπ᾽ αὐθαδείας καὶ φρονήματος ἀκαίρου βουλόμενον κολάζειν τοὺς ἀποπλέοντας, πρῶτον δὲ μέλλοντα τῷ Κικέρωνι προσφέρειν τὰς χεῖρας, ἐνουθέτησεν ἰδίᾳ καὶ κατεπράϋνεν· ὥστε τὸν Κικέρωνα περισῶσαι σαφῶς ἐκ θανάτου, καὶ τοῖς ἄλλοις ἄδειαν παρασχεῖν.

Τεκμαιρόμενος δὲ Πομπήϊον Μάγνον εἰς Αἴγυπτον ἢ Λιβύην διεκπεσεῖσθαι, καὶ σπεύδων πρὸς ἐκεῖνον, ἀνήχθη μὲν ἔχων ἅπαντας, ἔπλει δὲ, πρῶτον ἀπεῖναι διδοὺς καὶ ὑπολείπεσθαι τοὺς οὐ προθύμως συστρατευομένους. ἁψάμενος δὲ Λιβύης καὶ παραπλέων ἐντυγχάνει Σέξτῳ τῷ νεωτέρῳ τῶν Πομπηΐου παίδων, ἀγγέλλοντι τὴν ἐπ᾽ Αἰγύπτου τοῦ πατρὸς τελευτήν. πάντες μὲν οὖν βαρέως ἤνεγκαν, οὐδεὶς δὲ μετὰ Πομπήϊον ἠξίου Κάτωνος παρόντος οὐδὲ ἀκούειν ἄλλον ἡγεμόνα. διὸ καὶ Κάτων αἰδούμενος καὶ οἰκτείρων ἄνδρας ἀγαθοὺς καὶ πίστεως δεδωκότας πεῖραν ἐπὶ ξένης ἐρήμους καὶ ἀπόρους ἀπολιπεῖν, ὑπέστη τε τὴν ἀρχὴν, καὶ παρῆλθεν εἰς Κυρήνην. ἐδέξαντο γὰρ ἐκεῖνον, ὀλίγαις ἡμέραις ἔμπροσθεν ἀποκλείσαντες Λαβιηνόν. ἐνταῦθα πυνθανόμενος Σκιπίωνα τὸν Πομπηΐου πενθερὸν ὑπὸ Ἰόβα τοῦ βασιλέως ἀνειλῆφθαι, καὶ Οὔαρον Ἄπιον, ὃς ἦν ὑπὸ Πομπηΐου Λιβύης ἀποδεδειγμένος ἡγεμὼν, εἶναι σὺν αὐτοῖς μετὰ δυνάμεως,

Pompeius, eos quos ſecum habebat in Italiam tranſportare, atque ipſe quam remotiſſime a dominatu tranſigere vitam in exilio: quod ſi incolumis foret, omnino eas copias illi conſervare. Ita in Corcyram, ubi claſſis erat, trajecit, & Ciceroni imperio, ut conſulari prætorius ceſſit. Rejiciente id Cicerone & abnavigare in Italiam parante, videns Pompeium minorem ex intempeſtiva pervicacia & ferocia gravius conſulere in diſcedentes, ac primo manus afferre moliri Ciceroni, caſtigavit ſeorſum eum placavitque. Atque ita Ciceronem haud obſcure a morte eripuit, ac ſecuritatem præbuit aliis.

Pompeium Magnum in Ægyptum vel Africam conjiciens elapſurum, properanſque ad illum, conſcendit cum omnibus, atque vela fecit: poteſtate tamen ante abeundi & remanendi facta illis qui non prompti erant ad ſequendum. Ut Africam attigit, in legendo littore Sextum convenit minorem Pompeii filium, ex quo Pompeii Magni fatum intellexit. Eam rem tulerunt omnes graviter, nec cujuſquam a Pompeio voluerunt præſente Catone alterius ducis audire mentionem. Quapropter Cato pudore & miſeratione bonorum virorum qui fidem ſuam probaverant, in terra peregrina deſolatos relinquere & inopes non ſuſtinens, ſuſcepit imperium, atque Cyrenas appulit, ubi a civibus eſt admiſſus, quum paucis ante diebus portas clauſiſſent Labieno. Ibi Scipionem Pompeii ſocerum ab rege Juba intelligit receptum, & Appium Varum, cui data a Pompeio provincia Africa fuerat, illis ſe cum exercitu conjunxiſſe.

δυνάμεως, ἐξώρμησε πεζῇ χειμῶνος ὥρᾳ, πολλοὺς μὲν ὄνους ὕδωρ κομίζοντας συναγαγὼν, πολλὴν δὲ λείαν ἐλαύνων, ἔτι δὲ ἅρματα καὶ τοὺς καλουμένους Ψύλλους ἐπαγόμενος, οἵ τά τε δήγματα τῶν θηρίων ἰῶνται τοῖς στόμασιν ἕλκοντες ἰὸν, αὐτά τε τὰ θηρία κατεπᾴδοντες ἀμβλύνουσι καὶ κηλοῦσιν. ἡμέρας δὲ συνεχῶς ἑπτὰ τῆς πορείας γενομένης, πρῶτος ἡγήσατο, μήτε ἵππῳ μήτε ὑποζυγίῳ χρησάμενος. ἐδείπνει δὲ καθήμενος ἀφ᾽ ἧς ἡμέρας τὴν κατὰ Φάρσαλον ἔγνω ἧτταν· καὶ τοῦτο τῷ λοιπῷ προσέθηκε πένθει, τὸ μὴ κατακλιθῆναι πλὴν καθεύδων. ἐν δὲ Λιβύῃ διαγαγὼν τοῦ χειμῶνος ἐξήγαγε τὴν στρατιάν· ἦσαν δὲ μυρίων ὀλίγον ἀποδέοντες.

Τὰ δὲ πράγματα κακῶς εἶχε τοῖς περὶ Σκιπίωνα καὶ Οὔαρον, ἐκ διαφορᾶς καὶ στάσεως ὑποδυομένοις καὶ θεραπεύουσι τὸν Ἰόβαν, οὐκ ἀνεκτὸν ὄντα βαρύτητι φρονήματος καὶ ὄγκῳ διὰ πλοῦτον καὶ δύναμιν· ὅς γε Κάτωνι πρῶτον ἐντυγχάνειν μέλλων, μέσον ἔθηκε τὸν ἑαυτοῦ θρόνον τοῦ Σκιπίωνος καὶ τοῦ Κάτωνος. ὁ μέντοι Κάτων ὡς εἶδεν, ἄρας τὸν ἑαυτοῦ θρόνον μετέθηκεν ἐπὶ θάτερα, μέσον λαμβάνων τὸν Σκιπίωνα, καίπερ ἐχθρὸν ὄντα, καί τι καὶ βιβλίον ἐκδεδωκότα βλασφημίας ἔχον τοῦ Κάτωνος. εἶτα τοῦτο μὲν εἰς οὐδένα τίθενται λόγον· εἰ δὲ Φιλόστρατον ἐν Σικελίᾳ μέσον εἶχεν περιπατῶν ἐπὶ τιμῇ φιλοσοφίας, ἐγκαλοῦσι. τότε δ᾽ οὖν καὶ τὸν Ἰόβαν ἔπαυσεν, μονονουχὶ σατράπας πεποιημένον ἑαυτοῦ τοὺς περὶ τὸν Σκιπίωνα, κἀκείνους διήλλαξεν. ἀξιούντων δὲ πάντων ἄρχειν αὐτὸν, καὶ πρῶτον τῶν περὶ Σκιπίωνα καὶ Οὔαρον ἐξισταμένων καὶ παραδιδόντων τὴν ἡγεμονίαν, οὐκ ἔφη καταλύσειν

σειν

Ita itinere pedeſtri brumali hora eſt profectus. Magnam vim aſinorum ad aquam portandam coegerat, magnam etiam prædam egerat. Currus inſuper & Pſyllos appellatos trahebat ſecum, qui ſerpentium ictibus medentur venenum ore exſugentes, ipſaſque incantationibus hebetant & ſopiunt ſerpentes. Dies ſeptem continuos itinere facto ſigna anteceſſit, neque equo vel jumento eſt uſus. Cænabat ſedens ex eo die quo cladem Pharſalicam intellexiſſet, idque ad cæterum luctum addidit, neque recumbebat niſi ſomni cauſa. Exacta in Africa hyeme eduxit milites, qui non multo minus decem millia erant.

Res erant Scipionis & Vari malo in loco ob diſſenſionem & diſtractionem aſſentantium atque obſervantium Jubam: cujus ob opes & vires intolerabile erat ſupercilium & faſtus; utpote qui quum congreſſurus primo eſſet cum Catone, ſellam ſuam mediam poſuerit inter Scipionem & Catonem. Quod ut vidit Cato, tranſpoſuit ad alterum latus ſellam ſuam, mediumque Scipionem quamvis inimicum, qui ediderat etiam in ipſum probris refertum ſcriptum, accepit. Et hoc nihili faciunt: quod vero Philoſtratum in Sicilia philoſophiæ honoris cauſa acceperit in deambulando medium, id exagitant. In præſentia igitur retudit Jubam, qui Scipionem & Varum tantum non pro ſatrapis ſuis habuerat, illoſque reduxit in gratiam. Petentibus omnibus ut imperium ſuſciperet, Scipioneque & Varo cedentibus ei ac poteſtatem tradentibus, negavit convulſurum

Mm 2 ſe

σειν τοὺς νόμους, περὶ ὧν τῷ καταλύοντι πολεμοῦσιν, οὐδὲ ἑαυτὸν ἀντιστράτηγον ὄντα παρόντος ἀνθυπάτου προστάξειν. ἀνθύπατος γὰρ ὁ Σκιπίων ἀποδέδεικτο, καὶ θάρσος εἶχον οἱ πολλοὶ διὰ τοὔνομα κατορθώσειν, ἄρχοντος ἐν Λιβύῃ Σκιπίωνος.

Ἐπεὶ μέντοι τὴν ἀρχὴν ὁ Σκιπίων παραλαβὼν εὐθὺς ἐβούλετο Ἰόβᾳ χαριζόμενος Ἰτυκαίους ἡβηδὸν ἀποκτεῖναι, καὶ κατασκάψαι τὴν πόλιν, ὡς τὰ Καίσαρος φρονοῦσαν, οὐχ ὑπέμεινεν ὁ Κάτων, ἀλλὰ μαρτυρόμενος καὶ κεκραγὼς ἐν τῷ συνεδρίῳ, καὶ θεοκλυτῶν, μόλις ἐξείλετο τῆς ὠμότητος αὐτῶν τοὺς ἀνθρώπους· καὶ τὰ μὲν αὐτῶν δεηθέντων, τὰ δὲ τοῦ Σκιπίωνος ἀξιοῦντος, ἀνεδέξατο φρουρήσειν τὴν πόλιν, ὡς μήτε ἑκοῦσα, μήτε ἄκουσα Καίσαρι προσγένοιτο. καὶ γὰρ ἦν εἰς ἅπαντα τὸ χωρίον ὠφέλιμον καὶ διαρκὲς τοῖς ἔχουσιν· ἔτι δὲ μᾶλλον ὑπὸ τοῦ Κάτωνος ἐρρώσθη. καὶ γὰρ σῖτον εἰσήγαγεν ὑπερβάλλοντα πλήθει, καὶ κατεσκεύασε τὰ τείχη πύργους ἐπαιρόμενος, καὶ τάφρους ὀχυρὰς καὶ χαρακώματα πρὸ τῆς πόλεως βαλλόμενος. Ἰτυκαίων δὲ τοὺς μὲν ἡβῶντας ἐν τοῖς χαρακώμασιν ἔταξεν οἰκεῖν, τὰ ὅπλα παραδόντας αὐτῷ, τοὺς δὲ ἄλλους ἐν τῇ πόλει συνεῖχεν, ἰσχυρῶς ἐπιμελόμενος μὴ ἀδικεῖσθαι μηδὲ πάσχειν κακῶς ὑπὸ τῶν Ῥωμαίων. ὅπλα δὲ πολλὰ καὶ χρήματα καὶ σῖτον ἐξέπεμψε τοῖς ἐπὶ στρατοπέδου, καὶ ὅλως εἶχε τοῦ πολέμου τὴν πόλιν ταμιεῖον. ἃ δὲ Πομπηΐῳ συνεβούλευε πρότερον, καὶ τότε Σκιπίωνι, μὴ μάχεσθαι πρὸς ἄνδρα πολεμιστὴν καὶ δεινόν, ἀλλὰ τῷ χρόνῳ χρῆσθαι πᾶσαν ἀκμὴν ἣν τυραννὶς ἰσχύει μαραίνοντι· τούτων ὁ Σκιπίων ὑπὸ αὐθαδεί-

ας

ſe leges, quarum cauſa oppugnarent convellentem, neque ſe proprætorem proconſule præſente imperaturum. Nam creatus Scipio proconſul fuerat, ac ſpem victoriæ vulgus ex nomine trahebat imperantis in Africa Scipionis.

Ut tamen aſſumpto imperio Scipio Uticenſes ſtatuit in gratiam Jubæ omnes ſine diſcrimine ætatis interficere, urbemque quaſi cum Cæſare ſentientem exſcindere, non tulit id Cato, verum præſentes teſtatus, vociferatuſque in concilio & Deorum fidem implorans, ægre exemit illos miſeros horum crudelitati, ac partim eis orantibus, partim contendente Scipione cuſtodiam urbis recepit, ut neque volens neque invita conjungeretur Cæſari. Erat enim locus ille ad omnia opportunus & affluens obtinentibus, qui multo magis eſt a Catone firmatus. Siquidem eo ingentem numerum frumenti invexit, muros fulcivit, turres in altum excitavit, foſſis altis & vallis urbem ſepſit. Uticenſes puberes armis ſibi traditis intra vallum imperavit commorari, reliquos in urbe continuit magna adhibita cura, ne qua iis a Romanis injuria vel malum offerretur. Magnam vim armorum, pecuniæ, frumenti in caſtra miſit, atque ita prorſus fecit belli illam urbem promptuarium. Quod autem ante Pompeio, idem tunc conſulebat Scipioni, ne cum homine bellatore & acri ſigna conferret, ſed traheret tempus, quo omnis ille vigor, quo valet tyrannis, emarceſcat. Hæc Scipio ex pervicacia

ας κατεφρόνει· καί ποτε τῷ Κάτωνι δειλίαν ὀνειδίζων ἔγραψεν, εἰ μὴ μόνον αὐτὸς ἀγαπᾷ καθήμενος ἐν πόλει καὶ τείχεσιν, ἀλλὰ μηδὲ ἑτέρους ἐᾷ πρὸς τὸν καιρὸν εὐθαρσῶς χρῆσθαι τοῖς λογισμοῖς. πρὸς ταῦτα ὁ Κάτων ἀντέγραψεν, ὡς ἕτοιμός ἐστιν οὓς ἤγαγεν αὐτὸς εἰς Λιβύην ὁπλίτας καὶ ἱππεῖς παραλαβὼν, εἰς Ἰταλίαν περαιοῦν, καὶ Καίσαρα μεθιστάναι καὶ τρέπειν ἀπ' ἐκείνων πρὸς αὐτόν. ὡς δὲ καὶ τούτων ὁ Σκιπίων κατεγέλα, πάνυ δῆλος ἦν καὶ ἀχθόμενος ὁ Κάτων τῇ παραχωρήσει τῆς ἀρχῆς, ὡς οὔτε τῷ πολέμῳ καλῶς τὸν Σκιπίωνα χρησόμενον, οὔτε, ἂν παραλόγως εὐτυχήσῃ, μέτριον ἐν τῷ κρατεῖν πρὸς τοὺς πολίτας ἐσόμενον. διὸ καὶ γνώμην εἶχεν ὁ Κάτων, καὶ πρὸς τοὺς συνήθεις ἔλεγεν, οὐ χρηστὰς μὲν ἐλπίδας ἔχειν ὑπὲρ τοῦ πολέμου δι' ἀπειρίαν καὶ θρασύτητα τῶν ἡγεμόνων· εἰ δ' οὖν εὐτυχία τις γένοιτο, καὶ καταλυθείη Καῖσαρ, οὐ μενεῖν ἐν Ῥώμῃ, φεύξεσθαι δὲ τὴν χαλεπότητα καὶ πικρίαν τοῦ Σκιπίωνος, ἤδη τότε δεινὰς καὶ ὑπερηφάνους ποιουμένου κατὰ πολλῶν ἀπειλάς. ἀπέβη δὲ μᾶλλον ἢ προσεδόκα· καὶ περὶ ἑσπέραν βαθεῖαν ἧκέν τις ἀπὸ στρατοπέδου τριταῖος, ἀγγέλλων ὅτι μάχης μεγάλης πρὸς Θάψῳ γενομένης, διέφθαρται παντάπασι τὰ πράγματα, καὶ κρατεῖ Καῖσαρ τῶν στρατοπέδων· Σκιπίων δὲ καὶ Ἰόβας σὺν ὀλίγοις ἐκπεφεύγασιν, ἡ δὲ ἄλλη δύναμις ἀπόλωλεν.

Τούτων προσπεσόντων, ἡ μὲν πόλις οἷον εἰκὸς ἐν νυκτὶ καὶ πολέμῳ, πρὸς τοιοῦτον ἄγγελμα μικροῦ δεῖν ἔκφρων γενομένη, μόλις ἑαυτὴν ἐντὸς τειχῶν κατεῖχεν· ὁ δὲ Κάτων προσελθὼν, τότε μὲν ὡς ἑκάστοις ἀπήντα διαθέουσι

καὶ

vicacia floccifecit, ac Catoni ſemel ignaviam objiciens ſcripſit, Satiſne eſſet ei quod in urbe & intra mœnia deſideret, niſi etiam prohiberet aliis conſilio pro tempore uti audacter? Ad ea reſcripſit Cato, paratum ſe cum eo peditatu & equitatu quos in Africam advexerat trajicere in Italiam, Cæſaremque retrahere & vertere ab ipſis in ſe. Quæ ubi irriſit Scipio, præ ſe tulit aperte pœnitere ſe quod imperium permiſiſſet ei, ratus nec bellum recte Scipionem adminiſtraturum, nec (ſi præter ſpem ſucceſſum habuiſſet,) uſurum victoria in cives moderate. Itaque hæc ſententia fuit Catonis, atque apud familiares prædicavit, ob ducum imperitiam & ferociam nullam habere ſe de bello bonam ſpem: quod ſi proſpere quid cecidiſſet & oppreſſus eſſet Cæſar, non remanſurum ſe Romæ, ſed ſævitiam & acerbitatem fugiturum Scipionis, qui jam tum graviter & ſuperbe multis minitaretur. Id vero citius quam exſpectabat evenit: ac circa primas tenebras accurrit quidam qui tertio die venerat ex caſtris, annuncians ingenti prœlio ad Thapſum contracto omnia perdita eſſe; Cæſarem caſtris potitum; Scipionem & Jubam cum paucis effugiſſe; omnem cæſum reliquum exercitum.

Hoc caſu cives, ut veriſimile eſt nocte & in bello, ad eum nuncium pene amentes facti, vix continuerunt ſeſe intra mœnia. At Cato progreſſus, ut cuique occurrit, diſcurrentes & clamantes retinens conſo-

S

ſo-

καὶ βοῶσιν ἐπιλαμβανόμενος καὶ παραμυθούμενος, ἀφῄρει τοῦ δέους τὸ περιθαμβὲς καὶ ταραχῶδες, ὡς οὐ τηλικούτων ἴσως γεγονότων, ἀλλὰ ἐπὶ μεῖζον αἰρομένων τῷ λόγῳ· καὶ κατέστησε τὸν θόρυβον. ἅμα δ' ἡμέρᾳ τοὺς τριακοσίους, οἷς ἐχρῆτο βουλῇ, Ῥωμαίους μὲν ὄντας, ἐν δὲ Λιβύῃ πραγματευομένους ἀπὸ ἐμπορίας καὶ δανεισμῶν, εἰς ἱερὸν Διὸς ἐκήρυττεν συνιέναι, καὶ ὅσοι παρῆσαν ἀπὸ συγκλήτου, καὶ παῖδας αὐτῶν. ἔτι δὲ συλλεγομένων ἐκείνων, προσελθὼν ἀθορύβως καὶ μετ' εὐσταθείας, ὥσπερ οὐδενὸς καινοῦ γεγονότος, βιβλίον ἔχων ἐν ταῖς χερσὶν ἀνεγίνωσκεν. ἦν δὲ ἀναγραφὴ τῶν πρὸς τὸν πόλεμον ὀργάνων, ὅπλων, σίτου, τόξων, ὁπλιτῶν. ἐπεὶ δὲ συνῆλθον, ἀρξάμενος ἀπὸ τῶν τριακοσίων, καὶ διελθὼν πολὺν ἔπαινον τῆς προθυμίας αὐτῶν καὶ τῆς πίστεως, ἣν ἐπεδείξαντο καὶ χρήμασι καὶ σώμασι καὶ βουλαῖς ὠφελιμώτατοι γενόμενοι, παρεκάλει μὴ διαλυθῆναι ταῖς ἐλπίσιν ἕκαστον αὐτῶν, φυγὴν ἰδίαν ἢ ἀπόδρασιν τινὰ ποριζόμενον. ἂν γὰρ ἐν ταὐτῷ συμμένωσιν, καὶ πολεμούντων ἧττον καταφρονήσειν Καίσαρα, καὶ φείσεσθαι μᾶλλον δεομένων. βουλεύεσθαι δ' ἐκέλευεν αὐτοὺς ὑπὲρ αὐτῶν, οὐδέτερα μεμψάμενος, ἀλλ' εἰ μὲν τρέποιντο τῇ γνώμῃ πρὸς τὴν τύχην, τῆς ἀνάγκης θησόμενος τὴν μεταβολήν· ἱσταμένων δὲ πρὸς τὰ δεινὰ, καὶ δεχομένων τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον, οὐκ ἐπαινεσόμενος μόνον, ἀλλὰ καὶ θαυμασόμενος τὴν ἀρετὴν, καὶ παρέξων ἑαυτὸν ἄρχοντα καὶ συναγωνιζόμενον· ἄχρις οὗ τὴν ἐσχάτην τύχην τῆς πατρίδος ἐξελέγξωσιν, ἣν οὐχὶ Ἰτύκην, οὐδὲ Ἀδρούμητον οὖσαν, ἀλλὰ Ῥώμην, πολλάκις ἐκ χαλεπωτέρων σφαλμάτων ὑπὸ μεγέ-

ſolanſque, abſtergebat timentibus trepidationem & exanimationem, cladem dicens forſitan non eſſe tantam, ſed extolli ſermone in majus. Ita turbam compoſuit. Simul atque diluxit, convocavit per præconem in templum Jovis trecentos, (hi cives Romani erant qui in Africa negotiabantur, & fœnus exercebant) ſimulque omnes ſenatores & eorum filios. Dum illi coguntur, accedens compoſito & tranquillo vultu, quaſi nihil accidiſſet novi, libellum quem tenebat manibus legebat. Breviarium erat inſtrumenti bellici, armorum, frumenti, telorum, militum. Ubi convenerunt, exorſus a trecentis, laudata eximie eorum alacritate & fide quam demonſtraverant, quod pecunia, corporibus, conſiliis rempublicam enixiſſime juviſſent, exhortatus eos eſt ne diverſam ſpem intenderent, alius aliam fugam & errorem quærentes. Nam ſi una cohærerent, & bellantes minus Cæſarem deſpecturum, & magis parſurum ſupplicibus. Monuit autem eos ut de rebus ſuis deliberarent; de neutro ſe conſilio incuſaturum ipſos: verum ſi animo ad fortunam inclinarent, adſcripturum mutationem eorum neceſſitati. Quod ſi reſiſterent malis, & diſcrimen pro libertate ſubirent, non commendaturum modo, ſed etiam virtutem eorum admiraturum, præbiturumque ipſis ducem ſe & commilitonem, quoad noviſſimam patriæ fortunam exploraſſent: non Uticam eam neque Adrumetum, ſed Romam eſſe; quæ ſæpe ob magnitudinem ſuam erexiſſet ſe ex gravioribus lapſibus. Ip-

μεγέθους ἀναφέρεσθαι. πολλῶν δὲ αὐτοῖς εἰς σωτηρίαν καὶ ἀσφάλειαν ὑποκειμένων, καὶ μεγίστου, πρὸς ἄνδρα πολεμεῖν ἐπὶ πολλὰ τοῖς καιροῖς ἀνθελκόμενον, Ἰβηρίας τε πρὸς Πομπήϊον ἀφεστώσης τὸν νέον, αὐτῆς τε τῆς Ῥώμης οὔπω δι' ἀήθειαν παντάπασι δεδεγμένης τὸν χαλινὸν, ἀλλ' ἀναξιοπαθούσης, καὶ συνεξανισταμένης πρὸς πᾶσαν μεταβολήν· οὐδὲ τὸν κίνδυνον εἶναι φευκτέον, ἀλλὰ ἔχειν διδάσκαλον τὸν πολέμιον, ἀφειδοῦντα τῆς ψυχῆς ἐπὶ ταῖς μεγίσταις ἀδικίαις, οὐχ ὥσπερ ἑαυτοῖς, εἰς τὸν εὐτυχέστατον βίον κατορθοῦσιν, ἢ πταίουσιν εἰς τὸν εὐκλεέστατον θάνατον, τὴν ἀδηλότητα τοῦ πολέμου τελευτᾷν. οὐ μὴν ἀλλ' ἐκείνους γε δεῖν ἔφη βουλεύεσθαι καθ' ἑαυτοὺς, συνευχομένους ἀντὶ τῆς πρόσθεν ἀρετῆς καὶ προθυμίας αὐτοῖς τὰ δόξαντα συνενεγκεῖν.

Τοιαῦτα τοῦ Κάτωνος εἰπόντος, ἦσαν μὲν οἱ καὶ τοῖς λόγοις ἀγόμενοι πρὸς τὸ θαῤῥεῖν, οἱ δὲ πλεῖστοι πρὸς τὸ ἀδεὲς καὶ γενναῖον αὐτοῦ καὶ φιλάνθρωπον ὀλίγου δεῖν ἐκλαθόμενοι τῶν παρόντων, ὡς μόνον ὄντα τοῦτον ἀήττητον ἡγεμόνα, καὶ πάσης κρείττονα τύχης ἐδέοντο χρῆσθαι καὶ σώμασιν αὐτῶν καὶ χρήμασιν καὶ ὅπλοις, ὅπως αὐτὸς ἔγνωκε· κρεῖττον γὰρ ἐκείνῳ πειθομένους ἀποθανεῖν, ἢ σώζεσθαι προδόντας ἀρετὴν τοσαύτην. εἰπόντος δέ τινος ὡς χρὴ ψηφίσασθαι δούλοις ἐλευθερίαν, καὶ τῶν πλείστων συνεπαινεσάντων, οὐκ ἔφη τοῦτο ποιήσειν ὁ Κάτων· οὐ γὰρ εἶναι νόμιμον οὐδὲ δίκαιον· αὐτῶν μέντοι τῶν δεσποτῶν ἀφιέντων, τοὺς ἐν ἡλικίᾳ δέχεσθαι. γινομένων δὲ πολλῶν ὑποσχέσεων,

κε-

Ipſis vero cum multa ad ſalutem & incolumitatem patere, tum illud maxime, quod bellum gererent cum homine qui in diverſa temporibus retraheretur: Hiſpaniam ad Pompeium juvenem defeciſſe; ipſam Romam jugi inſolentem nondum plane recepiſſe frænum, verum indigne calcari, atque ad omnem exſurrecturam mutationem. Neque porro refugiendum eſſe periculum, ſed doctorem eos habere hoſtem ipſum, qui quo maxima ſcelera tranſigat, minime parcat vitæ: cui non ſicut ipſis in feliciſſimam vitam, ſi victores fuerint, aut, ſi impegerint, in mortem glorioſiſſimam incerta belli terminatura. Veruntamen debere eos ait ſecum rem perpendere, vota facientes ut ſuperiore pro virtute atque animi propenſa voluntate quæ deliberaſſent fauſte ac feliciter evenirent.

Poſtquam finem dicendi Cato fecit, fuerunt quibus etiam faceret oratio ejus animos. Plerique vero ob conſtantiam ejus, animi celſitudinem & humanitatem, periculi pene obliti præſentis, tanquam unum hunc invictum ducem & omni ſuperiorem fortuna, oraverunt uteretur ex ſententia ſua & ipſorum corporibus & facultatibus & armis: præſtare enim illi parentes vitam abjicere, quam incolumes eſſe virtute prodita tam excellente. Quum ibi mentionem quidam intuliſſet, decernendam ſervis libertatem, idque comprobaſſent plerique, negavit id ſe Cato facturum: neque enim id legitimum vel juſtum eſſe: verum ſi domini ipſi manumiſiſſent eos, recepturum ſe adultos. Multis hic pollicitationi-

bus

κελεύσας ἀπογράφεσθαι τὸν βουλόμενον, ἀπηλλάττετο, καὶ μετὰ μικρὸν ἧκεν αὐτῷ γράμματα παρὰ Ἰόβα καὶ Σκιπίωνος· Ἰόβα μὲν, ἐν ὄρει κεκρυμμένου μετ' ὀλίγων, ἐρωτῶντος ὅ, τι πράττειν δέδοκται τῷ Κάτωνι· καὶ γὰρ περιμένειν Ἰτύκην ἐκλιπόντα, καὶ πολιορκουμένῳ μετὰ στρατιᾶς ἐπιβοηθήσειν· Σκιπίωνος δὲ πρὸς ἄκρα τινὶ ναυλοχοῦντος, οὐ πόῤῥω τῆς Ἰτύκης ἐπὶ τοῖς αὐτοῖς καραδοκοῦντος.

Ἔδοξεν οὖν τῷ Κάτωνι τοὺς γραμματοφόρους ἐπισχεῖν, ἄχρι οὗ βεβαιώσῃ τὰ παρὰ τῶν τριακοσίων. οἱ μὲν γὰρ ἀπὸ βουλῆς ἦσαν πρόθυμοι, καὶ τοὺς οἰκέτας εὐθὺς ἀφιέντες ἐλευθέρους ὥπλιζον. τῶν δὲ τριακοσίων, ἅτε δὴ πλωτικῶν καὶ δανειστικῶν ἀνθρώπων, καὶ τὸ πλεῖστον ἐν τοῖς οἰκέταις τῆς οὐσίας ἐχόντων, οὐ πολὺν οἱ Κάτωνος λόγοι χρόνον ἐμμείναντες ἐξεῤῥύησαν. καθάπερ τῶν σωμάτων τὰ μὲν ἀναδέχεται ῥᾳδίως τὴν θερμότητα, καὶ πάλιν μεθίησι, τοῦ πυρὸς ἀπαχθέντος ψυχόμενα· παραπλησίως ἐκείνους ὁ μὲν Κάτων ὁρώμενος ἀνεζωπύρει καὶ διεθέρμαινεν, αὐτοὺς δ' ἑαυτοῖς λόγον διδόντας ὁ Καίσαρος φόβος ἐξέκρουσε τῆς πρὸς Κάτωνα καὶ τὸ καλὸν αἰδοῦς. Τίνες γὰρ, ἔφασαν, ὄντες, καὶ τίνι τὸ προστασσόμενον ποιεῖν ἀπαξιοῦμεν; οὐχὶ Καῖσαρ μέν ἐστιν, εἰς ὃν ἡ Ῥωμαίων ἅπασα περιέστηκεν ἰσχύς; ἡμῶν δὲ Σκιπίων οὐδεὶς, οὐδὲ Πομπήϊος, οὐδὲ Κάτων. ἀλλὰ ἐν οἷς καιροῖς πάντες ἄνθρωποι ταπεινότερα τῶν προσηκόντων διὰ φόβον φρονοῦσιν, ἐν τούτοις ἡμεῖς ὑπερμαχοῦντες τῆς Ῥωμαίων ἐλευθερίας, πολεμοῦμεν ἐξ Ἰτύκης ᾧ Κάτων μετὰ Πομπηΐου Μάγνου φεύγων ὑφεῖτο τῆς Ἰταλίας· καὶ δούλους ἐλευθεροῦμεν κατὰ Καί-

bus factis, quum nomina dare quibus placeret juſſiſſet, digreſſus eſt. Paulo poſt literæ ei a Juba & Scipione ſunt redditæ. Juba in monte quodam abditus quærebat quid conſilii cepiſſet Cato. Nam expectaturum oſtendit ſe eum, ſi Uticam deſereret: & ſi ferre decreviſſet obſidionem, ſuppetias ei cum exercitu venturum. Scipio ſub promontorio quodam non procul Utica in ancoris ſtans eundem in finem præſtolabatur.

Igitur Catoni viſum retinere tabellarios, dum certi quid ſtatuiſſent trecenti. Omnes enim ſenatorii ordinis alacres erant, ſervoſque extemplo manumiſſos armabant. At trecentis, viris naviculariis ſcilicet & fœneratoribus, qui maximam facultatum partem habebant in ſervitiis, non diu Catonis oratio adhæreſcens effluxit. Sicut corpora aliqua facile calorem admittunt, rurſuſque emittunt, amoto igne frigeſcentia: haud aliter illos adſpectus excitabat & fervefaciebat Catonis, cæterum reputantibus rem ſecum, extorquebat Cæſaris metus Catonis & honeſti reverentiam. Ita enim dicebant, Qui nos, & cui dedignamur dicto eſſe audientes? Nonne Cæſar hic, ad quem omnis populi Romani recidit potentia? Nemo noſtrum Scipio eſt, vel Pompeius, vel Cato: at quo tempore omnes mortales animos præter dignitatem ex metu ſummiſerunt, hoc nos ad tuendam populi Romani libertatem gerimus ex Utica bellum, adverſus eum cui fugiens Cato cum Pompeio Magno Italia ceſſit? Servos libertate

Καίσαρος, οἷς αὐτοῖς ἐλευθερίας ὅσον ἂν ἐκεῖνος θέλῃ μέτεστιν; ἀλλ' ἔτι νῦν, ὦ μοχθηροὶ, γνόντες ἑαυτοὺς, παραιτώμεθα τὸν κρατοῦντα, καὶ πέμψωμεν τοὺς δεησομένους. ταῦτα οἱ μετριώτατοι τῶν τριακοσίων παρῄνουν. οἱ δὲ πλεῖστοι τοῖς συγκλητικοῖς ἐπεβούλευον, ὡς, εἰ τούτους συλλάβοιεν, ἱλασόμενοι τὴν πρὸς αὐτοὺς ὀργὴν τοῦ Καίσαρος.

Ὁ δὲ Κάτων ὑπονοῶν τὴν μεταβολὴν, οὐκ ἤλεγχεν. τῷ μέντοι Σκιπίωνι καὶ τῷ Ἰόβᾳ γράψας ἀπέχεσθαι τῆς Ἰτύκης ἀπιστίᾳ τῶν τριακοσίων, ἐξέπεμψε τοὺς γραμματοφόρους. τῶν δὲ ἱππέων οἱ διαφυγόντες ἀπὸ τῆς μάχης, ἀριθμὸς οὐκ εὐκαταφρόνητος, προσελάσαντες τῇ Ἰτύκῃ, πέμπουσι πρὸς τὸν Κάτωνα τρεῖς ἄνδρας, οὐ τὴν αὐτὴν γνώμην ἀπὸ πάντων ἔχοντας. οἱ μὲν γὰρ ἀπιέναι πρὸς Ἰόβαν, οἱ δὲ τῷ Κάτωνι προσχωρεῖν ὥρμηντο· τοὺς δὲ καὶ δέος εἶχεν εἰς Ἰτύκην παριέναι. ταῦτα ὁ Κάτων ἀκούσας, τοῖς μὲν τριακοσίοις ἐκέλευσε προσέχειν Μάρκον Ῥούβριον, ἀτρέμα τὰς ἀπογραφὰς τῶν ἐλευθερούντων δεχόμενον, καὶ μὴ προσβιαζόμενον· αὐτὸς δὲ τοὺς συγκλητικοὺς ἀναλαβὼν, προῆλθεν ἔξω τῆς Ἰτύκης, καὶ τοῖς ἱππάρχοις ἐνέτυχεν, δεόμενος μὴ προέσθαι Ῥωμαίων ἄνδρας ἀπὸ βουλῆς τοσούτους, μηδὲ Ἰόβαν ἑλέσθαι στρατηγὸν ἀντὶ Κάτωνος· ἀλλὰ σώζεσθαι κοινῇ καὶ σώζειν, παρελθόντας εἰς πόλιν οὔτε κατὰ κράτος ἁλώσιμον, εἰς ἔτη δὲ πάμπολλα σῖτον καὶ τὴν ἄλλην παρασκευὴν ἔχουσαν. ταῦτα δὲ καὶ τῶν συγκλητικῶν δεομένων καὶ δακρυόντων, οἱ μὲν ἵππαρχοι διελέγοντο τοῖς ἱππεῦσιν· ὁ δὲ Κάτων ἐπὶ χώματός τινος καθίσας μετὰ τῶν συγκλητικῶν, ἀνέμενεν τὰς ἀποκρίσεις.

Ἐν

bertate donamus, quibus ipſis tantum eſt libertatis quantum illi viſum erit relictum? At etiam nunc o miſeri cognoſcentes noſmetipſos, veniam petamus a victore, & legatos ſupplices mittamus. Hæc moderatiſſimi trecentorum ſubjiciebant. Maxima vero pars inſidiabatur ſenatoribus, tanquam ſi hos corripuiſſent, iram in ſe Cæſaris placaturi.

Odoratus eſt Cato conſilii mutationem, non tamen excuſſit, ſed Scipioni & Jubæ remiſit tabellarios, per quos ſcripſit iis Utica ut abſtinerent, ob ſuam de trecentis diffidentiam. At equites qui profugerant ex pugna non contemnendo numero, profecti Uticam tres miſerunt ad Catonem; non erant tamen ejuſdem omnes ſententiæ. Nam alii recipere ſe ad Jubam, alii adjungere Catoni moliebantur, pars intrare timebant Uticam. His Catoni nunciatis, M. Rubrio imperat ut trecentis intendat, ac nomina ſilentio recipiat ſervos manumittentium, nec cogat quenquam. Tum aſſumptis ſecum ſenatoribus extra urbem progreſſus præfectos equitum convenit, orans ne projicerent tot Romanos ſenatores, neque ducem pro Catone caperent Jubam, verum in communi ſalutem quærerent, & urbem ingrederentur. Eſſe eam prorſus inexpugnabilem, in qua commeatus & alia neceſſaria in multos annos ſint. Eadem ſenatoribus rogantibus lacrymantibuſque præfecti convenerunt equites. Interea Cato in aggere quodam ſedens cum ſenatoribus, reſponſum operiebatur.

 Ru-

Ἐν δὲ τούτῳ παρῆν ὁ Ῥούβριος, σὺν ὀργῇ κατηγορῶν τῶν τριακοσίων ἀκοσμίαν πολλὴν καὶ θόρυβον, ὡς ἀφισταμένων καὶ διαταραττόντων τὴν πόλιν. ἐφ᾽ οἷς οἱ μὲν ἄλλοι παντάπασιν ἀπογνόντες ἑαυτῶν εἰς δάκρυα καὶ ὀδυρμοὺς ἐξέπεσον· ὁ δὲ Κάτων ἐκείνους τε θαρσύνειν ἐπειρᾶτο, καὶ πρὸς τοὺς τριακοσίους ἔπεμψεν, ἀναμεῖναι κελεύων. οἱ δὲ ἀπὸ τῶν ἱππέων ἧκον, οὐ μέτρια προστάττοντες. ἔφασαν γὰρ οὔτε Ἰόβα δεῖσθαι μισθολογοῦντος, οὔτε Καίσαρα φοβεῖσθαι, Κάτωνος αὐτῶν ἄρχοντος· Ἰτυκαίοις δὲ, Φοίνιξιν ἀνθρώποις εὐμεταβόλοις συγκαθείργνυσθαι, δεινὸν εἶναι. καὶ γὰρ εἰ νῦν ἀτρεμοῦσιν, ὅταν Καῖσαρ ἐπίῃ, συνεπιθήσεσθαι καὶ προδώσειν. εἴπερ οὖν δεῖταί τις αὐτῶν συμπολεμούντων καὶ συμπαρόντων, ἐκβαλὼν ἅπαντας Ἰτυκαίους ἢ διαφθείρας, οὕτως εἰς πόλιν καθαρὰν πολεμίων καὶ βαρβάρων καλείτω. ταῦτα ὁ Κάτων ἄγρια μὲν δεινῶς ἡγεῖτο καὶ βάρβαρα, πρᾴως δὲ ἀπεκρίνατο, βουλεύσεσθαι μετὰ τῶν τριακοσίων. καὶ παρελθὼν αὖθις εἰς τὴν πόλιν ἐνετύγχανε τοῖς ἀνδράσιν, οὐκ ἐπισκήψεις οὐδὲ παραγωγὰς πλασσομένοις ὑπ᾽ αἰδοῦς πρὸς αὐτὸν, ἄντικρυς δὲ χαλεπαίνουσιν, εἴ τις αὐτοὺς βιάζοιτο πολεμεῖν Καίσαρι, μὴ δυναμένους μηδὲ βουλομένους. ἔνιοι δὲ καὶ παρεφθέγγοντο περὶ τῶν συγκλητικῶν, ὡς καθεκτέον ἐν τῇ πόλει Καίσαρος παρόντος. ἀλλὰ τοῦτο μὲν οὐκ ἀκούσας ὁ Κάτων παρῆκεν· καὶ γὰρ ἦν ὑποκωφότερος· ὡς δέ τις αὐτῷ προσελθὼν ἀπήγγειλε, τοὺς μὲν ἱππεῖς ἀπιέναι, φοβηθεὶς μὴ παντάπασιν οἱ τριακόσιοι κατὰ τῶν συγκλητικῶν ἀπονοηθῶσιν, ἐβάδιζε μετὰ τῶν φίλων ἐξαναστάς· καὶ θεασάμενος ἤδη προκεχωρηκότας, ἵππον λαβὼν, ἐδίωκε πρὸς αὐτούς.

Rubrius inter hæc advenit ira inflammatus, trecentorumque magnum fluctum & tumultum inſectatus eſt, deficientium & civitatem ſolicitantium. Unde multi abjecta ſemel ſalutis ſpe in lacrymas & lamentationes ſe conjecere. Cato vero cum hos confirmavit, tum ad trecentos miſit petitum ut aliquantiſper ſuſtinerent. At præfecti non mediocria poſtulata equitum retulere. Oſtenderunt enim nec quærere eos ut Jubæ forent mercenarii, nec ſe Cæſarem duce formidare Catone, cæterum cum Uticenſibus ut concluderentur, hominibus Punicis & levibus, id ſibi eſſe grave. Etenim ut nunc conquieſcant, ubi advenerit Cæſar, conſpiraturos in ipſos, proditurosque. Proinde ſiquis ſocietatem & præſentiam expetat ſuam, ut ille ejectis vel interfectis Uticenſibus cunctis ita ipſos in vacuam invitaret hoſtibus ac barbaris urbem. Hæc nimium fera Cato & barbara cenſens, reſpondit benigne tamen, cum trecentis ſe deliberaturum. Reverſus in urbem convenit eos. At illi non jam circuitiones reverentia ejus neque delinimenta in ſpeciem fingere, ſed aperte ſtomachari, ſiquis non valentes & nolentes bellum gerere cogeret cum Cæſare. Aliqui etiam obiter ſenatorum meminerunt, retinendos in urbe in adventum Cæſaris. Verum id ſe audiſſe diſſimulavit Cato: etenim erat nonnihil ſurdaſter. Quum autem nunciaſſet ei quidam abſcedere equites, veritus ne omnino conſulerent crudelius aliquid trecenti in ſenatores, confeſtim profectus eſt cum amicis ad illos. Ubi conſpexit aliquantulum progreſſos, equo accepto, eſt eos inſequutus.

αὐτούς. οἱ δὲ ἰδόντες ἄσμενοι προσελαύνοντα, καὶ ἐδέξαντο καὶ παρεκάλουν σῴζεσθαι μετ' αὐτῶν. τότε καὶ δακρῦσαι τὸν Κάτωνα φασὶν, ὑπὲρ τῶν συγκλητικῶν δεόμενον καὶ προτείνοντα τὰς χεῖρας, ἐνίων δὲ καὶ τοὺς ἵππους ἀναστρέφοντα, καὶ τῶν ὅπλων ἀντιλαμβανόμενον, μέχρι οὗ κατειργάσατο τὴν γοῦν ἡμέραν ἐκείνην ἐπιμείναντας ἀσφαλῆ τοῖς ἀνδράσι φυγὴν παρασχεῖν.

Ὡς οὖν ἔχων αὐτοὺς ἀφίκετο, καὶ τοὺς μὲν ἐπὶ τὰς πύλας κατέστησεν, τοῖς δὲ τὴν ἄκραν φυλάττειν παρέδωκεν, ἔδεισαν οἱ τριακόσιοι μὴ δίκην δῶσιν τῆς μεταβολῆς· καὶ πρὸς τὸν Κάτωνα πέμποντες, ἐδέοντο πάντως ἀφικέσθαι πρὸς αὐτούς. οἱ δὲ συγκλητικοὶ περιχυθέντες οὐκ εἴων, οὐδὲ ἔφασαν προήσεσθαι τὸν κηδεμόνα καὶ σωτῆρα τοῖς ἀπίστοις καὶ προδόταις. σαφεστάτη γὰρ, ὡς ἔοικεν, αἴσθησις τότε παρέστη καὶ πόθος καὶ θαῦμα τῆς Κάτωνος ἀρετῆς πᾶσιν ὁμαλῶς τοῖς ἐν τῇ Ἰτύκῃ γενομένοις, ὡς οὐδὲν ἄρα κίβδηλον οὔτε ἀπατηλὸν ἐμέμικτο τοῖς πραττομένοις ὑπ' αὐτοῦ. πάλαι δὲ ἄνθρωπος ἑαυτὸν ἐγνωκὼς ἀνελεῖν, δεινοὺς πόνους ἐπόνει, καὶ φροντίδας καὶ ὠδῖνας εἶχεν ὑπὲρ ἄλλων, ὅπως εἰς ἀσφαλὲς καταστήσας ἅπαντας ἀπαλλάξαιτο τοῦ ζῆν. οὐ γὰρ ἦν ἄδηλος ἡ πρὸς τὸν θάνατον αὐτοῦ φορὰ, καίπερ οὐ πάσχοντος. ὑπήκουσεν οὖν τότε τοῖς τριακοσίοις, παραμυθησάμενος τοὺς συγκλητικούς· καὶ μόνος ἧκεν πρὸς αὐτοὺς, χάριν ἔχειν ὁμολογοῦντας, καὶ δεομένους τὰ μὲν ἄλλα χρῆσθαι καὶ πιστεύειν· εἰ δὲ Κάτωνες οὐκ εἰσὶν, οὐδὲ τὸ Κάτωνος φρόνημα χωροῦσιν, οἰκτείρειν τὴν ἀσθένειαν αὐτῶν. ἐγνωκότες δ' οὖν Καίσαρος δεῖσθαι καὶ πέμπειν πρὸς αὐτὸν,

ὑπὲρ

inſequutus. Illi læti advehentem viderunt receperuntque, orantes ſecum quæreret ſalutem. Ibi Catonem lacrymas quoque ferunt profudiſſe, dum precatur pro ſenatoribus & manus ſupplices tendit: aliquorum equos quoque circumegiſſe, atque arma corripuiſſe, quoúſque impetravit ut illum ſaltem diem remanerent, & fugam præſtarent ſenatoribus ſecuram.

Poſtquam cum his rediit, ac partim in portis collocavit, partim tradidit eis arcem cuſtodiendam, trepidaverunt trecenti, ne pœnas penderent inconſtantiæ ſuæ: miſſiſque certis ad Catonem, obſecraverunt eum ut omnino ad ipſos veniret. Verum circumfuſi ei ſenatores prohibuerunt, negaveruntque perfidis & proditoribus permiſſuros ſe tutorem ſuum & ſervatorem. Tunc enim clariſſime, meo judicio, amplexi & admirati ſunt, ſenſeruntque Catonis virtutem ex æquo omnes qui Uticæ tunc erant, nihil fuiſſe profecto in Catonis factis admiſtum, adulterinum vel fucatum. Qui quum jamdudum mortem ſibi ſtatuiſſet afferre, miros labores, ſolicitudines, dolores ſuſcepit pro aliis, quo illos quum in tuto collocaſſet, tum ipſe ſuam deponeret vitam. Neque vero erat obſcurum, quantumvis diſſimularet, fixum ei eſſe conſciſcere ſibi necem. Itaque lenitis ſenatoribus, geſſit morem trecentis, ſolusque eſt ad eos profectus. Illi gratias ei egerunt, precatique in cæteris ut opera ſua uteretur ac fideret ipſis. Quod autem Catones non eſſent, neque animos caperent Catonis, ignoſceret infirmitati ſuæ. Decreviſſe ſe deprecari Cæſarem, atque legatos ad eum mittere,

qui

ὑπὲρ ἐκείνου μάλιστα καὶ πρώτου ποιήσασθαι δέησιν· εἰ δὲ μὴ πείθοιεν, οὐδὲ αὐτοῖς διδομένην δέξασθαι τὴν χάριν, ἀλλ' ἄχρι ἂν ἐμπνέωσιν πολεμήσειν ὑπὲρ ἐκείνου. πρὸς ταῦτα ὁ Κάτων ἐπαινέσας τὴν εὔνοιαν, ἔφη χρῆναι τῆς αὐτῶν σωτηρίας ἕνεκα πέμπειν κατὰ τάχος, ὑπὲρ αὐτοῦ δὲ μὴ δεῖσθαι· κεκρατημένων γὰρ εἶναι δέησιν, καὶ ἀδικούντων παραίτησιν. αὐτὸς δὲ οὐ μόνον ἀήττητος γεγονέναι παρὰ πάντα τὸν βίον, ἀλλὰ καὶ νικᾶν ἐφ' ὅσον ἐβούλετο, καὶ κρατεῖν Καίσαρος τοῖς καλοῖς καὶ δικαίοις. ἐκεῖνον δὲ εἶναι τὸν ἑαλωκότα καὶ νενικημένον· ἃ γὰρ ἠρνεῖτο πράττων κατὰ τῆς πατρίδος πάλαι, νῦν ἐξηλέγχθαι καὶ πεφωρᾶσθαι.

Ταῦτα διαλεχθεὶς τοῖς τριακοσίοις ἀπηλλάττετο· καὶ πυθόμενος Καίσαρα πᾶσαν ἄγοντα τὴν στρατιὰν ἤδη καθ' ὁδὸν εἶναι, Παπαί, εἶπεν, ὡς ἐπ' ἄνδρας ἡμᾶς ἐκεῖνος. καὶ τραπόμενος πρὸς τοὺς συγκλητικούς, ἐκέλευε μὴ μέλλειν, ἀλλ' ἕως παραμένουσιν οἱ ἱππεῖς σώζεσθαι. καὶ τὰς μὲν ἄλλας ἀπέκλεισε θύρας, μιᾷ δὲ τῇ πρὸς θάλασσαν φερούσῃ τά τε πλοῖα τοῖς ὑφ' ἑαυτὸν διένειμεν, καὶ τάξεως ἐπεμελεῖτο, παύων τὰς ἀδικίας, καὶ διαλύων τοὺς θορύβους, καὶ τοὺς ἀπόρως ἔχοντας ἐφοδιάζων. ἐπεὶ δὲ Μάρκος Ὀκτάβιος ἄγων δύο τάγματα πλησίον κατεστρατοπέδευσεν, καὶ πέμπων ἠξίου τὸν Κάτωνα περὶ ἀρχῆς διορίσασθαι πρὸς αὐτόν, ἐκείνῳ μὲν οὐθὲν ἀπεκρίνατο, πρὸς δὲ τοὺς φίλους εἶπεν, Εἶτα θαυμάζομεν ὅπως ἀπόλωλε τὰ πράγματα, τὴν φιλαρχίαν ὁρῶντες ἡμῖν ἐν αὐτῷ τῷ ὀλέθρῳ βεβηκόσι παραμένουσαν; ἐν τούτῳ δὲ τοὺς ἱππεῖς ἀκούσας ἀπιόντας ἤδη φέρειν καὶ ἄγειν τὰ τῶν

Ἰτυ-

qui præcipue pro ipſo eſſent & primo deprecaturi. Si non obtinuiſſent, ne conceſſum quidem ipſis beneficium recepturos, verum dum ſpirarent propugnaturos pro eo. Ad ea Cato commendata illorum benevolentia reſpondit, propere eis eſſe pro ipſorum ſalute mittendum, at nihil pro ſe expoſcendum precibus. Victos enim ſupplices eſſe, atque eos qui deliquerunt veniam debere petere: ſe vero per totam vitam non invictum modo permanſiſſe a Cæſare, verum etiam eſſe quatenus vellet, victorem, Cæſaremque virtute ſuperare & juſtitia, illum victum eſſe & captum: quæ enim moliri jamdudum inficiatus eſſet in patriam, nunc convictum de his atque deprehenſum.

Ita ad trecentos fatus, abſceſſit. Quum allatum eſſet Cæſarem jam cum toto exercitu eſſe in itinere, Papæ, inquit, ut in viros nos ille! Ac converſus ad ſenatores, monuit eos ut maturarent, &, dum equites ibi operirentur, conſulerent ſaluti. Inde cæteris obſeratis portis, ex una, quæ ſpectabat ad mare, diſtribuit ſuis naves, curamque geſſit ut fierent omnia ordine. Injurias repreſſit, tumultus ſedavit, inopibuſque præbuit viaticum. Quum vero M. Octavius cum duabus legionibus prope urbem conſediſſet, miſſiſque legatis poſtularet a Catone ut ſtatueret ſecum quatenus utriuſque imperium eſſet: nihil illi reſpondit, ſed ait ad amicos, Et miramur nos res concidiſſe noſtras, quum ambitionem retinere nos in ipſo videamus exitio verſatos? Interea equites audiens diſcedere, & bona Uticenſium

Ἰτυκαίων ὥσπερ λάφυρα, δρόμῳ συνέτεινε πρὸς αὐτοὺς, καὶ τοῖς πρώτοις ἐντυχὼν ἀφῃρεῖτο· τῶν δὲ ἄλλων ἕκαστος ἔφθανε ῥίπτων καὶ κατατιθέμενος, πάντες δὲ ὑπ' αἰσχύνης σιωπῇ καὶ κάτω βλέποντες ἀπῄεσαν. ὁ δὲ Κάτων εἰς τὴν πόλιν τοὺς Ἰτυκαίους συναγαγὼν, ἐδεῖτο περὶ τῶν τριακοσίων, μὴ παροξῦναι Καίσαρα κατ' αὐτῶν, ἀλλὰ καὶ κοινῇ τὴν σωτηρίαν πράττειν ἀλλήλοις. εἶτα πάλιν τραπόμενος πρὸς τὴν θάλατταν, ἐπεσκόπει τοὺς ἐμβαίνοντας, καὶ τῶν φίλων καὶ ξένων ὅσους ἔπεισεν, ἠσπάζετο καὶ προὔπεμψεν. τὸν δὲ υἱὸν οὐκ ἔπεισε λαβεῖν πλοῖον, οὐδὲ ᾤετο δεῖν ἀποτρέπειν περιεχόμενον τοῦ πατρός. ἦν δέ τις Στατύλλιος, ἀνὴρ τῇ μὲν ἡλικίᾳ νέος, ἰσχυρὸς δὲ τῇ γνώμῃ βουλόμενος εἶναι, καὶ τοῦ Κάτωνος ἀπομιμεῖσθαι τὴν ἀπάθειαν. τοῦτον ἠξίου πλεῖν· καὶ γὰρ ἦν καταφανὴς μισοκαῖσαρ· ὡς δὲ οὐκ ἤθελεν, Ἀπολλωνίδῃ τῷ Στωϊκῷ καὶ Δημητρίῳ τῷ Περιπατητικῷ προσβλέψας ὁ Κάτων, Ὑμέτερον, εἶπεν, ἔργον οἰδοῦντα τοῦτον μαλάξαι, καὶ καταρτίσαι πρὸς τὸ συμφέρον. αὐτὸς δὲ τοὺς λοιποὺς συνεκπέμπων, καὶ χρηματίζων τοῖς δεομένοις, τήν τε νύκτα διετέλεσεν περὶ ταῦτα, καὶ τῆς ἐπιούσης ἡμέρας τὸ πλεῖστον μέρος.

Ἐπεὶ δὲ Λεύκιος Καῖσαρ, οἰκεῖος μὲν ὢν Καίσαρος ἐκείνου, μέλλων δὲ πρεσβεύειν ὑπὲρ τῶν τριακοσίων, παρεκάλει τὸν Κάτωνα λόγον αὐτῷ συνυποθέσθαι πιθανὸν, ᾧ χρήσεται περὶ ἐκείνων· ὑπὲρ σοῦ μὲν γὰρ αὐτοῦ καὶ χειρῶν ἐμοὶ καλὸν ἅψασθαι, καὶ γόνασι προσπεσεῖν Καίσαρος· οὐκ εἴα ταῦτα ποιεῖν ὁ Κάτων αὐτόν. Ἐμοὶ γὰρ, εἶπεν, εἰ σώζεσθαι χάριτι Καίσαρος ἐβουλόμην,

um pro præda diripere, properavit ad eos incitato curſu, aſſequutuſque primos extorſit ablata. Mox reliquorum quiſque feſtinavit id quod haberet projicere & deponere, omneſque præ rubore muti & dejectis in terram oculis faceſſere. Tum Cato convocatis in urbem Uticenſibus oravit pro trecentis, ne Cæſarem incenderent in illos, verum procurarent in communi inter ſe ſalutem. Mox reverſus ad mare, conſideravit conſcendentes, amicoſque & hoſpites, quos quidem perpellere potuit, ſalutavit & proſequutus eſt. Filio non perſuaſit ut navem arriperet, neque adhærentem parenti duxit avertendum. Statyllius quidam erat vir in flore ætatis, qui forti pectore eſſe & Catonis ſubſequi obſtinatum & immotum affectabat animum. Hunc oravit ut abnavigaret: nam illuſtre erat ejus in Cæſarem odium. Ubi recuſavit, Apollonidem Stoicum & Demetrium Peripateticum intuitus Cato, Veſtri, inquit, muneris eſt tumentem hunc animo mollire atque adducere ad id quod ex uſu ejus eſt. Inde reliquos dimiſit, & vacavit illis qui operam requirebant ſuam: qua in re totam noctem conſumpſit & magna ex parte diem poſterum.

Quum L. Cæſar C. Cæſaris propinquus, qui legatus erat pro trecentis iturus, oraret Catonem ut adjuvaret ſe in concinnanda apta oratione quam eſſet pro illis habiturus, Nam pro te, inquit, etiam manus ejus attingere, & ad genua mihi fuerit honeſtum procumbere; vetuit id Cato ei ne faceret. Mihi enim, inquit, ſi incolumitatem habere Cæſaris beneficio

λόμην, αὐτῷ βαδιστέον ἦν πρὸς ἐκεῖνον μόνον. οὐ βούλομαι δὲ τῷ τυράννῳ χάριν ἔχειν ὑπὲρ ὧν παρανομεῖ. παρανομεῖ δὲ, σώζων ὡς κύριος ὧν αὐτῷ δεσπόζειν οὐδὲν προσῆκεν. ὅπως μέντοι παραιτήσῃ τοὺς τριακοσίους, κοινῇ σκοπῶμεν εἰ βούλει. γενόμενος δὲ πρὸς τούτῳ μετὰ τοῦ Λουκίου, τὸν υἱὸν αὐτῷ συνέστησε καὶ τοὺς ἑταίρους ἀπιόντι· καὶ προπέμψας ἐκεῖνον καὶ δεξιωσάμενος, ἐπανῆλθεν οἴκαδε, καὶ τὸν υἱὸν καὶ τοὺς φίλους συναγαγὼν, ἄλλα τε πολλὰ διελέχθη, καὶ πολιτείας ἀπεῖπεν ἅψασθαι τῷ μειρακίῳ. τὸ μὲν γὰρ ἀξίως Κάτωνος, οὐκ ἔτι τὰ πράγματα δέξασθαι· τὸ δὲ ἄλλως, αἰσχρὸν εἶναι. καὶ περὶ ἑσπέραν ἤδη τρέπεται πρὸς τὸ βαλανεῖον. ἐν δὲ τῷ λούεσθαι τοῦ Στατυλλίου μνησθεὶς, καὶ μέγα φθεγξάμενος, Ἐξέπεμψας, εἶπεν, ὦ Ἀπολλωνίδη τὸν Στατύλλιον ἀπὸ τοῦ φρονήματος ἐκείνου καθελών; καὶ πέπλευκεν ὁ ἀνὴρ, μηδὲ ἀσπασάμενος ἡμᾶς; Πόθεν; εἶπεν ὁ Ἀπολλωνίδης, καίτοι πολλὰ διελέχθημεν, ἀλλὰ ὑψηλός ἐστι καὶ ἄτρεπτος, καὶ μένειν φησὶ καὶ πράττειν ὅ, τι ἂν σὺ πράττῃς. πρὸς ταῦτα φασὶ τὸν Κάτωνα μειδιάσαι, καὶ εἰπεῖν, Ἀλλὰ τοῦτο μὲν αὐτίκα φανεῖται.

Λουσάμενος δὲ μετὰ πολλῶν ἐδείπνει καθήμενος, ὥσπερ εἰώθει μετὰ τὴν μάχην. οὐ γὰρ κατεκλίθη πλὴν καθεύδων. συνεδείπνουν δὲ πάντες οἱ ἑταῖροι, καὶ τῶν Ἰτυκαίων οἱ ἄρχοντες. καὶ μετὰ τὸ δεῖπνον ὁ πότος ἔσχε μοῦσαν πολλὴν καὶ χάριν, ἄλλων ἐπ᾽ ἄλλοις λόγων φιλοσόφων κυκλούντων. ἄχρι οὗ περιῆλθεν ἡ ζήτησις εἰς ταῦτα δὴ τὰ παράδοξα καλούμενα τῶν Στωϊκῶν, τὸ, μόνον εἶναι τὸν ἀγαθὸν, ἐλεύθερον· δούλους δὲ, τοὺς φαύλους ἅπαντας. ἐνταῦθα

neficio vellem, ipſi erat ad eum ſoli eundum: ſed nolo tyranno habere de ipſius flagitiis gratiam. Quippe in eo flagitium committit, quod conſervat ut dominus illos in quos non ſpectat ad eum dominatio. Verum quemadmodum pro trecentis depreceris, inter nos, ſi videtur, conſideremus. Cui rei poſtquam cum Lucio vacavit, filium abeunti & amicos commendavit. Proſequutus illum dextramque complexus, inde domum regreſſus eſt, filioque & amicis contractis, cum alia multa diſſeruit, tum filio ne attingeret rempub. interdixit: quippe eam, ut dignum eſſet Catone, haud integrum fore poſthac capeſſere: alia ratione turpe eſſe. Circa veſperum jam vertit ſe ad balneum. In balneo Statyllii memor, atque alta voce loquutus: Dimiſiſti, inquit, Apollonide, Statyllium, eique ſpiritus illos detraxiſti, & diſceſſit ille inſalutatis nobis? Haudquaquam, inquit, tametſi multa diſputaverimus, Apollonides: verum animo celſo eſt & inflexibili, aitque permanſurum ſe, & quicquid te viderit agentem, id ſe ſequuturum. Ad id Cato ferunt arriſiſſe ac dixiſſe, Id vero mox patebit.

Lotus inter frequentes cœnavit, ut conſueverat poſt prœlium, ſedens: neque enim niſi ſomni cauſa decumbebat. Cœnaverunt cum eo amici omnes & magiſtratus Uticenſium. Sub cœnam multa fuit inter pocula erudita confabulatio & feſtivitas, aliaſque ex aliis diſputationes philoſophicas verſarunt. Dum diſputat, devenit ad hæc Stoicorum admirabilia, quæ Paradoxa vocantur, Solum bonum virum liberum eſſe, omnes malos ſervos. Ibi jam

ταῦθα δὴ, ὡς εἰκὸς, ἀντιβάντος τοῦ περιπατητικοῦ, σφοδρῶς ἐμπεσὼν ὁ Κάτων, καὶ τόνον προσθεὶς καὶ τραχύτητα φωνῆς, ἀπέτεινε πορρωτάτω τὸν λόγον, ἀγῶνι θαυμαστῷ χρησάμενος· ὥστε μηδένα λαθεῖν ὅτι τῷ βίῳ πέρας ἔγνωκεν ἐπιθεὶς ἀπαλλάττεσθαι τῶν παρόντων. διὸ καὶ μετὰ τὸν λόγον σιωπῆς καὶ κατηφείας γενομένης, ἐν πᾶσιν ἀναλαμβάνων αὐτοὺς καὶ ἀπάγων τῆς ὑποψίας ὁ Κάτων, αὖθις ὑπὲρ τῶν παρόντων ἐνέβαλλεν ἐρωτήματα καὶ φροντίδας, ὡς δεδιὼς μὲν ὑπὲρ τῶν πλεόντων, δεδιὼς δὲ ὑπὲρ τῶν ὁδευόντων ἐρημίαν ἄνυδρον καὶ βάρβαρον.

Οὕτω δὲ διαλύσας τὸ σύνδειπνον, καὶ περιπατήσας μετὰ τῶν φίλων τὸν συνήθη μετὰ τὸ δεῖπνον περίπατον, καὶ τοῖς ἄρχουσι τῶν φυλάκων ἃ καιρὸς ἦν προστάξας· ἀπιὼν εἰς τὸ δωμάτιον, ἤδη τόν τε παῖδα καὶ τῶν φίλων ἕκαστον, μᾶλλον ἢ πρότερον εἰώθει, προσαγαγόμενος καὶ φιλοφρονηθεὶς, πάλιν ὑποψίαν παρέσχε τοῦ μέλλοντος. εἰσελθὼν δὲ καὶ κατακλιθεὶς, ἔλαβεν εἰς χεῖρας τῶν Πλάτωνος διαλόγων τὸν περὶ ψυχῆς· καὶ διελθὼν τοῦ βιβλίου τὸ πλεῖστον, καὶ ἀναβλέψας ὑπὲρ κεφαλῆς, ὡς οὐκ εἶδεν κρεμάμενον τὸ ξίφος (ὑφῄρητο γὰρ ὁ παῖς ἔτι δειπνοῦντος αὐτοῦ) καλέσας οἰκέτην ἠρώτησεν ὅστις λάβοι τὸ ἐγχειρίδιον. σιωπῶντος δὲ ἐκείνου, πάλιν ἦν πρὸς τὸ βιβλίον· καὶ μικρὸν διαλιπὼν, ὥσπερ οὐ σπεύδων οὐδὲ ἐπειγόμενος, ἄλλως δὲ τὸ ξίφος ἐπιζητῶν, ἐκέλευσε κομίσαι. διατριβῆς δὲ γινομένης, καὶ μηδενὸς κομίζοντος, ἐξαναγνοὺς τὸ βιβλίον, αὖθις ἐκάλει καθ' ἕνα τῶν οἰκετῶν, καὶ μᾶλλον ἐνέτεινε τὴν φωνὴν, τὸ ξίφος ἀπαιτῶν· ἑνὸς δὲ καὶ πὺξ τὸ στόμα πατάξας,

jam inſurgenti Peripatetico acriter objiciens ſe Cato, contenta & aſpera voce produxit in longum diſputationem, ac mirifice pugnavit, ut neminem ut falleret ſtatuiſſe vitæ eum finem imponere, ſeque ex præſentibus explicare moleſtiis. Quapropter quum ſilentium & mœſtitia eſſet hanc diſputationem conſequuta, quo omnibus modis erigeret eos & abduceret ab iſta ſuſpicione Cato, diſceptationes iterum de rebus præſentibus & curas movit, quaſi metuens navigantibus, metuens etiam terra pergentibus per ſitientem & barbaricam ſoli[illegible]m.

Ita ſoluto convivio, ubi ſolennem a cœna deambulationem cum amicis abſolvit, & præfectis excubiarum quæ tempus requirebat imperavit, recipiens jam ſe in cubiculum, filium & amicorum quemque arctius quam aſſueverat amplexus eſt & ſalutavit: qua re ſuſpicionem de integro movit conſilii ſui. Ingreſſus cubiculum ubi decubuit, Platonis dialogum de anima ſumpſit in manus, libroque prope evoluto ſuſpexit ſupra caput: ubi non vidit ſuſpenſum gladium, (filius enim cœnante adhuc patre ſubtraxerat eum) ſervum vocavit rogavitque quiſnam enſem abſtuliſſet. Conticeſcente illo repetiit librum, parvoque interpoſito intervallo, quaſi non inſtaret neque urgeret, ſed fortuito requireret gladium, præcepit eum adferri. Intercedente mora quum adferret nemo gladium, perlecto libro accivit denuo ſingulos ſervos, ac vocem magis intendit, enſemque repopoſcit, unum etiam pugno percuſſit, manum-

τάξας, ἥμαξε τὴν αὐτοῦ χεῖρα, χαλεπαίνων, καὶ βοῶν ἤδη μέγα, παραδίδοσθαι τῷ πολεμίῳ γυμνὸς ὑπὸ τοῦ παιδὸς αὐτοῦ καὶ τῶν οἰκετῶν. ἄχρι οὗ κλαίων ὁ υἱὸς εἰσέδραμε μετὰ τῶν φίλων, καὶ περιπεσὼν ὠδύρετο καὶ καθικέτευεν. ὁ δὲ Κάτων ἐξαναστὰς ἀνέβλεψέν τε δεινὸν, Καὶ πότε, εἶπεν, ἐγὼ καὶ ποῦ λέληθα παρανοίας ἡλωκώς; ὅτι διδάσκει μὲν οὐδεὶς οὐδὲ μεταπείθει περὶ ὧν δοκῶ κακῶς βεβουλεῦσθαι, κωλύομαι δὲ χρῆσθαι τοῖς ἐμαυτοῦ λογισμοῖς, καὶ παροπλίζομαι; τί δ' οὐχὶ καὶ συνδεῖς, ὦ γενναῖε, τὸν πατέρα, καὶ τὰς χεῖρας ἀποστρέφεις, μέχρι ἂν ἐλθὼν Καῖσαρ εὕρῃ με μηδὲ ἀμύνασθαι δυνάμενον; οὐ γὰρ ἐπ' ἐμαυτόν γε δέομαι ξίφους, ὅπου καὶ τὸ πνεῦμα βραχὺν χρόνον ἐπισχόντα, καὶ τὴν κεφαλὴν ἅπαξ πατάξαντα πρὸς τὸν τοῖχον, ἀποθανεῖν ἔνεστιν.

Ταῦτα λέγοντος αὐτοῦ, τὸ μὲν μειράκιον ἐξῆλθε μετὰ κλαυθμοῦ, καὶ πάντες οἱ λοιποί· τῷ δὲ Δημητρίῳ καὶ τῷ Ἀπολλωνίδῃ μόνοις ὑπολειφθεῖσι πρᾳότερον ἤδη λαλῶν, Ἦ που καὶ ὑμῖν, ἔφη, δέδοκται βίᾳ κατέχειν ἄνδρα τοσοῦτον ἡλικίας ἐν τῷ βίῳ, καὶ καθημένους αὐτοῦ σιωπῇ παραφυλάσσειν, ἢ λόγον ἥκετε κομίζοντες, ὡς οὐ δεινὸν οὐδὲ αἰσχρόν ἐστιν ἀποροῦντα σωτηρίας ἑτέρας Κάτωνα τὴν ἀπὸ τοῦ πολεμίου περιμένειν; τί οὖν οὐ λέγετε πείθοντες ἡμᾶς ταῦτα καὶ μεταδιδάσκοντες, ἵνα τὰς προτέρας δόξας ἐκείνας καὶ λόγους οἷς συμβεβιώκαμεν ἐκβαλόντες, καὶ γενόμενοι διὰ Καίσαρα σοφώτεροι, μείζονα χάριν εἰδῶμεν αὐτῷ; καίτοι βεβούλευμαι μὲν οὐδὲν ἔγωγε περὶ ἐμαυτοῦ·

que cruentavit, fremens atque alta jam voce vociferans nudum ſe prodi a filio & ſervis hoſti; quouſque flens filius accurrit cum amicis, ruenſque in complexum ejus cœpit lamentari & obſecrare eum. Ibi exſurgens Cato, ac ſuſtollens oculos torve, Quando tandem, inquit, ego & ubi in apertam dementiam incidi imprudens? Cur admonet nemo me, nec abducit ab his, ubi parum recte videar conſuluiſſe, ſed conſilia mea prohibeor exequi, armiſque denudor? Quin ſimul homo præclare conſtringis parentem, manuſque poſt tergum illigas, donec veniens Cæſar offendat ne defendere quidem me ipſum valentem? Neque enim in me ipſum requiro gladium, quum etiam ſpiritu brevi tempore compreſſo atque afflicto ſemel ad parietem capite exanimari liceat.

Dum ita fatur, ejulans adoleſcens omneſque reliqui cubiculo exceſſere. Demetrium vero & Apollonidem ſolos intus manentes lenius jam compellans: Utrum vos quoque, inquit, hujus ætatis virum retinere vi ſtatuiſtis in vita, deſidenteſque hic taciti aſſervare? An rationem affertis, non eſſe indignum neque fœdum, quum aliunde deſperet ſalutem Cato, eam exſpectare ab hoſte? Quin igitur hoc demonſtratis nobis perſuadetiſque atque docetis, ut placitis & doctrinis illis prioribus, in quibus ætatem trivimus, exploſis, redditi per Cæſarem ſapientiores majores ei agamus gratias? Atque nihil equidem de me ipſo conſtitutum habeo, ſed

ἐμαυτοῦ· δεῖ δέ με βουλευσάμενον εἶναι κύριον οἷς ἔγνωκα χρῆσθαι. βουλεύσομαι δὲ τρόπον τινὰ μεθ' ὑμῶν, βουλευόμενος μετὰ τῶν λόγων, οἷς καὶ ὑμεῖς φιλοσοφεῖτε, χρῆσθαι. θαῤῥοῦντες οὖν ἄπιτε, καὶ κελεύετε τὸν υἱὸν, ἃ μὴ δύναται τὸν πατέρα πείθειν, μὴ βιάζεσθαι.

Πρὸς ταῦτα μηθὲν ἀντειπόντες οἱ περὶ τὸν Δημήτριον, ἀλλὰ δακρύσαντες ὑπεξῆλθον. εἰσπέμπεται δὲ διὰ παιδίου μικροῦ τὸ ἐγχειρίδιον· καὶ λαβὼν ἐσπάσατο, καὶ κατενόησεν. ὡς δὲ εἶδεν ἑστῶτα τὸν ἀθέρα καὶ τὴν ἀκμὴν διαμένουσαν, εἰπὼν, Νῦν ἐμός εἰμι, τὸ μὲν ξίφος ἔθηκεν, τὸ δὲ βιβλίον αὖθις ἀνεγίνωσκε, καὶ λέγεται δὶς ὅλον διεξελθεῖν. εἶτα κοιμηθεὶς ὕπνον βαθὺν, ὥστε τοὺς ἐκτὸς αἰσθέσθαι, περὶ μέσας νύκτας ἐκάλει τῶν ἀπελευθέρων Κλεάνθην τὸν ἰατρὸν, καὶ Βούταν, ᾧ μάλιστα πρὸς τὰς πολιτικὰς πράξεις ἐχρῆτο. καὶ τοῦτον μὲν ἐπὶ θάλασσαν ἔπεμψεν, ὅπως σκεψάμενος εἰ πάντες ἀνηγμένοι τυγχάνωσι, φράσει πρὸς αὐτόν· τῷ δὲ ἰατρῷ τὴν χεῖρα φλεγμαίνουσαν ὑπὸ τῆς πληγῆς ἣν ἔπληξε τὸν οἰκέτην ἐπιδῆσαι παρέσχεν. καὶ τοῦτ' ἐποίησεν ἡδίους ἅπαντας, ὡς ζωτικῶς ἔχοντος αὐτοῦ. μετ' ὀλίγον δὲ παρῆν ὁ Βούτας, ἀπαγγέλλων τοὺς μὲν ἄλλους ἀνῆχθαι, Κράσσον δὲ λείπεσθαι ὑπὸ ἀσχολίας τινός· ὅσον δὲ οὔπω καὶ τοῦτον ἐμβαίνειν· πολὺν δὲ χειμῶνα καὶ μέγα πνεῦμα κατέχειν τὴν θάλασσαν. τοῦτο ἀκούσας ὁ Κάτων ἐστέναξεν οἴκτῳ τῶν πλεόντων, καὶ πάλιν ἔπεμψεν τὸν Βούταν ἐπὶ θάλασσαν, εἴ τις ἄρα παλινδρομήσας δέοιτο τινὸς τῶν ἀναγκαίων, ἀπαγγελοῦντα πρὸς αὐτόν. ἤδη δὲ ὄρνιθες ᾖδον, καὶ μικρὸν αὖθις κατηνέχθη πρὸς ὕπνον. ἐπανελθόντος δὲ τοῦ Βούτα, καὶ φρά-

ſed debet in manu eſſe mea, ubi deliberavi, exequi conſilium. Conſulam autem quodam modo vobiſcum, quum deliberem cum præceptis quibus vos cum philoſophamini uti ſoletis. Abite igitur fidenter, atque filio meo dicite, quæ perſuadere non valet patri, ea ne cogat.

His nihil Demetrius & Apollonides reluctati, ſed manantibus lacrymis digreſſi ſunt. Inde per puſillum puerum intro fertur gladius: quem ut accepit, diſtrinxit & conſideravit eum. Ubi mucronem directum vidit atque aciem integram, proloquutus, Nunc mei juris ſum: poſuit enſem & librum ex integro relegit. Bis eum referunt totum pervolutaſſe. Mox alto ſomno dormivit, ut qui foris erant perciperent ſtertentem. Circa noctis conticinium libertum Cleanthem medicum appellavit & Butam, quo præcipue in reipub. negotiis utebatur. Hunc miſit ad mare viſum an ſolviſſent omnes, idque ut ſibi referret. Medico autem manum ex ictu, quem ſervo inflixerat, inflammatam, præbuit obligandam: id quod omnes, quaſi vivere vellet, reddidit hilariores. Mox adfuit Buta renuntians cæteros vela feciſſe, Craſſum vero propter occupationes aliquas hærere adhuc illic, ſed eum quoque jamjam conſcenſurum; tempeſtatem autem ingentem & vehementem ventum in mare incubuiſſe. Quo audito ingemuit Cato navigantium miſeratione, Butamque miſit iterum ad portum viſum ſiquis forte recurriſſet rei alicujus indigus, id ſibi ut referret. Jam aves concinebant, ac paululum denuo in ſomnum eſt relapſus. Reverſo Buta, magnum-

φράσαντος πολλὴν ἡσυχίαν περὶ τοὺς λιμένας εἶναι, προσέταξεν αὐτῷ τὴν θύραν κλεῖσαι, καὶ καθῆκεν ἑαυτὸν εἰς τὸ κλινίδιον, ὡς τὸ λοιπὸν ἔτι τῆς νυκτὸς ἀναπαυσόμενος. ἐξελθόντος δὲ τοῦ Βούτα, σπασάμενος τὸ ξίφος, ἔωσε μὲν ὑπὸ τὸ στῆθος· τῇ δὲ χειρὶ κουφότερον διὰ τὴν φλεγμονὴν χρησάμενος, οὐκ εὐθὺς ἀπήλλαξεν ἑαυτὸν, ἀλλὰ δυσθανατῶν ἐξέπεσε τῆς κλίνης, καὶ ψόφον ἐποίησεν, καταβαλὼν ἀβάκιόν τι τῶν γεωμετρικῶν παρακείμενον· ὥστε τοὺς θεράποντας αἰσθομένους ἀναβοῆσαι, καὶ τὸν υἱὸν αὐτίκα καὶ τοὺς φίλους ὑπεισελθεῖν. ἰδόντες δὲ πεφυρμένον αἵματι, καὶ τῶν ἐντέρων τὰ πολλὰ προπεπτωκότα, ζῶντα δ' αὐτὸν ἔτι καὶ βλέποντα, δεινῶς μὲν ἅπαντες ἔσχον, ὁ δὲ ἰατρὸς προσελθὼν ἐπειρᾶτο, τῶν ἐντέρων ἀτρώτων διαμεινάντων, ταῦτά τε καθιστᾶν, καὶ τὸ τραῦμα διαῤῥάπτειν. ὡς οὖν ἀνήνεγκεν ὁ Κάτων καὶ συνεφρόνησεν, τὸν μὲν ἰατρὸν ἀπεώσατο, ταῖς χερσὶ δὲ τὰ ἔντερα σπαράξας καὶ τὸ τραῦμα ἐπαναῤῥήξας ἀπέθανεν.

Ἐν ᾧ δὲ οὐκ ἄν τις ᾤετο χρόνῳ τοὺς κατὰ τὴν οἰκίαν πάντας ἠσθῆσθαι τὸ πάθος, ἐπὶ ταῖς θύραις ἦσαν οἱ τριακόσιοι, καὶ μικρὸν ὕστερον ὁ δῆμος ἤθροιστο τῶν Ἰτυκαίων, μιᾷ φωνῇ τὸν εὐεργέτην καὶ σωτῆρα, καὶ μόνον ἐλεύθερον καὶ μόνον ἀήττητον καλούντων. καὶ ταῦτα ἔπραττον ἐπαγγελλομένου προσιέναι Καίσαρος· ἀλλ' οὔτε φόβος αὐτοὺς, οὔτε κολακεία τοῦ κρατοῦντος, οὔτε ἡ πρὸς ἀλλήλους διαφορὰ καὶ στάσις ἀμβλυτέρους ἐποίησεν τῇ πρὸς Κάτωνα τιμῇ. κοσμήσαντες δὲ τὸ σῶμα λαμπρῶς, καὶ πομπὴν ἐπιφανῆ παρασχόντες, καὶ θάψαντες παρὰ τὴν θάλασσαν, οὗ νῦν ἀνδριὰς ἐφέστηκεν αὐτοῦ ξιφήρης, οὕτως ἐτράποντο πρὸς τὸ σώζειν ἑαυτοὺς καὶ τὴν πόλιν. Καῖ-

numque ſilentium renuntiante in portu eſſe, juſſit ei januam claudere, repoſuitque in lectulum ſe, quaſi reliquum noctis quieturus. Digreſſo Buta ſtrictum gladium ſub pectore impreſſit: quia vero ictus fuit ex manus inflammatione levior, non ſubito exanimatus eſt, verum animam ægre agens decidit cubili, & ſtrepitum edidit dejecto abaculo quodam geometrico, qui juxta locatus erat. Quod ſentientes miniſtri ſuſtulerunt clamorem, filiuſque & amici confeſtim ingreſſi ſunt ad eum. Qui conſpicientes ſanguine fœdatum, & inteſtina pleraque procidiſſe, ſpirantem eum tamen adhuc & intuentem, omnes ingenti perfuſi ſunt dolore. Medicus accurrens inteſtina conabatur, quia manſerant illæſa, reponere & vulnus conſuere. Ut igitur recreari Cato cepit atque ad ſe redire, repulit medicum, interanea manibus laceravit, divulſoque exſpiravit vulnere.

Quo autem ſpatio non crederes eum caſum reſciſcere omnes domeſticos potuiſſe, adfuerunt ad fores trecenti, ac mox populus Uticenſis concurrit, una voce benefactorem, ſervatorem, ſolum liberum, ſolum invictum appellantes; eaque agebant quum nunciaretur adeſſe Cæſarem. Cæterum neque metus eos, neque aſſentatio victoris, neque mutua diſſenſio vel diſcordia ab honorando retardavit Catone: ſed corpus ejus magnifice exornatum & ſplendidis elatum exequiis funeraverunt juxta mare, ubi nunc quoque ſtatua ejus enſem tenens poſita eſt. Inde converſi ſunt ad ſuam urbiſque ſalutem expediendam.

Καῖσαρ δὲ πυνθανόμενος παρὰ τῶν ἀφικνουμένων ὑπομένειν ἐν Ἰτύκῃ τὸν Κάτωνα μηδὲ φεύγειν, ἀλλὰ τοὺς ἄλλους προπέμπειν, αὐτὸν δὲ καὶ τοὺς ἑταίρους καὶ τὸν υἱὸν ἀδεῶς ἀναστρέφεσθαι, δυστέκμαρτον ἡγεῖτο τὴν γνώμην τοῦ ἀνδρὸς, ἅτε δὴ τὸν πλεῖστον λόγον ἔχων ἐκείνου, καὶ προσῆγε μετὰ τῆς δυνάμεως ἐπειγόμενος. ὡς δὲ ἤκουσεν τὸν θάνατον αὐτοῦ, λέγεται τοσοῦτον εἰπεῖν, Ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου· καὶ γὰρ ἐμοὶ σὺ τῆς σαυτοῦ σωτηρίας ἐφθόνησας. τῷ γὰρ ὄντι σωθῆναι Κάτων ἀνασχόμενος ὑπὸ Καίσαρος οὐκ ἂν οὕτω δοκεῖ καταισχῦναι τὴν αὐτοῦ δόξαν, ὡς κοσμῆσαι τὴν ἐκείνου. τὸ δὲ πραχθὲν, ἄδηλον. εἰκάζεται δὲ τὰ χρηστότερα περὶ Καίσαρος.

Ἐτελεύτησε δὲ Κάτων ἔτη δυεῖν δέοντα πεντήκοντα βεβιωκώς. ὁ δὲ υἱὸς αὐτοῦ ὑπὸ Καίσαρος μὲν οὐδὲν ἠδικήθη· λέγεται δὲ ῥάθυμος γενέσθαι, καὶ περὶ γυναῖκας οὐκ ἀνεπίληπτος. ἐν δὲ Καππαδοκίᾳ ξένῳ τινὶ χρησάμενος Μαρφαδάτῃ τῶν βασιλικῶν, ἔχοντι γύναιον εὐπρεπὲς, καὶ πλείονα παρ' αὐτοῖς ἢ καλῶς εἶχε διατρίβων χρόνον, ἐσκώπτετο, τοιαῦτα γραφόντων εἰς αὐτόν.

Αὔριον Κάτων βαδίζει μετὰ τριάκονθ' ἡμέρας.

καὶ,

Πόρκιος καὶ Μαρφαδάτης, δύο φίλοι, ψυχὴ μία.

Ψυχὴ γὰρ ἐκαλεῖτο τοῦ Μαρφαδάτου τὸ γύναιον. καὶ ἔτι,

Εὐγενὴς καὶ λαμπρὸς ὁ Κάτων βασιλικὴν ψυχὴν ἔχει.

ἀλλὰ πᾶσάν γε τὴν τοιαύτην ἐξήλειψε καὶ ἠφάνισε τῷ θανάτῳ δύσκλειαν. ἀγωνιζόμενος γὰρ ἐν Φιλίπποις πρὸς Καίσαρα καὶ Ἀντώνιον ὑπὲρ τῆς ἐλευθερίας, καὶ κλινομένης τῆς φάλαγγος, οὔτε φυγεῖν οὔτε λαθεῖν ἀξιώσας, ἀλ-

Cæſar accipiens de iis qui ad ipſum ventitabant, remanere Uticæ Catonem, neque fugæ conſulere, verum alios dimittere, ipſum vero cum amicis & filio intrepide ibi verſari, non potuit explicare ejus conſilium. Quare, quod illius haberet maximum reſpectum, cito agmine perrexit. Ut fatum ejus audivit, tantum aiunt eum dixiſſe, Invideo tibi Cato mortem, quando ſalutem mihi tuam invidiſti. Nam revera ſi recipere Cato a Cæſare tuliſſet incolumitatem, non ita ſuas videtur maculaturus fuiſſe, quam illuſtraturus Cæſaris laudes. Eventus autem in obſcuro eſt, ſed benigniorem augurantur a Cæſare.

Deceſſit Cato annos natus duodequinquaginta. Filius ejus nihil eſt a Cæſare violatus. Perhibetur hic ſegnis fuiſſe, nec vacaſſe laſcivia circa mulieres. In Cappadocia enim diverſatus apud quendam ex familia regia, cui venuſta erat uxor, quia diutius apud eum quam honeſtum foret, agebat, deriſus eſt a ſcribentibus in eum hæc, Cras Cato diſcedet poſt triginta dies: &, Porcius & Marphadates amici duo, animus unus: Pſyche enim nomen erat Marphadatis uxori, quod animum ſignificat. Præterea, Generoſus & egregius Cato regium habet animum. Cæterum omnem eam morte expunxit & delevit notam. Nam in Philippis contra Octavium Cæſarem & Antonium pro libertate decertans, quum inclinata acie neque fugere,

neque

ἀλλὰ προκαλούμενος τοὺς πολεμίους, ἔμπροσθεν ἑαυτὸν ἐμφανίζων καὶ συνεξορμῶν τοὺς συμμαχομένους, ἔπεσεν, θαῦμα τῆς ἀρετῆς τοῖς ἐναντίοις παρασχών. ἔτι δὲ μᾶλλον ἡ θυγάτηρ τοῦ Κάτωνος, οὔτε σωφροσύνης, οὔτε ἀνδρείας ἀπολειφθεῖσα (Βρούτῳ γὰρ συνῴκει τῷ κτείναντι Καίσαρα) αὐτῆς τε τῆς συνωμοσίας μετέσχεν, καὶ προήκατο τὸν βίον ἀξίως τῆς εὐγενείας καὶ ἀρετῆς, ὡς ἐν τοῖς περὶ Βρούτου γέγραπται. Στατύλλιος δὲ φήσας μιμεῖσθαι Κάτωνα, τότε μὲν ὑπὸ τῶν φιλοσόφων ἐκωλύθη, βουλόμενος ἑαυτὸν ἀνελεῖν· ὕστερον δὲ τῷ Βρούτῳ πιστότατον ἑαυτὸν παρασχὼν καὶ χρησιμώτατον, ἐν Φιλίπποις ἀπέθανεν.

neque latebras ſuſtineret quærere, hoſtes laceſſivit, coramque iis qui eſſet declarans, ac ſtantes adhuc in acie incitans, cecidit magna virtutis ſuæ apud inimicos relicta admiratione. Multo magis filia, Catone nec caſtitate nec fortitudine inferior. Nam quum Bruto nupta Cæſaris interfectori, & conjurationis illius eſſet conſcia, vitam ut nobilitate & virtute ejus erat dignum, profudit, ut in vita Bruti diſſeruimus. Statyllius, qui Catonem æmulaturum dixerat ſe, invitus id temporis manus prohibitus eſt a philoſophis ſibi inferre. Hic poſtea inſignem fidem & operam præbuit Bruto, atque in Philippenſi acie occubuit.

ΑΓΙΣ



ΑΓΙΣ ΚΑΙ ΚΛΕΟΜΕΝΗΣ.

ΟΥΚ ἀτόπως τινὲς οὐδὲ φαύλως συγκεῖσθαι πρὸς τοὺς φιλοδόξους ὑπονοοῦσι τὸν ἐπὶ τῷ Ἰξίονι μῦθον, ὡς δὴ λαβόντι τὴν νεφέλην ἀντὶ τῆς Ἥρας, καὶ τῶν Κενταύρων οὕτως γενομένων. καὶ γὰρ οὗτοι τῆς ἀρετῆς ὥσπερ εἰδώλῳ τινὶ, τῇ δόξῃ συνόντες, οὐδὲν εἰλικρινὲς οὐδ᾽ ὁμολογούμενον, ἀλλὰ νόθα καὶ μικτὰ πολλὰ πράττουσιν, ἄλλοτε ἄλλας φορὰς φερόμενοι, ζήλοις καὶ πάθεσιν ἐπακολουθοῦντες. ὅπερ οἱ Σοφοκλέους βοτῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν,

Τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν,
Καὶ τῶνδ᾽ ἀνάγκη καὶ σιωπώντων κλύειν.

ὅπερ ἀληθῶς οἱ πρὸς ἐπιθυμίας ὄχλων καὶ ὁρμὰς πολιτευόμενοι πάσχουσι, δουλεύοντες καὶ ἀκολουθοῦντες ἵνα δημαγωγοὶ καὶ ἄρχοντες ὀνομάζωνται. καθάπερ

NON abſurde neque male compoſitam quidam adverſus ambitioſos exiſtimant Ixionis fabulam: quod ſcilicet pro Junone nubem complexus ſit, atque ita geniti Centauri. Quippe cum gloria hi tanquam virtutis ſimulacro habentes conſuetudinem, nihil ſincere agunt vel conſtanter: verum alias aliis rapti ſtudiis, & cupiditates & æmulationes ſequentes alias, res gerunt adulterinas & minutas multas: ſicut Sophoclis paſtores de gregibus ſuis dicunt,

Servimus his qui jure nobis ſubjacent,
Ac mos gerendus his ſit & tacentibus.

Quod revera illis uſu venit pro multitudinis libidine & appetitu qui rempub. gerunt, ancillantes & pediſſequi, ut dominatores in concionibus & magiſtratus appellentur. Ut enim pro-

περ γὰρ οἱ πρωρεῖς τὰ ἔμπροσθεν προορώμενοι τῶν κυβερνητῶν, ἀφορῶσι πρὸς ἐκείνους, καὶ τὸ προστασσόμενον ὑπ' ἐκείνων ποιοῦσιν· οὕτως οἱ πολιτευόμενοι καὶ πρὸς δόξαν ὁρῶντες, ὑπηρέται τῶν πολλῶν μὲν εἰσὶν, ὄνομα δὲ ἀρχόντων ἔχουσιν.

Ὁ μὲν γὰρ ἀπηκριβωμένως καὶ τελείως ἀγαθὸς, οὐδ' ἂν ὅλως δόξης δέοιτο, πλὴν ὅση πάροδον ἐπὶ τὰς πράξεις καὶ διὰ τοῦ πιστεύεσθαι δίδωσι. νέῳ δὲ ἔτι ὄντι καὶ φιλοτίμῳ δοτέον ἀπὸ τῶν καλῶν ἔργων καὶ δόξῃ τι καλλωπίζεσθαι καὶ κομπάσαι. φυόμεναι γὰρ ἐν τοῖς τηλικούτοις αἱ ἀρεταὶ καὶ βλαστάνουσαι, τό,τε κατορθούμενον, ὥς φησι Θεόφραστος, ἐπιβεβαιοῦνται τοῖς ἐπαίνοις, καὶ τὸ λοιπὸν αὔξονται μετὰ φρονήματος ἐπαιρόμεναι. τὸ δὲ ἄγαν, πανταχοῦ μὲν ἐπισφαλὲς, ἐν δὲ ταῖς πολιτικαῖς φιλοτιμίαις ὀλέθριον. ἐκφέρει γὰρ εἰς μανίαν καὶ παραφροσύνην ὕπαιθρον ἐξουσίας μεγάλης ἐπιλαβομένους, ὅταν μὴ τὸ καλὸν ἔνδοξον εἶναι θέλωσιν, ἀλλ' ἀγαθὸν ἡγῶνται τὸ ἔνδοξον εἶναι. ὥσπερ οὖν Φωκίων πρὸς Ἀντίπατρον ἀξιοῦντά τι παρ' αὐτοῦ τῶν μὴ καλῶν, οὐ δύνασαι, εἶπεν, ἅμα καὶ φίλῳ Φωκίωνι χρῆσθαι καὶ κόλακι· τοῦτο λεκτέον ἢ ὅμοιόν τι τούτῳ πρὸς τοὺς πολλοὺς, Οὐ δύνασθε τὸν αὐτὸν ἔχειν καὶ ἄρχοντα καὶ ἀκόλουθον. ἐπεὶ συμβαίνει γε καὶ οὕτως τὸ τοῦ δράκοντος, οὗ φησὶν ὁ μῦθος τὴν οὐρὰν τῇ κεφαλῇ στασιάσασαν ἀξιοῦν ἡγεῖσθαι παρὰ μέρος, καὶ μὴ διὰ παντὸς ἀκολουθεῖν ἐκείνῃ· λαβοῦσαν δὲ τὴν ἡγεμονίαν, αὐτήν τε κακῶς ἀπαλλάττειν, ἀνοίᾳ πορευομένην, καὶ τὴν κεφαλὴν καταξαίνειν, τυφλοῖς

καὶ

proretæ, quamvis ea quæ ante curſum ſunt, proſpectent melius quam gubernatores, reſpiciunt tamen illos, atque ab iis exequuntur imperata: perinde qui rempub. tractant, & gloriam ſpectant, miniſtri ſunt plebis, licet appellatione fruantur magiſtratuum.

Nam conſummatus quidem & plene bonus nihil omnino requirat gloriam, niſi quatenus aditum per autoritatem ad res gerendas tribuat. At juveni etiamnum & gloriæ cupido, ex honeſtis factis nonnihil concedendum ſit gloriari atque ſeſe venditare: ſiquidem naſcentes in ea ætate & ſuppullulantes virtutes, ut Theophraſtus autor eſt, recte factorum fulciuntur laudibus, adoleſcuntque in reliquum animis ſimul ſeſe efferentibus. Immodicum vero, cum ubique lubricum, tum in civilibus ambitionibus eſt pernicioſum: aufert enim in inſaniam & furorem manifeſtum eos qui poteſtatem ſunt magnam adepti, quum non, honeſtum quod eſt, volunt eſſe glorioſum, ſed quod eſt glorioſum, idem bonum ducunt. Sicut igitur ad Antipatrum Phocion poſtulantem ab ſe rem parum honeſtam, Non vales, inquit, Phocionem amicum ſimul & adulatorem habere: hoc, vel ſimile quid ad multitudinem dicendum ſit, Non poteſtis eundem habere & ducem & aſſeclam. Quandoquidem tunc eveniat idem quod draconi: cujus refert fabula diſſidentem a capite caudam, viciſſim poſtulaviſſe ut ipſa præiret, neque perpetuo illud ſequeretur: accepto vero ducendi munere, cum ipſam vexatam fuiſſe, quod ſtulte inſtitueret iter, tum caput

καὶ κωφοῖς μέρεσιν ἀναγκαζομένην παρὰ φύσιν ἕπεσθαι. τοῦτο πολλοὺς τῶν πρὸς χάριν ἅπαντα πολιτευομένων ὁρῶμεν πεπονθότας. ἐξαρτήσαντες γὰρ αὑτοὺς ὄχλων εἰκῆ φερομένων, οὐδ' ἀναλαβεῖν ὕστερον οὐδ' ἐπιστῆσαι τὴν ἀταξίαν ἐδυνήθησαν. ταῦτα δ' ἡμῖν εἰς τὴν παρὰ τῶν πολλῶν δόξαν ἐπῆλθεν εἰπεῖν, ἐννοήσασιν ἡλίκην ἔχει δύναμιν ἐκ τῶν Τιβερίῳ καὶ Γαΐῳ τοῖς Γράκχοις συμπεσόντων. οὓς κάλλιστα μὲν φύντας, κάλλιστα δὲ τραφέντας, καλλίστην δὲ τῆς πολιτείας ὑπόθεσιν λαβόντας, ἀπώλεσεν οὐχ οὕτως ἐπιθυμία δόξης ἄμετρος, ὡς φόβος ἀδοξίας ἐκ προφάσεως οὐκ ἀγεννοῦς πεφυκώς. μεγάλην γὰρ εὔνοιαν προσειληφότες παρὰ τῶν πολιτῶν, ᾐσχύνθησαν ἐγκαταλιπεῖν, ὥσπερ χρέος. ἁμιλλώμενοι δ' ἀεὶ πολιτεύμασι χρηστοῖς τὰς τιμὰς ὑπερβάλλεσθαι, καὶ τιμώμενοι μᾶλλον ἐξ ὧν ἐπολιτεύοντο κεχαρισμένως, καὶ τοῦτον τὸν τρόπον ἴσῃ φιλοτιμίᾳ πρός τε τὸν δῆμον ἑαυτοὺς, καὶ τὸν δῆμον πρὸς ἑαυτοὺς ἐκκαύσαντες, ἔλαθον ἁψάμενοι πραγμάτων ἐν οἷς οὐκέτ' ἦν τὸ, ἐπεὶ μὴ καλὸν, αἰσχρὸν ἤδη τοπάσασθαι. ταῦτα μὲν οὖν ἐπικρινεῖς αὐτὸς ἐκ τῆς διηγήσεως. παραβάλωμεν δ' αὐτοῖς Λακωνικὸν ζεῦγος δημαγωγῶν, Ἆγιν καὶ Κλεομένην τοὺς βασιλεῖς. καὶ γὰρ οὗτοι τὸν δῆμον αὔξοντες, ὥσπερ ἐκεῖνοι, καὶ πολιτείαν καλὴν καὶ δικαίαν ἐκλελοιπυῖαν πολὺν χρόνον ἀναλαμβάνοντες, ὁμοίως ἀπηχθάνοντο τοῖς δυνατοῖς, μὴ βουλομένοις ἀφεῖναι τὴν συνήθη πλεονεξίαν. ἀδελφοὶ μὲν οὖν οὐκ ἦσαν ἀλλήλων οἱ Λάκωνες, συγγενοῦς δὲ καὶ ἀδελφῆς ἥψαντο πολιτείας, ἀρχὴν τοιαύτην λαβόντες.

Ἐπεὶ

put laceraſſe, quod membra ſurda & cæca ſequi cogeretur contra naturam. Idem cernimus multis, qui rempublicam ubique geſſerunt populariter, accidiſſe: quum enim multitudini temere ſe jactanti addixiſſent ſe, neque revocare poſt, neque ſiſtere potuerunt confuſionem. Hæc nobis in mentem venere contra popularis laudis ſtudium referre, conſiderantibus quid valeat ex caſibus Tiberii & Caii Gracchorum: quos optima præditos indole, optime eductos, optimo etiam ad rempublicam gerendam ingreſſos inſtituto, convulſit non ita enormis gloriæ aviditas, ut metus infamiæ ex non improba natus occaſione. Provocati enim magno favore a civibus, erubuerunt, velut ære alieno obſtricti, eos fruſtrari. Dum vero certant aſſidue egregiis actionibus delatos ſibi honores vincere, & ob eas coluntur magis, itaque pari certamine & ſeſe erga populum, & erga ſe inflammant populum: in eas delati res imprudentes ſunt, ubi jam non erat illud dici quod ſolet,

Rectum licet non ſit, turpe eſt deſiſtere.

Hæc vero ſtatues ipſe ex narratione. Cum his contendamus Laconicum popularium hominum par, Agim & Cleomenem reges: etenim quia populum hi, ſicut illi, inſtituerent amplificare, egregiaque reipublicæ inſtituta & juſta reducere diu exoleta, æque offenderunt potentes, qui aſſuetam inæqualitatem civilem detrectabant relinquere. Germani quidem inter ſe hi Lacones non fuerunt, at congeneres & germanas in republica actiones ſuſceperunt, hujuſcemodi capto exordio.

Poſt-

Ἐπεὶ παρεισέδυ πρῶτον εἰς τὴν πόλιν ἀργύρου καὶ χρυσοῦ ζῆλος, καὶ συνηκολούθησε τοῦ πλούτου τῇ μὲν κτήσει πλεονεξία καὶ μικρολογία, τῇ δὲ χρήσει καὶ ἀπολαύσει τρυφὴ καὶ μαλακία καὶ πολυτέλεια· τῶν πλείστων ἐξέπεσεν ἡ Σπάρτη καλῶν, καὶ ταπεινὰ πράττουσα παρ' ἀξίαν διετέλει, μέχρι τῶν χρόνων ἐκείνων ἐν οἷς Ἆγις καὶ Λεωνίδας ἐβασίλευον. Ἆγις μὲν Εὐρυτιωνίδης, καὶ Εὐδαμίδα παῖς, ἕκτος ἀπὸ Ἀγησιλάου τοῦ διαβάντος εἰς τὴν Ἀσίαν, καὶ μέγιστον Ἑλλήνων δυνηθέντος. ἦν γὰρ Ἀγησιλάου μὲν, Ἀρχίδαμος, ὁ περὶ Μανδόνιον τῆς Ἰταλίας ὑπὸ Μεσαπίων ἀποθανών. Ἀρχιδάμου δὲ πρεσβύτερος μὲν υἱὸς Ἆγις, Εὐδαμίδας δὲ, νεώτερος, ὃς, Ἄγιδος ὑπὸ Ἀντιπάτρου περὶ Μεγάλην πόλιν ἀναιρεθέντος ἀτέκνου, τὴν βασιλείαν ἔσχε. τούτου δὲ, Ἀρχίδαμος, Ἀρχιδάμου δὲ, ἕτερος Εὐδαμίδας, Εὐδαμίδα δὲ, Ἆγις, περὶ οὗ τάδε γέγραπται. Λεωνίδας δὲ, ὁ Κλεωνύμου, τῆς μὲν ἑτέρας οἰκίας ἦν Ἀγιάδης· ὄγδοος δὲ ἀπὸ Παυσανίου τοῦ νικήσαντος ἐν Πλαταιαῖς μάχῃ Μαρδόνιον. Παυσανίας γὰρ υἱὸν ἔσχε Πλειστώνακτα, Πλειστώναξ δὲ Παυσανίαν. οὗ φυγόντος εἰς Τεγέαν ἐκ Λακεδαίμονος, ὅ,τε πρεσβύτερος υἱὸς Ἀγησίπολις ἐβασίλευσε, καὶ τούτου τελευτήσαντος ἀτέκνου, Κλεόμβροτος ὁ νεώτερος. ἐκ δὲ Κλεομβρότου, πάλιν ἄλλος Ἀγησίπολις ἦν, καὶ Κλεομένης. ὧν Ἀγησίπολις μὲν οὔτε ἦρξε πολὺν χρόνον, οὔτε παῖδας ἔσχε· Κλεομένης δὲ βασιλεύσας μετ' Ἀγησίπολιν, τὸν μὲν πρεσβύτερον τῶν υἱῶν Ἀκρότατον ἔτι ζῶν ἀπέβαλε· νεώτερον δὲ Κλεώνυμον κατέλιπεν, ὃς οὐκ ἐβασίλευσεν, ἀλλ' Ἄρευς, υἱωνὸς ὢν Κλεομένους. Ἀκροτάτου δὲ υἱὸς Ἄρευς. Ἄρεως δὲ πεσόντος

περὶ

Poſtquam in civitatem Spartanam ſemel irrepſit auri & argenti admiratio, comitataque eſt divitiarum poſſeſſionem avaritia & ſordes; uſum earum & fruitionem, luxus, mollitia, & profuſio: bonis eſt Sparta plurimis nudata, & diu indigne abjecta jacuit, uſque in illam diem qua Agis & Leonidas regnaverunt. Fuit Agis Eurytionides & Eudamidæ filius, ab Ageſilao, qui expeditionem in Aſiam fecit, & plurimum polluit ex Græcis, ſextus. Ageſilai Archidamus filius fuit, qui in Italia apud Mandonium fuit a Meſſapiis interfectus. Archidami major filius Agis, Eudamidas minor; qui, Agide apud Megalopolim ab Antipatro occiſo, nullis relictis liberis, regnum obtinuit. Hujus fuit Archidamus filius, Archidami alter Eudamidas, Eudamidæ Agis, de quo hic agimus. Leonidas Cleonymi, alterius fuit familiæ Agiades, octavus a Pauſania, qui apud Platæas Mardonium acie vicit. Nam filium Pauſanias Pliſtonactem habuit, Pliſtonax Pauſaniam: quo ex Lacedæmone ſolum exilii cauſa Tegeam vertente, major ſtirpis filius regnavit Ageſipolis: hoc ſine ſobole extincto, Cleombrotus minor. Cleombrotus rurſus alium Ageſipolim & Cleomenem edidit: ex quibus Ageſipolis nec diu regnavit, nec ſtirpem habuit. Cleomenes, qui obtinuit poſt Ageſipolim regnum, filium natu majorem etiam ſuperſtes Acrotatum amiſit: Cleonymum reliquit minorem, qui regnum non tenuit, ſed nepos Cleomenis Areus Acrotati filius. Cæſo ad Corinthum Areo,

reg-

περὶ Κόρινθον, υἱὸς ὢν Ἀκρότατος, τὴν βασιλείαν κατέσχεν. ἀπέθανε δὲ καὶ οὗτος, ἡττηθεὶς μάχῃ περὶ Μεγάλην πόλιν ὑπὸ Ἀριστοδήμου τοῦ τυράννου, καταλιπὼν ἐγκύμονα τὴν γυναῖκα. παιδὸς δὲ ἄρρενος γενομένου, Λεωνίδας ὁ Κλεωνύμου τὴν ἐπιτροπὴν ἔσχεν. εἶτα, πρὶν ἐν ἡλικίᾳ γενέσθαι, τελευτήσαντος, οὕτως εἰς αὐτὸν ἡ βασιλεία περιῆλθεν, οὐ πάνυ τοῖς πολίταις εὐάρμοστον ὄντα. καίπερ γὰρ ἐκκεκλικότων ἤδη τῇ διαφθορᾷ τοῦ πολιτεύματος ὁμαλῶς ἁπάντων, ἦν τις ἐν τῷ Λεωνίδᾳ τῶν πατρῴων ἐπιφανὴς ἐκδιαίτησις, ἅτε δὴ χρόνον εἰλινδημένῳ πολὺν ἐν αὐλαῖς σατραπικαῖς, καὶ τεθεραπευκότι Σέλευκον· εἶτα τὸν ἐκεῖθεν ὄγκον εἰς Ἑλληνικὰ πράγματα καὶ νόμιμον ἀρχὴν οὐκ ἐμμελῶς μεταφέροντι.

Ὁ δὲ Ἆγις οὕτω πολὺ παρήλλαξεν εὐφυΐᾳ καὶ φρονήματι ψυχῆς οὐ μόνον τοῦτον, ἀλλὰ σχεδὸν ἅπαντας ὅσοι μετ᾽ Ἀγησίλαον τὸν μέγαν ἐβασίλευσαν, ὥστε μήπω γεγονὼς εἰκοσὸν ἔτος, ἐντεθραμμένος δὲ πλούτοις καὶ τρυφαῖς γυναικῶν, τῆς τε μητρὸς Ἀγησιστράτας, καὶ τῆς μάμμης Ἀρχιδαμίας, αἳ πλεῖστα χρήματα Λακεδαιμονίων ἐκέκτηντο, πρός τε τὰς ἡδονὰς εὐθὺς ἀπισχυρίσασθαι, καὶ τὸ μὴ ἐπιτρέψαι μάλιστα τῇ χάριτι τῆς μορφῆς, ὡραϊσμὸν δοκοῦντα περισπάσας τοῦ σώματος, καὶ πᾶσαν ἐκδὺς καὶ διαφυγὼν πολυτέλειαν, ἐγκαλλωπίζεσθαι τῷ τριβωνίῳ, καὶ δεῖπνα καὶ λουτρὰ καὶ διαίτας Λακωνικὰς ζητεῖν· καὶ λέγειν ὡς οὐδὲν δέοιτο τῆς βασιλείας εἰ μὴ δι᾽ αὐτὸν ἀναλήψοιτο τοὺς νόμους καὶ τὴν πάτριον ἀγωγήν.

Ἀρχὴν μὲν οὖν διαφθορᾶς καὶ τοῦ νοσεῖν ἔσχε τὰ πράγματα τῶν Λακεδαιμονίων, σχεδὸν ἀφ᾽ οὗ τὴν Ἀθηναίων καταλύσαντες ἡγεμονίαν, χρυσίου τε

τε

regnum ad Acrotatum ejus filium deſcendit: qui etiam in prœlio apud Megalopolim ab Ariſtodemo tyranno fuſus cecidit, uxore relicta prægnante. Virilis ſexus ſtirpe edita, Cleonymi filius tutor Leonidas fuit. Illo ante pubertatem defuncto ita regnum ad hunc recidit, non admodum civibus ſuis commodum. Quamvis enim omnibus jam ob reipub. corruptelam juxta deflectentibus, erat tamen veterum inſtitutorum in Leonida conſpicua enormitas. Nempe diu in aulis ſatrapicis volutatus fuerat, & ſequutus Seleucum: mox faſtum inde in Græcorum rempublicam & legitimum regnum parum ſcite tranſtulit.

Agis vero ita longe exceſſit indole & magnitudine animi non hunc modo, ſed & qui ab Ageſilao magno regnaverunt prope omnes, ut quum nondum vigeſimum ætatis annum exceſſiſſet, & enutritus eſſet in opibus & deliciis muliebribus matris Ageſiſtratæ & Archidamiæ aviæ, quæ in Lacedæmoniis erant pecunioſiſſimæ, ſtatim voluptatibus bellum indixerit, ac ne indulgeret eximiæ formæ venuſtati, detracto qui adeſſe videbatur corpori fuco, cultuque exuto & rejecto omni magnifico, in palliolo ſeſe oſtentaret, cœnas, balnea, victum Laconicum quæreret: jactaretque nihil deſiderare regnum ſe, niſi leges id per ſe & majorum inſtitutiones reciperet.

Incunabula quidem corruptionis & morbi reſpub. habuit Lacedæmoniorum, ab eo ferme tempore quo everſo Athenienſium imperio repleve-

τε καὶ ἀργυρίου κατέπλησαν ἑαυτούς. οὐ μὴν ἀλλὰ καὶ τὸν οἶκον ὃν ὁ Λυκοῦργος ὥρισε φυλάττειν τὸν ἀριθμὸν ἐν ταῖς διαδοχαῖς, καὶ πατρὸς παιδὶ τὸν κλῆρον ἀπολιπόντος, ἁμωσγέπως ἡ τάξις αὕτη καὶ ἰσότης διαμένουσα τὴν πόλιν ἐκ τῶν ἄλλων ἀνέφερεν ἁμαρτημάτων. ἐφορεύσας δέ τις ἀνὴρ δυνατὸς, αὐθάδης δὲ καὶ χαλεπὸς τὸν τρόπον, Ἐπιτάδευς ὄνομα, πρὸς τὸν υἱὸν αὐτῷ γενομένης διαφορᾶς, ῥήτραν ἔγραψεν, ἐξεῖναι τὸν οἶκον αὐτοῦ καὶ τὸν κλῆρον ᾧ τις ἐθέλοι καὶ ζῶντα δοῦναι καὶ, καταλιπεῖν διατιθέμενον. οὗτος μὲν οὖν αὐτοῦ τινα θυμὸν ἀποπιμπλὰς ἴδιον, εἰσήνεγκε τὸν νόμον· οἱ δ' ἄλλοι πλεονεξίας ἕνεκα δεξάμενοι καὶ κυρώσαντες, ἀπώλεσαν τὴν ἀρίστην κατάστασιν. ἐκτῶντο γὰρ ἀφειδῶς ἤδη παρωθοῦντες οἱ δυνατοὶ τοὺς προσήκοντας ἐκ τῶν διαδοχῶν· καὶ ταχὺ τῆς εὐπορίας εἰς ὀλίγους συρρυείσης, πενία τὴν πόλιν κατέσχεν, ἀνελευθερίαν τῶν καλῶν καὶ ἀσχολίαν ἐπιφέρουσα μετὰ φθόνου καὶ δυσμενείας πρὸς τοὺς ἔχοντας. ἀπελείφθησαν οὖν ἑπτακοσίων οὐ πλείονες Σπαρτιᾶται, καὶ τούτων ἴσως ἑκατὸν ἦσαν οἱ γῆν κεκτημένοι καὶ κλῆρον· ὁ δ' ἄλλος ὄχλος ἄπορος καὶ ἄτιμος ἐν τῇ πόλει παρεκάθητο, τοὺς μὲν ἔξωθεν πολέμους ἀργῶς καὶ ἀπροθύμως ἀμυνόμενος, ἀεὶ δέ τινα καιρὸν ἐπιτηρῶν μεταβολῆς καὶ μεταστάσεως τῶν παρόντων.

Διὰ ταῦτα δὴ καλὸν ὁ Ἆγις, ὥσπερ ἦν, ποιούμενος, ἐξισῶσαι καὶ ἀναπληρῶσαι τὴν πόλιν, ἐπειρᾶτο τῶν ἀνθρώπων. οἱ μὲν οὖν νέοι ταχὺ καὶ παρ' ἐλπίδας ὑπήκουσαν αὐτῷ, καὶ συναπεδύσαντο πρὸς τὴν ἀρετὴν, ὥσπερ ἐσθῆ-

τα

pleverunt ſe auro & argento. Verum quum retinerentur tamen ſortes hæreditatum, quarum Lycurgus ſervari in ſucceſſionibus numerum ſanxit, & pater filio ſortem ſuam relinqueret: idem ordo & æqualitas utcunque permanens, civitatem ex aliis allevavit peccatis. Ut vero Ephorus fuit vir factioſus quidem, ſed præfractis & acerbis moribus, Epitadeus nomine: hic ſimultate ei cum filio exorta, rhetram promulgavit, jus ut cuique eſſet hæreditatem ſuam & ſortem, cuicunque vellet, & inter vivos donandi, & relinquendi teſtamento. Atque hic quidem, quo iræ ſuæ privatæ indulgeret, eam tulit legem: quam avaritia conſultrice comprobantes & ſciſcentes alii, optimam conſtitutionem convulſere. Nam citra delectum jam poſſeſſiones quærebant potentiores, propinquos pellentes ſucceſſionibus, brevique, opulentia ad paucos confluente, occupavit civitatem inopia, quæ, expulſis bonis artibus, occupationem illiberalem traxit ſecum in ſordidis cum invidia & odio locupletium. Superaverunt ergo non plus ſeptingenti Spartiatæ, atque horum fuerunt fortaſſe centum qui agrum & ſortem tenerent: reliqua turba inops & abjecta reſidebat cum illis in urbe. Hæc & bella foris illata ignaviter ſegniterque propellebat, & ſemper opportunitatem aliquam captabat mutationis ac rerum novarum.

Quapropter operæ pretium, ut erat, exiſtimans Agis exæquare atque ita frequentare civitatem, animos periclitatus eſt civium. Ac juventus mox præter ſpem præbens ei aures, accinxit

ſe

τα τὴν δίαιταν ἐπ' ἐλευθερίᾳ συμμεταβάλλοντες. τῶν δὲ πρεσβυτέρων, ἅτε δὴ πόῤῥω διαφθορᾶς γεγονότων, συνέβαινε τοῖς πλείστοις, ὥσπερ ἐπὶ δεσπότην ἀγομένους ἐκ δρασμοῦ δεδιέναι καὶ τρέμειν τὸν Λυκοῦργον. καὶ καθήπτοντο τοῦ Ἄγιδος ὀδυρομένου τὰ παρόντα πράγματα, καὶ τὸ παλαιὸν ἀξίωμα τῆς Σπάρτης ἐπιποθοῦντος. Λύσανδρος δὲ ὁ Λίβυος, καὶ Μανδροκλείδας ὁ Ἐκφάνους, ἔτι δὲ Ἀγησίλαος, ἀπεδέξαντο καὶ συμπαρώρμησαν αὐτοῦ τὴν φιλοτιμίαν. ἦν δὲ Λύσανδρος μὲν ἐν δόξῃ μάλιστα τῶν πολιτῶν, Μανδροκλείδας δὲ, δεινότατος Ἑλλήνων πράγματα συσκευάσασθαι, καὶ τὸ συνετὸν τοῦτο καὶ δολερὸν τόλμῃ μεμιγμένον ἔχων· Ἀγησίλαον μὲν, θεῖον ὄντα τοῦ βασιλέως καὶ δυνατὸν εἰπεῖν, ἄλλως δὲ μαλακὸν καὶ φιλοχρήματον, ἐμφανῶς μὲν ὁ υἱὸς Ἱππομέδων ἐκίνει καὶ παρεθάῤῥυνεν, εὐδόκιμος ἐν πολλοῖς πολέμοις ἀνὴρ, καὶ μέγα δι' εὔνοιαν τῶν νέων δυνάμενος· ἡ δὲ ἀληθῶς ἀναπείσασα τὸν Ἀγησίλαον αἰτία τῶν πραττομένων μεταχεῖν, ὀφλημάτων πλῆθος ἦν, ὧν ἤλπιζεν ἀπαλλαγήσεσθαι, μεταβάλλων τὴν πολιτείαν. ὡς οὖν τάχιστα προσηγάγετο τοῦτον ὁ Ἄγις, εὐθὺς ἐπιχειρεῖ μετ' αὐτοῦ τὴν μητέρα πείθειν, ἀδελφὴν οὖσαν τοῦ Ἀγησιλάου, πλήθει δὲ πελατῶν καὶ φίλων καὶ χρεωστῶν μέγα δυναμένην ἐν τῇ πόλει, καὶ πολλὰ τῶν κοινῶν διαπραττομένην.

Ἡ δὲ ἀκούσασα, τὸ μὲν πρῶτον ἐξεπλάγη, καὶ κατέπαυε τὸ μειράκιον, ὡς οὔτε δυνατῶν οὔτε λυσιτελῶν ἐφιέμενον· ἐπεὶ δὲ ταῦτα μὲν ὁ Ἀγησίλαος ἐδίδασκεν ὡς καλῶς ἕξει καὶ πραχθήσεται συμφερόντως, αὐτὸς δὲ ὁ βα-

ſe ad virtutem, veſtis modo vitam libertatis cauſa mutans. Majoribus vero natu, ut qui provecti ad corruptionem erant, accidit pleriſque, velut ad dominum ex fuga retracti ut timerent & expaveſcerent Lycurgum. Itaque inſectabantur deplorantem reipub. ſtatum Agim, ac veterem dignitatem Spartæ deſiderantem. At Lyſander Libyis filius, & Mandroclidas Ecphanis, inſuper Ageſilaus, probaverunt extimulaveruntque ſtudium ejus. Erat Lyſandri ſumma apud cives autoritas: Mandroclidas ad conſilia adornanda Græcorum ſolertiſſimus, prudentiamque hanc & aſtutiam temperatam audacia habebat: Ageſilaum, regis avunculum & eloquentem virum, de cætero mollem & avarum, ut apparebat quidem, filius Hippomedon excitavit erexitque, multis bellis vir clarus, atque ob juventutis in ipſum ſtudium præpollens. Cæterum vera cauſa quæ ad hujus negotii ſocietatem impulit Ageſilaum, æris alieni magnitudo fuit, quo converſione reipub. ſperabat ſe ſublevatum iri. Ut primum igitur hunc adjunxit ſibi Agis, illico matrem inducere ejus ſororem, adhibito Ageſilao, aggreditur. Hæc clientium, amicorum, & debitorum numero, magnas in civitate opes habebat, multaque tranſigebat in repub.

Qua re audita, obſtupeſcere illa primum, ac comprimere adoleſcentem tanquam impoſſibilia & damnoſa affectantem. Ut vero docuit Ageſilaus facile hæc confici & magno cum fructu poſſe, ipſe autem obſecravit rex ge-

βασιλεὺς ἐδεῖτο τῆς μητρὸς ἐπιδοῦναι πρὸς δόξαν αὐτοῦ καὶ φιλοτιμίαν τὸν πλοῦτον, ὡς χρήμασι μὲν οὐ δυνάμενος πρὸς τοὺς ἄλλους βασιλεῖς ἐξισωθῆναι· σατραπῶν γὰρ οἰκέτας, καὶ δούλους ἐπιτρόπων Πτολεμαίου καὶ Σελεύκου κεκτῆσθαι πλείονα συμπάντων ὁμοῦ τῶν ἐν Σπάρτῃ βασιλέων· ἐὰν δὲ σωφροσύνῃ καὶ λιτότητι καὶ μεγαλοψυχίᾳ τὰς ἐκείνου ὑπερβαλλόμενος τρυφὰς, ἰσότητα καὶ κοινωνίαν καταστήσῃ τοῖς πολίταις, ὄνομα καὶ δόξαν ὡς ἀληθῶς βασιλέως μεγάλου κτησόμενος· οὕτω μετέπεσον ταῖς γνώμαις αἱ γυναῖκες, ὑπὸ τῆς φιλοτιμίας ἐπαρθεῖσαι τοῦ νεανίσκου, καὶ τοσαύτῃ κατεσχέθησαν οἷον ἐπιπνοίᾳ πρὸς τὸ καλὸν, ὥστε τὸν μὲν Ἆγιν συνεξορμᾷν καὶ συνεπιταχύνειν, μεταπεμπομένας δὲ τοὺς φίλους παρακαλεῖν, καὶ ταῖς ἄλλαις διαλέγεσθαι γυναιξὶν, ἅτε δὴ τοὺς Λακεδαιμονίους ἐπισταμένας κατηκόους ὄντας ἀεὶ τῶν γυναικῶν, καὶ πλεῖον ἐκείναις τῶν δημοσίων, ἢ τῶν ἰδίων αὐτοῖς πολυπραγμονεῖν διδόντας. ἦν δὲ τότε τῶν Λακωνικῶν πλούτων ἐν ταῖς γυναιξὶ τὸ πλεῖστον, καὶ τοῦτο τὴν πρᾶξιν τῷ Ἄγιδι δύσεργον καὶ χαλεπὴν ἐποίησεν. ἀντέστησαν γὰρ αἱ γυναῖκες, οὐ μόνον τρυφῆς ἐκπίπτουσαι δι' ἀπειροκαλίαν εὐδαιμονιζομένην, ἀλλὰ καὶ τιμὴν καὶ δύναμιν, ἣν ἐκ τοῦ πλουτεῖν ἐκαρποῦντο, περικοπτομένην αὐτῶν ὁρῶσαι. καὶ πρὸς τὸν Λεωνίδαν τραπόμεναι, παρεκάλουν ὄντα πρεσβύτερον ἐπιλαμβάνεσθαι τοῦ Ἄγιδος, καὶ τὰ πραττόμενα διακωλύειν. ἐβούλετο μὲν οὖν ὁ Λεωνίδας τοῖς πλουσίοις βοηθεῖν· δεδιὼς δὲ τὸν δῆμον ἐπιθυμοῦντα τῆς μεταβολῆς, οὐδὲν ἀντέπραττε φανερῶς, λάθρᾳ δὲ τὴν

πρᾶξιν

genitricem, ut opes ſuas ſibi ad gloriam & decus comparandum condonaret: nam pecunia quidem non poſſe ſe cum aliis conferri regibus: (quippe ſatraparum famulos & ſervos Ptolemæi & Seleuci procuratorum plus quam cunctos Spartanos reges poſſidere) quod ſi temperantia & frugalitate & magnitudine animi illorum prævalens luxui, exæquationem & communicationem conſtituiſſet bonorum civibus, nomen ſe regis vere magni paraturum: ita flexæ hæ mulieres ſententia ſunt, ab adoleſcentis erectæ ambitione, tantoque occupatæ quaſi afflatu ad virtutem, ut ultro exſtimularent Agim, eique calcar adderent, adhæc amicos accitos adhortarentur, aliaſque appellarent mulieres; nempe ſciebant uxoribus ſemper Lacedæmonios dicto audientes eſſe, pluſque de negotiis publicis cum illis, quam ſecum illas communicare de privatis. Erant autem id temporis fere penes mulieres opes Laconicæ: id quod Agidi cœpta difficiliora & laborioſiora reddidit. Siquidem intercesſerunt mulieres, non modo quia delicias amittebant, ob ineptias, in quibus ſummum bonum virtutis ignoratione collocabant, verum etiam quod honorem & potentiam, quam ex divitiis obtinebant, viderent detrahi ſibi. Ita ad Leonidam confugiunt, adhortanturque eum, ut qui natu ſit major, reprimat Agim, & quæ in manibus ille habeat, impediat. Cupiebat quidem adeſſe Leonidas locupletibus, ſed cupidum rerum novarum populum formidans nihil propalam adverſabatur: verum clam moliebatur

cœpta

πρᾶξιν ἐζήτει κακουργεῖν καὶ διαφθείρειν, ἐντυγχάνων τοῖς ἄρχουσι, καὶ διαβάλλων τὸν Ἆγιν, ὡς τυραννίδος μισθὸν τοῖς πένησι τὰ τῶν πλουσίων προτείνοντα, καὶ γῆς μετάδοσιν, καὶ χρεῶν ἄφεσιν, πολλοὺς ὠνούμενον ἑαυτῷ δορυφόρους, οὐ τῇ Σπάρτῃ πολίτας.

Οὐ μὴν ἀλλὰ διαπραξάμενος ὁ Ἆγις ἔφορον γενέσθαι τὸν Λύσανδρον, εὐθὺς εἰσέφερεν ἑαυτοῦ ῥήτραν εἰς τοὺς γέροντας· ἧς ἦν κεφάλαια, χρεῶν μὲν ἀφεθῆναι τοὺς ὀφείλοντας, τῆς δὲ γῆς ἀναδασθείσης, τὴν μὲν ἀπὸ τοῦ κατὰ Πελλήνην χαράδρου πρὸς τὸ Ταΰγετον καὶ Μαλέαν, καὶ Σελλασίαν, κλήρους γενέσθαι τετρακισχιλίους πεντακοσίους· τὴν δὲ ἔξω, μυρίους πεντακισχιλίους· καὶ ταῦτα μὲν τοῖς ὁπλοφορεῖν δυναμένοις τῶν περιοίκων μερισθῆναι· τὴν δὲ ἐντὸς, αὐτοῖς Σπαρτιάταις. ἀναπληρωθῆναι δὲ τούτους ἔκ τε περιοίκων καὶ ξένων, ὅσοι τροφῆς μετεσχηκότες ἐλευθερίου καὶ χάριτος, ἄλλως τοῖς σώμασι καὶ καθ᾽ ἡλικίαν ἀκμάζοντες εἶεν· σύνταξιν δὲ τούτων εἰς πεντεκαίδεκα γενέσθαι φιδίτια, κατὰ τετρακοσίους καὶ διακοσίους, καὶ δίαιταν ἣν εἶχον οἱ πρόγονοι διαιτᾶσθαι.

Γραφείσης δὲ τῆς ῥήτρας, καὶ τῶν γερόντων εἰς ταυτὸ ταῖς γνώμαις οὐ συμφερομένων, ἐκκλησίαν συναγαγὼν ὁ Λύσανδρος, αὐτός τε διελέχθη τοῖς πολίταις, καὶ Μανδροκλείδας καὶ Ἀγησίλαος ἐδέοντο μὴ δι᾽ ὀλίγους ἐντρυφῶντας αὐτοῖς, περιϊδεῖν ἐρριμμένον τὸ ἀξίωμα τῆς Σπάρτης· ἀλλὰ τῶν προτέρων χρησμῶν μνημονεῦσαι, τὴν φιλοχρημοσύνην, ὡς ὀλέθριον τῇ Σπάρτῃ, φυλάττεσθαι διακελευομένων, καὶ τῶν ἔναγχος ἐκ Πασιφάας.

ἱερὸν

cœpta labefactare & convellere, appellando magiſtratus, & Agim criminando tyrannidis mercedem pauperibus divitum fortunas objicere, agrique communicationem, & tabulas novas, quo multos autoraret ſibi ſatellites, non Spartæ cives.

Verum enimvero quum effeciſſet Agis ut Ephorus Lyſander crearetur, extemplo retulit rhetram ſuam ad ſenatum. Hujus capita erant, ut obæratis æs alienum remitteretur, atque ager divideretur: cujus quod intra Pellenes vallem, Taygetum, Malcam, &; Sellaſiam eſt, in quatuor millia quingentas ſortes ſecaretur: quod ultra eos limites, in quindecim millia; atque hæ finitimis, qui arma ferre poſſent, dividerentur: quæ intra illos terminos ſint, ipſis Spartiatis; hi ut ſupplerentur ex finitimis peregrinis, qui liberaliter & ingenue inſtituti forent, præterea ætate atque robore florerent: ut autem ii in quindecim contribuerentur convivia, partim quadrageni, partim duceni in ſingula: item victum more majorum haberent.

Hac promulgata rhetra, quum ſenatus ſententiis diſſideret, advocavit Lyſander populi concilium: ubi & ipſe diſſeruit, & Mandroclidas Ageſilauſque oraverunt populum, ne permitterent ut per paucos qui ipſum ob delicias ſuas deludant, civitatis Spartanæ conculcaretur majeſtas: ſed in ſuperiorum oraculorum revocarentur memoriam, monentium, avaritiam ut tanquam peſtem Spartæ declinarent: illorum quoque recentium

ἱερὸν δὲ Πασιφάας καὶ μαντεῖον ἦν ἐν Θαλαμίαις τιμώμενον, ἣν τινὲς μὲν ἱστοροῦσι τῶν Ἀτλαντίδων μίαν οὖσαν τῷ ἐκ Διὸς τὸν Ἄμμωνα τεκεῖν· τινὲς δὲ Κασάνδραν τὴν Πριάμου, τελευτήσασαν ἐνταῦθα· καὶ διὰ τὸ πᾶσι φαίνειν τὰ μαντεῖα, Πασιφάαν προσαγορευθεῖσαν. ὁ δὲ Φύλαρχος Ἀμύκλα θυγατέρα, Δάφνην τοὔνομα, φησὶν ὑποφεύγουσαν Ἀπόλλωνα βουλόμενον αὐτῇ μιγῆναι, καὶ μεταβάλλουσαν εἰς τὸ φυτὸν, ἐν τιμῇ τοῦ Θεοῦ γενέσθαι, καὶ μαντικὴν λαβεῖν δύναμιν. ἔφασαν οὖν καὶ τὰ παρὰ ταύτης μαντεῖα προστάττειν τοῖς Σπαρτιάταις, ἴσους γενέσθαι πάντας καθ' ὃν ὁ Λυκοῦργος ἐξ ἀρχῆς ἔταξεν νόμον. ἐπὶ πᾶσι δὲ βασιλεὺς Ἄγις, εἰς μέσον παρελθὼν, καὶ βραχέα διαλεχθεὶς, ἔφη συμβολὰς διδόναι τῇ πολιτείᾳ μεγίστας, ἣν καθίστησι· τὴν γὰρ αὐτοῦ πρῶτον οὐσίαν εἰς μέσον τιθέναι, πολλὴν μὲν οὖσαν ἐν τοῖς γεωργουμένοις καὶ νεμομένοις, ἄνευ δὲ τούτων, ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν· τὸ δ' αὐτὸ καὶ τὰς μητέρας ποιεῖν, καὶ τοὺς φίλους καὶ οἰκείους, πλουσιωτάτους ὄντας Σπαρτιατῶν.

Ὁ μὲν οὖν δῆμος ἐξεπλάγη τὴν μεγαλοψυχίαν τοῦ νεανίσκου, καὶ περιχαρὴς ἦν, ὡς δι' ἐτῶν ὁμοῦ τριακοσίων πεφηνότος ἀξίου τῆς Σπάρτης βασιλέως. ὁ δὲ Λεωνίδας τότε δὴ μάλιστα πρὸς τοὐναντίον ἐφιλονείκησε. λογιζόμενος γὰρ ὅτι ταῦτα μὲν ἀναγκασθήσεται ποιεῖν, οὐ τὴν αὐτὴν δὲ χάριν ἕξει παρὰ τοῖς πολίταις, ἀλλὰ πάντων ὁμοίως ἃ κέκτηνται κατατιθεμένων, μόνῳ τῷ ἀρξαμένῳ προσθήσουσι τὴν τιμὴν, ἠρώτα τὸν Ἄγιν εἰ δίκαιον ἄνδρα καὶ σπου-

um Paſiphaes. Templum enim & oraculum Thalamiis celebre erat Paſiphaes, quam Atlantidum unam Jove prognatarum tradunt quidam fuiſſe, atque edidiſſe Ammonem: nonnulli Priami Caſſandram ibi defunctam, quam quod omnibus oracula declararet, (ita enim vox græce ſonat) Paſiphaen fuiſſe dictam. Phylarchus, Amyclæ filiam, Daphnen nomine, quum fugeret Apollinem, qui ſtuprum parabat ei offerre, in arborem verſam: a quo Deo fuiſſe honoratam, vaticinandique donatam dote: cujus etiam canebant ſortes, ediceretur Spartiatis, ut omnia inter eos æquarentur ea lege quam ſanxerat quondam Lycurgus. Noviſſimus omnium progreſſus in medium rex Agis, brevi oratione, reipub. ait ſe, quam inſtitueret, ſtipem ampliſſimam conferre: primum nempe patrimonium ſuum in medio ponere arvis & paſcuis lautum, in quo inſuper pecuniæ ſignatæ ſexcenta talenta ſint. Idem facere parentes ſuas, amicos neceſſariosque, qui Spartiatarum ſint opulentiſſimi.

Hanc juvenis celſitudinem animi obſtupuit populus, exultavitque, dicens ſolum dignum Sparta regem annis fere trecentis extitiſſe. At Leonidas tunc vel maxime reluctatus eſt: reputans enim coacturos ſequi ſe illos, nec parem gratiam apud cives relaturum, ſed, quum omnes ex æquo facultates ſuas conferrent, uni attributuros rem auſpicato honorem: rogavit Agim, Ecquid virum juſtum Ly-

σπουδαῖον ἡγεῖται γεγονέναι Λυκοῦργον. ὁμολογήσαντος δ' ἐκείνου, Ποῦ τοίνυν, ἔφη, Λυκοῦργος ἢ χρεῶν ἀποκοπὰς ἔδωκεν, ἢ ξένους κατέταξεν εἰς τὴν πολιτείαν, ὃς οὐδὲ ὅλως ἐνόμιζεν ὑγιαίνειν τὴν πόλιν μὴ χρωμένην ξενηλασίαις; ὁ δὲ Ἆγις ἀπεκρίνατο μὴ θαυμάζειν τὸν Λεωνίδαν, εἰ τεθραμμένος ἐν ξένῃ, καὶ πεπαιδοποιημένος ἐκ γάμων σατραπικῶν, ἀγνοεῖ τὸν Λυκοῦργον, ὅτι τὸ μὲν ὀφείλειν καὶ δανείζειν ἅμα τῷ νομίσματι συνεξέβαλεν ἐκ τῆς πόλεως· τῶν δ' ἐν ταῖς πόλεσι ξένων τοὺς τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις ἀσυμφύλους μᾶλλον ἐδυσχέραινε. καὶ γὰρ ἐκείνους ἤλαυνεν, οὐ τοῖς σώμασι πολεμῶν, ἀλλὰ τοὺς βίους αὐτῶν καὶ τοὺς τρόπους δεδιὼς, μὴ συναναχρωννύμενοι τοῖς πολίταις, τρυφῆς καὶ μαλακίας καὶ πλεονεξίας ἐντέκωσι ζῆλον· ἐπεὶ Τέρπανδρόν τε καὶ Θάλητα, καὶ Φερεκύδην, ξένους ὄντας, ὅτι τὰ αὐτὰ τῷ Λυκούργῳ διετέλουν ᾄδοντες καὶ φιλοσοφοῦντες, ἐν Σπάρτῃ τιμηθῆναι διαφερόντως. Σὺ δὲ Ἐκπρεπῆ μὲν ἐπαινεῖς, ἔφησεν, ὃς ἐφορεύων Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα χορδῶν ἐξέτεμε, καὶ τοὺς ἐπὶ Τιμοθέῳ πάλιν τὸ αὐτὸ τοῦτο πράξαντας· ἡμᾶς δὲ μέμφῃ, τρυφὴν καὶ πολυτέλειαν καὶ ἀλαζονείαν ἐκ τῆς Σπάρτης ἀναιροῦντας· ὥσπερ οὐχὶ κἀκείνων τὸ ἐν μουσικῇ σοβαρὸν καὶ περιττὸν, ὅπως ἐνταῦθα μὴ προέλθῃ, φυλαττομένων, ὅπου γινομένων βίων καὶ τρόπων ἀμετρία καὶ πλημμέλεια τὴν πόλιν ἀσύμφωνον καὶ ἀνάρμοστον ἑαυτῇ πεποίηκεν.

Ἐκ τούτου τῷ μὲν Ἄγιδι τὸ πλῆθος ἐπηκολούθησεν· οἱ δὲ πλούσιοι τόν τε Λεωνίδαν παρεκάλουν μὴ σφᾶς προέσθαι, καὶ τοὺς γέροντας, οἷς τὸ κράτιστον ἦν ἐν

Lycurgum & bonum ſentiat fuiſſe. Annuente illo, An unquam igitur, inquit, Lycurgus vel novas tabulas conceſſit, vel civitate donavit peregrinos: qui prorſus non putavit ſanam civitatem peregrinos quæ non abigeret? Huic occurrit Agis, Haud mirari Leonidam ſe, ſi, qui peregre eductus liberos ex nuptiis ſatrapicis quæſiſſet, ignoret Lycurgum debita & credita una cum nummis civitate exterminaviſſe: jam inſtitutis & vita hoſpites potius quam verſantes in civitatibus peregrinos fuiſſe averſatum. Etenim illos, inquit, abigebat, non corpora inſectans, ſed vitam eorum & mores veritus, ne confuſi civibus, luxus & mollitiæ & compendii imprimerent iis amorem privati: quando Terpander, Thales, Pherecydes advenæ, quia eadem ac Lycurgus aſſidue canebant ac tractabant, honores habuerunt Spartæ eximios. Tu vero Ecprepem celebras, qui Ephorus Phrynidis muſici aſcia duas ex novem fides incidit, illoſque qui in Timotheo id ſunt poſt imitati: nos laceras, qui delicias, luxum, inſolentiam Sparta ſummovemus: quaſi vero non illi quoque oſtentationem in muſica & luxuriam caverint, ne ad eam progrederetur corruptionem vitæ & morum, ut inæqualitas & imparitas civium diſſonam ſecum civitatem & diſcrepantem efficeret.

Hinc Agidi adhæſit plebs. Locupletes Leonidam rogaverunt ne deſtitueret ipſos: tantumque effecerunt obſecrando & impellendo ſenatum,

ἐν τῷ προβουλεύειν, δεόμενοι καὶ πείθοντες ἴσχυσαν, ὅσον ἑνὶ πλείονας γενέσθαι τοὺς ἀποψηφισαμένους τὴν ῥήτραν. ὁ δὲ Λύσανδρος ἔτι τὴν ἀρχὴν ἔχων, ὥρμησε τὸν Λεωνίδαν διώκειν κατά τινα νόμον παλαιὸν, ὃς οὐκ ἐᾷ τὸν Ἡρακλείδην ἐκ γυναικὸς ἀλλοδαπῆς τεκνοῦσθαι, τὸν δὲ ἀπελθόντα τῆς Σπάρτης ἐπὶ μετοικισμῷ πρὸς ἑτέρους, ἀποθνήσκειν κελεύει. ταῦτα κατὰ τοῦ Λεωνίδου λέγειν ἑτέρους διδάξας, αὐτὸς παρεφύλαττε μετὰ τῶν συναρχόντων τὸ σημεῖον. ἔστι δὲ τοιόνδε· δι' ἐτῶν ἐννέα λαβόντες οἱ ἔφοροι νύκτα καθαρὰν καὶ ἀσέληνον, σιωπῇ καθέζονται πρὸς τὸν οὐρανὸν ἀποβλέποντες. ἐὰν οὖν ἐκ μέρους τινὸς εἰς ἕτερον μέρος ἀστὴρ διάξῃ, κρίνουσι τοὺς βασιλεῖς, ὡς περὶ τὸ θεῖον ἐξαμαρτάνοντας, καὶ καταπαύουσι τῆς ἀρχῆς, μέχρις ἂν ἐκ Δελφῶν ἢ Ὀλυμπίας χρησμὸς ἔλθῃ τοῖς ἡλωκόσι τῶν βασιλέων βοηθῶν. τοῦτο δὴ τὸ σημεῖον αὐτῷ γεγονέναι λέγων ὁ Λύσανδρος, κρίσιν τῷ Λεωνίδᾳ προὔθηκε, καὶ μάρτυρας παρεῖχεν, ὡς ἐκ γυναικὸς Ἀσιανῆς, ἣν τῶν Σελεύκου τινὸς ὑπάρχων αὐτῷ συνοικήσαντος ἔσχε, τεκνῶσαι δύο παιδία· δυσχεραινόμενος δὲ καὶ μισούμενος ὑπὸ τῆς γυναικὸς, ἐπανέλθοι παρὰ γνώμην οἴκαδε, καὶ διαδοχῆς ἔρημον ἀνέλοι τὸ βασίλειον. ἅμα δὲ τῇ δίκῃ Κλεόμβροτον ἔπειθε τῆς βασιλείας ἀντιποιεῖσθαι, γαμβρὸν ὄντα τοῦ Λεωνίδου, γένους δὲ τοῦ βασιλικοῦ. φοβηθεὶς οὖν ὁ Λεωνίδας, ἱκέτης γίνεται τῆς Χαλκιοίκου, καὶ συνικέτευεν ἡ θυγάτηρ τῷ πατρὶ, τὸν Κλεόμβροτον ἀπολιποῦσα. καλουμένου δὲ πρὸς τὴν δίκην αὐτοῦ, καὶ μὴ καταβαίνοντος ἐκείνου, ἀποψηφισάμενοι τὴν βασιλείαν τῷ Κλεομβρότῳ παρέδωκαν.

Ἐν

tum, cujus potiſſima vis erat in præjudicio deliberationis, ut uno ſuffragio qui abrogaverunt rhetram ſuperarent. At Lyſander adhuc in magiſtratu poſitus, inſtitit Leonidam arceſſere lege quadam vetuſta, quæ Heraclidem liberos vetat ex muliere alienigena tollere: & in eum qui alio ex Sparta demigraverit, pœnam ſancit capitalem. Hæc quum objicere alios docuiſſet Leonidæ, ipſe cum collegis ſignum obſervavit. Id hujuſcemodi eſt: Nono quoque anno, capta Ephori ſerena nocte & intermeſtri luna, conſident ſilentio in cœlum intenti. Quod ſi aliqua ex parte ſtella in aliam trajecerit, reges judicant Deos offendiſſe: iiſque regnum eo uſque abrogant dum fuerit Delphis vel Olympia oraculum allatum, quod damnatos ſublevet reges. Hoc ſignum oblatum ſibi Lyſander jactans, judicium dictavit Leonidæ, ac teſtes edidit ex muliere eum Aſiatica, quam quidam Seleuci præfectus ei collocaverat, duos filios tuliſſe; ingratum & inviſum uxori domum invitum revertiſſe, & ſucceſſore orbum rapuiſſe regnum. Simul dum eum accuſat, impellit Cleombrotum ad regnum aſſerendum, generum Leonidæ & ſtirpis regiæ. Trepidus igitur Leonidas ſupplex ad Chalciœcum ædem Minervæ refugit. Fuit una cum parente in ſordibus filia, divertitque a Cleombroto. Citato ad judicium, quum non apparuiſſet, regnum abrogantes contulerunt id Cleombroto.

Inter-

Ἐν τούτῳ δ' ἀρχῆς ὁ Λύσανδρος ἀπηλλάγη, τοῦ χρόνου διελθόντος. οἱ καὶ κατασταθέντες ἔφοροι τὸν μὲν Λεωνίδαν ἀνέστησαν ἱκετεύοντα, τῷ δὲ Λυσάνδρῳ καὶ τῷ Μανδροκλείδᾳ δίκην ἐπῆγον, ὡς παρὰ τὸν νόμον χρεῶν ἀποκοπὰς καὶ γῆν ἀναδάσασθαι ψηφισαμένοις. κινδυνεύοντες οὖν ἐκεῖνοι, πείθουσι τοὺς βασιλεῖς ὁμοῦ γενομένους χαίρειν ἐᾶν τὰ τῶν ἐφόρων βουλεύματα· τοῦτο γὰρ τὸ ἀρχεῖον ἰσχύειν ἐκ διαφορᾶς τῶν βασιλέων, τῷ τὰ βελτίονα λέγοντι προστιθέμενον τὴν ψῆφον, ὅταν ἅτερος ἐρίζῃ πρὸς τὸ συμφέρον· ἀμφοῖν δὲ ταυτὰ βουλομένων, ἄλυτον εἶναι τὴν ἐξουσίαν, καὶ παρανόμως μάχεσθαι πρὸς τοὺς βασιλεῖς· ὧν μαχομένων, διαιτᾶν καὶ βραβεύειν αὐτοῖς εἶναι προσῆκον, οὐχὶ πολυπραγμονεῖν ὁμοφρονούντων. οὕτω δὴ πεισθέντες ἀμφότεροι, καὶ μετὰ τῶν φίλων εἰς ἀγορὰν καταβάντες, ἀνέστησαν μὲν ἐκ τῶν δίφρων τοὺς ἐφόρους, ἄλλους δ' ἀντ' αὐτῶν ἀπέδειξαν, ὧν εἷς ἦν Ἀγησίλαος. ὁπλίσαντες δὲ τῶν νέων πολλοὺς, καὶ λύσαντες τοὺς δεδεμένους, ἐγένοντο φοβεροὶ τοῖς ὑπεναντίοις, ὡς πολλοὺς ἀποκτενοῦντες. ἀπέθανε δὲ οὐδεὶς ὑπ' αὐτῶν, ἀλλὰ καὶ Λεωνίδαν εἰς Τεγέαν ὑπεξιόντα βουληθέντος διαφθεῖραι τοῦ Ἀγησιλάου, καὶ πέμψαντος ἐπ' αὐτὸν εἰς τὴν ὁδὸν ἄνδρας, πυθόμενος ὁ Ἆγις ἑτέρους ἀπέστειλε πιστοὺς, οἳ τὸν Λεωνίδαν περιέχοντες, ἀσφαλῶς εἰς Τεγέαν κατέστησαν.

Οὕτω δὲ τῆς πράξεως αὐτοῖς ὁδῷ βαδιζούσης, καὶ μηδενὸς ἐνισταμένου μήτε διακωλύοντος, εἷς ἀνὴρ Ἀγησίλαος ἀνέτρεψε πάντα καὶ διελυμήνατο, κάλλιστον νόμον καὶ Λακωνικώτατον αἰσχίστῳ νοσήματι τῇ φιλοπλουτίᾳ διαφθείρας.

Interea exacto tempore Lyſander abiit magiſtratu. Tum qui ſucceſſerunt Ephori, ſupplicem excitaverunt Leonidam: Lyſandrum autem & Mandroclidam in judicium adduxerunt, quod contra leges novas tabulas & legem agrariam promulgaſſent. Igitur in periculum illi adducti, perſuadent regibus ut conſpirantes Ephororum conſulta repudient. Nam ejus magiſtratus in regum diſſenſione arbitrium eſſe, quum alter contendat pro bono publico, ut in ſententiam tranſeant rectius ſentientis: amborum conſentientium indiſſolubilem eſſe poteſtatem, & inique diſſentire illos a regibus, quibus diſſidentibus arbitrari eis & diſceptare jus eſſe, non ingerere ſe concinentibus. His rationibus inducti ambo, profecti ſunt cum amicis in forum, ſummoveruntque Ephoros ſellis, atque alios eis ſurrogaverunt, quorum fuit Ageſilaus unus. Jam quum armaſſent frequentem juventutem, & ſolviſſent cuſtodias, trepidaverunt adverſarii eorum, quaſi imminente multorum cæde. Cæterum nihil ſanguinis factum eſt, immo vero profugientem Tegeam Leonidam quum pararet interficere Ageſilaus, ſummitteretque in viam percuſſores: re comperta miſit Agis alios fidos; qui Leonidam ſtipantes deduxerunt eum Tegeam ſecure.

Ita conſilio iis ex animo procedente, neque intercedente aut impediente ullo, unus vir omnia Ageſilaus evertit & convulſit: qui pulcherimam legem atque Sparta digniſſimam fœdiſſimo morbo labefactavit, avaritia.

ρας. ἐπειδὴ γὰρ ἐκέκτητο μὲν ἐν τοῖς μάλιστα πολλὴν καὶ ἀγαθὴν χώραν, ὤφειλε δὲ πάμπολλα, μήτε διαλῦσαι δυνάμενος τὰ χρέα, μήτε τὴν χώραν προέσθαι βουλόμενος, ἔπεισε τὸν Ἄγιν, ὡς ἀμφοτέρων μὲν ἅμα πραττομένων μέγας ἔσοιτο περὶ τὴν πόλιν νεωτερισμός· εἰ δὲ τῇ τῶν χρεῶν ἀφαιρέσει θεραπευθεῖεν οἱ κτηματικοὶ πρότερον, εὐκόλως ἂν αὐτῶν καὶ καθ' ἡσυχίαν ὕστερον ἐνδεξομένων τὸν ἀναδασμόν. ταῦτα δὲ καὶ τοῖς περὶ τὸν Λύσανδρον ἐδόκει, συνεξαπατωμένοις ὑπὸ τοῦ Ἀγησιλάου. καὶ τὰ παρὰ τῶν χρεωστῶν γραμματεῖα συνεισενέγκαντες εἰς ἀγορὰν, ἃ κλάρια καλοῦσι, καὶ πάντα συνθέντες εἰς ἓν, ἐνέπρησαν. ἀρθείσης δὲ φλογὸς, οἱ μὲν πλούσιοι καὶ δανειστικοὶ περιπαθοῦντες ἀπῆλθον· ὁ δὲ Ἀγησίλαος, ὥσπερ ἐφυβρίζων, οὐκ ἔφη λαμπρότερον ἑωρακέναι φῶς, οὐδὲ πῦρ ἐκείνου καθαρώτερον. ἀξιούντων δὲ τῶν πολλῶν καὶ τὴν γῆν εὐθὺς νέμεσθαι, καὶ τῶν βασιλέων οὕτω ποιεῖν κελευόντων, ἀσχολίας τινὰς ἐμβαλὼν ὁ Ἀγησίλαος ἀεὶ, καὶ προφάσεις λέγων, παρήγαγε τὸν χρόνον· ἄχρις οὗ στρατεία συνέβη τῷ Ἄγιδι, μεταπεμπομένων τῶν Ἀχαιῶν, συμμάχων ὄντων, βοήθειαν ἐκ Λακεδαίμονος. Αἰτωλοὶ γὰρ ἦσαν ἐπίδοξοι διὰ τῆς Μεγαρικῆς ἐμβαλοῦντες εἰς Πελοπόννησον· καὶ τοῦτο κωλύσων Ἄρατος, ὁ τῶν Ἀχαιῶν στρατηγὸς, ἤθροισε δύναμιν, καὶ τοῖς ἐφόροις ἔγραφεν.

Οἱ δὲ τὸν Ἄγιν εὐθὺς ἐξέπεμπον, ἐπηρμένον τῇ φιλοτιμίᾳ καὶ προθυμίᾳ τῶν συστρατευομένων. νέοι γὰρ ὄντες οἱ πλεῖστοι καὶ πένητες, καὶ τὴν ἀπὸ τῶν χρεῶν ἄδειαν ἔχοντες ἤδη, καὶ λελυμένοι, τοὺς δὲ ἀγροὺς ἐλπίζοντες ἂν ἐπανέλ-

ritia. Quum enim poſſideret latiſſimum & uberrimum agrum; ære autem alieno multo demerſus eſſet; quia non erat ſolvendo, neque agrum dimittere inducebat in animum, perſuaſit Agidi, ſi utrumque pariter tentaretur, magnum in civitate exoriturum motum: quod ſi novis tabulis ante deliniti locupletes forent, facile eos & placide accepturos legem agrariam. Idem etiam Lyſandro, qui item ſeductus ab Ageſilao fuit, viſum. Ita congeſtas in forum debitorum ſyngraphas, quas claria appellant, omnes coacervatas concremaverunt: ſublata flamma pecunioſi & fœneratores ægre ferentes digreſſi ſunt. At Ageſilaus, quaſi illudens illis, negavit clarius ſe lumen vel ignem puriorem vidiſſe. Poſtulante autem plebe ut ager quoque confeſtim divideretur, imperantibuſque hoc regibus, ſemper Ageſilaus obſtacula aliqua interponendo & cauſando tempus protrahebat, quoad proficiſcendum Agidi ad bellum fuit, quum acciviſſent ſocii Achæi Lacedæmone auxilia. Exſpectabant enim per fines Megaricos, Ætolos in Peloponneſum incurſaturos. Ad quod prohibendum prætor Achæorum Aratus delectum habuit, & Ephoris ut mitterent auxilia ſcripſit.

Miſerunt illi confeſtim Agim alacritate & promptitudine erectum commilitonum: juvenes enim erant plerique & egeni, jamque fœnore liberati & ſoluti, atque agri exſpectantes, ſi a bello revertiſſent, partitionem,

ἔλθωσιν ἐκ τῆς στρατείας νεμηθήσεσθαι, θαυμαστοὺς τῷ Ἄγιδι παρεῖχον ἑαυτούς· καὶ θέαμα ταῖς πόλεσιν ἦσαν, ἀβλαβῶς καὶ πράως καὶ μονονοὺ καὶ ἀψοφητὶ διαπορευόμενοι τὴν Πελοπόννησον. ὥστε θαυμάζειν καὶ διαλογίζεσθαι τοὺς Ἕλληνας, οἷος ἦν ἄρα κόσμος Λακωνικοῦ στρατεύματος, Ἀγησίλαον ἔχοντος, ἢ Λύσανδρον ἐκεῖνον, ἢ Λεωνίδαν τὸν παλαιὸν ἡγούμενον, ὅπου πρὸς μειράκιον ὀλίγου δεῖν νεώτατον ἁπάντων αἰδὼς τοσαύτη καὶ φόβος ἐστὶ τῶν στρατευομένων. καὶ μέντοι καὶ αὐτὸς ὁ νεανίσκος εὐτελείᾳ καὶ φιλοπονίᾳ καὶ τῷ μηδὲν ἰδιώτου λαμπρότερον ἠμφιέσθαι καὶ ὡπλίσθαι σεμνυνόμενος, ἀξιοθέατος ἦν καὶ ζηλωτὸς ὑπὸ τῶν πολλῶν. ἐπεὶ τοῖς γε πλουσίοις οὐκ ἤρεσκεν ὁ νεωτερισμὸς αὐτοῦ, δεδιόσι μὴ κίνημα καὶ παράδειγμα τοῖς πανταχόσε δήμοις γένηται.

Συμμίξας δὲ τῷ Ἀράτῳ περὶ Κόρινθον ὁ Ἄγις, ἔτι βουλευομένῳ περὶ μάχης καὶ παρατάξεως πρὸς τοὺς πολεμίους, ἐπεδείξατο καὶ προθυμίαν πολλὴν, καὶ τόλμαν οὐ μανικὴν οὐδὲ ἀλόγιστον. ἔφη γὰρ αὐτῷ μὲν δοκεῖν διαμάχεσθαι, καὶ μὴ παριέναι τὸν πόλεμον εἴσω τὰς πύλας τῆς Πελοποννήσου προεμένους· ποιήσειν δὲ τὸ δοκοῦν Ἀράτῳ· καὶ γὰρ πρεσβύτερόν τε εἶναι, καὶ στρατηγεῖν Ἀχαιῶν, οἷς οὐχὶ προστάξων οὐδὲ ἡγησόμενος, ἀλλὰ συστρατευσόμενος ἥκοι καὶ βοηθήσων. ὁ δὲ Σινωπεὺς Βάτων αὐτὸν οὐκ ἐθέλειν μάχεσθαι φησὶ τὸν Ἄγιν, Ἀράτου κελεύοντος· οὐκ ἐντετυχηκὼς οἷς Ἄρατος γέγραφε περὶ τούτων ἀπολογιζόμενος, ὅτι βέλτιον ἡγεῖτο, τοὺς καρποὺς σχεδὸν ἅπαντας συγκεκομισμένων ἤδη τῶν γεωργῶν, παρελθεῖν τοὺς πολεμί-

ους,

nem, impigros præbebant ſe Agidi, civitatibuſque erant miraculo, quod citra noxam placideque & tantum non ſine ſtrepitu Peloponneſum tranſmitterent: ut obſtupeſcerent, reputarentque animis Græci, quæ modeſtia & ordo exercitus Laconici fuiſſet, Ageſilao, vel Lyſandro illo, vel priſco duce Leonida, ubi tanta adverſus adoleſcentem, omnibus fere ætate inferiorem, militum eſſet reverentia & metus. Et vero ipſe ille juvenis qui frugalitate & laboris tolerantia, & quod nihilo ſplendidius amictus vel veſtitus privato eſſet, oſtentaret ſe, viſendus erat & charus multitudini. Verum opulentis ingrata novatio ejus erat, metuentibus ne commoveret & ad exemplum paſſim concitaret populos.

Conjunctus apud Corinthum Arato Agis, deliberanti etiam tum de pugna & ſignis cum hoſtibus conferendis, præ ſe tulit inſignem alacritatem & audaciam non vecordem vel ſtolidam. Declaravit enim videri ſibi prœlio decernendum, neque intra Peloponneſi portas admittendum bellum: facturum tamen ſe quod viſum eſſet Arato. Quippe grandiorem eum & prætorem eſſe Achæorum: quibus non imperator, non dux, ſed auxilio veniſſet ut belli ſocius. Baton autem Sinopenſis detrectaſſe Agim refert prœlium, quum id vellet Aratus: verum non legit hic ſcripta Arati qui ſe de hoc conſilio excuſat; quod ſatius duceret, quia fruges propemodum omnes agricolæ convexerant, ut hoſtes tranſirent, quam prœ-

lio

ους, ἢ μάχῃ διακινδυνεῦσαι περὶ τῶν ὅλων. ἐπεὶ δ᾽ οὖν Ἄρατος ἀπέγνω μάχεσθαι, καὶ τοὺς συμμάχους ἐπαινέσας διαφῆκε, θαυμασθεὶς ὁ Ἄγις ἀνεζεύγνυεν, ἤδη τῶν ἔνδον ἐν Σπάρτῃ θόρυβον πολὺν ἐχόντων καὶ μεταβολήν.

Ὁ γὰρ Ἀγησίλαος ἐφορεύων, ἀπηλλαγμένος οἷς ταπεινὸς ἦν πρότερον, οὐδενὸς ἐφείδετο φέροντος ἀργύριον ἀδικήματος, ἀλλὰ μῆνα τρισκαιδέκατον, οὐκ ἀπαιτούσης τότε τῆς περιόδου, παρὰ τὴν νενομισμένην τάξιν τῶν χρόνων ἐνέβαλε τοῖς τέλεσι, καὶ παρέπραττε. δεδιὼς δὲ τοὺς ἀδικουμένους, καὶ μισούμενος ὑπὸ πάντων, ἔτρεφε μαχαιροφόρους, καὶ φυλαττόμενος ὑπὸ τούτων κατέβαινεν εἰς τὸ ἀρχεῖον. καὶ τῶν βασιλέων, τοῦ μὲν ὅλως καταφρονεῖν, τὸν δὲ Ἄγιν ἐβούλετο δοκεῖν διὰ τὴν συγγένειαν μᾶλλον ἢ διὰ τὴν βασιλείαν ἔν τινι τιμῇ τίθεσθαι. διέδωκε δὲ λόγον ὡς καὶ αὖθις ἐφορεύσων. διὸ θᾶσσον ἀποκινδυνεύσαντες οἱ ἐχθροὶ, καὶ συστάντες, ἐκ Τεγέας ἀναφανδὸν τὸν Λεωνίδαν ἐπὶ τὴν ἀρχὴν κατήγαγον, ἡδέως καὶ τῶν πολλῶν θεασαμένων. ὠργίζοντο γὰρ πεφενακισμένοι, τῆς χώρας μὴ νεμηθείσης. τὸν μὲν οὖν Ἀγησίλαον ὁ υἱὸς Ἱππομέδων, δεόμενος τῶν πολιτῶν, καὶ πᾶσι προσφιλὴς ὢν δι᾽ ἀνδραγαθίαν, ὑπεξήγαγε καὶ διέσωσε. τῶν δὲ βασιλέων ὁ μὲν Ἄγις ἐπὶ τὴν Χαλκιοικον κατέφυγεν· ὁ δὲ Κλεόμβροτος εἰς τοῦ Ποσειδῶνος ἱερὸν ἐλθὼν ἱκέτευε· καὶ γὰρ ἐδόκει τούτῳ μᾶλλον ὁ Λεωνίδας χαλεπὸς εἶναι, καὶ παρεὶς τὸν Ἄγιν, ἐπὶ τοῦτον ἀνέβη στρατιώτας ἔχων· καὶ κατηγόρει μετ᾽ ὀργῆς, ὅτι γαμβρὸς ὢν ἐπεβούλευσεν αὐτῷ, καὶ τὴν βασιλείαν ἀφείλετο, καὶ συνεξέβαλε τῆς πατρίδος. Ὁ

lio de ſumma jaceret aleam. Poſtquam igitur defugit Aratus aciem, & laudatos dimiſit ſocios: in magna habitus admiratione Agis, retro ſigna domum movit, rebus Spartæ ingenti tumultu & mutatione concitatis.

Siquidem Ephorus tunc Ageſilaus exoneratus eo, quo depreſſus ante fuerat onere, a nullo ſcelere, quod adferret quæſtum, abhorruit: ſed menſem tertium decimum, quem ambitus anni non requirebat in præſentia, præter uſu receptum temporum ordinem cenſui intercalavit, exegitque ejus menſis nomine cenſum indebitum. Quod vero extimeſceret læſos, & omnes offendiſſet, aluit ſatellites, quibus ſtipatus deſcendebat in curiam. Regum alterum ſemel deſpicere, Agim videri volebat propinquitatis potius quam regni cauſa ſuſpicere: inſuper divulgavit iterum ſe Ephorum fore. Quocirca maturantes periculum adire inimici ejus, coitione facta reduxerunt palam Leonidam ex Tegea ad regnum recipiendum: quem plebs quoque vidit libenter. Exarſerat enim, quod eſſet non diviſo agro deluſa. Atque Ageſilaum filius Hippomedon, qui ob ſtrenuitatem omnibus erat charus, exoratis civibus clam eduxit urbe ac ſervavit. Reges, Agis ad Chalciœcum confugit: Cleombrotus in æde Neptuni ſedebat ſupplex: nam in eum apparebat gravius incenſum Leonidam eſſe, miſſoque facto Agide in hunc contendit armis ſeptus, accuſavitque eum infenſe, quod gener ſtruxiſſet ſibi inſidias, regnoque ſpoliatum patria expuliſſet.

Cleom-

Ὁ μὲν οὖν Κλεόμβροτος οὐδὲν εἶχεν εἰπεῖν, ἀλλ' ἠπορημένος ἐκάθητο καὶ σιωπῶν· ἡ δὲ Χειλωνὶς ἡ τοῦ Λεωνίδου θυγάτηρ, πρότερον μὲν ἀδικουμένῳ τῷ πατρὶ συνηδικεῖτο, καὶ τοῦ Κλεομβρότου τὴν βασιλείαν παραλαβόντος, ἀποστᾶσα τὴν τοῦ πατρὸς συμφορὰν ἐθεράπευε, καὶ παρόντι μὲν συνικέτευε, φεύγοντος δὲ πενθοῦσα καὶ χαλεπῶς ἔχουσα πρὸς τὸν Κλεόμβροτον διετέλει. τότε δὲ αὖ πάλιν ταῖς τύχαις συμμεταβάλλουσα, μετὰ τοῦ ἀνδρὸς ἱκέτις ὤφθη καθεζομένη, περιβεβληκυῖα χεῖρας ἐκείνῳ, καὶ τῶν παιδίων τὸ μὲν ἔνθεν, τὸ δὲ ἔνθεν ὑπ' αὐτὴν ἔχουσα. θαυμαζόντων δὲ πάντων, καὶ δακρυόντων ἐπὶ τῇ χρηστότητι καὶ φιλοστοργίᾳ τῆς γυναικὸς, ἁψαμένη τῶν πέπλων καὶ τῆς κόμης ἀτημελῶς ἐχόντων, Τοῦτο, εἶπεν, ὦ πάτερ, ἐμοὶ τὸ σχῆμα καὶ τὴν ὄψιν οὐχ ὁ Κλεομβρότου περιτέθεικεν ἔλεος, ἀλλὰ ἀπὸ τῶν σῶν κακῶν καὶ τῆς σῆς φυγῆς μεμένηκέ μοι σύντροφον καὶ σύνοικον τὸ πένθος. πότερον οὖν δεῖ με σοῦ βασιλεύοντος ἐν Σπάρτῃ καὶ νικῶντος ἐγκαταβιῶναι ταύταις ταῖς συμφοραῖς, ἢ λαβεῖν ἐσθῆτα λαμπρὰν καὶ βασιλικὴν, ἐπιδοῦσαν ὑπὸ σοῦ τὸν παρθένιον ἄνδρα φονευόμενον; ὃς εἰ μὴ παραιτεῖταί σε, μηδὲ πείθει τέκνων καὶ γυναικὸς δάκρυσι, χαλεπωτέραν ἢ σὺ βούλει δίκην ὑφέξει τῆς κακοβουλίας, ἐπιδὼν ἐμὲ τὴν φιλτάτην αὐτῷ προαποθανοῦσαν. τίνι γὰρ ἐμὲ δεῖ ζῆν παῤῥησίᾳ πρὸς τὰς ἄλλας γυναῖκας, ᾗ μήτε παρ' ἀνδρὸς δεομένῃ μήτε παρὰ πατρὸς ἔλεός ἐστιν; ἀλλὰ καὶ γυνὴ καὶ θυγάτηρ συνατυχεῖν καὶ συνατιμάζεσθαι τοῖς ἐμαυτῆς ἐγενόμην. τούτῳ μὲν οὖν εἰ καί τις ἦν λόγος εὐπρεπὴς, ἐγὼ τοῦτον ἀφειλόμην, τότε σοι συνεξετασθεῖσα, καὶ καταμαρτυ-

ρήσασα

Cleombrotus quod diceret nihil habebat, ſed ſedebat perplexus mutuſque. At Chelonis Leonidæ filia, quæ ante paternæ calamitatis fuerat conſors, atque a Cleombroto, ubi accepit regnum, digreſſa, patris miſeriam foverat, fueratque cum præſente ſupplex, cum exulante in luctu & ſimultate perſtiterat adverſus Cleombrotum: tum vero converſa fortuna palam ſociam ſe viri in ſqualore præbuit, conſeditque manibus illum complexa, filioſque hinc inde apud ſe tenens. Mirantibus omnibus humanitatem & pietatem mulieris, veſtem & comas incomtas manu tangens, Hunc mihi (pater) inquit, habitum & ſpeciem non Cleombroti impoſuit miſeratio, ſed a tuis ærumnis & exilio inveteratus mihi & familiaris manſit luctus. Utrum igitur te Spartæ ſuperatis adverſariis regnante conſeneſcendum mihi in hiſce eſt calamitatibus, an veſtis ſumenda ſplendida & regia, virum aſpicienti, cui nupſi virgo, a te trucidari? Qui niſi liberorum & conjugis te lacrymis exoret & placet, graviora quam tu petis piacula præbebit conſiliorum ſuorum pravorum: me enim intuebitur ſibi chariſſimam ante oculos ſuos vitam profundentem. Qua enim fronte cæteras mulieres unquam viva intuebor, cujus neque vir precantis, neque pater capit miſericordiam: ſed & uxor & filia ad id ſum nata, cum meis ut ſim in calamitate & infamia? Atque huic quidem ſiqua honeſta cauſa fuiſſet, hanc ego quæ tum tibi fui aggregata, facta ejus meo premens teſtimonio detraxi,

ἐρήσασα τῶν ὑπὸ τούτου γινομένων· σὺ δὲ αὐτῷ τὸ ἀδίκημα ποιεῖς εὐαπολόγητον, οὕτω μέγα καὶ περιμάχητον ἀποφαίνων τὸ βασιλεύειν, ὥστε δι' αὐτὸ καὶ γαμβροὺς φονεύειν καὶ τέκνων ἀμελεῖν εἶναι δίκαιον.

Ἡ μὲν Χειλωνὶς τοιαῦτα ποτνιωμένη, τό, τε πρόσωπον ἐπὶ τὴν κεφαλὴν ἐπέθηκε τοῦ Κλεομβρότου, καὶ τὸ βλέμμα διεφθαρμένον καὶ συντετηκὸς ὑπὸ λύπης περιήνεγκεν εἰς τοὺς παρόντας. ὁ δὲ Λεωνίδας διαλεχθεὶς τοῖς φίλοις, τὸν μὲν Κλεόμβροτον ἐκέλευσεν ἀναστάντα φεύγειν· τῆς δὲ παιδὸς μένειν ἐδεῖτο, καὶ μὴ καταλιπεῖν αὐτὸν οὕτω φιλοῦντα, καὶ δεδωκότα χάριν, τὴν τοῦ ἀνδρὸς σωτηρίαν. οὐ μὴν ἔπεισεν· ἀλλ' ἀνισταμένῳ τῷ ἀνδρὶ θάτερον τῶν παιδίων ἐγχειρίσασα, θάτερον δὲ ἀναλαβοῦσα, καὶ προσκυνήσασα τὸν βωμὸν τοῦ Θεοῦ συνεξῆλθεν. ὥστε, εἰ μὴ πάνυ διεφθαρμένος ἦν ὑπὸ κενῆς δόξης ὁ Κλεόμβροτος, εὐτύχημα ἂν ἡγήσατο τὴν φυγὴν αὐτῷ τῆς βασιλείας μεῖζον εἶναι διὰ τὴν γυναῖκα. μεταστησάμενος δὲ τὸν Κλεόμβροτον ὁ Λεωνίδας, καὶ τοὺς πρώτους ἐφόρους ἐκβαλὼν τῆς ἀρχῆς, ἑτέρους δὲ ποιησάμενος, εὐθὺς ἐπεβούλευε τῷ Ἄγιδι. καὶ πρῶτον μὲν ἔπειθεν αὐτὸν ἀναστῆναι καὶ συμβασιλεύειν, ὡς δεδωκότων συγγνώμην τῶν πολιτῶν· συνεξηπατῆσθαι γὰρ ὑπὸ τοῦ Ἀγησιλάου, νέον ὄντα καὶ φιλότιμον. ἐκείνου δὲ ὑφορωμένου, καὶ κατὰ χώραν μένοντος, αὐτὸς μὲν ἐπαύσατο φενακίζων καὶ κατειρωνευόμενος· Ἀμφάρης δὲ καὶ Δημοχάρης καὶ Ἀρκεσίλαος ἀναβαίνοντες εἰώθεσαν αὐτῷ διαλέγεσθαι· καί ποτε καὶ παραλαβόντες ἐπὶ τὸ λουτρὸν ἀπὸ τοῦ ἱεροῦ κατήγαγον, καὶ λουσάμενον πάλιν εἰς τὸ ἱερὸν κατέστησαν. καὶ ἦσαν πάντες μὲν αὐτῷ συνή-

traxi. Verum tu facinus illius reddis ei egregie excuſabile, qui rem oſtendis regnum eſſe ita grandem & expetendam, ut ejus gratia & generos trucidare, & liberos juſtum ſit poſtmittere.

Hæc Chelonis quiritans, faciem capiti Cleombroti impoſuit, oculoſque tabeſcentes & mæſtitia emarcidos ad coronam circumtulit. Leonidas cum amicis colloquutus, Cleombrotum juſſit exulem eſſe: natam oravit ut remaneret, neque ſe, qui adeo diligeret ipſam, & viri ſalutem eſſet ei largitus, defereret. Non paruit illa tamen, ſed exſurgenti viro alterum filium tradidit, alterum tenens ipſa, adorata Dei ara, conceſſit cum illo in exilium. Itaque niſi plane labefactatus Cleombrotus ab inani gloria fuiſſet, felicitatem duxiſſet exilium ſibi quam regnum uxoris cauſa majorem. Cleombroto exacto, & primis Ephoris magiſtratu amotis, atque ſuffectis aliis, extemplo inſidias tetendit Leonidas Agidi. Primum hortatus eum eſt ut ſurgeret, atque adminiſtraret ſecum regnum, quaſi cives ei ignoviſſent: nam deceptum ab Ageſilao fuiſſe juvenem & gloriæ cupidum. Verum ſuſpectanti ipſum Agidi, neque loco cedenti, omiſit verba dare & deludere. Amphares autem & Demochares, Arceſilauſque adire Agim & colloqui ſolebant cum eo. Interim etiam ducebant eum ſecum ex templo ad balneum, lotumque reducebant in templum. Erant hi omnes familiares ejus.

συνήθεις. ὁ δ' Ἀμφάρης καὶ κεχρημένος ἔναγχος ἱμάτια καὶ ποτήρια τῶν πολυτελῶν παρὰ τῆς Ἀγησιστράτας, ἐπεβούλευε διὰ ταῦτα τῷ βασιλεῖ καὶ ταῖς γυναιξὶν, ὡς ἀποστερήσων. καὶ μάλιστά γε αὐτὸς ὑπακοῦσαι τῷ Λεωνίδᾳ λέγεται, καὶ παροξῦναι τοὺς ἐφόρους, ὧν καὶ αὐτὸς εἷς ἦν.

Ἐπεὶ δ' ὁ Ἄγις τὸν μὲν ἄλλον ἐν τῷ ἱερῷ διέτριβε χρόνον, εἰώθει δὲ καταβαίνειν ὅτε τύχοι πρὸς τὸ λουτρὸν, ἐκεῖ συλλαβεῖν αὐτὸν ἔγνωσαν, ὅταν ἔξω τοῦ ἱεροῦ γένηται. καὶ παραφυλάξαντες λελουμένον, ἀπήντησαν καὶ ἠσπάσαντο, καὶ συμπροῆγον ἅμα διαλεγόμενοι, καὶ παίζοντες ὡς πρὸς συνήθη καὶ νέον. ἐκτροπὴν δέ τινα τῆς ὁδοῦ πλαγίαν πρὸς τὸ δεσμωτήριον ἐχούσης, ὡς ἐγένοντο κατ' αὐτὴν βαδίζοντες, ὁ μὲν Ἀμφάρης διὰ τὸ ἄρχειν ἁψάμενος τοῦ Ἄγιδος, Ἄγω σε, εἶπεν, ἐπὶ τοὺς ἐφόρους, ὦ Ἄγι, λόγον ὑφέξοντα τῶν πεπολιτευμένων· ὁ δὲ Δημοχάρης, εὔρωστος ὢν καὶ μέγας, τὸ ἱμάτιον περιβαλὼν περὶ τὸν τράχηλον, εἷλκεν. ἄλλων δὲ ἐπωθούντων ὄπισθεν ἐκ παρασκευῆς, οὐδενὸς δὲ βοηθοῦντος, ἀλλ' ἐρημίας οὔσης, ἐμβάλλουσιν αὐτὸν εἰς τὸ δεσμωτήριον. εὐθὺς δὲ παρῆν ὁ μὲν Λεωνίδας μισθοφόρους ἔχων πολλοὺς, καὶ τὸ οἴκημα περιέσχεν ἔξωθεν· οἱ δὲ ἔφοροι πρὸς τὸν Ἄγιν εἰσῆλθον, καὶ τῶν γερόντων εἰς τὸ οἴκημα μεταπεμψάμενοι τοὺς ταυτὰ βουλομένους, ὡς δὴ κρίσεως αὐτῷ γινομένης, ἐκέλευον ὑπὲρ τῶν πεπραγμένων ἀπολογεῖσθαι. γελάσαντος δὲ τοῦ νεανίσκου πρὸς τὴν εἰρωνείαν αὐτῶν, ὁ μὲν Ἀμφάρης οἰμωξόμενον ἐκάλει, καὶ δίκην ὑφέξοντα τῆς ἰταμότητος· ἄλλος δὲ τῶν ἐφόρων, οἷον ἐνδιδοὺς τῷ Ἄγιδι, καὶ δεικνύων ἀποφυγὴν τῆς αἰτίας, ἠρώτησεν εἰ ταῦτ'

ejus. Amphares autem veſtes quoque & pocula precioſa nuper ab Ageſiſtrata acceperat commodato, quæ ut non redderet, prodere deliberavit regem & fœminas ejus parentes. Et vero hic præcipue ſerviiſſe Leonidæ, & Ephoros, inter quos ipſe erat, dicitur inflammaſſe.

Quum Agis autem per reliquum temporis permaneret in templo, & ſueviſſet ad balneum per occaſionem deſcendere: ibi eum, ubi templo exceſſit, ſtatuerunt arripere, captatoque articulo, quum laviſſet, occurrerunt & ſalutaverunt eum, comitatique ſunt, colloquentes & jocantes ſicut cum familiari & juvene. Divortium obliquum via ad carcerem habebat: ad quod quum perveniſſent, Amphares jure magiſtratus manibus Agidi injectis, Duco te, inquit, Agi, ad Ephoros, ut rationem reipub. geſtæ reddas. Demochares autem, homo valens & eminens ſtatura, obvolvens collum pallio traxit illum. Aliis ex compoſito impellentibus a tergo, & opitulante Agidi in ſolitudine nemine, conjiciunt eum in carcerem. Mox adfuit Leonidas cum magna mercenariorum militum manu, quibus carcerem foris circumfudit. Ephori ad Agim ingreſſi, ſenibus, qui ejuſdem erant conſilii, accitis, tanquam cum eo acturi judicio, juſſerunt eum actionum ſuarum cauſam dicere. Ridente illo diſſimulantiam iſtorum, Amphares haud impune ait laturum, pœnaſque daturum temeritatis. Hic alius Ephorus, tanquam lenior in Agim & culpæ effugium oſtendens, requiſivit, patraſſetne ea a Lyſandro

ταῦτ' ἔπραξεν ὑπὸ Λυσάνδρου καὶ Ἀγησιλάου βιασθείς. ἀποκειναμένου δὲ τοῦ Ἄγιδος, ὡς βιασθεὶς μὲν ὑπ' οὐδενός, ζηλῶν δὲ καὶ μιμούμενος τὸν Λυκοῦργον ἐπὶ τὴν αὐτὴν ἔλθοι πολιτείαν, πάλιν ὁ αὐτὸς ἠρώτησεν εἰ μετανοεῖ τοῖς πεπραγμένοις. φήσαντος δὲ τοῦ νεανίσκου μὴ μετανοεῖν ἐπὶ τοῖς κάλλιστα βεβουλευμένοις, κἂν τὰ ἔσχατα πεισόμενον αὐτὸν ἴδῃ, θάνατον αὐτοῦ κατεψηφίσαντο, καὶ τοὺς ὑπηρέτας ἐκέλευον ἀπάγειν εἰς τὴν καλουμένην Δεκάδα. τοῦτο δέ ἐστιν οἴκημα τῆς εἱρκτῆς ἐν ᾧ θανατοῦσι τοὺς καταδίκους ἀποπνίγοντες. ὁρῶν δὲ τοὺς ὑπηρέτας ὁ Δαμοχάρης οὐ τολμῶντας ἅψασθαι τοῦ Ἄγιδος, ὁμοίως δὲ καὶ τῶν μισθοφόρων τοὺς παρεστῶτας ἀποστρεφομένους καὶ φεύγοντας τὸ ἔργον, ὡς οὐ θεμιτὸν οὐδὲ νενομισμένον βασιλέως σώματι τὰς χεῖρας προσφέρειν, διαπειλησάμενος αὐτοῖς, καὶ λοιδορηθείς, εἷλκεν αὐτὸς εἰς τὸ οἴκημα τὸν Ἄγιν. ἤδη γὰρ ᾔσθοντο πολλοὶ τὴν σύλληψιν, καὶ θόρυβος ἦν ἐπὶ ταῖς θύραις, καὶ φῶτα πολλά, καὶ παρῆσαν ἥ τε μήτηρ ἡ τοῦ Ἄγιδος καὶ ἡ μάμμη, βοῶσαι καὶ δεόμεναι τὸν βασιλέα τῶν Σπαρτιατῶν λόγου καὶ κρίσεως τυχεῖν ἐν τοῖς πολίταις. διὸ καὶ μάλιστα κατήπειξαν τὴν ἀναίρεσιν, ὡς ἐξαρπαγησομένου νυκτός, ἂν πλείονες ἐπέλθωσιν.

Ὁ μὲν οὖν Ἄγις ἐπὶ τὴν στραγγάλην πορευόμενος, ὡς εἶδέ τινα τῶν ὑπηρετῶν δακρύοντα καὶ περιπαθοῦντα, Παῦσαί με, εἶπεν, ὦ ἄνθρωπε, κλαίων· καὶ γὰρ οὕτως παρανόμως καὶ ἀδίκως ἀπολλύμενος, κρείττων εἰμὶ τῶν ἀναιρούντων· καὶ ταῦτ' εἰπών, παρέδωκε τῷ βρόχῳ τὸν τράχηλον ἑκουσίως. ὁ δὲ Ἀμφάρης προελθὼν ἐπὶ τὰς θύρας, καὶ τὴν Ἀγησιστράταν προσπεσοῦσαν

αὐτῷ

dro & Ageſilao coactus. Ubi reſpondit Agis coactum a nemine, ſed æmulatione & exemplo Lycurgi eadem perſequutum ſe inſtituta: iterum idem rogavit, Ecquid eum pœniteret factorum. Negante juvene, quamvis extrema pericula ante oculos cerneret, pœnitere optimorum conſiliorum: damnaverunt eum rei capitalis, imperaveruntque lictoribus ut in Decadem, quam appellant, eum auferrent. Is locus in carcere eſt in quo judicatos ſtrangulant. Cernens autem miniſtros Demochares dubitantes attingere Agim, itemque mercenarios, qui aſſiſtebant, avertentes ſe & refugientes facinus, ut nefarium & inſolens, ut corpori regis quis admoveret manus: comminatus iis & convitiatus, rapuit Agim ipſe in illam cameram. Jam enim ſenſerant multi comprehenſum, tumultuſque ad fores erat & crebra lumina. Aderant etiam Agidis mater & avia vociferantes, obſecranteſque ut rex Spartiatarum audiretur, cauſamque diceret ad populum. Unde potiſſimum necem maturaverunt, veriti ne, ſi ſuperveniſſent plures, nocte eriperetur.

Igitur progrediens ad locum ſupplicii Agis, ut conſpexit quendam ex miniſtris flentem & ingemiſcentem, Mitte tu me (inquit) deflere: etenim ego, qui ita nefarie & violenter pereo, præſtantior ſum interfectoribus. Ita fatus, collum ultro obtulit laqueo. Amphares ad januam progreſſus, & Ageſiſtratam ad genua ſua ex familiaritate & ami-

ami-

αὐτῷ διὰ συνήθειαν καὶ φιλίαν, ἀναστήσας, οὐδὲν ἔφη περὶ τὸν Ἆγιν ἔσεσθαι βίαιον οὐδὲ ἀνήκεστον· ἐκέλευε δὲ κἀκείνην, εἰ βούλοιτο, πρὸς τὸν υἱὸν εἰσελθεῖν. ἐκείνης δὲ καὶ τὴν μητέρα μετ᾽ αὐτῆς παρεῖναι δεομένης, οὐδὲν ἔφη κωλύειν ὁ Ἀμφάρης· καὶ δεξάμενος ἀμφοτέρας, καὶ πάλιν κλεῖσαι τὰς θύρας τοῦ δεσμωτηρίου κελεύσας, προτέραν μὲν τὴν Ἀρχιδάμειαν παρέδωκεν, ἤδη σφόδρα πρεσβῦτιν οὖσαν, καὶ καταγεγηρακυῖαν ἐν ἀξιώματι μεγίστῳ τῶν πολιτικῶν. ἀποθανούσης δὲ ἐκείνης, ἐκέλευσε τὴν Ἀγησιστράταν ἔσω βαδίζειν. ὡς δὲ εἰσελθοῦσα τόν τε υἱὸν ἐθεάσατο χαμαὶ κείμενον, καὶ τὴν μητέρα νεκρὰν ἐκ τοῦ βρόχου κρεμαμένην, ἐκείνην μὲν αὐτὴ τοῖς ὑπηρέταις συγκαθεῖλε, καὶ παρεκτείνασα τῷ Ἄγιδι τὸ σῶμα, περιέστειλε καὶ κατεκάλυψε· τῷ δὲ υἱῷ προσπεσοῦσα, καὶ φιλήσασα τὸ πρόσωπον, Ἡ πολλή σε, εἶπεν, ὦ παῖ, εὐλάβεια καὶ τὸ πρᾷον καὶ φιλάνθρωπον ἀπώλεσε μεθ᾽ ἡμῶν. ὁ δὲ Ἀμφάρης ἀπὸ τῆς θύρας ὁρῶν τὰ γιγνόμενα, καὶ τὰς φωνὰς ἀκούων, ἐπεισῆλθε. καὶ πρὸς τὴν Ἀγησιστράταν μετ᾽ ὀργῆς ἔφη, Εἰ τοίνυν ταυτὰ ἐδοκίμαζες τῷ υἱῷ, ταυτὰ καὶ πείσῃ. καὶ ἡ Ἀγησιστράτα πρὸς τὸ βρόχον ἀνισταμένη, μόνον ἔφη συνενέγκαι ταῦτα τῇ Σπάρτῃ.

Τοῦ δὲ πάθους εἰς τὴν πόλιν ἐξαγγελθέντος, καὶ τῶν τριῶν σωμάτων ἐκκομιζομένων, οὐκ ἦν ὁ φόβος οὕτω μέγας, ὥστε μὴ καταφανεῖς εἶναι τοὺς πολίτας ἀλγοῦντας μὲν ἐπὶ τοῖς γεγονόσι, μισοῦντας δὲ τὸν Λεωνίδαν καὶ τὸν Ἀμφάρη· μηδὲν δεινότερον μηδὲ ἀνοσιώτερον, ἐξ οὗ Δωριεῖς Πελοπόννησον οἰκοῦσιν, οἰομένους ἐν Σπάρτῃ πεπρᾶχθαι. βασιλεῖ γάρ, ὡς ἔοικε, Λακεδαιμονίων, οὐδὲ


amicitia provolutam excitans, Nihil, inquit, gravis in Agim, vel atrocius conſuletur. Juſſit etiam illam, ſi videretur, ad filium ingredi. Illa matrem quoque admitti ſecum precante, Nihil, inquit, vetat, Amphares. Ambas quum admiſiſſet, & iterum claudi præcepiſſet oſtium carceris, priorem Archidamiam, jam admodum anum, quæ in ſumma inter cives dignitate conſenuerat, ad mortem tradidit. Ea interfecta, Ageſiſtratam juſſit introire. Quæ ingreſſa, ut filium ſpectavit humi jacentem, & exanimem ex reſti pendentem matrem: ipſa miniſtros adjuvit in ea detrahenda, collocatumque juxta Agim corpus ejus cooperuit & velavit. Inde in filium ruens & faciem ejus oſculata, Nimia tua te, (inquit) fili, modeſtia, lenitas & humanitas nobiſcum perdidit. Ibi Amphares, qui ex janua ſpeculabatur quid ageretur, & voces excipiebat, irrupit, frendenſque Ageſiſtratæ dixit, Ergo ſi filii facta probaſti, eadem quoque ratione in te conſuletur. Ageſiſtrata autem ad laqueum exſurgens, Tantum ſint hæc, inquit, ex uſu reipublicæ Spartanæ.

Eo facinore inter cives enuntiato, tribuſque elatis cadaveribus, non fuit metus tantus quin præ ſe ferrent cives graviter iſtis angi, Leonidamque & Ampharem deteſtari; nihil atrocius vel ſceleſtius, ex quo Peloponneſum incoluiſſent Dorii, admiſſum Spartæ exiſtimantes. Quippe regem Lacedæmoniorum ne hoſtes quidem

οὐδὲ οἱ πολέμιοι ῥᾳδίως ἐν ταῖς μάχαις ἀπαντῶντες προσέφερον τὰς χεῖρας, ἀλλ' ἀπετρέποντο, δεδιότες καὶ σεβόμενοι τὸ ἀξίωμα. διὸ καὶ πολλῶν γεγονότων Λακεδαιμονίοις ἀγώνων πρὸς Ἕλληνας, εἷς μόνος ἀνῃρέθη πρὸ τῶν Φιλιππικῶν δόρατι πληγεὶς περὶ Λεῦκτρα, Κλεόμβροτος. Μεσσηνίων δὲ καὶ Θεόπομπον ὑπ' Ἀριστομένους πεσεῖν λεγόντων, οὔ φασι Λακεδαιμόνιοι, πληγῆναι δὲ μόνον. ἀλλὰ ταῦτα μὲν ἔχει τινὰς ἀμφιβολίας. ἐν δὲ Λακεδαίμονι πρῶτος Ἆγις βασιλεύων ὑπὸ ἐφόρων ἀπέθανε, καλὰ μὲν ἔργα καὶ πρέποντα τῇ Σπάρτῃ προελόμενος, ἡλικίᾳ δὲ γεγονὼς ἐν ᾗ ἁμαρτάνοντες ἄνθρωποι συγγνώμης τυγχάνουσι· μεμφθεὶς δὲ ὑπὸ τῶν φίλων δικαιότερον ἢ τῶν ἐχθρῶν, ὅτι καὶ Λεωνίδαν περιέσωσε, καὶ τοῖς ἄλλοις ἐπίστευσεν, ἡμερώτατος καὶ πρᾳότατος γενόμενος.

quidem temere, quum occurreret eis in acie, attingebant: ſed deflectebant, verentes venerantesque ejus majeſtatem. Itaque multis in conflictibus, quos conſeruerunt cum Græcis Lacedæmonii, unus ante Philippi ævum lancea ictus cecidit in Leuctris, Cleombrotus. Meſſeniis autem Theopompum quoque ab Ariſtomene aſſerentibus cæſum, inficiantur Lacedæmonii, tantummodo aiunt vulneratum. Cæterum hæc aliquatenus controverſa ſunt. Lacedæmone vero primus ab Ephoris rex eſt necatus Agis: qui egregium factum & Sparta dignum ſuſceperat, & erat ætate qua hominibus, etiam qui deliquerint, ignoſcitur: culpatus ab amicis rectius quam ab adverſariis, quod Leonidam ſervaſſet, & aliis fidiſſet placidiſſimus & manſuetiſſimus juvenis.

ΚΛΕ-



ΚΛΕΟΜΕΝΗΣ.

ἈΠοθανόντος δὲ αὐτοῦ, τὸν μὲν ἀδελφὸν Ἀρχίδαμον οὐκ ἔφθη συλλαβεῖν ὁ Λεωνίδας, εὐθὺς ἐκφυγόντα· τὴν δὲ γυναῖκα, παιδίον ἔχουσαν νεογνὸν ἐκ τῆς οἰκίας ἀπαγαγὼν, βίᾳ Κλεομένει τῷ υἱῷ συνῴκισεν, οὐ πάνυ γάμων ὥραν ἔχοντι, τὴν δὲ ἄνθρωπον ἄλλῳ δοθῆναι μὴ βουλόμενος. ἦν γὰρ οὐσίας τε μεγάλης ἐπίκληρος ἡ Ἀγιάτις, Γυλίππου τοῦ πατρὸς, ὥρᾳ τε καὶ κάλλει πολὺ τῶν Ἑλληνίδων διαφέρουσα, καὶ τὸν τρόπον ἐπιεικής. διὸ πολλὰ μὲν ἐποίησεν, ὥς φασι, μὴ βιασθῆναι δεομένη· συνελθοῦσα δὲ εἰς ταυτὸ τῷ Κλεομένει, τὸν μὲν Λεωνίδαν ἐμίσει, περὶ δὲ αὐτὸν τὸν νεανίσκον ἦν ἀγαθὴ γυνὴ καὶ φιλόστοργος, ἐρωτικῶς ἅμα τῷ λαβεῖν πρὸς αὐτὴν διατεθέντα, καί τινα τρόπον συμπαθοῦντα τῇ πρὸς τὸν Ἆγιν εὐνοίᾳ καὶ μνήμῃ τῆς γυναικός· ὥστε καὶ πυνθάνεσθαι πολλάκις περὶ τῶν γεγονότων, καὶ προσέχειν ἐπιμελῶς διηγουμένης

EO exſtincto parum gnavus Leonidas fuit ut fratrem ejus Archidamum comprehenderet: verum conſuluit ille actutum fugæ. Uxorem autem Agidis, Agiatidem nomine, quæ nuper pepererat filium, quod collocari eam nollet alteri, (erat enim opulenti hæres matrimonii Agiatis, Gylippi patris, ætatiſque & formæ flore inter fœminas Græcas longe præcellente, & probatis moribus) domo extractam filio Cleomeni deſpondit haud ſatis ad nuptias maturo. Quapropter multa movit illa, uti ferunt, orans ne compelleretur invita. Ut vero connubio juncta Cleomeni fuit, Leonidam oderat, erga ipſum adoleſcentem bona uxor & amans fuit viri: qui mox a nuptiis dilexit eam, atque aliquatenus amore uxoris in Agim, quæ reminiſceretur ejus, motus fuit: ac ſubinde iis de rebus percunctabatur,

νης ἐκείνης ἣν ὁ Ἆγις ἔσχε διάνοιαν καὶ προαίρεσιν. ἦν δὲ καὶ φιλότιμος μὲν καὶ μεγαλόφρων ὁ Κλεομένης, καὶ πρὸς ἐγκράτειαν καὶ ἀφέλειαν οὐχ ἧττον τοῦ Ἄγιδος εὖ πεφυκώς. τὸ δὲ εὐλαβὲς ἄγαν ἐκείνου καὶ πρᾷον οὐκ εἶχεν, ἀλλὰ κέντρον τι θυμοῦ τῇ φύσει προσέκειτο, καὶ μετὰ σφοδρότητος ὁρμὴ πρὸς τὸ φαινόμενον ἀεὶ καλόν. ἐφαίνετο δὲ κάλλιστον μὲν αὐτῷ κρατεῖν ἑκόντων, καλὸν δὲ καὶ μὴ πειθομένων περιεῖναι, πρὸς τὸ βέλτιον ἐκβιαζόμενον.

Οὐκ ἤρεσκε μὲν οὖν αὐτῷ τὰ κατὰ τὴν πόλιν, ἀπραγμοσύνῃ καὶ ἡδονῇ κατακεκηλημένων τῶν πολιτῶν, καὶ τοῦ βασιλέως πάντα τὰ πράγματα χαίρειν ἐῶντος, εἰ μηδεὶς αὐτὸν ἐνοχλοίη σχολάζειν ἐν ἀφθόνοις καὶ τρυφᾷν βουλόμενον. ἀμελουμένων δὲ τῶν κοινῶν, κατ' οἰκίαν ἑκάστου πρὸς αὐτὸν ἕλκοντος τὸ κερδαλέον· ἀσκήσεως δὲ καὶ σωφροσύνης νέων καὶ καρτερίας καὶ ἰσότητος, οὐδὲ ἀσφαλὲς ἦν τούτῳ, τῶν περὶ Ἆγιν ἀπολωλότων, μνημονεύειν. λέγεται δὲ καὶ λόγων φιλοσόφων τὸν Κλεομένην μεταχεῖν ἔτι μειράκιον ὄντα, Σφαίρου τοῦ Βορυσθενίτου παραβάλλοντος εἰς τὴν Λακεδαίμονα, καὶ περὶ τοὺς νέους καὶ τοὺς ἐφήβους οὐκ ἀμελῶς διατρίβοντος. ὁ δὲ Σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει τῶν Ζήνωνος τοῦ Κιτιέως μαθητῶν, καὶ τοῦ Κλεομένους ἔοικε τῆς φύσεως τὸ ἀνδρῶδες ἀγαπῆσαί τε, καὶ προσεκκαῦσαι τὴν φιλοτιμίαν. Λεωνίδαν μὲν γὰρ τὸν παλαιὸν λέγουσιν ἐπερωτηθέντα, ποῖός τις αὐτῷ φαίνεται ποιητὴς γεγονέναι Τυρταῖος, εἰπεῖν, ἀγαθὸς νέων ψυχὰς αἰκάλλειν. ἐμπιπλάμενοι γὰρ ὑπὸ τῶν ποιημάτων ἐνθουσιασμοῦ, παρὰ τὰς μάχας

batur, & attente exponentem audiebat Agidis conſilium & inſtitutum. Erat quidem gloriæ Cleomenes cupidus magnanimuſque, ad temperantiamque & ſimplicitatem non ſecus ac Agis egregie natura comparatus: ſed magna ejus cautione atque lenitate carebat. Inerat autem ingenio ejus aculeus quidam animorum, & cum ardore impetus ſemper ad id quod videbatur ei honeſtum. Videbatur ei honeſtiſſimum volentibus imperare, honeſtum etiam expugnare reluctantes, & ad id quod rectum eſſet adigere.

Non placebant porro ei mores civitatis, in qua otio & voluptatibus demulcerentur cives, rex reipub. curam abjiceret, ſi nemo obtunderet eum, feriari in luxu & deliciis geſtientem: negligerentur res publicæ, & ſinguli privatim emolumentum ad ſe raperent: exercitationis vero, frugalitatis juventutis, tolerantiæ, æquabilitatis etiam, lubricum erat Agide ea de cauſa perempto facere mentionem. Perhibent inſuper non expertem ſermonum philoſophicorum adoleſcentem etiamnum Cleomenem fuiſſe, quum Sphærus Boryſthenites Lacedæmonem appuliſſet, atque cum pube & adoleſcentia uſu habito ſtudioſe eam doceret. Fuit inter primarios auditores Sphærus Zenonis Citiei, ac Cleomenem videtur, fortitudinem ingenii ejus amplexus, inflammaſſe ad gloriam. Nam Leonidam priſcum ferunt rogatum, qui ei Tyrtæus poeta fuiſſe videretur, reſpondiſſe, Bonus ad demulcendos juventutis animos: ſiquidem quaſi afflati carminibus ejus ruebant in

χας ἠφείδουν ἑαυτῶν. ὁ δὲ Στωϊκὸς λόγος ἔχει τι πρὸς τὰς μεγάλας φύσεις καὶ ὀξείας ἐπισφαλὲς καὶ παράβολον· βαθεῖ δὲ καὶ πρᾴῳ κεραννύμενος ἤθει, μάλιστα εἰς τὸ οἰκεῖον ἀγαθὸν ἐπιδίδωσιν.

Ἐπεὶ δὲ τελευτήσαντος τοῦ Λεωνίδου τὴν βασιλείαν παρέλαβε, καὶ τοὺς πολίτας τότε δὴ παντάπασιν ἐκλελυμένους ἑώρα, τῶν μὲν πλουσίων καθ' ἡδονὰς ἰδίας καὶ πλεονεξίας παρορώντων τὰ κοινὰ, τῶν δὲ πολλῶν, διὰ τὸ πράττειν κακῶς περὶ τὰ οἰκεῖα, καὶ πρὸς τὸν πόλεμον ἀπροθύμων, καὶ πρὸς τὴν ἀγωγὴν ἀφιλοτίμων γεγονότων· αὐτοῦ δὲ ὄνομα βασιλεύοντος ἦν μόνον, ἡ δὲ ἀρχὴ πᾶσα τῶν ἐφόρων· εὐθὺς μὲν εἰς νοῦν ἔθετο τὰ παρόντα μεθιστάναι καὶ κινεῖν. ὄντος δὲ αὐτῷ φίλου Ξενάρους ἐραστοῦ γεγονότος (τοῦτο δὲ ἐμπνεῖσθαι Λακεδαιμόνιοι καλοῦσιν) ἀπεπειρᾶτο τούτου, διαπυνθανόμενος τὸν Ἆγιν ὁποῖος γένοιτο βασιλεὺς, καὶ τίνι τρόπῳ καὶ μετὰ τίνων ἐπὶ ταύτην ἔλθοι τὴν ὁδόν. ὁ δὲ Ξενάρης τὸ μὲν πρῶτον οὐκ ἀηδῶς ἐμέμνητο τῶν πραγμάτων ἐκείνων, ὡς ἐπράχθη καθ' ἕκαστα μυθολογῶν καὶ διηγούμενος· ὡς δὲ ἦν καταφανὴς αὐτῷ ὁ Κλεομένης ἐμπαθέστερον προσέχων, καὶ κινούμενος ὑπερφυῶς πρὸς τὴν καινοτομίαν τοῦ Ἄγιδος, καὶ ταυτὰ πολλάκις ἀκούειν βουλόμενος, ἐπέπληξεν αὐτῷ πρὸς ὀργὴν ὁ Ξενάρης, ὡς οὐχ ὑγιαίνοντι· καὶ τέλος ἀπέστη τοῦ διαλέγεσθαι καὶ φοιτᾶν πρὸς αὐτόν. οὐδενὶ μέντοι τὴν αἰτίαν ἔφρασε τῆς διαφορᾶς, ἀλλ' αὐτὸν ἔφη γινώσκειν ἐκεῖνον. οὕτω δὲ τοῦ Ξενάρους ἀντικρούσαντος, ὁ Κλεομένης καὶ τοὺς ἄλλους ὁμοίως ἔχειν ἡγούμενος, αὐτὸς ἐν ἑαυτῷ συνετίθει τὴν πρᾶξιν. οἰόμενος δ' ἂν ἐν πολέμῳ μᾶλλον ἢ κατ' εἰρήνην

in prœlia ſalutis ſuæ prodigi. Stoica vero diſciplina magna & acria ingenia in ancipitia & temeraria nonnihil inclinat: quæ ſi cum gravi & manſueto temperata animo ſit, aſſurgit imprimis, & reddit fructum ſuum peculiarem.

Poſtquam defuncto Leonida regnum accepit Cleomenes, & cives ea tempeſtate penitus animadvertit diſſolutos, poſtponentibus ob privatum luxum & compendium rempub. divitibus, plebe autem propter rei familiaris anguſtias ad bellum pigra, & ad diſciplinam pueritiæ ſocordi reddita: nomine vero ipſe tantum regis fruebatur, rerum erat penes Ephoros omnium arbitrium: adjecit protinus ad res novandas & movendas animum. Qui amicum quum haberet Xenarem, qui amator ejus fuerat, (Lacedæmonii dicunt ἐμπνεῖσθαι) hujus animum cœpit periclitari, percunctando qui rex Agis fuiſſet, & qua ratione, & quibuſcum in ea eſſet delatus conſilia. Xenares primum meminit non invitus illarum rerum, ut quæque geſtæ erant narrans atque exponens. Ut vero Cleomenem ſenſit intentum ardentius, & mirifice duci Agidis innovatione, eademque crebrius audire aventem: caſtigavit eum acriter Xenares quaſi inſanientem, ac poſtremo præſcidit cum eo colloquia & uſum: nemini cauſam tamen detexit alienationis, ſed illum ipſum ait eam noſſe. Ita reluctato Xenare, exiſtimans Cleomenes ejuſdem animi cæteros eſſe, ipſe rei aggrediendæ ſtruxit ſecum conſilium. Quia vero in bello magis quam otio moturum ſe arbitrabatur

εἰρήνην μεταστῆσαι τὰ παρόντα, συνέκρουσε πρὸς τοὺς Ἀχαιοὺς τὴν πόλιν, αὐτοὺς διδόντας ἐγκλημάτων προφάσεις. ὁ γὰρ Ἄρατος ἰσχύων μέγιστον ἐν τοῖς Ἀχαιοῖς, ἐβούλετο μὲν ἐξ ἀρχῆς εἰς μίαν σύνταξιν ἀγαγεῖν Πελοποννησίους· καὶ τοῦτο τῶν πολλῶν στρατηγιῶν αὐτῷ καὶ τῆς μακρᾶς πολιτείας ἦν τέλος, ἡγουμένῳ μόνως ἂν οὕτως ἀνεπιχειρήτους ἔσεσθαι τοῖς ἐκτὸς πολεμίοις. ἐπεὶ δὲ τῶν ἄλλων σχεδὸν ἁπάντων αὐτῷ προσγεγονότων, ἀπελείποντο Λακεδαιμόνιοι καὶ Ἠλεῖοι, καὶ ὅσοι Λακεδαιμονίοις Ἀρκάδων προσεῖχον, ἅμα τῷ τὸν Λεωνίδαν ἀποθανεῖν παρηνώχλει τοῖς Ἀρκάσι, καὶ περιέκοπτεν αὐτῶν μάλιστα τοὺς τοῖς Ἀχαιοῖς ὁμοροῦντας· ἀποπειρώμενος τῶν Λακεδαιμονίων, καὶ τοῦ Κλεομένους ὡς νέου καὶ ἀπείρου καταφρονῶν.

Ἐκ τούτου Κλεομένην πρῶτον οἱ ἔφοροι πέμπουσι καταληψόμενον τὸ περὶ τὴν Βελβίναν Ἀθήναιον. ἐμβολὴ δὲ τῆς Λακωνικῆς τὸ χωρίον ἐστὶ, καὶ τότε πρὸς τοὺς Μεγαλοπολίτας ἦν ἐπίδικον. καταλαβόντος δὲ τοῦτο καὶ τειχίσαντος τοῦ Κλεομένους, ὁ Ἄρατος οὐδὲν ἐγκαλέσας, ἀλλὰ νυκτὸς ἐκστρατεύσας, ἐπεχείρησε Τεγεάταις καὶ Ὀρχομενίοις· τῶν δὲ προδοτῶν ἀποδειλιασάντων, ὁ μὲν Ἄρατος ἀνεχώρησε, λεληθέναι νομίζων· ὁ δὲ Κλεομένης εἰρωνείᾳ χρώμενος ἔγραψε πρὸς αὐτὸν, ὡς δὴ παρὰ φίλου πυνθανόμενος, ποῦ τῆς νυκτὸς ἐξέλθοι. τοῦ δὲ ἀντιγράψαντος, ὡς ἐκεῖνον Βελβίναν μέλλειν τειχίζειν ἀκούσας, καταβαίη τοῦτο κωλύσων· πάλιν ὁ Κλεομένης ἀποστείλας, τοῦτο μὲν οὕτως ἔχειν ἔφη πεπεῖσθαι· τοὺς δὲ φανοὺς καὶ τὰς κλίμακας, εἶπεν, εἰ μή τί σοι διαφέρει, γράψον ἡμῖν, ἐπὶ τί σοι παρηκολούθουν; τοῦ δὲ Ἀράτου πρὸς

ſtatum reipub. commiſit civitatem cum Achæis: qui ipſi querelarum anſas dederant. Aratus namque, cujus erat autoritas apud Achæos ſumma, moliebatur a primo ut in unum corpus Peloponneſios redigeret; eoque multæ ejus domi bellique actiones ſpectabant: quod una ea ratione liberos cenſeret ab hoſtibus externis fore. Quum vero reliquis ei ſociatis fere omnibus, ſupereſſent Lacedæmonii, Elei, & qui Arcadum Lacedæmoniis adhærebant: ſimul ut deceſſit Leonidas, infeſtavit Arcadas, vaſtavitque præcipue eos qui Achæis erant finitimi; Lacedæmonios tentans, ac Cleomenem ut juvenem & tyronem deſpiciens.

Hinc Cleomenem primum Ephori mittunt ad Athenæum (templum eſt Minervæ) prope Belbinam occupandum. Aditus ea arx Laconiæ eſt, eratque Lacedæmoniis ea tempeſtate cum Megalopolitanis controverſa. Hanc quum occupaſſet & muniviſſet Cleomenes, Aratus ſine ulla expoſtulatione infeſto exercitu Tegeatas & Orchomenios eſt nocte adortus. At proditorum ignavia Aratus re infecta retro ceſſit, neminem id arbitratus ſenſiſſe. At Cleomenes jocoſe per literas ab eo ſicut amico requiſivit quo moviſſet nocte. Qui ut reſcripſit, nuntiato Belbinam ipſum ſepire parare, profectum ſe ad id impediendum: Cleomenes iterum per nuntios ita rem habere ſignificavit credere ſe: verum hoc, faces, inquit, & ſcalæ, niſi quid tua intereſt, ſcribe mihi quo te ſequebantur? Ridente ad facetias ejus

πρὸς τὸ σκῶμμα γελάσαντος, καὶ πυνθανομένου ποῖός τις ὁ νεανίσκος εἴη, Δημοκράτης ὁ Λακεδαιμόνιος φυγάς, Εἴ τι πράττεις, ἔφη, πρὸς Λακεδαιμονίους, ὥρα σοι ταχύνειν πρὸ τοῦ κέντρα φῦσαι τοῦτον τὸν νεοσσόν. ἐκ τούτου Κλεομένει μετὰ ἱππέων ὀλίγων καὶ πεζῶν τριακοσίων ἐν Ἀρκαδίᾳ στρατοπεδευομένῳ προσέταξαν ἀναχωρεῖν οἱ ἔφοροι, φοβούμενοι τὸν πόλεμον. ἐπεὶ δὲ ἀναχωρήσαντος αὐτοῦ Καφύας ἔλαβεν ὁ Ἄρατος, αὖθις ἐξέπεμπον τὸν Κλεομένην. λαβόντος δὲ αὐτοῦ Μεθύδριον, καὶ τὴν Ἀργολικὴν καταδραμόντος, ἐξεστράτευσαν οἱ Ἀχαιοὶ δισμυρίοις πεζοῖς καὶ χιλίοις ἱππεῦσιν, Ἀριστομάχου στρατηγοῦντος. ἀπαντήσαντος δὲ περὶ Παλάντιον Κλεομένους, καὶ βουλομένου μάχεσθαι, φοβηθεὶς τὴν τόλμαν ὁ Ἄρατος, οὐκ εἴασε διακινδυνεῦσαι τὸν στρατηγόν, ἀλλ' ἀπῆλθε, λοιδορούμενος μὲν ὑπὸ τῶν Ἀχαιῶν, χλευαζόμενος δὲ καὶ καταφρονούμενος ὑπὸ τῶν Λακεδαιμονίων, οὐδὲ πεντακισχιλίων τὸ πλῆθος ὄντων. μέγας οὖν τῷ φρονήματι γεγονὼς ὁ Κλεομένης, ἐθρασύνετο πρὸς τοὺς πολίτας· καὶ τῶν παλαιῶν τινος αὐτοὺς ἀνεμίμνησκε βασιλέων, εἰπόντος ὅτι μάτην Λακεδαιμόνιοι πυνθάνονται περὶ τῶν πολεμίων οὐ πόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσιν.

Ἐπεὶ δὲ τοῖς Ἠλείοις πολεμουμένοις ὑπὸ τῶν Ἀχαιῶν βοηθήσας, καὶ περὶ τὸ Λύκαιον ἀπιοῦσιν ἤδη τοῖς Ἀχαιοῖς ἐπιβαλών, ἅπαν μὲν ἐτρέψατο καὶ διεπτόησεν αὐτῶν τὸ στράτευμα, συχνοὺς δὲ ἀνεῖλε καὶ ζῶντας ἔλαβεν, ὥστε καὶ περὶ Ἀράτου φήμην ἐκπεσεῖν εἰς τοὺς Ἕλληνας ὡς τεθνηκότος· ὁ μὲν οὖν Ἄρατος, ἄριστα τῷ καιρῷ χρησάμενος, ἐκ τῆς τροπῆς ἐκείνης εὐθὺς ἐπὶ Μαν-

ejus Arato, roganteque qui juvenis eſſet, Democrates Lacedæmonius exul, Siquid in animo habes, inquit, contra Lacedæmonios, properandum tibi eſt prius quam huic pullo creſcant aculei. Inde Cleomeni cum paucis equitibus & peditibus trecentis in Arcadia ſtativa habenti, edixerunt ei, metuentes belli, Ephori, ut ſe reciperet. Ut ſecundum deceſſum ejus cepit Aratus Caphyas, miſerunt denuo Cleomenem cum copiis. Qui ut Methydrium cepit, & fines Argolicos eſt populatus, infeſti Achæi viginti millibus peditum & mille equitibus ſigna prætore Ariſtomacho extulere. Occurrente ad Palantium Cleomene, & dimicare geſtiente, trepidans audaciam ejus Aratus diſſuaſit prætori rem in diſcrimen adducere, abſceſſitque: unde probris proſciſſus ab Achæis eſt, a Lacedæmoniis vero, qui quinque millium numerum non explebant, deriſus & deſpectus. Itaque inflatus animo Cleomenes glorianſque apud cives, commonuit veteris cujuſpiam regis, qui dixerat nunquam de hoſtibus quærere Lacedæmonios quot eſſent, ſed ubi eſſent.

Poſtquam vero Eleis, quibus armo inſerebant Achæi, opem tulit, & ad Lycæum in recipientes jam ſe Achæos invectus, totum perculit & pepulit exercitum, multos occidit cepitque, ut fama manaret per Græciam Aratum cecidiſſe: optime uſus Aratus tempore, raptim ex illa fuga Mantineam petiit,

Μαντίνειαν ἦλθε, καὶ μηδενὸς ἂν προσδοκήσαντος, εἷλε τὴν πόλιν καὶ κατέσχε. τῶν δὲ Λακεδαιμονίων παντάπασι ταῖς γνώμαις ἀναπεσόντων, καὶ τῷ Κλεομένει πρὸς τὰς στρατείας ἐνισταμένων, ὥρμησε μεταπέμπεσθαι τὸν Ἄγιδος ἀδελφὸν Ἀρχίδαμον ἐκ Μεσσήνης, ᾧ βασιλεύειν ἀπὸ τῆς ἑτέρας οἰκίας τὴν προσῆκον, οἰόμενος ἀμβλυτέραν τὴν τῶν ἐφόρων ἀρχὴν ἔσεσθαι, τῆς βασιλείας ἰσορρόπου καὶ ὁλοκλήρου γενομένης. οἱ δὲ ἀνῃρηκότες πρότερον τὸν Ἄγιν, αἰσθόμενοι τοῦτο, καὶ φοβηθέντες μὴ δίκην δῶσι τοῦ Ἀρχιδάμου κατελθόντος, ἐδέξαντο μὲν αὐτὸν εἰς τὴν πόλιν παραγενόμενον κρύφα, καὶ συγκατῆγον, εὐθὺς δὲ ἀπέκτειναν· εἴτε ἄκοντος τοῦ Κλεομένους, ὡς οἴεται Φύλαρχος, εἴτε πεισθέντος ὑπὸ τῶν φίλων καὶ προεμένου τὸν ἄνθρωπον αὐτοῖς. τῆς γὰρ αἰτίας τὸ πλεῖστον ἐπ᾽ ἐκείνους ἦλθε, βεβιάσθαι τὸν Κλεομένην δοκοῦντας.

Οὐ μὴν ἀλλὰ κινεῖν εὐθὺς ἐγνωκὼς τὰ κατὰ τὴν πόλιν, ἔπεισε τοὺς ἐφόρους χρήμασιν, ὅπως αὐτῷ ψηφίσωνται στρατείαν. ἐθεράπευσε δὲ καὶ τῶν ἄλλων συχνοὺς διὰ τῆς μητρὸς Κρατησικλείας ἀφειδῶς συγχορηγούσης καὶ συμφιλοτιμουμένης. ἥ γε καὶ γάμου μὴ δεομένη, λέγεται διὰ τὸν υἱὸν ἄνδρα λαβεῖν πρωτεύοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν. ἐξαγαγὼν δὲ τὴν στρατείαν, λαμβάνει τῆς Μεγαλοπολίτιδος χωρίον Λεῦκτρα· καὶ γενομένης πρὸς αὐτὸν ὀξείας τῶν Ἀχαιῶν βοηθείας, Ἀράτου στρατηγοῦντος, ὑπὸ τὴν πόλιν αὐτὴν παραταξάμενος ἡττήθη μέρει τινὶ τοῦ στρατεύματος. ἐπεὶ δὲ χαράδραν τινὰ βαθεῖαν οὐκ εἴασε διαβῆναι τοὺς Ἀχαιοὺς ὁ Ἄρατος, ἀλλ᾽ ἐπέστησε τὴν δίωξιν, ἀγανακτῶν δὲ Λυδιάδας ὁ Μεγαλοπολίτης συνεξώρμη-

σε

petiit, atque ex improviſo potitus oppido, impoſuit præſidium. Lacedæmoniis vero ſemel animo fractis, & Cleomeni bellum agitanti refragantibus, inſtitit Agidis fratrem Archidamum a Meſſene revocare, ad quem regnum ex altera familia ſpectabat; poteſtatem obtuſiorem exiſtimans Ephororum fore, ſi æquilibre illi regnum & integrum eſſet. Verum ubi ſenſerunt id qui Agin ante interfecerant, formidantes ne reverſo ab exilio Archidamo luerent pœnas, acceperunt illum quidem in civitatem clam ingreſſum, & reditum ejus adjuverunt: ſed illico interemerunt eum, ſive invito Cleomene, ut opinio eſt Phylarchi, ſive expugnato & condonante illis Archidamum: nam crimen maxima ex parte in illos recidit, quod vim adhibuiſſe crederentur Cleomeni.

Novare nihilominus ex continenti rempublicam certus, induxit pecunia Ephoros quo bellum permitterent ſibi. Conciliavit & alios multos matre interprete Crateſiclea, quæ nummos ei ſuppeditabat large, ejuſque ſerviebat gloriæ: quippe etiam dicitur filii gratia nupſiſſe, quum id non affectaret, viro principi autoritate & opibus civitatis. Eductis copiis occupat Leuctra, agri Megalopolitani oppidum. Quum propere Achæi eo ſuccurriſſent prætore Arato, ſub oppidi mœnibus ſigna conferens aliqua parte exercitus inclinavit. Quia vero locum quendam cavum non permiſit Achæos Aratus tranſmittere, ſed receptui cecinit: Lydiadas autem Megalopolitanus frendens concitavit e-

qui-

σε τοὺς περὶ αὐτὸν ἱππεῖς, καὶ διώκων, εἰς χωρίον ἀμπέλων καὶ τάφρων καὶ τοίχων μεστὸν ἐνσείσας, καὶ διασπασθεὶς περὶ ταῦτα, κακῶς ἀπήλλαττε· κατιδὼν ὁ Κλεομένης ἀνῆκε τοὺς Ταραντίνους καὶ τοὺς Κρῆτας ἐπ' αὐτόν, ὑφ' ὧν ὁ Λυδιάδας ἀμυνόμενος εὐρώστως ἔπεσε. πρὸς τοῦτο θαρρήσαντες οἱ Λακεδαιμόνιοι, μετὰ βοῆς ἐνέβαλον τοῖς Ἀχαιοῖς, καὶ τροπὴν ὅλου τοῦ στρατεύματος ἐποίησαν. ἀποθανόντων δὲ συχνῶν, τοὺς μὲν ἄλλους ὑποσπόνδους ὁ Κλεομένης ἀπέδωκε, τὸν δὲ Λυδιάδου νεκρὸν ἀχθῆναι πρὸς αὐτὸν κελεύσας, κοσμήσας πορφυρίδι, καὶ στέφανον ἐπιθείς, πρὸς τὰς πύλας τῶν Μεγαλοπολιτῶν ἀπέστειλεν. οὗτος ἦν Λυδιάδας, ὁ καταθέμενος τὴν τυραννίδα, καὶ τοῖς πολίταις ἀποδοὺς τὴν ἐλευθερίαν, καὶ τὴν πόλιν προσκομίσας Ἀχαιοῖς.

Ἐκ τούτου Κλεομένης μέγα φρονῶν ἤδη, καὶ πεπεισμένος, ἂν ὡς βούλεται τοῖς πράγμασι χρώμενος πολεμῇ πρὸς τοὺς Ἀχαιούς, ῥᾳδίως ἐπικρατήσειν, ἐδίδασκε τὸν τῆς μητρὸς ἄνδρα Μεγιστόνουν, ὡς χρὴ τῶν ἐφόρων ἀπαλλαγέντας εἰς μέσον θεῖναι τὰ κτήματα τοῖς πολίταις, καὶ τὴν Σπάρτην ἴσην γενομένην ἐγείρειν καὶ προάγειν ἐπὶ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. πεισθέντος δ' ἐκείνου, δύο τῶν ἄλλων φίλων ἢ τρεῖς προσέλαβε. συνέβη δὲ περὶ τὰς ἡμέρας ἐκείνας καὶ τῶν ἐφόρων ἕνα κοιμώμενον ἐν Πασιφάας ὄναρ ἰδεῖν θαυμαστόν. ἐδόκει γὰρ ἐν ᾧ τόπῳ τοῖς ἐφόροις ἐστὶ καθεζομένοις χρηματίζειν, ἕνα δίφρον κεῖσθαι, τοὺς δὲ τέτταρας ἀνῃρῆσθαι· καὶ θαυμάζοντος αὐτοῦ, φωνὴν ἐκ τοῦ ἱεροῦ γενέσθαι, φράζουσαν ὡς τοῦτο τῇ Σπάρτῃ λῷόν ἐστι. ταύτην τὴν ὄψιν διηγουμένου τοῦ ἐφόρου πρὸς τὸν Κλεομένην, τὸ μὲν πρῶτον διε-

quites qui circa eum erant, dumque inhæret tergis hoſtium, in locum vineis, foſſis & maceriis impeditum præcipitatus, divulſo in his equitatu, ægre expediebat ſe: Cleomenes re animadverſa immiſit in eum Tarentinos & Cretenſes, a quibus Lydiadas fortiter pugnans interfectus eſt. Inde erecti Lacedæmonii, clamore ſublato impreſſionem dederunt in Achæos: quorum univerſum profligaverunt exercitum. Cæſo ingenti numero, reliquos Cleomenes datis induciis reddidit. Lydiadæ corpus ad ſe præcepit afferri: quod purpura exornatum, injecta corona, ad portas Megalopolitanorum remiſit. Hic fuit Lydiadas qui poſita tyrannide & libertate popularibus reddita civitatem ſuam aſſociavit Achæis.

Hinc Cleomenes animis ſublatus, ſibique perſuadens, ſi ex arbitrio ſuo agere poſſet, bellum cum Achæis gerens, proclivi ſe potiturum victoria: vitrico Megiſtono demonſtrat miſſos faciendos Ephoros, poſſeſſioneſque eſſe inter cives communicandas, Spartamque ad æqualitatem redigendam, atque ita erigendam atque ad imperium provehendam Græciæ: quo aſſentiente, duos aut tres amicos alios adjunxit. Per eoſdem forte dies uni ex Ephoris in fano Paſiphaes dormienti mirum ſomnium fuit oblatum. Videbatur ei, quo loco conſidere Ephoris ſolenne eſt ad jus dicendum, una ſella poſita, & quatuor ſublatæ: quum obſtupeſceret, vox ex fano reddita, quæ id diceret Spartæ conducibilius eſſe. Hanc viſionem narrante Cleomeni Ephoro, primum percul-

ſus

διεταράχθη, καθ' ὑποψίαν τινὰ πειράζεσθαι δοκῶν· ὡς δ' ἐπείσθη μὴ ψεύδεσθαι τὸν διηγούμενον, ἐθάῤῥησε, καὶ λαβὼν ὅσους ὑπώπτευσε μάλιστα τῶν πολιτῶν ἐναντιώσεσθαι πρὸς τὴν πρᾶξιν, Ἡραίαν καὶ Ἀλσαίαν τὰς πόλεις ταττομένας ὑπὸ τοῖς Ἀχαιοῖς εἷλε· καὶ σῖτον εἰσήγαγεν Ὀρχομενίοις, καὶ Μαντινείᾳ παρεστρατοπέδευσε· καὶ ὅλως ἄνω καὶ κάτω μακραῖς πορείαις ἀποτρύσας τοὺς Λακεδαιμονίους, ἀπέλιπεν αὐτῶν δεηθέντων τοὺς πολλοὺς ἐν Ἀρκαδίᾳ, τοὺς δὲ μισθοφόρους ἔχων αὐτὸς ἐπὶ τὴν Σπάρτην ἐχώρει. καὶ καθ' ὁδὸν οἷς ἐπίστευε μάλιστα καλῶς πρὸς αὐτὸν ἔχειν, ἀνεκοινοῦτο τὴν γνώμην, καὶ προῄει σχέδην, ὡς περὶ τὸ δεῖπνον οὖσι τοῖς ἐφόροις ἐπιπέσοι.

Γενόμενος δὲ τῆς πόλεως ἐγγὺς, Εὐρυκλείδαν μὲν εἰς τὸ τῶν ἐφόρων συσσίτιον ἀπέστειλεν, ὥς τινα παρ' αὐτοῦ λόγον ἀπὸ στρατείας κομίζοντα· Θηρυκίων δὲ καὶ Φοῖβις, καὶ δύο τῶν συντρόφων τοῦ Κλεομένους, οὓς Σαμοθρᾷκας καλοῦσιν, ἐπηκολούθουν στρατιώτας ὀλίγους ἔχοντες. ἔτι δὲ τοῦ Εὐρυκλείδα διαλεγομένου τοῖς ἐφόροις, ἐπιδραμόντες ἐσπασμέναις ταῖς μαχαίραις ἔπαιον αὐτούς. ὁ μὲν οὖν πρῶτος Ἀγησίλαος ὡς ἐπλήγη πεσὼν, καὶ τεθνάναι δόξας, ἀτρέμα συναγαγὼν καὶ παρέλκων ἑαυτὸν ἐκ τοῦ οἰκήματος, ἔλαθεν εἴς τι δωμάτιον εἰσερπύσας μικρὸν, ὃ Φόβου μὲν ἦν ἱερὸν, ἄλλως δὲ κεκλεισμένον ἀεὶ, τότε δ' ἐκ τύχης ἀνεῳγμένον ἐτύγχανεν. εἰς τοῦτο συνενέγκων ἑαυτὸν ἀπέκλεισε τὸ θύριον. οἱ δὲ τέσσαρες ἀνῃρέθησαν, καὶ τῶν ἐπιβοηθούντων αὐτοῖς πλείονες ἢ δέκα. τοὺς γὰρ ἡσυχίαν ἄγοντας οὐκ ἔκτεινον, οὐδὲ τοὺς ἀπι-

ſus fuit, pertentari ſe ex aliqua ſuſpicione ratus. Ut fides facta ei eſt non fingere narrantem, confirmatus eſt, ductiſque ſecum civibus, quos maxime ſuſpicabatur cœpta ſua oppugnaturos, Heræam & Alſæam contributa Achæis oppida cepit, commeatuſque importavit Orchomeniis, & ſub muris Mantineæ caſtra locavit. Denique longis itineribus ſurſum atque deorſum fatigatos Lacedæmonios reliquit majore ex parte, quum id peterent, in Arcadia: mercenarium autem militem ſecum trahens, Spartam contendit, atque in itinere illis quos maxime fidos ſibi credebat, aperuit conſilium ſuum. Lento agmine progrediebatur, ut cœnantes occuparet Ephoros.

Ut prope urbem venit, Euryclidam præmiſit ad convivium Ephororum, quaſi certa mandata ab ipſo haberet ad eos de bello. Hunc ſubſequuti ſunt Thericion Phœbiſque, & duo qui cum Cleomene fuerant educati, quos Samothracas vocabant, cum modica militum manu. Hi, colloquente adhuc cum Ephoris Euryclida, diſtrictis irrumpentes gladiis conciderunt eos. Primus Ageſilaus, ut concidit videreturque eſſe mortuus, colligens ſenſim ſe & evolvens ex triclinio, irrepſit clam in ædiculam quæ Timoris fanum erat, aliaſque perpetuo clauſum, tum forte patebat. Eo poſtquam ſe intro conjecit, januam occluſit. Reliqui quatuor occiſi ſunt, & qui ſubveniebant his, plus decem. Nam ſiqui quieſcerent, hos non interſecerunt, neque retinuerunt ex-

ἀπιόντας ἐκ τῆς πόλεως ἐκώλυον. ἐφείσαντο δὲ καὶ τοῦ Ἀγησιλάου μεθ' ἡμέραν ἐκ τοῦ ἱεροῦ προελθόντος.

Ἔστι δὲ καὶ Λακεδαιμονίοις οὐ Φόβου μόνον, ἀλλὰ καὶ Θανάτου καὶ Γέλωτος καὶ τοιούτων ἄλλων παθημάτων ἱερά. τιμῶσι δὲ τὸν Φόβον, οὐχ, ὥσπερ οὓς ἀποτρέπονται δαίμονας, ἡγούμενοι βλαβερὸν, ἀλλὰ τὴν πολιτείαν μάλιστα συνέχεσθαι νόμῳ νομίζοντες. διὸ καὶ προεκήρυττον οἱ ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες, ὡς Ἀριστοτέλης φησὶ, κείρεσθαι τὸν μύστακα, καὶ προσέχειν τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς· τὸ τοῦ μύστακος, οἶμαι, προτείνοντες, ὅπως καὶ περὶ τὰ μικρότατα τοὺς νέους πειθαρχεῖν ἐθίζωσι. καὶ τὴν ἀνδρείαν δέ μοι δοκοῦσιν, οὐκ ἀφοβίαν, ἀλλὰ φόβον ψόγου καὶ δέος ἀδοξίας οἱ παλαιοὶ νομίζειν. οἱ γὰρ δειλότατοι πρὸς τοὺς νόμους, θαῤῥαλεώτατοι πρὸς τοὺς πολεμίους εἰσί· καὶ τὸ παθεῖν ἥκιστα δεδίασιν, οἱ μάλιστα φοβούμενοι τὸ κακῶς ἀκοῦσαι. διὸ καὶ καλῶς ὁ εἰπὼν,

—— ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

καὶ Ὅμηρος,

Αἰδοῖός τέ μοι ἐσσὶ φίλε ἑκυρὲ δεινός τε.

καὶ,

Σιγῇ δειδιότες σημάντορας.

τὸ γὰρ αἰσχύνεσθαι μάλιστα συμβαίνει πρὸς οὓς καὶ τὸ δεδοικέναι τοῖς πολλοῖς. διὸ καὶ παρὰ τὸ τῶν ἐφόρων συσσίτιον ἱδρύσαντο τὸν Φόβον, ἐν Λακεδαίμονι μοναρχίας ἐγγυτάτω κατασκευασάμενοι τὸ ἀρχεῖον.

Ὁ

excedentes urbe. Pepercerunt etiam Ageſilao poſtero die ex fano prodeunti.

Sunt apud Lacedæmonios non Timoris modo, verum Mortis etiam, Riſuſque, atque aliorum ejuſcemodi affectuum templa. Timorem autem venerantur, non quod, ſicut quos deteſtantur genios, arbitrentur noxium: ſed quod contineri rempub. imprimis arbitrentur timore. Quapropter proclamari jubebant Ephori in concione, quum magiſtratum inirent, (ut autor eſt Ariſtoteles) mentum ut raderent, & legibus adverterent animum, ne ſævirent in ipſos. Quod ad mentum attinet, proponunt, meo judicio, ut etiam in minimis aſſueſcat juventus parere. Ac fortitudinem mihi videntur priſci non intrepidum animum, ſed probri trepidationem atque infamiæ metum exiſtimaſſe: ſiquidem timidiſſimi legum, ſunt adverſus hoſtes animoſiſſimi: & pati quidvis minime timent, qui maxime trepidant male audire. Quapropter dixit quidam recte,

Namque verecundus metus comes eſt pudor.

Et Homerus,

Tu mihi chare ſocer reverendus, tu metuendus.

Et,

Ductorumque metu taciti——

Nam erubeſcere potiſſimum illos ſolet vulgus quos metuit. Quare juxta Ephororum triclinium poſuerunt Lacedæmone ædem Timoris, quod fere in regiam poteſtatem evexiſſent magiſtratum.

Ὁ δ' οὖν Κλεομένης ἡμέρας γενομένης προέγραψεν ὀγδοήκοντα τῶν πολιτῶν, οὓς ἔδει μεταστῆναι, καὶ τοὺς δίφρους ἀνεῖλε τῶν ἐφόρων, πλὴν ἑνὸς, ἐν ᾧ καθήμενος ἔμελλεν αὐτὸς χρηματίζειν. ἐκκλησίαν δὲ ποιήσας, ἀπελογεῖτο περὶ τῶν πεπραγμένων. ἔφη γὰρ ὑπὸ τοῦ Λυκούργου τοῖς βασιλεῦσι συμμιχθῆναι τοὺς γέροντας, καὶ πολὺν χρόνον οὕτω διοικεῖσθαι τὴν πόλιν, οὐδὲν ἑτέρας ἀρχῆς δεομένην. ὕστερον δὲ τοῦ πρὸς Μεσσηνίους πολέμου μακροῦ γενομένου, τοὺς βασιλεῖς διὰ τὰς στρατείας ἀσχόλους ὄντας αὐτοὺς πρὸς τὸ κρίνειν, αἱρεῖσθαι τινὰς ἐκ τῶν φίλων καὶ ἀπολείπειν τοῖς πολίταις ἀνθ' ἑαυτῶν, ἐφόρους προσαγορευθέντας, καὶ διατελεῖν τε τούτους τὸ πρῶτον ὑπηρέτας τῶν βασιλέων ὄντας, εἶτα κατὰ μικρὸν εἰς ἑαυτοὺς τὴν ἐξουσίαν ἐπιστρέφοντας, καὶ οὕτως λαθεῖν ἴδιον ἀρχεῖον κατεσκευασμένους. σημεῖον δὲ τούτου, τὸ μέχρι νῦν, μεταπεμπομένων τὸν βασιλέα τῶν ἐφόρων, τὸ πρῶτον ἀντιλέγειν καὶ τὸ δεύτερον· τὸ δὲ τρίτον καλούντων, ἀναστάντα βαδίζειν πρὸς αὐτούς· καὶ τὸν πρῶτον ἐπισφοδρύναντα τὴν ἀρχὴν καὶ ἀνατεινάμενον Ἀστερωπὸν, ἡλικίαις ὕστερον πολλαῖς ἔφορον γενέσθαι. μετριάζοντας μὲν οὖν αὐτοὺς κρεῖττον ἦν ὑπομένειν, ἐξουσίᾳ δὲ ἐπιθέτῳ τὴν πάτριον καταλύοντας ἀρχὴν, ὥστε τῶν βασιλέων τοὺς μὲν ἐξελαύνειν, τοὺς δὲ ἀποκτιννύναι ἀκρίτως, ἀπειλεῖν δὲ τοῖς ποθοῦσιν αὖθις ἐπιδεῖν τὴν καλλίστην καὶ θειοτάτην ἐν Σπάρτῃ κατάστασιν, οὐκ ἀνεκτόν. εἰ μὲν οὖν δυνατὸν ἦν ἄνευ σφαγῆς ἀπαλλάξαι τὰς ἐπεισάκτους τῆς Λακεδαίμονος κῆρας, τρυφὰς καὶ πολυτελείας, καὶ χρέα καὶ δανεισμοὺς, καὶ πρεσβύτερα τούτων κακὰ, πενίαν καὶ πλοῦτον, εὐτυχέστατον ἂν ἡγεῖσθαι

Igitur Cleomenes ubi diluxit, proſcripſit octoginta cives, quos ſolum vertere imperavit, & Ephororum ſellas ſuſtulit, dempta una, qua ſedens jus dicturus erat. Hinc advocata concione excuſavit acta. Docuit enim regibus ſenes ab Lycurgo adjunctos fuiſſe, diuque ea ratione procuratam rempublicam magiſtratu non quæſito alio. Poſt quia bellum cum Meſſeniis gerebatur diutinum, diſtrictos expeditionibus reges delegiſſe ad judicia reddenda certos amicos, eoſque reliquiſſe civibus vicarios, qui dicti Ephori fuerunt: longo ævo hos primum regum adminiſtros fuiſſe, deinde ſenſim ſummam ſibi uſurpaſſe poteſtatem, atque ita clam peculiarem ſuum magiſtratum reddidiſſe. Indicio eſſe morem qui in hanc diem obſervetur, ut accerſentibus regem Ephoris ſemel atque iterum contradicat, tertio vocantibus ſurgat & pergat ad eos. Qui hunc magiſtratum princeps illuſtraverit & ampliaverit, Aſteropum multis poſt ætatibus Ephorum fuiſſe. Quos, ſi modice agerent, inquit, præſtaret ferre: verum poteſtate accerſita ut vetus peſſundent imperium, atque reges partim exigant, partim indicta cauſa occidant, aliis aſpicere iterum Spartæ pulcherrimum & diviniſſimum ſtatum aventibus minitentur, id vero non eſt ferendum. Quocirca ſi fieri potuiſſet ſine cæde ut excuterentur adſcititiæ civitatis peſtes, deliciæ, & luxus, & æs alienum, & fœnora, antiquioraque his mala, paupertas & divitiæ, regum omnium exiſtimaturus me ſim fe-

θαι πάντων βασιλέων ἑαυτὸν, ὥσπερ ἰατρὸν ἀνωδύνως ἰασάμενον τὴν πατρίδα· νῦν δὲ τῆς ἀνάγκης ἔχειν συγγνώμονα τὸν Λυκοῦργον, ὃς οὔτε βασιλεὺς ὢν, οὔτε ἄρχων, ἰδιώτης δὲ βασιλεύειν ἐπιχειρῶν, ἐν τοῖς ὅπλοις προῆλθεν εἰς ἀγοράν· ὥστε δείσαντα τὸν βασιλέα Χαρίλαον ἐπὶ βωμὸν καταφυγεῖν· ἀλλ' ἐκεῖνον μὲν ὄντα χρηστὸν καὶ φιλόπατριν, ταχὺ τῷ Λυκούργῳ τῶν πραττομένων μετασχεῖν, καὶ τὴν μεταβολὴν δέξασθαι τῆς πολιτείας. ἔργῳ δὲ μαρτυρῆσαι τὸν Λυκοῦργον, ὅτι πολιτείαν μεταβαλεῖν ἄνευ βίας καὶ φόβου χαλεπόν ἐστιν, οἷς αὐτὸν ἔφη μετριώτατα κεχρῆσθαι, τοὺς ἐνισταμένους τῇ σωτηρίᾳ τῆς Λακεδαίμονος ἐκποδὼν ποιησάμενον. τοῖς δὲ ἄλλοις ἔφη πᾶσι τήν τε γῆν ἅπασαν εἰς μέσον τιθέναι, καὶ χρεῶν τοὺς ὀφείλοντας ἀπαλλάττειν, καὶ τῶν ξένων κρίσιν ποιεῖν καὶ δοκιμασίαν· ὅπως οἱ κράτιστοι γενόμενοι Σπαρτιᾶται σώζωσι τὴν πόλιν τοῖς ὅπλοις, καὶ παυσώμεθα τὴν Λακωνικὴν Αἰτωλῶν καὶ Ἰλλυριῶν λείαν οὖσαν ἐρημίᾳ τῶν ἀμυνόντων ἐφορῶντες.

Ἐκ τούτου πρῶτον μὲν αὐτὸς εἰς μέσον τὴν οὐσίαν ἔθηκε, καὶ Μεγιστόνους ὁ πατρῷος αὐτοῦ, καὶ τῶν ἄλλων φίλων ἕκαστος, ἔπειτα καὶ οἱ λοιποὶ πολῖται πάντες, ἡ δὲ χώρα διενεμήθη. κλῆρον δὲ καὶ τῶν ὑπ' αὐτοῦ γεγονότων φυγάδων ἀπένειμεν ἑκάστῳ, καὶ κατάξειν ἅπαντας ὡμολόγησε τῶν πραγμάτων ἐν ἡσυχίᾳ γενομένων. ἀναπληρώσας δὲ τὸ πολίτευμα τοῖς χαριεστάτοις τῶν περιοίκων, ὁπλίτας τετρακισχιλίους ἐποίησε, καὶ διδάξας αὐτοὺς ἀντὶ δόρατος χρῆσθαι σαρίσσῃ δι' ἀμφοτέρων, καὶ τὴν ἀσπίδα φορεῖν δι' ὀχάνης, μὴ

διὰ

feliciſſimum, ſi ut medicus patriam valuiſſem citra dolorem ſanare. Nunc ejus quod facere ſum adactus, veniam a Lycurgo conceſſam habeo, qui quum neque rex eſſet, neque in magiſtratu poſitus, ſed regem agere privatus aggrederetur, irrupit armatus in forum. Unde exanimis rex Charilaus confugit ad aram. Verum placidus ille & patriæ amans, mox conſortem ſe Lycurgo præbuit conſiliorum, ac reipub. mutationem comprobavit. Porro teſtatus facto eſt Lycurgus convertere ſine vi & metu rempublicam arduum eſſe: quibus ſe demonſtravit moderatiſſime uſum, iis qui adverſabantur Lacedæmoniorum ſaluti ſummotis. Cæteris omnibus agrum totum oſtendit ſe in medio ponere, atque ære alieno obæratos exſolvere: de peregrinis judicium ſe facturum, & habiturum eorum delectum, quo fortiſſimi in civitatem adſcripti tueantur urbem armis: ut deſinamus, inquit, Laconiam contemplari Ætolorum & Illyriorum eſſe præ defenſorum inopia prædam.

Hinc ipſe patrimonium ſuum primus in medio poſuit, inde Megiſtonus vitricus ejus, & cæterorum amicorum quiſque, tum reliqui cives cuncti. Diviſus ager eſt. Sortes etiam cuique eorum quos exegerat in exilium, attribuit: revocaturumque omnes ſe rebus pacatis oſtendit. Suppleta ex optimis finitimis civitate, effecit peditum quatuor millia: quos ubi docuit pro lancea ſariſſam ambabus manibus tractare, & clypeum ferre amento, non appenſum, ad juventutem

διὰ πόρπακος, ἐπὶ τὴν παιδείαν τῶν νέων ἐτράπη, καὶ τὴν λεγομένην ἀγωγήν, ἧς τὰ πλεῖστα παρὼν ὁ Σφαῖρος αὐτῷ συγκαθίστη, ταχὺ τὸν προσήκοντα τῶν τε γυμνασίων καὶ τῶν συσσιτίων κόσμον ἀναλαμβανομένων, καὶ συστελλομένων ὀλίγων μὲν ὑπ' ἀνάγκης, ἑκουσίως δὲ τῶν πλείστων εἰς τὴν εὐτελῆ καὶ Λακωνικὴν ἐκείνην δίαιταν. ὅμως δὲ τὸ τῆς μοναρχίας ὄνομα παραμυθούμενος, ἀπέδειξε μεθ' ἑαυτοῦ βασιλέα τὸν ἀδελφὸν Εὐκλείδαν. καὶ τότε μόνον Σπαρτιάταις ἐκ μιᾶς οἰκίας συνέβη δύο σχεῖν βασιλέας.

Αἰσθόμενος δὲ τοὺς Ἀχαιοὺς καὶ τὸν Ἄρατον, ὡς ἐπισφαλῶς αὐτῷ τῶν πραγμάτων ἐχόντων διὰ τὸν νεωτερισμόν, οὐκ ἂν οἰομένους προελθεῖν ἔξω τῆς Λακεδαίμονος, οὔτε ἀπολιπεῖν μετέωρον ἐν κινήματι τηλικούτῳ τὴν πόλιν, οὐκ ἀγεννὲς οὐδὲ ἄχρηστον ἡγήσατο τὴν ἐπιθυμίαν τοῦ στρατεύματος ἐπιδεῖξαι τοῖς πολεμίοις. ἐμβαλὼν οὖν εἰς τὴν Μεγαλοπολιτικήν, ὠφελείας τε μεγάλας ἤθροισε, καὶ φθορὰν πολλὴν ἀπειργάσατο τῆς χώρας. τέλος δέ, τοὺς περὶ τὸν Διόνυσον τεχνίτας ἐκ Μεσσήνης διαπορευομένους λαβών, καὶ πηξάμενος θέατρον ἐν τῇ πολεμίᾳ, καὶ προθεὶς ἀπὸ τετταράκοντα μνῶν ἀγῶνα, μίαν ἡμέραν ἐθεᾶτο καθήμενος· οὐ δεόμενος θέας, ἀλλ' οἷον ἐντρυφῶν τοῖς πολεμίοις, καὶ περιουσίαν τινὰ τοῦ κρατεῖν πολὺ τῷ καταφρονεῖν ἐπιδεικνύμενος. ἐπεὶ ἄλλως γε τῶν ἑλληνικῶν καὶ βασιλικῶν στρατευμάτων ἐκεῖνο μόνον οὐ μίμους παρακολουθοῦντας εἶχεν, οὐ θαυματοποιούς, οὐκ ὀρχηστρίδας, οὐ ψαλτρίας, ἀλλὰ πάσης ἀκολασίας καὶ βωμολοχίας καὶ πανηγυρισμοῦ καθαρὸν ἦν· τὰ μὲν πολλὰ μελετώντων τῶν νέων, καὶ τῶν πρεσβυτέρων διδασκόντων,

τάς

ventutem formandam convertit animum & ad diſciplinam Laconicam: qua ferme omni in re conſtituenda præſens Sphærus fuit adjutor. Cito ordinem exercitationes & convivia convenientem receperunt, redactique ſunt in generoſam illam & Laconicam vitam pauci neceſſitate, plerique ſponte. Ne nomen tamen quenquam offenderet unius dominatus, regem ſibi cooptavit fratrem Euclidam: ac tunc ſolum habuerunt Spartiatæ una ex domo duos reges.

Porro Achæos & Aratum advertens tanquam rebus ſuis ex innovatione ancipitibus arbitrari non exiturum ſe Lacedæmone, neque tanto in motu ſuſpenſam relicturum civitatem: magnificum & operæ pertium putavit eſſe ut exercitus ſui promptitudinem & alacritatem oſtenderet hoſtibus. Igitur populabundus fines Megalopolitanos ingreſſus, tum ingentem prædam congeſſit, tum magnam vaſtitatem edidit agri. Denique captis artificibus qui ludicram artem faciebant, & veniebant ex Meſſene, excitavit in hoſtico theatrum, exhibitiſque quadraginta minarum ſumptu in unum diem ludis, ſedit illic ad eos ſpectandos: non quo duceretur eo ſpectaculo, ſed ut hoſtibus quaſi inſultaret, & quam longe illis eſſet ſuperior cumulate ex illorum demonſtraret deſpicientia: quando alioquin inter Græcorum & regum exercitus unus ille non mimos trahebat ſecum, non præſtigiatores, non ſaltatrices vel pſaltrias: ſed omni laſcivia, vernilitate, pompa vacabat; quod fere exerceret ſe juventus; majores natu docerent

τάς τε παιδιὰς, ὁπότε σχολάζοιεν, ταῖς συνήθεσιν εὐτραπελίαις, καὶ τὸ λέγειν τὶ χάριεν καὶ Λακωνικὸν πρὸς ἀλλήλους διατιθεμένων. ἣν δὲ ἔχει τὸ τοιοῦτον τῆς παιδιᾶς εἶδος ὠφέλειαν, ἐν τῷ Λυκούργου βίῳ γέγραπται.

Πάντων δὲ αὐτὸς ἐγίγνετο διδάσκαλος, εὐτελῆ καὶ ἀφελῆ καὶ φορτικὸν οὐδὲν οὐδὲ ὑπὲρ τοὺς πολλοὺς ἔχοντα τὸν ἑαυτοῦ βίον, ὥσπερ παράδειγμα σωφροσύνης, ἐν μέσῳ θέμενος. ὃ καὶ πρὸς τὰς Ἑλληνικὰς πράξεις ῥοπήν τινα παρέσχεν αὐτῷ. τοῖς μὲν γὰρ ἄλλοις ἐντυγχάνοντες οἱ ἄνθρωποι βασιλεῦσιν, οὐχ οὕτω κατεπλήττοντο τοὺς πλούτους καὶ τὰς πολυτελείας, ὡς ἐβδελύττοντο τὴν ὑπεροψίαν αὐτῶν καὶ τὸν ὄγκον, ἐπαχθῶς καὶ τραχέως προσφερομένων τοῖς ἐντυγχάνουσι· πρὸς δὲ Κλεομένη βαδίζοντες, ὄντα τε δὴ βασιλέα καὶ καλούμενον, εἶτα ὁρῶντες οὐ πορφύρας τινὰς οὐδὲ χλαίνας περὶ αὐτὸν, οὐδὲ κλινιδίων καὶ φορείων κατασκευὰς, οὐδ᾽ ὑπ᾽ ἀγγέλων ὄχλου καὶ θυρωρῶν, ἢ διὰ γραμματίων χρηματίζοντα χαλεπῶς καὶ μόλις, ἀλλ᾽ αὐτὸν ἐν ἱματίῳ τῷ τυχόντι πρὸς τὰς δεξιώσεις ἀπαντῶντα, καὶ διαλεγόμενον καὶ σχολάζοντα τοῖς χρῄζουσιν ἱλαρῶς καὶ φιλανθρώπως, ἐκηλοῦντο καὶ κατεδημαγωγοῦντο, καὶ μόνον ἀφ᾽ Ἡρακλέους ἐκεῖνον ἔφασαν γεγονέναι. τῶν δὲ δείπνων αὐτοῦ τὸ μὲν καθημερινὸν ἦν ἐν τρικλίνῳ, σφόδρα συνεσταλμένον καὶ Λακωνικόν· εἰ δὲ πρέσβεις ἢ ξένους δέχοιτο, δύο μὲν ἄλλαι προσπαρεβάλλοντο κλίναι, μικρῷ δὲ μᾶλλον οἱ ὑπηρέται τὴν τράπεζαν ἐπελάμπρυνον, οὐ καρυκείαις τισὶν οὐδὲ πέμμασιν, ἀλλ᾽ ὥστε ἀφθονωτέρας εἶναι τὰς παραθέσεις, καὶ φιλανθρωπότερον τὸν οἶνον. καὶ γὰρ ἐπετίμησε τινὶ τῶν φίλων, ἀκούσας

ὅτι

rent eam: ludoſque, quum otium eſſet, in ſolitis facetiis & feſtivis Laconiciſque inter ſe dictis ponerent. Quid autem id ludi genus afferret emolumenti, in vita Lycurgi retulimus.

Omnium ipſe rex erat doctor. Frugalem, ſimplicem, nulla re licentiorem aut ſplendidiorem cæterorum victum ſuum tanquam temperantiæ exemplum proponebat: quod ad negotia Græciæ ei præbuit nonnihil momenti. Siquidem quum alios reges Græci adirent, non ita opes & luxum eorum ſtupebant, ut execrabantur ſuperbiam & faſtum tumide & aſpere cum appellantibus ipſos agentium. Cleomenem quum audirent, qui rex & vere erat & dicebatur, neque purpuras circa eum, neque lænas, neque lectulorum conſpicerent vel lecticarum inſtrumentum, neque per nuntiorum & janitorum gregem, vel per libellos gravatim & cum difficultate reſpondentem, verum illum ipſum pallio amictum plebeio ad ſalutationes occurrentem, colloquentemque & vacantem exporrecto vultu humanoque adeuntibus: his artibus capiebantur & ducebantur, ſolumque ab Hercule illum prædicabant ortum. Cœna ejus quotidiana in triclinio erat perquam reſtricta & Laconica. Quod ſi legatos vel hoſpites exciperet, lecti duo alii adjiciebantur, & menſam inſtruebant miniſtri paulo ſplendidiorem, non condimentis vel bellariis, ſed fercula ut pleniora eſſent, & liberalius vinum. Etenim caſtigavit aliquando amicum quendam, quum

intel-

ὅτι ξένους ἑστιῶν, ζωμὸν αὐτοῖς μέλανα καὶ μάζαν, ὥσπερ ἔθος ἦν ἐν τοῖς Φιδιτίοις, παρέθηκεν. οὐ γὰρ ἔφη δεῖν ἐν τούτοις, οὐδὲ πρὸς τοὺς ξένους λίαν ἀκριβῶς λακωνίζειν. ἐπαρθείσης δὲ τῆς τραπέζης, εἰσεκομίζετο τρίπους, κρατῆρα χαλκοῦν ἔχων οἴνου μεστὸν, καὶ φιάλας ἀργυρᾶς δικοτύλους δύο, καὶ ποτήρια τῶν ἀργυρῶν ὀλίγα παντάπασιν, ἐξ ὧν ἔπινεν ὁ βουλόμενος, ἄκοντι δὲ οὐδεὶς ποτήριον προσέφερεν. ἀκρόαμα δὲ οὔτ' ἦν, οὔτε ἐπεζητεῖτο· ἐπαιδαγώγει γὰρ αὐτὸς ὁμιλίᾳ τὸ ποτὸν, τὰ μὲν ἐρωτῶν, τὰ δὲ διηγούμενος, οὔτε τὴν σπουδὴν ἀηδῆ τῶν λόγων, τήν τε παιδιὰν ἐπίχαριν καὶ ἀσόλοικον ἐχόντων. ἃς μὲν γὰρ οἱ λοιποὶ τῶν βασιλέων ἐπὶ τοὺς ἀνθρώπους θήρας ἐποιοῦντο, χρήμασι καὶ δωρεαῖς δελεάζοντες αὐτοὺς καὶ διαφθείροντες, ἀτέχνους καὶ ἀδίκους ἐνόμιζεν εἶναι· τὸ δὲ ὁμιλίᾳ καὶ λόγῳ χάριν ἔχοντι καὶ πίστιν οἰκειοῦσθαι καὶ προσάγεσθαι τοὺς ἐντυγχάνοντας, ἐφαίνετο κάλλιστον αὐτῷ καὶ βασιλικώτατον· ὡς οὐδενὶ φίλου διαφέροντα μισθωτὸν, ἢ τῷ τὸν μὲν ἤθει καὶ λόγῳ, τὸν δὲ ὑπὸ χρημάτων ἁλίσκεσθαι.

Πρῶτον μὲν οὖν οἱ Μαντινεῖς αὐτὸν ἐπηγάγοντο· καὶ νύκτωρ εἰς τὴν πόλιν παρεισπεσόντες, τὴν φρουρὰν τὴν Ἀχαιῶν συνεκβαλόντες ἐνεχείρισαν αὐτούς. ὁ δὲ καὶ τοὺς νόμους καὶ τὴν πολιτείαν αὐτοῖς ἀποδοὺς, αὐθημερὸν ἀπῆλθεν εἰς Τεγέαν. ὀλίγῳ δ' ὕστερον ἐκπεριελθὼν δι' Ἀρκαδίας, κατέβαινεν ἐπὶ τὰς Ἀχαϊκὰς Φεράς, βουλόμενος ἢ μάχην θέσθαι πρὸς τοὺς Ἀχαιοὺς, ἢ διαβάλλειν τὸν Ἄρατον, ὡς ἀποδιδράσκοντα καὶ προϊέμενον αὐτῷ τὴν χώραν. ἐστρατήγει μὲν γὰρ Ὑπερβατᾶς τότε, τοῦ δὲ Ἀράτου τὸ πᾶν ἦν κράτος

ἐν

intellexiſſet hoſpitibus invitatis nigrum jus eum & offam pro Laconicorum more conviviorum appoſuiſſe. Negavit enim in his vel apud hoſpites nimium Laconice agendum. Sublata menſa, altera inferebatur menſa tribus pedibus, in qua crater æneus ponebatur vini plenus, & phialæ argenteæ binas heminas capientes, poculaque argentea admodum pauca, ex quibus, cui liberet, bibebat: invitum invitabat ad bibendum nemo. Acroama neque adhibebatur, neque requirebatur: quippe compotationem ipſe condiebat ſermone, nunc quærendo, nunc narrando: neque inerat ſeveritas orationi ejus triſtis, ſed lepidus & honeſtus jocus. Quas enim reliqui reges fabricabant hominibus captiones, qui ineſcabant & corrumpebant eos pecunia: has & artis vacuas & iniquas ducebat. At comi conſuetudine & lepida oratione alienaque a fuco congredientes conciliare & adjungere, hoc pulcherrimum ei & rege videbatur digniſſimum. Nam nihil inter amicum intereſſe & mercenarium rebatur, niſi quod pecunia hic, civilitate ille & feſtivis verbis capiatur.

Ergo invitarunt eum primum Mantinei: qui clam nocte in urbem ſuam eo duce irrumpentes, præſidium Achæorum ejecerunt, atque in fidem ejus ſe dedidere. Hic vero legibus & repub. illis reſtituta, eodem die digreſſus Tegeam eſt. Mox circumvectus per Arcadiam, petiit Pheras Achaicas, quo aut ſigna cum Achæis conferret, aut calumniis objiceret Aratum, quod vitabundus agrum ſibi conculcandum condonaret. Prætor tunc Hyperbatas erat Achæorum, ſed omnis penes Aratum

erat

ἐν τοῖς Ἀχαιοῖς. ἐξελθόντων δὲ πανδημεὶ τῶν Ἀχαιῶν καὶ στρατοπεδευσαμένων ἐν Δυμαίαις περὶ τὸ Ἑκατόμβαιον, ἐπελθὼν ὁ Κλεομένης, ἔδοξε μὲν οὐ καλῶς ἐν μέσῳ τῆς τε Δυμαίων πόλεως πολεμίας οὔσης καὶ τοῦ στρατεύματος τῶν Ἀχαιῶν αὐλίσασθαι· τολμηρῶς δὲ προκαλούμενος τοὺς Ἀχαιοὺς ἠνάγκασε συμβαλεῖν, καὶ νικήσας κατὰ κράτος καὶ τρεψάμενος τὴν φάλαγγα, πολλοὺς μὲν ἐν τῇ μάχῃ διέφθειρεν αὐτῶν, πολλῶν δὲ καὶ ζώντων ἐκυρίευσεν. ἐπελθὼν δὲ Λάγγωνι, καὶ τῶν Ἀχαιῶν τοὺς φρουροῦντας ἐξελάσας, ἀπέδωκεν Ἠλείοις τὴν πόλιν.

Οὕτω δὲ συντετριμμένοις τοῖς Ἀχαιοῖς ὁ μὲν Ἄρατος, εἰωθὼς παρ' ἐνιαυτὸν ἀεὶ στρατηγεῖν, ἀπείπατο τὴν ἀρχὴν καὶ παρῃτήσατο, καλούντων καὶ δεομένων· οὐ καλῶς, οἷον ἐν χειμῶνι πραγμάτων μείζονι, μεθεὶς ἑτέρῳ τὸν οἴακα καὶ προέμενος τὴν ἐξουσίαν. ὁ δὲ Κλεομένης πρῶτον μὲν μέτρια τοῖς Ἀχαιοῖς ἐδόκει πρέσβεσιν ἐπιτάττειν, ἑτέρους δὲ πέμπων ἐκέλευεν αὐτῷ παραδιδόναι τὴν ἡγεμονίαν, ὡς τἄλλα μὴ διοισόμενος πρὸς αὐτούς, ἀλλὰ καὶ τοὺς αἰχμαλώτους εὐθὺς ἀποδώσων καὶ τὰ χωρία. βουλομένων δὲ τῶν Ἀχαιῶν ἐπὶ τούτοις δέχεσθαι τὰς διαλύσεις, καὶ τὸν Κλεομένην καλούντων εἰς Λέρναν, ὅπου τὴν ἐκκλησίαν ἔμελλον ἔχειν, ἔτυχε τὸν Κλεομένην συντόνως ὁδεύσαντα, καὶ χρησάμενον παρὰ καιρὸν ὑδροποσίᾳ, αἵματος πλῆθος ἀνενεγκεῖν, καὶ τὴν φωνὴν ἀποκοπῆναι. διὸ τῶν μὲν αἰχμαλώτων ἀπέπεμψε τοῖς Ἀχαιοῖς τοὺς ἐπιφανεστάτους, τὸν δὲ σύλλογον ὑπερθέμενος, ἀνεχώρησεν εἰς Λακεδαίμονα.

Τοῦτο

erat autoritas. Quum Achæi omni nomine ſuo excitato caſtra haberent in Dymæis ad Hecatombæum, movit in eos Cleomenes, ac parum prudenter exiſtimatus eſt inter Dymæorum urbem hoſtilem & caſtra Achæorum conſediſſe. Verum Achæos audacter laceſſens, coegit eos ad ſigna conferenda: quibus acie fuſis fugatiſque, multos in prœlio concidit, multis etiam captivis potitus eſt. Langonem inde adortus, præſidio dejecto Achæorum, reddidit Eleis oppidum.

Ita contuſis Achæis Aratus, qui altero quoque anno prætura erat fungi ſolitus, abdicavit & detrectavit magiſtratum, invitantibus eum & orantibus Achæis; parum honeſte, ſicut in ſæviore rerum tempeſtate, alteri clavum permittens & tradens rerum arbitrium. At Cleomenes primum tolerabilia viſus eſt legatis Achæorum imperaſſe. Inde alios miſit ad eos poſtulatum, ſibi ut permitterent imperium, de cætero facile ſibi cum ipſis conventurum: immo ſe captivos quoque ſtatim & quæ occupaſſet reſtituturum. Quum Achæi ad pacem his conditionibus accipiendam parati eſſent, & Cleomenem accirent Lernam, quo concilium gentis indixerant: forte Cleomenes agmine properantius acto, & aqua intempeſtive hauſta, vim ſanguinis rejecit, & vox eſt ei intercluſa. Itaque nobiliſſimos quoſque captivorum remiſit Achæis, ac die prorogata conventus Lacedæmonem ſeceſſit.

Id

Τοῦτο διελυμήνατο τὰ πράγματα τῆς Ἑλλάδος, ἄλλως τέ πως ἐκ τῶν παρόντων ἀναλαβεῖν αὐτὴν ἔτι καὶ διαφυγεῖν τὴν Μακεδόνων ὕβριν καὶ πλεονεξίαν δυναμένην. ὁ γὰρ Ἄρατος, εἴτε ἀπιστίᾳ καὶ φόβῳ τοῦ Κλεομένους, εἴτε φθονῶν εὐτυχοῦντι παρ᾽ ἐλπίδα, καὶ νομίζων ἔτη τρία καὶ τριάκοντα πρωτεύοντος αὐτοῦ δεινὸν εἶναι τὴν δόξαν ἅμα καὶ τὴν δύναμιν ἐπιφυέντα νέον ἄνδρα καθελεῖν, καὶ παραλαβεῖν πραγμάτων ηὐξημένων ὑπ᾽ αὐτοῦ καὶ κεκρατημένων χρόνον τοσοῦτον ἀρχήν, πρῶτον μὲν ἐπειρᾶτο τοὺς Ἀχαιοὺς παραβιάζεσθαι καὶ διακωλύειν· ὡς δ᾽ οὐ προσεῖχον αὐτῷ, τοῦ Κλεομένους ἐκπεπληγμένοι τὸ θράσος, ἀλλὰ καὶ δικαίαν ἐποιοῦντο τὴν ἀξίωσιν τῶν Λακεδαιμονίων εἰς τὸ πάτριον σχῆμα κοσμούντων τὴν Πελοπόννησον, τρέπεται πρὸς ἔργον, οὐδενὶ μὲν τῶν Ἑλλήνων προσῆκον, αἴσχιστον δ᾽ ἐκείνῳ, καὶ τῶν πεπραγμένων ὑπ᾽ αὐτοῦ καὶ πεπολιτευμένων ἀναξιώτατον· Ἀντίγονον ἐπὶ τὴν Ἑλλάδα καλεῖν, καὶ Μακεδόνων ἐμπιπλάναι τὴν Πελοπόννησον, οὓς αὐτὸς ἐκ Πελοποννήσου μειράκιον ὢν ἐξήλασεν, ἐλευθερώσας τὸν Ἀκροκόρινθον. καὶ πᾶσι μὲν τοῖς βασιλεῦσιν ὕποπτος καὶ διάφορος γενόμενος, τουτονὶ δὲ αὐτὸν Ἀντίγονον εἰρηκὼς κακὰ μυρία δι᾽ ὧν ἀπολέλοιπεν ὑπομνημάτων. καίτοι πολλὰ παθεῖν καὶ παραβαλέσθαι φησὶν αὐτὸς ὑπὲρ Ἀθηναίων, ὅπως ἡ πόλις ἀπαλλαγείη φρουρᾶς καὶ Μακεδόνων· εἶτα τούτους ἐπὶ τὴν πατρίδα καὶ τὴν ἑστίαν τὴν ἑαυτοῦ μεθ᾽ ὅπλων εἰσήγαγεν, ἄχρι τῆς γυναικωνίτιδος· τὸν δὲ ἀφ᾽ Ἡρακλέους γεγονότα, καὶ βασιλεύοντα Σπαρτιατῶν, καὶ τὴν πάτριον πολιτείαν, ὥσπερ ἁρμονίαν ἐκλελυμένην, ἀνακρουόμενον αὖθις ἐπὶ τὸν σώφρονα

Id res Græciæ labefecit: quæ alioquin nonnihil ex præſentibus malis attollere oculos, Macedonumque impotentiam & dominatum potuiſſet declinare. Aratus enim ſive diffidentia & timore Cleomenis, ſive inſperatæ proſperitati ejus invidens, ac probroſum putans ut ſibi, qui tres & triginta annos principatum obtinuerat, nomen ſimul & opes juvenis ſubito exortus detraheret, atque extorqueret rerum ab ſe auctarum & tam diu rectarum imperium: primum deterrere Achæos & prohibere anniſus eſt a fœdere; ubi non paruerunt ei, Cleomenis audacia attoniti, immo etiam æqua arbitrati Lacedæmoniorum poſtulata, qui Peloponneſum in veterem ſtatum inſtituebant reducere: ad factum convertit ſe cum nulli honeſtum Græco, tum turpiſſimum illi, ejuſque rebus geſtis & actionibus indigniſſimum; in Græciam ut Antigonum acciret, Macedonibuſque impleret Peloponneſum: quos ipſe inde adoleſcens pepulerat liberato Acrocorintho, omnibuſque regibus ſuſpectum ſe & inimicum reddiderat, atque in hunc ipſum Antigonum in editis abs ſe commentariis infinita effuderat probra. Qui quum multa ſuſtinuiſſe & ſubiiſſe pericula ſe Athenienſium cauſa jactet, quo urbs illa præſidio & Macedonibus levaretur: tamen hos in patriam ſuoſque ipſius penates armatos uſque ad gynæcium introduxit; regem vero Spartiatarum, Herculis progeniem, qui veterem reipub. ſtatum velut concentum diſcrepantem ad tempera-

φρονα καὶ Δώριον ἐκεῖνον τοῦ Λυκούργου νόμον καὶ βίον, οὐκ ἠξίου Σικυωνίων ἡγεμόνα καὶ Τρικκαίων γράφεσθαι. φεύγων δὲ τὴν μᾶζαν καὶ τὸν τρίβωνα, καὶ τὸ δεινότατον ὧν κατηγόρει Κλεομένους, ἀναίρεσιν πλούτου, καὶ πενίας ἐπανόρθωσιν, διαδήματι καὶ πορφύρᾳ καὶ Μακεδονικοῖς καὶ σατραπικοῖς προστάγμασιν ὑπέρριψε μετὰ τῆς Ἀχαΐας αὐτόν, ἵνα μὴ Κλεομένει ποιεῖν δοκῇ τὸ προσταττόμενον, Ἀντιγόνεια θύων, καὶ παιᾶνας ᾄδων αὐτὸς ἐστεφανωμένος εἰς ἄνθρωπον ὑπὸ φθόης κατασηπόμενον. ἀλλὰ ταῦτα μὲν οὐκ Ἀράτου κατηγορεῖν βουλόμενοι γράφομεν (ἐν πολλοῖς γὰρ ὁ ἀνὴρ οὗτος Ἑλληνικὸς γέγονε καὶ μέγας) οἰκτείροντες δὲ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, εἰ μηδὲ ἐν ἤθεσιν οὕτως ἀξιολόγοις καὶ διαφόροις πρὸς ἀρετήν, ἐκφέρειν δύναται τὸ καλὸν ἀνεμέσητον.

Ἐλθόντων δὲ Ἀχαιῶν εἰς Ἄργος αὖθις ἐπὶ τὸν σύλλογον, καὶ τοῦ Κλεομένους ἐκ Τεγέας καταβεβηκότος, ἐλπὶς ἦν πολλὴ τῶν ἀνθρώπων ἔσεσθαι τὴν διάλυσιν. ὁ δὲ Ἄρατος ἤδη διωμολογημένων αὐτῷ πρὸς τὸν Ἀντίγονον τῶν μεγίστων, φοβούμενος τὸν Κλεομένην μὴ πάντα διαπράξηται, καθομιλήσας τὸ πλῆθος, ἢ καὶ βιασάμενος, ἠξίου λαβόντα τριακοσίους ὁμήρους μόνον εἰσιέναι πρὸς αὐτούς, ἢ κατὰ γυμνάσιον ἔξωθεν τὸ Κυλλαράβιον προσελθόντα μετὰ τῆς δυνάμεως διαλέγεσθαι. ταῦτα ἀκούσας ὁ Κλεομένης ἄδικα πάσχειν ἔφασκε· δεῖν γὰρ εὐθὺς αὐτῷ τότε προειπεῖν, οὐ νῦν, ἥκοντος ἐπὶ τὰς θύρας τὰς ἐκείνων, ἀπιστεῖν καὶ ἀπελαύνειν. καὶ γράψας δὲ περὶ τούτων ἐπιστολὴν πρὸς τοὺς Ἀχαιούς, ἧς ἦν τὸ πλεῖστον κατηγορία Ἀράτου, πολλὰ

δὲ

perátam nitebatur reducere illam Lycurgi diſciplinam & vitam Doricam, habuit indignum qui Sicyoniorum & Triccæorum appellaretur dux. Refugiens autem offam & lænam & duriſſimum quod Cleomeni impinxit, excidium opulentiæ & paupertatis correctionem: diademati, purpuræ, Macedonicisque & ſatrapicis ſemetipſe cum Achaia edictis ſubjecit, ne Cleomenis facere videretur imperata, Antigonia celebrans, atque pæanas ipſe coronatus in hominis laudem tabe confecti canens. Neque vero hæc Arati cauſa traducendi ſcribimus, (multis enim in rebus vir hic Græcia dignus & celſus fuit) ſed quod miſereat nos naturæ humanæ imbecillitatis, quæ ne in moribus quidem adeo inſignibus & ad virtutem egregie aptis bonum producere valeat omni labe vacuum.

Quum Achæi iterum Argos conveniſſent, atque ex Tegea eodem deſcendiſſet Cleomenes, erant magna in ſpe pacis homines. Ibi Aratus, quum de maximis capitibus ei jam cum Antigono conveniſſet, metuens ne omnia tranſigeret Cleomenes, inducta multitudine aut etiam vi coacta, propoſuit ut acceptis trecentis obſidibus ſolus ille ad ipſos veniret, aut extra oppidum in gymnaſio, quod Cyllarabium dicitur, exercitu admoto ageret cum ipſis. Quibus nuntiatis, Cleomenes injuria dixit ſe affici; debuiſſe enim initio ſtatim id illos prædicere ſibi: non nunc, quum veniſſet ad ipſorum fores, diffidere & abigere ſe. Itaque ſcripta de his ad Achæos epiſtola, quæ plena erat de Arato querelarum, multiſque

invi-

ὃ καὶ τοῦ Ἀράτου λοιδορήσαντος αὐτὸν πρὸς τὸ πλῆθος, ἀνέζευξε διὰ ταχέων· καὶ κήρυκα πόλεμον προεροῦντα τοῖς Ἀχαιοῖς ἔπεμψεν, οὐκ εἰς Ἄργος, ἀλλ' εἰς Αἴγιον, ὥς φησιν Ἄρατος, ὅπως φθάσῃ τὴν παρασκευὴν αὐτῶν. ἐγεγόνει δὲ κίνημα τῶν Ἀχαιῶν, καὶ πρὸς ἀπόστασιν ὥρμησαν αἱ πόλεις, τῶν μὲν δήμων νομὴν τῆς χώρας καὶ χρεῶν ἀποκοπὰς ἐλπισάντων, τῶν δὲ πρώτων πολλαχοῦ βαρυνομένων τὸν Ἄρατον, ἐνίων δὲ καὶ δι' ὀργῆς ἐχόντων, ὡς ἐπάγοντα τῇ Πελοποννήσῳ Μακεδόνας. διὸ τούτοις ἐπαρθεὶς ὁ Κλεομένης, εἰς Ἀχαΐαν ἐνέβαλε· καὶ πρῶτον μὲν εἷλε Πελλήνην ἐξαπίνης ἐπιπεσὼν, καὶ τοὺς φρουροῦντας ἐξέβαλε μετὰ τῶν Ἀχαιῶν· μετὰ δὲ ταῦτα Φενεὸν προσηγάγετο καὶ Πεντέλειον. ἐπεὶ δὲ φοβηθέντες οἱ Ἀχαιοὶ προδοσίαν τινὰ πραττομένην ἐν Κορίνθῳ καὶ Σικυῶνι, τοὺς ἱππεῖς καὶ τοὺς ξένους ἀπέστειλαν ἐξ Ἄργους ἐκεῖ παραφυλάξοντας, αὐτοὶ δὲ τὰ Νέμεια καταβάντες εἰς Ἄργος ἦγον, ἐλπίσας, ὅπερ ἦν, ὁ Κλεομένης, ὄχλου πανηγυρικοῦ καὶ θεατῶν τὴν πόλιν γέμουσαν ἀπροσδοκήτως ἐπελθὼν μᾶλλον ταράξειν, νυκτὸς ἦγε πρὸς τὰ τείχη τὸ στράτευμα, καὶ τὸν περὶ τὴν Ἀσπίδα τόπον καταλαβὼν ὑπὲρ τοῦ θεάτρου χαλεπὸν ὄντα καὶ δυσπρόσοδον, οὕτω τοὺς ἀνθρώπους ἐξέπληξεν, ὥστε μηδένα τραπέσθαι πρὸς ἀλκὴν, ἀλλὰ καὶ φρουρὰν λαβεῖν, καὶ δοῦναι τῶν πολιτῶν ὁμήρους εἴκοσι, καὶ γενέσθαι συμμάχους Λακεδαιμονίων, ἔχοντος ἐκείνου τὴν ἡγεμονίαν.

Οὐ μικρὸν οὖν τοῦτο καὶ πρὸς δόξαν αὐτῷ καὶ δύναμιν ὑπῆρχεν. οὔτε γὰρ οἱ πάλαι βασιλεῖς Λακεδαιμονίων πολλὰ πραγματευσάμενοι προσαγαγέσθαι τὸ Ἄργος βεβαίως ἠδυνήθησαν· ὅ,τε δεινότατος τῶν στρατηγῶν Πύρρος,

invicem ab Arato probris in conventu laceratus reduxit propere exercitum, caduceatoremque ad bellum Achæis indicendum miſit non Argos, ſed Ægium, ut ait Aratus, quo imparatos opprimeret. Erant jam in motu Achæi, & civitates ad defectionem ſpectabant, populis legem agrariam & novas tabulas ſperantibus: principibus vero paſſim Aratum gravatis, nonnullis & infenſis, quod traheret in Peloponneſum Macedonas. Quibus Cleomenes elatus intulit Achaiæ arma. Primum ſubito adventu cepit Pellenen, expulitque cum Achæis præſidium: hinc Pheneo & Penteleo potitus eſt. Quia vero proditionem veriti Achæi Corinthi & Sicyone parari, equites & mercenarios milites illuc in præſidium miſerant, & ipſi Argos profecti agitabant Nemea: Cleomenes, id quod erat, ſperans ſi urbem in tempeſtiva convivia & ſpectaculum effuſam ſubito eſſet adortus, impenſius ſe perculſurum eam, nocte admovit muris exercitum. Occupata regione ad Aſpidem ſupra theatrum, qui locus difficilis eſt & pene inacceſſus, ita exanimavit populum ut nemo arma caperet, ſed præſidium acciperent, atque ex civibus darent viginti obſides, inirentque cum Lacedæmoniis ſocietatem ſub illius ductu.

Peperit id ei non exiguum nomen & autoritatem: neque enim priſci Lacedæmoniorum reges, quum multa moviſſent, adjungere firmiter valuerunt Argos: neque dux acerrimus Pyrrhus

ρος εἰσελθὼν καὶ βιασάμενος οὐ κατέσχε τὴν πόλιν, ἀλλ' ἀπέθανε, καὶ πολὺ συνδιεφθάρη μέρος αὐτῷ τῆς δυνάμεως. ὅθεν ἐθαύμαζον τὴν ὀξύτητα καὶ διάνοιαν τοῦ Κλεομένους· καὶ πρότερον αὐτοῦ τὸν Σόλωνα καὶ τὸν Λυκοῦργον ἀπομιμήσασθαι φάσκοντος ἐν τῇ τῶν χρεῶν ἀφέσει καὶ τῇ τῶν χρημάτων ἐξισώσει, καταγελῶντες, τότε παντελῶς ἐπείθοντο τοῦτον αἴτιον εἶναι τῆς περὶ τῶν Σπαρτιατῶν μεταβολῆς. οὕτω γὰρ ἔπραττόν τε πρὶν ταπεινὰ, καὶ βοηθεῖν αὑτοῖς ἀδυνάτως εἶχον, ὥστε πέντε μυριάδας ἀνδραπόδων ἐμβαλόντας εἰς τὴν Λακωνικὴν Αἰτωλοὺς ἀπαγαγεῖν. ὅτε φασὶν εἰπεῖν τινα τῶν πρεσβυτέρων Σπαρτιατῶν, ὡς ὤνησαν οἱ πολέμιοι τὴν Λακωνικὴν ἀποκουφίσαντες. ὀλίγου δὲ χρόνου διελθόντος ἁψάμενοι μόνον τῶν πατρίων ἐθῶν, καὶ καταστάντες εἰς ἴχνος ἐκείνης τῆς ἀγωγῆς, ὥσπερ παρόντι καὶ συμπολιτευομένῳ τῷ Λυκούργῳ πολλὴν ἐπίδειξιν ἀνδρείας ἐποιοῦντο καὶ πειθαρχίαν, τὴν τῆς Ἑλλάδος ἀναλαμβάνοντες ἡγεμονίαν τὴν Λακεδαίμονα, καὶ ἀνακτώμενοι τὴν Πελοπόννησον.

Ἑαλωκότος δὲ Ἄργους, καὶ κατόπιν εὐθὺς προσθεμένων τῷ Κλεομένει Κλεωνῶν καὶ Φλιοῦντος, ἐτύγχανε μὲν ὁ Ἄρατος ἐν Κορίνθῳ ποιούμενός τινα τῶν λεγομένων λακωνίζειν ἐξέτασιν· ἀγγελίας δὲ περὶ τούτων προσπεσούσης διαταραχθεὶς, καὶ τὴν πόλιν ἀποκλίνουσαν αἰσθόμενος πρὸς τὸν Κλεομένην, καὶ τῶν Ἀχαιῶν ἀπαλλαγῆναι βουλομένων, ἐκάλει μὲν εἰς τὸ βουλευτήριον τοὺς πολίτας, ἔλαθε δὲ διολισθήσας ἄχρι τῆς πύλης. ἐκεῖ δὲ τοῦ ἵππου προσαχθέντος ἀναβὰς, ἔφυγεν εἰς Σικυῶνα. τῶν δὲ Κορινθίων ἁμιλλωμένων εἰς

rhus potuit vi facta irruptione urbem in poteſtatem redigere: ſed occubuit ibi, atque exercitus ejus fuit cum eo magna ex parte deletus. Unde ſtupuerunt ſolertiam & conſilia Cleomenis: & qui ante deriſerant eum, quum Solonis ſe & Lycurgi inſiſtere veſtigiis in novis tabulis permittendis & bonorum exæquatione ferret, tunc plane crediderunt Spartiatarum mutationis eum eſſe autorem. Uſque adeo enim fuerant ante degeneres, & ad ſemetipſos inidonei tuendos, ut quinquaginta millia mancipiorum incurſantes in Laconiam abduxerint Ætoli. Quo tempore ſenem Spartiatam dixiſſe memorant, profuiſſe ipſis hoſtes, quod exoneraſſent Laconiam. At tempore interpoſito exiguo guſtantes tantum veteres leges, & in veſtigium reducti diſciplinæ Lycurgi, tanquam præſenti illi & una tractanti rempub. egregium virtutis documentum & obedientiam erga magiſtratus præbuerunt recuperando Lacedæmonii imperio Græciæ, recipiendaque Peloponneſo.

Argis captis permiſerunt ſe eodem curſu Cleonæ & Phlius Cleomeni. Interea habebat forte quæſtionem Aratus Corinthi de iis qui ferebantur ſtudere Lacedæmoniorum partibus: qui hoc objecto nuntio, ictus atque civitatem in Cleomenem proclivem ſentiens, properantibus etiam domum Achæis, advocavit cives in curiam, atque interim clam ſubduxit ſe ad portam. Ibi equo, qui admotus ei fuit, conſcenſo, profugit Sicyonem. Corinthiis certatim ad Cleomenem Argos

εἰς Ἄργος πρὸς τὸν Κλεομένην, φησὶν ὁ Ἄρατος τοὺς ἵππους πάντας ῥαγῆναι· τὸν δὲ Κλεομένην μέμφεσθαι τοὺς Κορινθίους μὴ συλλαβόντας αὐτὸν, ἀλλ' ἐάσαντας διαφυγεῖν· οὐ μὴν ἀλλὰ καὶ πρὸς αὐτὸν ἐλθεῖν Μεγιστόνουν παρ' αὐτοῦ Κλεομένους, δεόμενον παραλαβεῖν τὸν Ἀκροκόρινθον (εἶχε γὰρ φρουρὰν Ἀχαιῶν) καὶ πολλὰ χρήματα διδόντα· ἀποκρίνασθαι δὲ αὐτὸν, ὡς οὐκ ἔχει τὰ πράγματα, μᾶλλον δὲ ὑπὸ τῶν πραγμάτων αὐτὸς ἔχεται. ταῦτα μὲν ὁ Ἄρατος γέγραφεν. ὁ δὲ Κλεομένης ἐκ τοῦ Ἄργους ἐπελθὼν, καὶ προσαγαγόμενος Τροιζηνίους, Ἐπιδαυρίους, Ἑρμιονέας, ἧκεν εἰς Κόρινθον· καὶ τὴν μὲν ἄκραν περιεχαράκωσε, τῶν Ἀχαιῶν οὐ βουλομένων ἐκλιπεῖν. τοῦ δὲ Ἀράτου τοὺς φίλους καὶ τοὺς ἐπιτρόπους μεταπεμψάμενος, ἐκέλευσε τὴν οἰκίαν καὶ τὰ χρήματα λαβόντας φυλάττειν καὶ διοικεῖν. Τριτύμαλλον δὲ πάλιν τὸν Μεσσήνιον ἀπέστειλε πρὸς αὐτὸν, ἀξιῶν ὑπὸ τῶν Ἀχαιῶν καὶ τῶν Λακεδαιμονίων ὁμοῦ φυλάττεσθαι τὸν Ἀκροκόρινθον, ἰδίᾳ δὲ τῷ Ἀράτῳ διπλῆν ἐπαγγελλόμενος τὴν σύνταξιν ἧς ἐλάμβανε παρὰ Πτολεμαίου τοῦ βασιλέως. ἐπεὶ δὲ ὁ Ἄρατος οὐχ ὑπήκουσεν, ἀλλὰ τόν τε υἱὸν ἔπεμψε πρὸς τὸν Ἀντίγονον μετὰ τῶν ἄλλων ὁμήρων, καὶ ψηφίσασθαι τοὺς Ἀχαιοὺς ἔπεισεν Ἀντιγόνῳ παραδιδόναι τὸν Ἀκροκόρινθον· οὕτως ὁ Κλεομένης τήν τε Σικυωνίαν ἐμβαλὼν ἐπόρθησε, καὶ τὰ χρήματα τοῦ Ἀράτου, τῶν Κορινθίων αὐτῷ ψηφισαμένων, δωρεὰν ἔλαβε.

Τοῦ δὲ Ἀντιγόνου μετὰ πολλῆς δυνάμεως τὴν Γερανίαν ὑπερβάλλοντος, οὐκ ᾤετο δεῖν τὸν Ἰσθμὸν ἀλλὰ τὰ Ὤνια χαρακώσας καὶ τειχίσας φυλάττειν,

καὶ

Argos contendentibus, equos omnes refert Aratus diruptos: verum expoſtulaſſe cum Corinthiis Cleomenem, quod ipſum non corripuiſſent, ſed permiſiſſent elabi: attamen Megiſtonum ad ſe ab ipſo miſſum Cleomene petitum, ingenti pecuniæ ſumma oſtenſa, ut Acrocorinthus, in quo præſidium Achæorum erat, traderetur ſibi: dediſſe ſe reſponſum, non eſſe res in ſua poteſtate, ſed potius in rerum ſe. Hæc Aratus ſcriptis mandavit. At Cleomenes Argis profectus, acceptis in fidem Trœzeniis, Epidauriis, Hermionenſibuſque, venit Corinthum. Arcem, quum excedere renuerunt Achæi, circumvallavit. Arati vero amicos & procuratores accerſivit, præcepitque eis ut domum & rem familiarem illius ſervarent & procurarent. Tritymallum Meſſenium iterum miſit ad eum poſtulatum, ut ab Achæis ſimul & Lacedæmoniis Acrocorinthus cuſtodiretur, obtulitque ſeorſum Arato duplex annuum quam quantum acciperet a Ptolemæo. Poſtquam repudiavit Aratus conditionem, filiumque cum obſidibus aliis miſit ad Antigonum, & Achæis autor fuit ut decernerent tradendum Antigono Acrocorinthum: ita fines Sicyonios Cleomenes infeſto exercitu vaſtavit, & pecuniam Arati accepit, quam Corinthii ei decreto donaverunt.

Antigono autem magnis copiis Geraniam tranſcendente, non putavit faciendum ſibi ut Iſthmum, ſed montes, Onia dicunt, vallo muroque munita tueretur, atque loci oppor-

καὶ τοπομαχῶν ἀποτείβεσθαι τοὺς Μακεδόνας μᾶλλον, ἢ συμπλέκεσθαι πρὸς φάλαγγα συνησκημένην. καὶ τούτοις χρώμενος τοῖς λογισμοῖς, εἰς ἀπορίαν καθίστη τὸν Ἀντίγονον. οὔτε γὰρ σῖτον εἶχεν ἐκ παρασκευῆς ἱκανὸν, οὔτε βιάσασθαι τὴν πάροδον καθημένου τοῦ Κλεομένους ῥάδιον. ἐπιχειρήσας δὲ παραδύεσθαι διὰ τοῦ Λεχαίου νυκτὸς, ἐξέπεσε, καί τινας ἀπέβαλε τῶν στρατιωτῶν. ὥστε παντάπασι θαῤῥῆσαι τὸν Κλεομένην, καὶ τοὺς περὶ αὐτὸν ἐπηρμένους τῇ νίκῃ τραπέσθαι πρὸς τὸ δεῖπνον· ἀθυμεῖν δὲ τὸν Ἀντίγονον εἰς οὐκ εὐπόρους κατακλειόμενον ὑπὸ τῆς ἀνάγκης λογισμούς. ἐβούλετο γὰρ ἐπὶ τὴν ἄκραν ἀναζευγνύναι τὸ Ἡραῖον, κἀκεῖθεν εἰς Σικυῶνα πλοίοις περαιῶσαι τὴν δύναμιν. ὃ καὶ χρόνου πολλοῦ καὶ παρασκευῆς ἦν οὐ τῆς τυχούσης. ἤδη δὲ πρὸς ἑσπέραν ἧκον ἐξ Ἄργους κατὰ θάλατταν ἄνδρες Ἀράτου φίλοι καλοῦντες αὐτὸν, ὡς ἀφισταμένων τῶν Ἀργείων τοῦ Κλεομένους. ὁ δὲ πράττων ἦν τὴν ἀπόστασιν Ἀριστοτέλης· καὶ τὸ πλῆθος οὐ χαλεπῶς ἔπεισεν, ἀγανακτοῦν ὅτι χρεῶν ἀποκοπὰς οὐκ ἐποίησεν αὐτοῖς ὁ Κλεομένης ἐλπίσασιν. λαβὼν οὖν ὁ Ἄρατος παρ' Ἀντιγόνου στρατιώτας χιλίους καὶ πεντακοσίους, παρέπλευσεν εἰς Ἐπίδαυρον. ὁ δὲ Ἀριστοτέλης ἐκεῖνον οὐ περιέμεινεν, ἀλλὰ τοὺς πολίτας παραλαβὼν, προσεμάχετο τοῖς φρουροῖς τὴν ἀκρόπολιν· καὶ παρῆν αὐτῷ Τιμόξενος μετὰ τῶν Ἀχαιῶν ἐκ Σικυῶνος βοηθῶν.

Ταῦτα περὶ δευτέραν φυλακὴν τῆς νυκτὸς ἀκούσας ὁ Κλεομένης, μετεπέμψατο Μεγιστόνουν, καὶ πρὸς ὀργὴν ἐκέλευσεν εὐθὺς εἰς Ἄργος βοηθεῖν. ὁ γὰρ ὑπὲρ τῶν Ἀργείων μάλιστα καταπιστωσάμενος πρὸς αὐτὸν ἐκεῖνος ἦν, καὶ διεκώ-

portunitate arceret potius Macedonas, quam ſigna cum legionibus exercitatis conferret. Hoc ſequens conſilium, redegit ad ſummam perplexitatem Antigonum. Neque enim ſatis commeatus præparaverat, neque vi perrumpere inſidente Cleomene pronum erat per tranſitum. Aggreſſus per Lechæum nocte irrepere, repulſus eſt, ubi aliquot milites deſideravit. Unde plane erectus animo Cleomenes, & ſublati victoria milites ejus, verterunt ſe ad cœnam: Antigonus vero animo fractus eſt, in non expedita neceſſitate detruſus conſilia. Deliberavit enim in promontorium ſe Heræum recipere, inde Sicyonem navigiis tranſportare exercitum: quod & longum temporis ſpatium, & apparatum requirebat non vulgarem. Hic ſub veſperum advenerunt Argis per mare nonnulli Arati amici, qui accerſiverunt eum, nuntiantes deficere a Cleomene Argivos. Rebellionis fuit Ariſtoteles architectus, qui non ægre impulit multitudinem frendentem, quod tabulas novas, quas exſpectaverat, non præſtitiſſet Cleomenes. Igitur Aratus ſumptis ab Antigono mille quingentis militibus, Epidaurum tranſmiſit. Non præſtolatus eſt autem illum Ariſtoteles, ſed oppugnavit cum civibus arcis præſidium, & ſuccurrit ei ex Sicyone cum Achæis Timoxenus.

His circa ſecundam noctis vigiliam nuntiatis, accerſit Cleomenes Megiſtonum, fremenſque jubet ei ut ſuppetias propere Argos ferat. Hic enim erat qui præcipue ſpoponderat pro Argivis, obſtiteratque ne ſuſ-

διεκώλυσεν ἐκβαλεῖν τοὺς ὑπόπτους. ἀπολύσας οὖν τὸν Μεγιστόνουν μετὰ δισχιλίων στρατιωτῶν, αὐτὸς προσεῖχε τῷ Ἀντιγόνῳ, καὶ τοὺς Κορινθίους παρεθάῤῥυνεν, ὡς οὐδενὸς μεγάλου περὶ τὸ Ἄργος, ἀλλὰ ταραχῆς τινος ἀπ' ἀνθρώπων ὀλίγων γεγενημένης. ἐπεὶ δὲ ὁ Μεγιστόνους τε παρεισπεσὼν εἰς τὸ Ἄργος ἀνῃρέθη μαχόμενος, καὶ μόγις ἀντεῖχον οἱ φρουροὶ, καὶ διεπέμποντο συχνοὺς πρὸς τὸν Κλεομένην· φοβηθεὶς μὴ τοῦ Ἄργους οἱ πολέμιοι κρατήσαντες, καὶ τὰς παρόδους ἀποκλείσαντες, αὐτοὶ πορθῶσιν ἀδεῶς τὴν Λακωνικὴν, καὶ πολιορκῶσι τὴν Σπάρτην, ἔρημον οὖσαν, ἀπῆγεν ἐκ Κορίνθου τὸ στράτευμα. καὶ ταύτης μὲν εὐθὺς ἐστέρητο τῆς πόλεως, εἰσελθόντος Ἀντιγόνου καὶ φρουρὰν καταστήσαντος· ἐπιβαλὼν δὲ τῷ Ἄργει κατὰ τὸ τεῖχος, ἐπεχείρησεν εἰσάλλεσθαι, καὶ συνέστρεψεν ἐκ τῆς πορείας τὴν δύναμιν. ἐκκόψας δὲ τὰς ὑπὸ τὴν Ἀσπίδα ψαλίδας, ἀνέβη καὶ συνέμιξε τοῖς ἔνδον, ἔτι πρὸς τοὺς Ἀχαιοὺς ἀντέχουσι. καὶ τῶν ἐντὸς ἔνια κλίμακας προσθεὶς κατέλαβε, καὶ τοὺς στενωποὺς ἐρήμους πολεμίων ἐποίησεν, τοῖς βέλεσι χρήσασθαι προστάξας τοὺς Κρῆτας. ὡς δὲ κατεῖδε τὸν Ἀντίγονον ἀπὸ τῶν ἄκρων εἰς τὸ πεδίον καταβαίνοντα μετὰ τῆς φάλαγγος, τοὺς δ' ἱππεῖς ἤδη ῥύδην ἐλαύνοντας εἰς τὴν πόλιν, ἀπέγνω κρατήσειν· καὶ συναγαγὼν ἅπαντας πρὸς αὐτὸν, ἀσφαλῶς κατέβη, καὶ παρὰ τὸ τεῖχος ἀπηλλάττετο, μεγίστων μὲν ἐν ἐλαχίστῳ χρόνῳ πραγμάτων ἐπικρατήσας, καὶ μετὰ μικρὸν ὅλης ὁμοῦ τι μιᾷ περιόδῳ Πελοποννήσου κύριος γενέσθαι δεήσας, ταχὺ δὲ αὖθις ἐκπεσὼν ἁπάντων. οἱ μὲν γὰρ εὐθὺς ἀπεχώρησαν αὐτοῦ τῶν στρατευομένων, οἱ δὲ ὀλίγον ὕστερον τῷ Ἀντιγόνῳ τὰς πόλεις παρέδωκαν.

Οὕτω

ſuſpecti ejicerentur. Dimiſſo cum duobus millibus militum Megiſtono, ipſe in Antigonum intendit, Corinthioſque confirmavit, nihil gravius accidiſſe Argis, ſed tumultum docens a paucis hominibus concitatum. Ut irrupit Megiſtonus in urbem Argos, ibique pugnans interfectus eſt, & ægre reſtitit præſidium, atque crebros nuntios ad Cleomenem miſit: veritus ne potiti Argis hoſtes intercluſo tranſitu popularentur impune Laconiam, Spartamque vacuam obſiderent, reduxit exercitum a Corintho. Confeſtim ea urbe ſpoliatus eſt ingreſſo Antigono, qui præſidium ibi collocavit. Adortus Argos coacto ex itinere exercitu ſuo, inſtitit per murum invadere urbem. Exciſis autem ſub Aſpide fornicibus aſcendit, conjunxitque præſidio quod reſiſtebat adhuc Achæis, ac loca quædam urbis ſcalis cepit, hoſteſque expulit viis, tela Cretenſibus imperans ingerere. Ut vero Antigonum ex montium cacuminibus conſpexit in campum cum legionibus deſcendentem, equiteſque magno impetu irrumpentes in urbem, deſperavit tenere ſe urbem poſſe, omnibuſque ad ſe contractis, incolumis deſcendit, atque præter murum recepit ſe. Ita qui breviſſimo ſpatio maximas perpetravit res, & parum abfuit quin univerſa uno ambitu potitus ſit Peloponneſo, puncto temporis rurſus ab omnibus excidit: quippe alii qui in præſidiis ejus erant, deſciverunt ſtatim ab eo, alii paulo poſt oppida Antigono tradiderunt.

Hoc

Οὕτω δὲ αὐτῷ πεπραχότι κατὰ τὴν στρατείαν, καὶ ἀπαγαγόντι τὴν δύναμιν, ἑσπέρας ἤδη περὶ Τεγέαν ἀφίκοντό τινες ἐκ Λακεδαίμονος, οὐκ ἐλάττονα τῶν ἐν χερσὶ δυστυχίας ἀπαγγέλλοντες, τεθνάναι τὴν γυναῖκα· δι' ἣν οὐδὲ ταῖς πάνυ κατορθουμέναις ἐκεῖνος ἐνεκαρτέρει στρατείαις, ἀλλὰ συνεχῶς κατέβαινεν εἰς Σπάρτην, ἐρῶν τῆς Ἀγιάτιδος, καὶ περὶ πλείστου ποιούμενος ἐκείνην. ἐπλήγη μὲν οὖν καὶ ἤλγησεν, ὡς εἰκὸς ἦν νέον ἄνδρα καλλίστης καὶ σωφρονεστάτης ἀφῃρημένον γυναικός. οὐ μὴν κατῄσχυνεν οὐδὲ προήκατο τῷ πάθει τὸ μέγεθος τῆς ψυχῆς· ἀλλὰ καὶ φωνὴν, καὶ σχῆμα, καὶ μορφὴν ἐν ᾧ πρότερον εἶχεν ἤθει διαφυλάττων, τά,τε προστάγματα τοῖς ἡγεμόσιν ἐδίδου, καὶ περὶ τῆς ἀσφαλείας τῶν Τεγεατῶν ἐφρόντιζεν. ἅμα δὲ ἡμέρᾳ κατέβαινεν εἰς Λακεδαίμονα, καὶ μετὰ τῆς μητρὸς οἴκοι καὶ μετὰ τῶν παίδων ἀπαλγήσας τὸ πένθος, εὐθὺς ἦν ἐν τοῖς περὶ τῶν ὅλων λογισμοῖς. ἐπεὶ δὲ Πτολεμαῖος ὁ τῆς Αἰγύπτου βασιλεὺς ἐπαγγελλόμενος αὐτῷ βοήθειαν, ἠξίου λαβεῖν ὅμηρα τοὺς παῖδας καὶ τὴν μητέρα, χρόνον μέν τινα συχνὸν ᾐσχύνετο φράσαι τῇ μητρὶ, καὶ πολλάκις εἰσελθὼν καὶ πρὸς αὐτῷ γενόμενος τῷ λόγῳ κατεσιώπησεν· ὥστε κἀκείνην ὑπονοεῖν, καὶ παρὰ τῶν φίλων αὐτοῦ διαπυνθάνεσθαι μήτι κατοκνεῖ βουλόμενος ἐντυχεῖν αὐτῇ. τέλος δὲ τοῦ Κλεομένους ἀποτολμήσαντος εἰπεῖν, ἐξεγέλασέ τε μέγα, καὶ τοῦτ' ἦν, εἶπεν, ὃ πολλάκις ὁρμήσας λέγειν ἀπεδειλίασας; οὐ θᾶττον ἡμᾶς ἐνθέμενος εἰς πλοῖον ἀποστελεῖς ὅπου ποτὲ τῇ Σπάρτῃ νομίζεις τοῦτο τὸ σῶμα χρησιμώτατον ἔσεσθαι, πρὶν ὑπὸ γήρως αὐτοῦ καθήμενον διαλυθῆναι; πάν-

των

Hoc ſucceſſu per expeditionem uſo, & copias retro reducenti, veſperi jam prope Tegeam ſupervenerunt certi Lacedæmone, qui non minorem præſente calamitatem ei nuntiarent, exſpiraſſe uxorem ejus: cujus amore nec in medio rerum curſu ſecundiſſimarum poterat temperare ſibi quin recurreret aſſidue Spartam, quod Agiatidem amaret, & faceret eam plurimi. Itaque non immerito obtorpuit & dolore fuit confectus, ut juvenis formoſiſſima & caſtiſſima orbatus uxore. Non ſuccubuit tamen mœrori; neque ægritudini magnitudinem animi ſubmiſit: ſed vocem, habitum, & vultum in eodem conſervans tenore, & imperia ducibus dedit, & Tegeatarum ſalutem curæ habuit. Summo mane eſt Lacedæmonem ingreſſus, luctuque cum matre & liberis domi peracto, mox de ſumma rerum conſilium inſtituit. Quia vero rex Ægypti Ptolemæus auxilium Cleomeni oſtendens, liberos ejus & matrem obſides poſtulabat, diu indicare id veritus eſt matri, ac ſubinde ad eam ingreſſus & ſermonem exorſurus obmutuit: ut illa quoque ſuſpicaretur, & ex amicis ejus exquireret ecqua res ſit de qua cupiens agere ſecum dubitaret. Poſtremo auſo Cleomene rem effari, in magnum effuſa riſum, Hoccine erat, inquit, quod ſæpe dicere aggreſſum deſtituit animus? Non impoſitos nos navigio prius mittis ubicunque hoc corpus Spartæ cenſes maxime uſui fore, quam ſenio hic reſes exſtinguatur? I-

gitur

τῶν οὖν ἑτοίμων γενομένων, ἀφίκοντο μὲν εἰς Ταίναρον πεζῇ, καὶ προὔπεμπεν ἡ δύναμις αὐτοὺς σὺν τοῖς ὅπλοις· μέλλουσα δὲ τῆς νεὼς ἐπιβαίνειν ἡ Κρατησίκλεια, τὸν Κλεομένην μόνον εἰς τὸν νεὼν τοῦ Ποσειδῶνος ἀπήγαγε, καὶ περιβαλοῦσα καὶ κατασπασαμένη διαλγοῦντα καὶ συντεταραγμένον, Ἄγε, εἶπεν, ὦ βασιλεῦ Λακεδαιμονίων, ὅπως ἐπὰν ἔξω γενώμεθα, μηδεὶς ἴδῃ δακρύοντας ἡμᾶς, μηδὲ ἀνάξιόν τι τῆς Σπάρτης ποιοῦντας. τοῦτο γὰρ ἐφ' ἡμῖν μόνον· αἱ τύχαι δέ, ὅπως ἂν ὁ δαίμων διδῷ, πάρεισι. ταῦτα δὲ εἰποῦσα, καὶ καταστήσασα τὸ πρόσωπον, ἐπὶ τὴν ναῦν ἐχώρει τὸ παιδίον ἔχουσα· καὶ διὰ τάχους ἐκέλευσεν ἀπαίρειν τὸν κυβερνήτην. ἐπεὶ δὲ εἰς Αἴγυπτον ἀφίκετο, καὶ τὸν Πτολεμαῖον ἐπύθετο λόγους παρ' Ἀντιγόνου καὶ πρεσβείας δεχόμενον, περὶ δὲ τοῦ Κλεομένους ἤκουσεν ὅτι τῶν Ἀχαιῶν προκαλουμένων αὐτὸν εἰς διαλύσεις, φοβοῖτο δι' ἐκείνην ἄνευ Πτολεμαίου καταθέσθαι τὸν πόλεμον, ἐπέστειλεν αὐτῷ τὰ τῇ Σπάρτῃ πρέποντα καὶ συμφέροντα πράττειν, καὶ μὴ διὰ μίαν γραῦν καὶ παιδάριον ἀεὶ δεδιέναι Πτολεμαῖον. αὕτη μὲν οὖν παρὰ τὰς τύχας τοιαύτη λέγεται γενέσθαι.

Τοῦ δὲ Ἀντιγόνου Τεγέαν μὲν παραλαβόντος, Ὀρχομενὸν δὲ καὶ Μαντίνειαν διαρπάσαντος, εἰς αὐτὴν τὴν Λακωνικὴν συνεσταλμένος ὁ Κλεομένης, τῶν μὲν εἱλώτων τοὺς πέντε μνᾶς Ἀττικὰς καταβαλόντας ἐλευθέρους ἐποίει· καὶ τάλαντα πεντακόσια συνέλεξε. δισχιλίους δὲ προσκαθοπλίσας Μακεδονικῶς, ἀντίταγμα τοῖς παρ' Ἀντιγόνου λευκάσπισιν, ἔργον ἐπὶ νοῦν βάλλεται μέγα, καὶ πᾶσιν ἀπροσδόκητον. ἡ Μεγάλη πόλις ἦν μὲν τότε καὶ καθ' ἑαυτὴν

gitur omnibus paratis pedeſtri itinere Tænarum profecti ſunt, atque exercitus eos in armis proſequutus eſt. Navem Crateſiclea conſcenſura, ſeduxit Cleomenem remotis arbitris in fanum Neptuni. Ibi complexa deoſculataque mœrentem & commotum, Age, inquit, rex Lacedæmoniorum, cave, ubi foras egreſſi erimus, quiſnam nos lacrymantes conſpiciat, aut quid Sparta indignum admittentes. Hoc enim in arbitrio noſtro eſt unum: caſuum vero, prout permiſerit Deus, erit exitus. Sic fata, vultu compoſito perrexit ad navem puerum tenens, juſſitque gubernatori ut propere ſolveret. Ut in Ægyptum appulit, & Ptolemæum accepit mandata Antigoni legatoſque admittere, intellexit item Cleomenem invitatum ad pacem faciendam ab Achæis, vereri ipſius cauſa bellum non aſſentiente Ptolemæo componere, ſcripſit ei, ageret quod ex dignitate Spartæ atque e repub. eſſet, neque unius gratia anus & parvi pueri ſemper trepidaret Ptolemæum. Atque hæc eam ſe perhibetur aſperis in rebus præſtitiſſe.

Porro occupata ab Antigono Tegea, Orchomeno & Mantinea direptis, redactus in fines Laconicos Cleomenes, Ilotas, qui quinque minas Atticas præſtitiſſent, manumiſit. Ea ratione talenta quingenta coegit, ac duobus millibus inſuper ex illis more Macedonico, ut adverſus Antigoni Leucaſpidas opponerentur, armatis, rem animo agitat grandem & omnibus inexſpectatam. Erat Megalopolis ea tempeſtate per

ἑαυτὴν οὐδέν τι μείων, οὐδὲ ἀσθενεστέρα τῆς Λακεδαίμονος· εἶχε δὲ καὶ τὴν ἀπὸ τῶν Ἀχαιῶν καὶ τοῦ Ἀντιγόνου βοήθειαν, ἐν πλευραῖς καθεζομένου, καὶ δοκοῦντος ὑπὸ τῶν Ἀχαιῶν ἐπικεκλῆσθαι, μάλιστα τῶν Μεγαλοπολιτῶν σπουδασάντων. ταῦτα διαρπάσαι διανοηθεὶς ὁ Κλεομένης (οὐ γάρ ἐστιν ᾧ μᾶλλον ἔοικε τὸ ταχὺ καὶ ἀπροσδόκητον ἐκείνης τῆς πράξεως) ἡμερῶν πέντε σιτία λαβεῖν κελεύσας, ἐξῆγε τὴν δύναμιν ἐπὶ τὴν Σελλασίαν, ὡς τὴν Ἀργολικὴν κακουργήσων· ἐκεῖθεν δὲ καταβὰς ἐπὶ τὴν Μεγαλοπολιτικὴν, καὶ δεῖπνα ποιησάμενος περὶ τὸ Ῥοίτιον, εὐθὺς ἐπορεύετο τὴν δι' Ἑλικοῦντος ἐπὶ τὴν πόλιν. ἀποσχὼν δὲ οὐ πολὺ, Παντέα μὲν ἔχοντα δύο τάγματα τῶν Λακεδαιμονίων ἀπέστειλε, καταλαβέσθαι κελεύσας μεσοπύργιον, ὃ τῶν τειχῶν ἐρημότατον εἶναι τοῖς Μεγαλοπολίταις ἐπυνθάνετο, τῇ δὲ ἄλλῃ δυνάμει σχολαίως ἐπηκολούθει. τοῦ δὲ Παντέως οὐ μόνον ἐκεῖνον τὸν τόπον, ἀλλὰ καὶ πολὺ μέρος ἐκείνου τοῦ τείχους ἀφύλακτον εὑρόντος, καὶ τὰ μὲν καθαιροῦντος εὐθὺς, τὰ δὲ διασκάπτοντος, τῶν δὲ φρουρῶν οἷς ἐνέτυχε πάντας ἀποκτείναντος, ἔφθασε προσμίξας ὁ Κλεομένης, καὶ πρὶν αἰσθέσθαι τοὺς Μεγαλοπολίτας, ἔνδον ἦν μετὰ τῆς δυνάμεως.

Φανεροῦ δὲ μόλις τοῦ κακοῦ γενομένου τοῖς κατὰ τὴν πόλιν, οἱ μὲν εὐθὺς ἐξέπιπτον, ὅσα τυγχάνοι τῶν χρημάτων λαμβάνοντες· οἱ δὲ συνεστρέφοντο μετὰ τῶν ὅπλων, καὶ τοῖς πολεμίοις ἐνιστάμενοι καὶ προσβαλόντες, ἐκείνους μὲν οὐκ ἴσχυσαν ἐκκροῦσαι, τοῖς δὲ φεύγουσι τῶν πολιτῶν ἀσφαλῶς ἀπελθεῖν παρέσχον· ὥστε μὴ πλείονα τῶν χιλίων ἐγκαταλειφθῆναι σώματα, τοὺς δὲ ἄλλους ἅπαντας

τας

per ſe nihilo Lacedæmone minor neque infirmior. Jam erant ibi Achæorum quoque & Antigoni auxilia ad latus ſedentis: qui ab Achæis imploratus putabatur imprimis Megalopolitanis inſtantibus. Hanc urbem diripere Cleomenes certus (neque enim quicquam magis celeritas improviſa illius facti refert) quinque dierum cibaria ſecum ferre juſſas copias verſus Sellaſiam duxit, ſicut fines Argolicos incurſurus. Inde deſcendit in agrum Megalopolitanum, cœnatuſque apud Rhœtium confeſtim perrexit per Helicuntem ad illam urbem. A qua quum non longe abeſſet, præmiſit Pantea cum duabus Lacedæmoniorum cohortibus ad occupandum murum inter duas turres: quam partem eſſe Megalopolitanis intelligebat deſertiſſimam. Cum cæteris copiis lento agmine ſequutus eſt. Ut Panteus non illum modo locum, ſed & magnam illius muri partem offendit neglectam, cujus partim ſtatim diſſipavit, partim diruit, & vigiles, in quos incidit, omnes interfecit: maturavit Cleomenes irrumpere, ac prius quam ſentirent Megalopolitani, fuit cum exercitu intra muros.

Ubi tandem animadverterunt cives cladem, alii protinus in fugam effuſi, quod præ manibus eſſet rerum ſuarum, rapuerunt: alii corripuerunt arma, globoque facto hoſtibus reſiſtentes & manum conſerentes, illos quidem nequiverunt ſummovere, ſed fugientibus civibus ſecuritatem præbuerunt abeundi. Unde non plus mille ibi relicti fuere. Cæteri omnes

præ-

τας ὁμοῦ μετὰ τέκνων καὶ γυναικῶν φθάσαι διαφυγόντας εἰς Μεσσήνην. ἐσώθη δὲ καὶ τῶν προσβοηθούντων καὶ μαχομένων τὸ πλῆθος· ὀλίγοι δὲ παντάπασιν ἥλωσαν, ὧν ἦν Λυσανδρίδας καὶ Θεαρίδας, ἄνδρες ἔνδοξοι καὶ δυνατοὶ μάλιστα τῶν Μεγαλοπολιτῶν. διὸ καὶ λαβόντες αὐτοὺς οἱ στρατιῶται τῷ Κλεομένει προσῆγον. ὁ δὲ Λυσανδρίδας ὡς εἶδε τὸν Κλεομένην πόῤῥωθεν, ἀναβοήσας, Ἔξεστί σοι νῦν, εἶπεν, ὦ βασιλεῦ Λακεδαιμονίων, ἔργον ἀποδειξαμένῳ τοῦ πεπραγμένου κάλλιον καὶ βασιλικώτατον, ἐνδοξοτάτῳ γενέσθαι. ὁ δὲ Κλεομένης ὑποπτεύσας αὐτοῦ τὴν ἔντευξιν, Τί δὲ, εἶπεν, ὦ Λυσανδρίδα λέγεις; οὐ γὰρ δή πού με τὴν πόλιν ὑμῖν ἀποδοῦναι κελεύσεις; καὶ ὁ Λυσανδρίδας, Αὐτὸ μὲν, ἔφη, λέγω, καὶ συμβουλεύω μὴ διαφθεῖραι πόλιν τηλικαύτην, ἀλλ' ἐμπλῆσαι φίλων καὶ συμμάχων πιστῶν καὶ βεβαίων, ἀποδόντα Μεγαλοπολίταις τὴν πατρίδα, καὶ σωτῆρα δήμου τοσούτου γενόμενον. μικρὸν οὖν ὁ Κλεομένης διασιωπήσας, Χαλεπὸν μὲν, ἔφη, ταῦτα πιστεῦσαι, νικάτω δὲ τὸ πρὸς δόξαν ἀεὶ μᾶλλον, ἢ τὸ λυσιτελὲς παρ' ἡμῖν. καὶ ταῦτα εἰπὼν ἀπέστελλε τοὺς ἄνδρας εἰς Μεσσήνην, καὶ κήρυκα παρ' ἑαυτοῦ, τοῖς Μεγαλοπολίταις ἀποδοὺς τὴν πόλιν ἐπὶ τῷ συμμάχους εἶναι καὶ φίλους, ἀποστάντας Ἀχαιῶν. οὕτω δὲ τοῦ Κλεομένους εὐγνώμονα καὶ φιλάνθρωπα προτείναντος, οὐκ εἴασε τοὺς Μεγαλοπολίτας ὁ Φιλοποίμην ἐγκαταλιπεῖν τὴν πρὸς τοὺς Ἀχαιοὺς πίστιν, ἀλλὰ κατηγορῶν τοῦ Κλεομένους ὡς οὐ ζητοῦντος ἀποδοῦναι τὴν πόλιν, ἀλλὰ προσλαβεῖν τοὺς πολίτας, ἐξέβαλε τὸν Θεαρίδαν καὶ τὸν Λυσανδρίδαν ἐκ τῆς Μεσσήνης. οὗτος ἦν Φιλοποίμην ὁ πρωτεύσας ὕστερον

præverterunt una cum conjugibus & liberis Meſſenem perfugere. Magna etiam pars illorum qui arma ceperant & prœlium conſeruerant, evaſerunt incolumes. Pauci omnino in poteſtatem hoſtium venerunt: in quibus Lyſandridas & Thearidas, illuſtres viri & principes Megalopolitanorum. Quare captos hos extemplo attraxerunt milites ad Cleomenem. Lyſandridas, ut procul Cleomenem aſpexit, alta voce, Licet tibi nunc, inquit, rex Lacedæmoniorum, opus edere quam perpetratum majus & rege dignius, quod efficiat te clariſſimum. Suſpicatus quid poſtularet, Cleomenes, Quid adfers, inquit, Lyſandrida? Num urbem mihi ſuades ut vobis reſtituam? Idipſum dico & conſulo, inquit ei Lyſandridas, ne urbem tantam evertas: verum ut reddita Megalopolitanis patria, tanti conſervator populi, amicis eam ſociiſque repleas fidis & firmis. Cleomenes quum pauliſper ſubticuiſſet, Difficile id, infit, creditu eſt: at vincat apud nos potius quod glorioſum ſit quam utilitas. Ita fatus miſit eos Meſſenem adjuncto ſuo nomine caduceatore, urbem Megalopolitanis offerens reddere, ſi relictis Achæis ſocietatem & amicitiam ſecum junxiſſent. Eam Cleomene benignitatem & humanitatem offerente, non permiſit Megalopolitanos Philopœmen deſciſcere ab Achæis: Cleomenem autem vociferans non quærere ut urbem reddat, ſed acquirat inſuper cives, Thearidam & Lyſandridam Meſſene exegit. Hic eſt ille Philopœmen qui principatum poſt in A-

ὕστερον Ἀχαιῶν, καὶ μεγίστην κτησάμενος ἐν τοῖς Ἕλλησι δόξαν, ὡς ἰδίᾳ περὶ αὐτοῦ γέγραπται.

Τούτων δὲ ἀπαγγελθέντων τῷ Κλεομένει, τετηρηκὼς τὴν πόλιν ἄθικτον καὶ ἀκέραιον, ὥστε μηδένα λαθεῖν μηδὲ τοὐλάχιστον λαβόντα, τότε παντάπασι τραχυνθεὶς καὶ ἀγανακτήσας, τὰ μὲν χρήματα διήρπασεν, ἀνδριάντας δὲ καὶ γραφὰς ἀπέστειλεν εἰς Σπάρτην· τῆς δὲ πόλεως τὰ πλεῖστα καὶ μέγιστα μέρη κατασκάψας καὶ διαφθείρας, ἀνέζευξεν ἐπ' οἴκου, φοβούμενος τὸν Ἀντίγονον καὶ τοὺς Ἀχαιούς. ἐπράχθη δὲ οὐδὲν ἀπ' αὐτῶν· ἐτύγχανον μὲν γὰρ ἐν Αἰγίῳ βουλὴν ἔχοντες. ἐπεὶ δὲ Ἄρατος ἀναβὰς ἐπὶ τὸ βῆμα, πολὺν μὲν χρόνον ἔκλαιε, τὴν χλαμύδα θέμενος πρὸ τοῦ προσώπου· θαυμαζόντων δὲ καὶ λέγειν κελευόντων, εἶπεν ὅτι Μεγάλη πόλις ἀπόλωλεν ὑπὸ Κλεομένους· ἡ μὲν οὖν σύνοδος εὐθὺς διελύθη, τῶν Ἀχαιῶν καταπλαγέντων τὴν ὀξύτητα καὶ τὸ μέγεθος τοῦ πάθους. ὁ δὲ Ἀντίγονος ἐπιχειρήσας βοηθεῖν, εἶτα βραδέως αὐτῷ τῆς δυνάμεως ἐκ τῶν χειμαδίων ἀνισταμένης, ταύτην μὲν αὖθις ἐκέλευσε κατὰ χώραν μένειν· αὐτὸς δὲ παρῆλθεν εἰς Ἄργος, πολλοὺς ἔχων στρατιώτας μεθ' ἑαυτοῦ. διὸ καὶ τὸ δεύτερον ἐγχείρημα τοῦ Κλεομένους ἔδοξε μὲν τετολμῆσθαι παραβόλως καὶ μανικῶς, ἐπράχθη δὲ μετὰ πολλῆς προνοίας, ὥς φησι Πολύβιος. εἰδὼς γὰρ εἰς τὰ χειμάδια διεσπαρμένους κατὰ πόλιν, ὥς φησι, τοὺς Μακεδόνας, καὶ τὸν Ἀντίγονον οὐ πολλοὺς ἔχοντα μισθοφόρους ἐν Ἄργει διαχειμάζοντα μετὰ τῶν φίλων, ἐνέβαλεν εἰς τὴν Ἀργείαν, λογιζόμενος ἢ δι' αἰσχύνην τοῦ Ἀντιγόνου παροξυνθέντος ἐπικρατήσειν, ἢ μὴ τολ-

Achæis tenuit, maximamque quæſivit apud Græcos gloriam, ut peculiariter de illo ſcripſimus.

His renunciatis Cleomenes, qui urbem intactam conſervaverat & illæſam, ut ne minimam quidem rem quiſquam clam ſurripuerit, tunc ſemel efferatus & ira frendens, fortunas civium in prædam conceſſit, ſigna & tabulas pictas Spartam miſit, urbis plurimas & maximas partes ſolo æquavit ac proruit: inde domum ſe Antigoni & Achæorum metu recepit. Cæterum nihil illi moverunt. Ægii enim conſilium habebant. Ut vero Aratus conſcenſo ſuggeſtu faciem chlamyde integens diu flevit: mirante autem concione, atque ut diceret conclamante, Megalopolis, inquit, a Cleomene everſa eſt: conventus e veſtigio diſſipatus eſt, Achæis celeritate & mole attonitis calamitatis. At Antigonus ſuccurrere molitus, quum copiæ ejus ſegnius ex hybernis moverent, imperavit mox iis ut remanerent ibi: ipſe Argos frequentibus comitatus militibus ingreſſus eſt. Unde ſecundus Cleomenis conatus habitus quidem eſt temere & furioſe ſuſceptus, verum magno conſilio, ut Polybius eſt autor, geſta res fuit. Quum enim reſciviſſet in hyberna diſperſos per urbes, ut ait, Macedonas, Antigonum autem mercenariis militibus ſtipatum paucis, Argis cum amicis hyemem traducere: incurſionem fecit in agrum Argolicum, reputans vel ſtimulatum rubore ſuperatum iri ab ſe Antigonum, aut in-

τολμήσαντα μάχεσθαι διαβάλλειν πρὸς τοὺς Ἀργείους. ὃ καὶ συνέβη. διαφθειρομένης γὰρ τῆς χώρας ὑπ' αὐτοῦ, καὶ πάντων ἀγομένων καὶ φερομένων, οἱ μὲν Ἀργεῖοι δυσανασχετοῦντες ἐπὶ τὰς θύρας ἀνεστρέφοντο τοῦ βασιλέως, καὶ κατεβόων, μάχεσθαι κελεύοντες, ἢ τοῖς κρείττοσιν ἐξίστασθαι τῆς ἡγεμονίας· ὁ δὲ Ἀντίγονος, ὡς ἔδει στρατηγὸν ἔμφρονα, τὸ κινδυνεῦσαι παραλόγως, καὶ προέσθαι τὴν ἀσφάλειαν, αἰσχρὸν, οὐ τὸ κακῶς ἀκοῦσαι παρὰ τοῖς ἐκτὸς, ἡγούμενος, οὐ προῆλθεν, ἀλλ' ἐνέμεινεν ἐν τοῖς αὐτοῦ λογισμοῖς. ὁ δὲ Κλεομένης ἄχρι τῶν τειχῶν τῷ στρατῷ προσελθὼν, καὶ καθυβρίσας, καὶ διαλυμηνάμενος ἀδεῶς, ἀνεχώρησεν.

Ὀλίγῳ δὲ ὕστερον αὖθις εἰς Τεγέαν ἀκούσας προϊέναι τὸν Ἀντίγονον, ὡς ἐκεῖθεν εἰς τὴν Λακωνικὴν ἐμβαλοῦντα, ταχὺ τοὺς στρατιώτας ἀναλαβὼν, καὶ καθ' ἑτέρας ὁδοὺς παραλλάξας, ἅμ' ἡμέρᾳ πρὸς τῇ πόλει τῶν Ἀργείων ἀνεφάνη πορθῶν τὸ πεδίον, καὶ τὸν σῖτον οὐ κείρων, ὥσπερ οἱ λοιποὶ, δρεπάναις καὶ μαχαίραις, ἀλλὰ κόπτων ξύλοις μεγάλοις εἰς σχῆμα ῥομφαίας ἀπειργασμένοις, ὡς ἐπὶ παιδιᾷ χρωμένους ἐν τῷ πορεύεσθαι σὺν μηδενὶ πόνῳ πάντα συγκατατρίψαι τὸν καρπόν. ὡς μέντοι κατὰ τὴν Κυλλάβαριν γενόμενοι τὸ γυμνάσιον ἐπεχείρουν προσφέρειν πῦρ, ἐκώλυσεν, ὡς καὶ τῶν περὶ Μεγάλην πόλιν ὑπ' ὀργῆς μᾶλλον ἢ καλῶς αὐτῷ πεπραγμένων. τοῦ δὲ Ἀντιγόνου πρῶτον μὲν εὐθὺς εἰς Ἄργος ἀναχωρήσαντος, ἔπειτα τὰ ὄρη καὶ τὰς ὑπερβολὰς πάσας φυλακαῖς καταλαβόντος, ἀμελεῖν καὶ καταφρονεῖν προσποιούμενος, ἔπεμψε κήρυκας, τὰς κλεῖς ἀξιῶν τοῦ Ἡραίου λαβεῖν,

infamem apud Argivos fore pugnam detrectantem: quod & evenit. Nam deſolato per eum agro quum omnia ferrentur agerenturque, graviter ferentes Argivi obverſabantur veſtibulo regis, & maledictis inceſſebant eum, clamantes ut dimicaret, aut imperio cederet præſtantioribus. Antigonus vero, ut prudentem imperatorem decebat, temere periculum adire & miſſam facere ſecuritatem, turpe, non male apud exteros audire, ducens, non eſt progreſſus ad prœlium, ſed perſtitit in conſiliis ſuis. At Cleomenes poſtquam ſigna admovit muris, omnibus impune fœdatis & conculcatis retro recepit ſe.

Paulo poſt nuntio iterum allato petere Antigonum Tegeam, Laconiam ut inde incurſaret: propere rapto agmine Antigonum alia via prætergreſſus, lucis principio ad portas Argivorum populari campos conſpectus eſt. Non autem totondit, ut alii, falcibus & cultris: ſed magnis lignis in frameæ figuram effectis cecidit frumentum: ita velut per ludum in ducendo agmine ſegetem omnem nullo labore obtrivit corrupitque. Poſtquam tamen ventum ad Cyllabarin eſt, & ſubdere faces aggreſſi ſunt gymnaſio, obſtitit: oſtendens illa ſe Megalopoli irate potius quam honeſte deſignaſſe. Quum vero Antigonus primum Argos extemplo retro tetendiſſet, deinde montes & tranſitus ſtationibus omnes inſediſſet: ſimulans nihil laborare & floccipendere, caduceatores miſit claves fani Junonis petitum,

βεῖν, ὅπως ἀπαλλάττοιτο τῇ Θεῷ θύσας. οὕτω δὲ παίξας καὶ κατειρωνευσάμενος, καὶ τῇ Θεῷ θύσας ὑπὸ τὸν νεὼν κεκλεισμένον, ἀπήγαγεν εἰς Φλιοῦντα τὸν στρατόν· ἐκεῖθεν δὲ τοὺς φρουροῦντας τὸ Ὀλόγουντον ἐξελάσας, κατέβη παρὰ τὸν Ὀρχομενόν· οὐ μόνον τοῖς πολίταις φρόνημα καὶ θάρσος ἐμπεποιηκὼς, ἀλλὰ καὶ τοῖς πολεμίοις ἀνὴρ ἡγεμονικὸς δοκῶν εἶναι, καὶ πραγμάτων μεγάλων ἄξιος. τὸ γὰρ ἐκ μιᾶς πόλεως ὁρμώμενον, ὁμοῦ τῇ Μακεδόνων δυνάμει, καὶ Πελοποννησίοις ἅπασι καὶ χορηγίᾳ βασιλικῇ πολεμεῖν, καὶ μὴ μόνον ἄθικτον διαφυλάττοντα τὴν Λακωνικὴν, ἀλλὰ καὶ χώραν κακῶς ποιοῦντα τὴν ἐκείνων, καὶ πόλεις αἱροῦντα τηλικαύτας, οὐ τῆς τυχούσης ἐδόκει δεινότητος εἶναι καὶ μεγαλοφροσύνης.

Ἀλλ᾽ ὁ πρῶτος τὰ χρήματα, νεῦρα τῶν πραγμάτων προσειπὼν, εἰς τὰ τοῦ πολέμου τὰ μάλιστα βλέψας τοῦτο εἰπεῖν ἔοικε. καὶ Δημάδης, τὰς τριήρεις μὲν καθέλκειν καὶ πληροῦν ποτὲ τῶν Ἀθηναίων κελευόντων, χρήματα δ᾽ οὐκ ἐχόντων, Πρότερόν ἐστιν, ἔφη, τοῦ πρώρας τὸ φυρᾶσαι. λέγεται δὲ καὶ Ἀρχίδαμος ὁ παλαιὸς, ὑπὸ τὴν ἀρχὴν τοῦ Πελοποννησιακοῦ πολέμου, κελευόντων εἰσφορὰς τάξαι τῶν συμμάχων αὐτὸν, εἰπεῖν ὡς ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται. καθάπερ γὰρ οἱ σεσωμασκηκότες ἀθληταὶ τῷ χρόνῳ καταβαροῦσι καὶ καταγωνίζονται τοὺς εὐρύθμους καὶ τεχνίτας, οὕτως ὁ Ἀντίγονος ἐκ πολλῆς ἀναφέρων δυνάμεως πρὸς τὸν πόλεμον, ἐξεπόνει καὶ κατήθλει τὸν Κλεομένην, γλίσχρως καὶ μόλις πορίζοντα τοῖς ξένοις μισθὸν, καὶ τροφὴν τοῖς πολίταις. ἐπεὶ τἄλλα γε πρὸς τοῦ Κλεομένους ὁ χρόνος ἦν, τῶν οἴκοι πραγ-

tum, ut ſacris Deæ factis faceſſeret. Ubi illum ad eum modum deriſit, atque per diſſimulantiam deluſit, re divina Junoni ſub templo clauſo facta reduxit exercitum Phliunta: inde præſidio Ologunti dejecto, præter Orchomenum recepit ſe. Hinc non civibus modo ſpiritus & animos fecit, verum hoſtibus quoque inſignis bello dux, dignuſque qui res magnas tractaret, eſt habitus. Quippe ſimul Macedonum vires & cunctos Peloponneſios regiumque ærarium ſuſtinere unius ſubſidio urbis, ac non tantum intactam conſervare Laconiam, ſed ultro illorum fines deformare, tantaſque capere urbes, haud vulgaris virtutis eſſe vel magnanimitatis videbatur.

Verum qui pecuniam primus rerum nervos appellavit, rei bellicæ potiſſimum reſpectu hoc videtur dixiſſe. Ac Demades jubentibus aliquando deduci & compleri naves Athenienſibus, quum inopia pecuniæ laborarent, Panis confectio, inquit, prior eſt proreta. Memoratur etiam Archidamus ille priſcus ſub belli Peloponneſiaci exordium poſtulantibus ſociis ut tributum certum indiceret, bellum, reſpondiſſe, certum modum non habet pabuli. Ut enim exercitatione corporis robur adepti athletæ diuturnitate deprimunt & expugnant illos qui agiles ſunt & artifices: ita Antigonus ingentibus viribus ad bellum reſurgens conficiebat & degravabat Cleomenem, ſufficientem anguſte & difficulter ſtipendium mercenariis, & civibus commeatum. Nam erat alioqui pro Cleomene tempus, revocantibus Anti-

πραγμάτων ἀντισάντων τὸν Ἀντίγονον. βάρβαροι γὰρ περιέκοπτον ἀπόντος καὶ κατέτρεχον τὴν Μακεδονίαν. καὶ τότε δὴ πολὺς ἄνωθεν Ἰλλυριῶν ἐμβεβλήκει στρατὸς, ὑφ᾽ οὗ πορθούμενοι μετεπέμποντο τὸν Ἀντίγονον οἱ Μακεδόνες. καὶ παρ᾽ ὀλίγον, εἰ πρὸ τῆς μάχης συνέτυχε ταῦτα τὰ γράμματα κομισθῆναι πρὸς αὐτὸν, ὧν κομισθέντων, εὐθὺς ἂν ἀπῆλθε, μακρὰ χαίρειν φράσας Ἀχαιοῖς. ἀλλ᾽ ἡ τὰ μέγιστα τῶν πραγμάτων κρίνουσα τῷ παρὰ μικρὸν τύχη, τηλικαύτην ἀπεδείξατο ῥοπὴν καιροῦ καὶ δύναμιν, ὥστε τῆς μάχης ἐν Σελλασίᾳ γενομένης, καὶ τοῦ Κλεομένους ἀποβεβληκότος τὴν δύναμιν καὶ τὴν πόλιν, εὐθὺς παραγεγόνασιν οἱ καλοῦντες τὸν Ἀντίγονον. ὃ καὶ μάλιστα τὴν δυστυχίαν τοῦ Κλεομένους οἰκτροτέραν ἐποίησεν. εἰ γὰρ ἡμέρας δύο μόνας ἐπέσχε καὶ παρήγαγε φυγομαχῶν, οὐκ ἂν ἐδέησεν αὐτῷ μάχης, ἀλλ᾽ ἐφ᾽ οἷς ἠβούλετο διηλλάγη πρὸς τοὺς Ἀχαιοὺς, ἀπελθόντων τῶν Μακεδόνων· νῦν δὲ, ὥσπερ εἴρηται, διὰ τὴν ἀχρηματίαν ἐν τοῖς ὅπλοις τὸ πᾶν θέμενος, ἠναγκάσθη δισμυρίοις, ὡς Πολύβιος φησὶ, πρὸς τρισμυρίους ἀντιπαρατάξασθαι.

Καὶ θαυμαστὸν μὲν ἐν τῷ κινδύνῳ παρασχὼν ἑαυτὸν στρατηγὸν, ἐνθύμοις δὲ χρησάμενος τοῖς πολίταις, οὐ μὴν οὐδὲ τῶν ξένων μεμπτῶς ἀγωνισαμένων, τῷ τρόπῳ τῆς ὁπλίσεως καὶ τῷ βάρει τῆς ὁπλιτικῆς φάλαγγος ἐξεθλίβη. Φύλαρχος δὲ καὶ προδοσίαν γενέσθαι φησὶ τὴν μάλιστα τῷ Κλεομένει τὰ πράγματα διεργασαμένην. τοῦ γὰρ Ἀντιγόνου τοὺς Ἰλλυριοὺς καὶ τοὺς Ἀκαρνᾶνας ἐκπεριελθεῖν κρύφα κελεύσαντος, καὶ κυκλώσασθαι θάτερον κέ-

ρας

Antigonum negotiis domeſticis. Barbari enim eo abſente incurſabant & vaſtabant Macedoniam. Tunc vero etiam de ſuperioribus regionibus ingens Illyriorum exercitus eruperat, a quibus vaſtati acciverunt Macedones Antigonum. Quod ſi aliquantiſper ante prœlium hæ literæ allatæ ad eum eſſent, extemplo abſceſſerat, ac diu Achæis ſalutem dixerat. Sed quæ res maximas puncto decernit fortuna, tantum edidit temporis momentum atque vim, ut quum depugnatum ad Sellaſiam eſſet, Cleomenes vero exercitu & urbe exutus, ſupervenerint ſtatim qui retraherent Antigonum. Quod quidem imprimis fortunam effecit Cleomenis miſerabiliorem. Nam biduum modo ſi protraxiſſet, & vitabundus prœlium prolataſſet: nihil eſſet ei pugna opus, ſed quibus voluiſſet legibus pacem Macedone digreſſo eſſet cum Achæis pactus. Nunc, ſicut retulimus, dum ob rei pecuniariæ anguſtias omnia in armis ponit, coactus eſt viginti millibus, ut Polybius tradit, ſigna cum triginta millibus conferre.

Qui quum mirificum ſe præbuiſſet in diſcrimine ducem, & civibus uſus impigris eſſet, & vero haud ignaviter certaſſent mercenarii: armaturæ modo & pondere gravis phalangis impulſus eſt. Proditionem quoque ait Phylarchus adhibitam, quæ Cleomeni potiſſimum intulit cladem. Siquidem quum Illyrios & Acarnanas clam Antigonus circuire, & circumfundere alterum cornu

quod

ρας ἐφ' οὗ τεταγμένος ἦν Εὐκλείδας ὁ τοῦ Κλεομένους ἀδελφὸς, εἶτα τὴν ἄλλην ἐπὶ μάχῃ δύναμιν ἐκτάττοντος· ἀπὸ σκοπῆς θεωρῶν ὁ Κλεομένης, ὡς οὐδαμοῦ τὰ ὅπλα τῶν Ἰλλυριῶν καὶ τῶν Ἀκαρνάνων κατεῖδεν, ἐφοβήθη μὴ πρός τι τοιοῦτον αὐτοῖς ὁ Ἀντίγονος κέχρηται. καλέσας δὲ Δαμοτέλη τὸν ἐπὶ τῆς κρυπτείας τεταγμένον, ὁρᾶν ἐκέλευε καὶ ζητεῖν ὅπως ἔχει τὰ κατὰ νώτου καὶ κύκλῳ τῆς παρατάξεως. τοῦ δὲ Δαμοτέλους (ἦν γὰρ, ὡς λέγεται, πρότερον χρήμασιν ὑπ' αὐτοῦ διεφθαρμένος) ἀμελεῖν ἐκείνων εἰπόντος, ὡς καλῶς ἐχόντων, τοῖς δὲ συνάπτουσιν ἐξ ἐναντίας προσέχειν καὶ τούτους ἀμύνεσθαι, πιστεύσας ἐπὶ τὸν Ἀντίγονον ἐχώρει, καὶ τῇ ῥύμῃ τῶν περὶ αὐτὸν Σπαρτιατῶν ὠσάμενος τὴν φάλαγγα τῶν Μακεδόνων, ἐπὶ πέντε που σταδίους ὑποχωρούντων, ἐκβιαζόμενος καὶ κρατῶν ἠκολούθησεν. εἶτα τῶν περὶ τὸν Εὐκλείδαν ἀπὸ θατέρου κυκλωθέντων, ἐπιστὰς, καὶ κατιδὼν τὸν κίνδυνον, Οἴχῃ μοι φίλτατε ἀδελφὲ, εἶπεν, οἴχῃ γενναῖος ὢν, καὶ παισὶ ζηλωτὸς Σπαρτιατῶν καὶ γυναιξὶν ἀοίδιμος. οὕτω δὲ τῶν περὶ τὸν Εὐκλείδαν ἀναιρεθέντων, καὶ τῶν ἐκεῖθεν ὡς ἐκράτουν ἐπιφερομένων, ταραττομένους ὁρῶν τοὺς στρατιώτας, καὶ μένειν οὐκέτι τολμῶντας, ἔσωζεν αὐτόν. ἀποθανεῖν δὲ καὶ τῶν ξένων πολλοὺς λέγουσι, καὶ Λακεδαιμονίους ἅπαντας πλὴν διακοσίων, ἑξακισχιλίους ὄντας.

Ἐπεὶ δὲ εἰς τὴν πόλιν ἀφίκετο, τοῖς μὲν ἀπαντήσασι τῶν πολιτῶν παρῄνει δέχεσθαι τὸν Ἀντίγονον, αὐτὸς δὲ εἶπεν, εἴτε ζῶν εἴτε ἀποθανὼν μέλλοι τῇ Σπάρτῃ συνοίσειν, τοῦτο πράξειν. ὁρῶν δὲ τὰς γυναῖκας τοῖς μετ' αὐτοῦ πε-

quod frater Cleomenis ducebat Euclidas, præcepiſſet, mox cæteras copias ad prœlium inſtrueret: contemplans ex ſpecula Cleomenes, ut nuſquam conſpexit Illyriorum & Acarnanum ſigna, metuit ne qua illis Antigonus ad talem machinam uteretur. Accitum igitur Damotelem, qui inſidiis curandis præfectus erat, animadvertere imperavit & ſpeculari quid a tergo & in ambitu aciei ageretur. Quum Damoteles (quippe fama eſt eum pecunia ante ab Antigono redemptum fuiſſe) dixiſſet ut nihil laboraret de illis, recte ea habere, ſed intentus eſſet in eos quos in fronte objectos haberet, atque hos profligaret: habita ei fide, movit in Antigonum, atque impreſſione Spartiatarum, quos circa ſe habebat, impulit Macedonum phalangem, referentibuſque pedem ferme ad quinque ſtadia victor inſtitit, vi eos premens. Inde Euclida ab altero cornu circumvento, reſiſtens, & conſpicatus periculum ejus, Actum de te chariſſime frater, inquit, actum eſt vir ſtrenue, Spartiatarumque filiis præclarum exemplum, & mulieribus celebris. Ita interfecto Euclida, atque hoſtibus inde, qui illum fuderant, inferentibus ſe in ſuum cornu: perculſos milites cernens, & fugam reſpectantes, ſervavit ſeipſum. Multos cecidiſſe mercenarios milites ferunt, & demptis ducentis cunctos Lacedæmonios, qui ſex millia fuerant.

Poſtquam ad urbem venit, monuit occurrentes cives ut reciperent Antigonum. Ego, inquit, ſive vita mea ſive mors profutura reipub. eſt, eam ad id accommodabo. Mulieres autem videns con-

φεύγουσι προστρεχούσας, καὶ δεχομένας τὰ ὅπλα, καὶ ποτὸν προσφερούσας, αὐτὸς εἰσῆλθε μὲν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, τῆς δὲ παιδίσκης, ἣν εἶχεν, ἐλευθέραν οὖσαν ἐκ Μεγάλης πόλεως ἀνειληφὼς μετὰ τὴν τῆς γυναικὸς τελευτήν, ὡς εἴθιστο, προσιούσης καὶ βουλομένης ἀπὸ στρατείας ἥκοντα θεραπεύειν, οὔτε πιεῖν ἐκδεδιψηκὼς ὑπέμεινεν, οὔτε καθίσαι κεκμηκώς, ἀλλ᾽ ὥσπερ ἐτύγχανε τεθωρακισμένος τῶν κιόνων τινὶ τὴν χεῖρα προσβαλὼν πλαγίαν, καὶ τὸ πρόσωπον ἐπὶ τὸν πῆχυν ἐπιθείς, καὶ χρόνον οὐ πολὺν διαναπαυσάμενος τὸ σῶμα, καὶ τῇ διανοίᾳ περιδραμὼν ἅπαντας τοὺς λογισμούς, ὥρμησε μετὰ τῶν φίλων εἰς τὸ Γύθιον. κἀκεῖθεν ἐπιβάντες ἐπ᾽ αὐτὸ τοῦτο παρεσκευασμένων πλοίων, ἀνήχθησαν.

Ὁ δὲ Ἀντίγονος ἐξ ἐφόδου παραλαβὼν τὴν πόλιν, καὶ χρησάμενος τοῖς Λακεδαιμονίοις φιλανθρώπως, καὶ τὸ ἀξίωμα τῆς Σπάρτης οὐ προπηλακίσας, οὐδ᾽ ἐνυβρίσας, ἀλλὰ καὶ νόμους καὶ πολιτείαν ἀποδοὺς, καὶ τοῖς Θεοῖς θύσας, ἀνεχώρησεν ἡμέρᾳ τρίτῃ, πυθόμενος ἐν Μακεδονίᾳ πολὺν πόλεμον εἶναι, καὶ πορθεῖσθαι τὴν χώραν ὑπὸ τῶν βαρβάρων. ἤδη δὲ καὶ τὸ νόσημα κατεῖχεν αὐτὸν, εἰς φθίσιν ἐκβεβηκὸς ἰσχυρὰν καὶ κατάῤῥουν συντεινον. οὐ μὴν ἀπεῖπεν, ἀλλ᾽ ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας, ὅσον ἐπὶ νίκῃ μεγίστῃ καὶ φόνῳ πλείστῳ τῶν βαρβάρων εὐκλεέστερον ἀποθανεῖν· ὡς μὲν εἰκός ἐστι καὶ λέγουσιν οἱ περὶ Φύλαρχον, αὐτῇ τῇ περὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα προσαναῤῥήξας· ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς, Ὦ καλῆς ἡμέρας, πλῆθος αἵματος ἀνήγαγε, καὶ πυρέξας συν-

concurrentes ad eos qui fugam ſuam fuerant comitati, armaque eis dementes, & potum offerentes: ipſe domum ſuam ingreſſus eſt. Quum puella, quam Megalopoli ingenuam abduxerat, & poſt uxoris obitum habebat, eum more ſuo exciperet, velletque regreſſum a bello curare: neque bibere ſiti afflictus, neque ſedere defatigatus ſuſtinuit, ſed ut erat armatus, columnæ uni manu obliqua admota ac capite in cubitum inclinato quum paulisper corpus quieti dediſſet, atque omnia conſilia animo volutaſſet, Gythium cum amicis contendit. Ibi conſcenderunt ad ipſum præparata navigia, ſolveruntque inde.

Urbem Antigonus, ſimul atque ſigna admovit, accepit in poteſtatem. In Lacedæmonios vero conſuluit clementer, neque Spartæ dignitatem habuit ludibrio, neque ei inſultavit: verum legibus & republica illis reddita & ſacro Diis facto, receſſit tertio die, quum grave bellum accepiſſet Macedoniæ illatum, & vaſtari a barbaris fines ſuos. Jam morbus quoque tentabat eum, in gravem tabem & deſtillationem erumpens violentam. Non ſuccubuit tamen huic malo: cæterum hactenus perduravit in certaminibus domeſticis, ut in maxima victoria atque ingenti barbarorum ſtrage expiraretglorioſe. Ut veriſimile eſt & perhibet Phylarchus, vociferationibus in prœlio pulmonem dirupit. In ludis vero narrabant clamantem præ lætitia poſt victoriam, O fauſtum diem, vim ſanguinis effudiſſe atque acri febre

συντόνως, ἐτελεύτησε. ταῦτα μὲν τὰ περὶ Ἀντίγονον.

Κλεομένης δὲ, πλέων ἀπὸ Κυθήρων, εἰς νῆσον ἑτέραν Αἰγιαλίαν κατέσχεν. ὅθεν εἰς Κυρήνην περαιοῦσθαι μέλλοντος αὐτοῦ, τῶν φίλων εἷς ὄνομα Θηρυκίων, ἀνὴρ πρός τε τὰς πράξεις φρονήματι κεχρημένος μεγάλῳ, καὶ τοῖς λόγοις γεγονώς τις ὑψηλὸς ἀεὶ καὶ μεγάλαυχος, ἐντυχὼν αὐτῷ κατ' ἰδίαν, Τὸν μὲν κάλλιστον, εἶπεν, ὦ βασιλεῦ, θάνατον ἐν τῇ μάχῃ προηκάμεθα. καίτοι πάντες ἤκουσαν ἡμῶν λεγόντων ὡς οὐχ ὑπερβήσεται τὸν βασιλέα τῶν Σπαρτιατῶν Ἀντίγονος, εἰ μὴ νεκρόν. ὁ δὲ δεύτερος δόξῃ καὶ ἀρετῇ νῦν πάρεστιν ἡμῖν. ποῖ πλέομεν ἀλογίστως, ἀποφεύγοντες ἐγγὺς ὄντα, καὶ μακρὰν διώκοντες; εἰ γὰρ οὐκ αἰσχρόν ἐστιν δουλεύειν τοῖς ἀπὸ Φιλίππου καὶ Ἀλεξάνδρου τοὺς ἀφ' Ἡρακλέους, πλοῦν πολὺν κερδάνωμεν Ἀντιγόνῳ παραδόντες ἑαυτοὺς, ὃν εἰκός ἐστι Πτολεμαίου διαφέρειν, ὅσον Αἰγυπτίων Μακεδόνας. εἰ δὲ ὑφ' ὧν κεκρατήμεθα τοῖς ὅπλοις, οὐκ ἀξιοῦμεν ἄρχεσθαι, τί τὸν μὴ νενικηκότα, δεσπότην ποιοῦμεν αὐτῶν· ἵνα ἀνθ' ἑνὸς δυοῖν κακίους φανῶμεν, Ἀντίγονον μὲν φεύγοντες, Πτολεμαῖον δὲ κολακεύοντες; ἢ διὰ τὴν μητέρα φήσομεν εἰς Αἴγυπτον ἥκειν; καλὸν μὲν ἂν αὐτῇ θέαμα γένοιο καὶ ζηλωτὸν, ἐπιδεικνυμένη ταῖς Πτολεμαίου γυναιξὶν αἰχμάλωτον ἐκ βασιλέως καὶ φυγάδα τὸν υἱόν. οὐχ' ἕως ἔτι τῶν ἰδίων ξιφῶν ἄρχομεν, καὶ τὴν Λακωνικὴν ἀφορῶμεν, ἐνταῦθα τῆς τύχης ἀπαλλάξαντες ἑαυτοὺς, ἀπολογησόμεθα τοῖς ἐν Σελλασίᾳ κειμένοις ὑπὲρ τῆς Σπάρτης; ἀλλ' ἐν Αἰγύπτῳ καθεδούμεθα, πυνθανό-

μενοι

febre correptum expiraſſe. Hactenus de Antigono.

At Cleomenes ex Cythera velis factis aliam tenuit inſulam Ægialiam. Inde Cyrenas tranſmiſſurum unus ex amicis Therycion nomine, vir qui in factis ſemper animo fuerat ingenti, verbiſque celſus ac glorioſus, remotis arbitris affatus eſt, Pulcherrimam, inquit, mortem, rex, in acie amiſimus: quamvis omnes audiverant nos jactantes non fore ut regem Spartiatarum Antigonus niſi mortuum tranſcenderet. Nunc ſecunda nobis gloria & virtute offertur. Quo temere navigamus? Quid propinquam refugimus, & quærimus longinquam? Nam ſi fœdum non eſt Philippi & Alexandri ſucceſſoribus poſteros Herculis ſervire, longam navigationem lucrifaciamus, atque in fidem nos tradamus Antigoni, quem oportet tanto excellere Ptolemæo, quanto Ægyptiis Macedonas. Quod ſi parere his a quibus victi armis ſumus, indignum putamus: quid eum qui non vicit, conſtituimus nobis dominum, ut pro uno duobus videamur deteriores: qui fugimus Antigonum, & Ptolemæo aſſentamur? An proficiſci te in Ægyptum dicemus matris gratia? Enimvero egregium ei & præclarum ſis ſpectaculum, oſtendenti Ptolemæi uxoribus captivum ex rege & exulem filium. Non igitur quamdiu gladiorum noſtrorum adhuc arbitrium, & Laconiam habemus in conſpectu, hic noſmet ipſi hac fortuna expediemus, atque ad illos qui apud Sellaſiam pro Sparta occubuere, nos purgabimus: potius quam in Ægypto deſideamus, interrogan-

gan-

μενοι τίνα τῆς Λακεδαίμονος σατράπην Ἀντίγονος ἀπολέλοιπεν; τοιαῦτα τοῦ Θηρυκίωνος εἰπόντος, Κλεομένης ἀπεκρίνατο, Τῶν ἀνθρωπίνων τὸ ῥᾷστον, ὦ πονηρὲ, καὶ πᾶσιν ἑτοιμότατον διώκων, ἀποθανεῖν, ἀνδρεῖος εἶναι δοκεῖς, φεύγων αἰσχίονα φυγὴν τῆς προτέρας; πολεμίοις μὲν γὰρ ἐνέδωκαν ἤδη καὶ κρείττονες ἡμῶν, ἢ τύχῃ σφαλέντες, ἢ βιασθέντες ὑπὸ πλήθους. ὁ δὲ πρὸς πόνους καὶ ταλαιπωρίας, ἢ δόξας καὶ ψόγους ἀνθρώπων ἀπαγορεύων, ἡττᾶται τῆς ἑαυτοῦ μαλακίας. δεῖ γὰρ τὸν αὐθαίρετον θάνατον οὐ φυγὴν εἶναι πράξεων, ἀλλὰ πρᾶξιν. αἰσχρὸν γὰρ ζῆν μόνοις ἑαυτοῖς καὶ ἀποθνήσκειν· ἐφ' ὃ νῦν σὺ παρακαλεῖς ἡμᾶς, σπεύδων ἀπαλλαγῆναι τῶν παρόντων, καλὸν δὲ οὐδὲν οὐδὲ χρήσιμον ἄλλο διαπραττόμενος. ἐγὼ δὲ καί σε καὶ ἐμαυτὸν οἴομαι δεῖν τὰς ὑπὲρ τῆς πατρίδος ἐλπίδας μὴ καταλιπεῖν· ὅπου δ' ἂν ἡμᾶς ἐκεῖναι καταλείπωσι, ῥᾷστα βουλομένοις ἀποθανεῖν ὑπάρξει. πρὸς ταῦτα Θηρυκίων οὐδὲν ἀντειπὼν, ὅτε πρῶτον ἔσχε καιρὸν ἀποστῆναι τοῦ Κλεομένους, ἐκτραπόμενος παρὰ τὸν αἰγιαλὸν, ἔσφαξεν ἑαυτόν.

Ὁ δὲ Κλεομένης ἀπὸ τῶν αἰγιαλῶν ἀναχθεὶς, τῇ Λιβύῃ προσέβαλε· καὶ διὰ τῶν βασιλικῶν παραπεμπόμενος, ἧκεν εἰς Ἀλεξάνδρειαν. ὀφθεὶς δὲ τῷ Πτολεμαίῳ, κατ' ἀρχὰς μὲν ἐτύγχανε κοινῶς φιλανθρώπου καὶ μετρίου πρὸς αὐτόν· ἐπεὶ δὲ γνώμης δοὺς πεῖραν, ἀνὴρ ἐφαίνετο ἔμφρων, καὶ τῆς καθ' ἡμέραν ὁμιλίας αὐτοῦ τὸ Λακωνικὸν καὶ ἀφελὲς τὴν χάριν ἐλευθέριον εἶχε, καὶ τὴν εὐγένειαν οὐδαμοῦ καταισχύνων, οὐδὲ καμπτόμενος ὑπὸ τῆς τύχης, τῶν πρὸς ἡδονὴν καὶ κολακείαν διαλεγομένων πιθανώτερος ἐφαίνετο· πολλὴ μὲν αἰδὼς

gantes quem Antigonus Lacedæmone ſatrapam reliquerit? Sic fato Therycioni reſpondit Cleomenes, Quod in rebus mortalium eſt facillimum, ſceleſte, & omnibus promptiſſimum, captando, vitam finire, exiſtimas eſſe te fortem, quum fugam conſciſcas priore fœdiorem? Nam hoſtibus ceſſerunt jam & nobis præſtantiores, vel fortuna titubantes vel oppreſſi numero: qui vero laboribus & ærumnis, vel præconiis & probris hominum fatiſcit, is a ſua ipſius ſuperatur mollitie. Debet enim ſpontanea mors non fuga eſſe actionum, ſed actio. Siquidem deforme eſt ſibi ſoli vivere & mori: quo tu nunc nos vocas, qui præſenti fortuna properas expedire te, nec quicquam egregie aut utiliter efficis aliud. Ego vero & te & me exiſtimo non debere ſpem deſerere patriæ ſalutarem; ubi nos illa deſeret, facillime emori, ubi volucrimus, licebit. Nihil ad hæc reſpondit Therycion: verum ut primum opportunitatem habuit à Cleomene digrediendi, deflexit per littus, ibique ſemetipſe confodit.

Cleomenes poſtquam ſolvit ex Ægialia, Africam appulit: deductuſque a miniſtris regiis pervenit Alexandriam. Initio adventus ſui Ptolemæum ſic ſatis humanum & benignum erga ſe expertus eſt. Ut vero ingenii dato documento vir prudens habitus eſt, & quotidianæ ejus conſuetudinis Laconica ſimplicitas urbanitate ingenua fuit condita, neque nobilitatem uſquam fœdans, neque fortuna inflexus, blandientibus & adulantibus fuit Ptolemæo gratior: magna cepit eum ve-

αἰδὼς καὶ μετάνοια τὸν Πτολεμαῖον εἶχεν, ἀνδρὸς ἀμελήσαντα τοιούτου, καὶ προέμενον τῷ Ἀντιγόνῳ, δόξαν ἅμα κεκτημένῳ τηλικαύτην καὶ δύναμιν. ἀναλαμβάνων δὲ τιμαῖς καὶ φιλοφροσύναις τὸν Κλεομένην παρεθάρρυνεν, ὡς μετὰ νεῶν καὶ χρημάτων ἀποστελῶν αὐτὸν εἰς τὴν Ἑλλάδα, καὶ καταστήσων εἰς τὴν βασιλείαν. ἐδίδου δὲ καὶ σύνταξιν αὐτῷ, τέσσαρα καὶ εἴκοσι τάλαντα καθ' ἕκαστον ἐνιαυτόν· ἀφ' ὧν ἐκεῖνος αὐτὸν καὶ τοὺς φίλους εὐτελῶς καὶ σωφρόνως διοικῶν, τὰ πλεῖστα κατανήλισκεν εἰς φιλανθρωπίας καὶ μεταδόσεις τῶν ἀπὸ τῆς Ἑλλάδος εἰς Αἴγυπτον ἐκπεπλωκότων.

Ὁ μὲν οὖν πρεσβύτερος Πτολεμαῖος πρὶν ἐκτελέσαι τῷ Κλεομένει τὴν ἔκπεμψιν ἐτελεύτησε· τῆς δὲ βασιλείας εὐθὺς εἰς πολλὴν ἀσέλγειαν καὶ παροινίαν καὶ γυναικοκρασίαν ἐμπεσούσης, ἠμελεῖτο καὶ τὰ τοῦ Κλεομένους. ὁ μὲν γὰρ βασιλεὺς αὐτὸς οὕτω διέφθαρτο τὴν ψυχὴν ὑπὸ γυναικῶν καὶ πότων, ὥστε ὁπότε νήφοι μάλιστα καὶ σπουδαιότατος αὐτοῦ γένοιτο, τελετὰς τελεῖν, καὶ τύμπανον ἔχων ἐν τοῖς βασιλείοις ἀγείρειν, τὰ δὲ μέγιστα τῆς ἀρχῆς πράγματα διοικεῖν Ἀγαθόκλειαν τὴν ἐρωμένην τοῦ βασιλέως, καὶ τὴν ταύτης μητέρα, καὶ πορνοβοσκὸν Οἰνάνθην. ὅμως δ' οὖν ἔδοξέ τις ἐν ἀρχῇ καὶ τοῦ Κλεομένους χρεία γεγονέναι. δεδιὼς γὰρ Μάγαν τὸν ἀδελφὸν Πτολεμαῖος, ὡς ἰσχύοντα διὰ τῆς μητρὸς ἐν τῷ στρατιωτικῷ, τὸν Κλεομένην προσελάμβανε, καὶ μετεδίδου τῶν ἀπορρήτων συνεδρίων, βουλευόμενος ἀνελεῖν τὸν ἀδελφόν. ὁ δὲ, καίπερ ἁπάντων τοῦτο πράττειν κελευόντων, μόνος ἀπηγόρευσεν, εἰπὼν ὡς μᾶλλον, εἰ δυνατὸν ἦν, ἔδει φῦσαι τῷ βασιλεῖ πλείονας

verecundia pœnitentiaque, quod talem virum neglexiſſet, & everti permiſiſſet ab Antigono, unde pariter tantam gloriam & opes comparaſſet. Itaque honoribus & benevolentia complectens Cleomenem, ſpem fecit cum navibus & pecunia remiſſurum eum ſe in Græciam, atque in regnum repoſiturum. Attribuit etiam ei annua viginti quatuor talenta: quibus ille ſe & amicos frugaliter ac modice tolerabat, & reliqua in beneficentiam & munificentiam impendebat erga illos qui Græcia extorres in Ægyptum ſe contulerant.

At ſenior Ptolemæus prius quam præſtitiſſet ei quæ ad reſtitutionem pertinebant, deceſſit. Mox regno in multam laſciviam, vinolentiam, & fœminarum arbitrium delapſo, poſtmiſſum eſt & Cleomenis negotium. Quippe uſque eo rex ipſe effœminatus luſtris & vino erat, ut ubi ſobrius magis & ſedulus erat ſolito, ludos celebraret, ſacrificaret, cum tympano circumcurſitaret: dum interim præcipua regni negotia amica ejus Agathoclea ejuſque mater & leno OEnanthes procurarent. Attamen apparet primo aliquem uſum Cleomenis fuiſſe: nam fratrem Ptolemæus Magam, qui per matrem apud milites pollebat, formidans, Cleomenem aſcivit atque arcanis adhibuit conſiliis, deliberans fratrem de medio tollere. Cæterum Cleomenes, licet aſſentientibus omnibus, deterruit eum, plures ferens, ſi fieri poſſet, gignendos regi

ὄντας ἀδελφούς, πρὸς ἀσφάλειαν καὶ διανομὴν τῶν πραγμάτων. Σωσιβίου δὲ τοῦ πλεῖστον τοῖς ἐν φίλοις δυναμένου, φήσαντος οὐκ εἶναι τὰ τῶν μισθοφόρων αὐτοῖς βέβαια τοῦ Μάγα ζῶντος, ἀμελεῖν ἐκέλευεν ὁ Κλεομένης ἕνεκά γε τούτου· πλείους γὰρ ἢ τρισχιλίους τῶν ξένων εἶναι Πελοποννησίους προσέχοντας αὐτῷ, κἂν μόνον νεύσῃ, προθύμως μετὰ τῶν ὅπλων παρεσομένους. οὗτος ὁ λόγος τότε μὲν οὐ σμικρὰν τῷ Κλεομένει καὶ πίστιν εὐνοίας καὶ δόκησιν ἰσχύος προσέθηκεν· ὕστερον δὲ τοῦ Πτολεμαίου τῆς ἀσθενείας ἐπιτεινούσης τὴν δειλίαν, καί, καθάπερ εἴωθεν ἐν τῷ μηδὲν φρονεῖν, τοῦ πάντα δεδοικέναι καὶ πᾶσιν ἀπιστεῖν ἀσφαλεστάτου δοκοῦντος εἶναι, φοβερὸν ἐποίει τὸν Κλεομένην τοῖς αὐλικοῖς, ὡς ἰσχύοντα παρὰ τοῖς ξένοις. καὶ πολλῶν ἦν ἀκούειν λεγόντων ὅτι οὗτος ὁ λέων ἐν τούτοις τοῖς προβάτοις ἀναστρέφεται. τῷ γὰρ ὄντι τοιοῦτον διέφαινεν ἦθος ἐν τοῖς βασιλικοῖς ὑποβλέπων ἀτρέμα καὶ περισκοπῶν τὰ πραττόμενα.

Ναῦς μὲν οὖν αἰτῶν καὶ στρατείαν ἀπεῖπε· πυνθανόμενος δὲ τεθνάναι τὸν Ἀντίγονον, Αἰτωλικῷ δὲ πολέμῳ συμπεπλέχθαι τοὺς Ἀχαιούς, τὰ δὲ πράγματα ποθεῖν αὐτὸν καὶ παρακαλεῖν ἐκεῖνον, ἐν ταραχῇ καὶ διασπασμῷ τῆς Πελοποννήσου γινομένης, ἠξίου μὲν μόνος ἀποσταλῆναι μετὰ τῶν φίλων, ἔπειθε δὲ οὐδένα, τοῦ μὲν βασιλέως οὐκ εἰσακούοντος, ἀλλὰ ἐν γυναιξὶ καὶ θιάσοις καὶ κώμοις συνέχοντος ἑαυτόν. ὁ δὲ τῶν ὅλων προεστηκὼς καὶ προβουλεύων Σωσίβιος, μένοντα μὲν τὸν Κλεομένην παρὰ γνώμην, ἡγεῖτο δυσμεταχείριστον εἶναι καὶ φοβερόν, ἀφεθέντα δέ, τολμηρὸν ἄνδρα καὶ μεγαλοπράγμονα,

regi fratres eſſe ad regni ſecuritatem & perpetuitatem. Quum vero Soſibius, cujus maxima inter amicos regis erat autoritas, fidem diceret mercenariorum militum, quamdiu viveret Magas, non fore ipſis firmam: reſpondit Cleomenes, quod ad id attineret, ut ſecuri eſſent. Plus enim tria millia ex mercenariis Peloponneſios eſſe ſui ſtudioſos: qui, ſi annuiſſet modo, prompte advolaturi eſſent cum armis. Hæc oratio non modicam in præſentia Cleomeni & fidem in regem benevolentiæ & opinionem autoritatis peperit. Poſt imbecillitate Ptolemæi timiditatem intendente, & quum omnia formidare omnibuſque diffidere, ut ſolet ubi nulla eſt mens, tutiſſimum eſſe videretur, Cleomenem reddidit aulicis, quod valeret apud mercenarios, formidoloſum: multoſque audires, qui dicerent verſari hunc inter oves leonem. Nam revera eos mores præ ſe ferebat, in regia tacite limis intuens, & quæ agerentur, ſpeculans.

Ergo ſpem petendi naves & milites depoſuit. Accipiens autem defunctum Antigonum eſſe, implicatos bello Ætolico Achæos, ac res præſentiam ſuam flagitare hortarique adventum, Peloponneſo tumultu & diſſidio agitata, petiit ſolus ut cum amicis dimitteretur: verum neminem flexit, rege non vacante ei, ſed luſtris tripudiiſque & comeſſationibus immerſo. Ille vero qui omnia regebat, omnibus moderabatur Soſibius, ſi retineretur contra animi ſententiam, intractabilem Cleomenem ducebat fore & formidabilem: ſin dimiſſus eſſet, audacem virum & inquietum,

να, καὶ τῆς βασιλείας νοσούσης θεατὴν γεγενημένον. οὐδὲ γὰρ αἱ δωρεαὶ κατεπράϋνον αὐτὸν, ἀλλ᾽ ὥσπερ τὸν Ἄπιν ἐν ἀφθόνοις διαιτώμενον καὶ τρυφᾶν δοκοῦντα, τοῦ κατὰ φύσιν βίου καὶ δρόμων ἀφέτων καὶ σκιρτήσεων ἵμερος ἔχει, καὶ δῆλός ἐστι δυσανασχετῶν τὴν ἐν ταῖς χερσὶ τοῦ ἱερέως διατριβὴν, οὕτως ἐκεῖνον οὐδὲν ἤρεσκε τῶν μαλθακῶν,

—— ἀλλὰ φθινύθεσκε φίλον κῆρ,

ὥσπερ Ἀχιλλεὺς,

Αὖθι μένων, ποθέεσκε δ᾽ ἀϋτήν τε πτόλεμόν τε.

Τούτων δὲ τῶν κατ᾽ αὐτὸν ὄντων πραγμάτων, ἀφικνεῖται Νικαγόρας ὁ Μεσσήνιος εἰς Ἀλεξάνδρειαν, ἀνὴρ μισῶν μὲν τὸν Κλεομένην, προσποιούμενος δὲ φίλος εἶναι· χωρίον δέ ποτε καλὸν αὐτῷ πεπρακὼς, δι᾽ ἀπορίαν, οἶμαι, καὶ δι᾽ ἀσχολίαν, ὡς ἔοικε, καὶ διὰ πολέμους οὐκ ἀπειληφὼς τὸ ἀργύριον. τοῦτον οὖν ἐκβαίνοντα τότε τῆς ὁλκάδος ἰδὼν ὁ Κλεομένης (ἔτυχε γὰρ ἐν τῇ κρηπῖδι τοῦ λιμένος περιπατῶν) ἠσπάζετο προθύμως, καὶ τίς αὐτὸν εἰς Αἴγυπτον ἄγοι πρόφασις ἠρώτα. τοῦ δὲ Νικαγόρου φιλοφρόνως ἀντασπαζομένου, καὶ φήσαντος ἵππους ἄγειν τῷ βασιλεῖ καλοὺς τῶν πολεμιστηρίων, γελάσας ὁ Κλεομένης, Ἐβουλόμην ἂν, ἔφη, σε μᾶλλον ἥκειν ἄγοντα σαμβυκιστρίας καὶ κιναίδους· ταῦτα γὰρ νῦν μάλιστα κατεπείγει τὸν βασιλέα. καὶ ὁ Νικαγόρας τότε μὲν ἐμειδίασεν· ἡμέραις δὲ ὕστερον ὀλίγαις ὑπομνήσας τοῦ χωρίου τὸν Κλεομένην, νῦν γοῦν ἐδεῖτο τὴν τιμὴν ἀπολαβεῖν, ὡς οὐκ ἂν ἐνοχλήσας, εἰ μὴ περὶ τὴν τῶν φορτίων διάθεσιν μετρίως ἐζημιοῦτο. τοῦ δὲ Κλεομένους φήσαντος οὐδὲν αὐτῷ περιεῖναι τῶν δεδομένων, λυπηθεὶς ὁ Νι-

quietum, & regni ſpectatorem ægrotantis. Neque enim demulcebant eum munera, ſed ſicut Apin, quanquam laute & opipare victitet, naturalis vitæ tamen liberorum curſuum & ſubſultuum deſiderium tenet, ac clare oſtendit moleſte ferre ſe in ſacerdotis manibus moram: ita ille nullis capiebatur deliciis,

—— *at charo pectore tabem,*

ſicut Achilles,

Traxit ibi reſidens, aciem bellumque ſitivit.

Quum in hoc eſſent ſtatu res ejus, appulit Alexandriam Meſſenius Nicagoras: hic oderat Cleomenem, in ſpecie tamen pro amico gerebat ſe. Prædium nempe ei aliquando amœnum vendiderat: cujus pretium ille vel ob inopiam pecuniæ, vel per occupationes, atque bellis impeditus non diſſolverat. Hunc igitur e navi oneraria tunc egredientem Cleomenes videns, (nam forte deambulabat in crepidine littoris) diligenter ſalutavit eum, & qua de re in Ægyptum veniſſet, percunctatus eſt. Quum Nicagoras, comiter ſalute reddita, equos bellatores regi ſe inſignes diceret adducere: Mallem, inquit, ſambuciſtrias & cinædos; nam hæc rex nunc moratur imprimis. Nicagoras in præſentia quidem arriſit: paucis vero poſt diebus mentione illata apud Cleomenem fundi, tunc certe oravit eum ut numeraret pretium, non facturus ut illum obtunderet niſi in diſtrahendis mercibus ſatis magnam jacturam feciſſet. Ubi Cleomenes oſtendit nihil ſibi ex donis regis ſupereſſe, offenſus

Νικαγόρας, ἐκφέρει τῷ Σωσιβίῳ τὸ σκῶμμα τοῦ Κλεομένους. ὁ δὲ καὶ τοῦτο μὲν ἀσμένως ἔλαβεν, ἐκ δὲ μείζονος αἰτίας τὸν βασιλέα παροξῦναι ζητῶν, ἔπεισε τὸν Νικαγόραν ἐπιστολὴν γράψαντα κατὰ τοῦ Κλεομένους ἀπολιπεῖν, ὡς ἐγνωκότος, εἰ λάβοι τριήρεις καὶ στρατιώτας παρ' αὐτοῦ, Κυρήνην κατασχεῖν. ὁ μὲν οὖν Νικαγόρας ταῦτα γράψας ἀπέπλευσε· τοῦ δὲ Σωσιβίου μετὰ τέσσαρας ἡμέρας τὴν ἐπιστολὴν πρὸς τὸν Πτολεμαῖον ἀνενεγκόντος, ὡς ἀρτίως αὐτῷ δεδομένην, καὶ παροξύναντος τὸ μειράκιον, ἔδοξεν εἰς οἰκίαν μεγάλην εἰσαγαγεῖν τὸν Κλεομένην, καὶ τὴν ἄλλην ὁμοίως παρέχοντας δίαιταν ἐξόδων εἴργειν.

Ἦν μὲν οὖν καὶ ταῦτα λυπηρὰ τῷ Κλεομένει, μοχθηροτέρας δὲ τὰς περὶ τοῦ μέλλοντος ἐλπίδας ἔσχεν ἐκ τοιαύτης συντυχίας· Πτολεμαῖος ὁ Χρυσέρμου, φίλος ὢν τοῦ βασιλέως, πάντα τὸν χρόνον ἐπιεικῶς διείλεκτο τῷ Κλεομένει, καὶ συνήθειά τις ὑπῆρχεν αὐτοῖς καὶ παῤῥησία πρὸς ἀλλήλους. οὗτος οὖν τότε τοῦ Κλεομένους δεηθέντος ἐλθεῖν πρὸς αὐτὸν, ἦλθε μὲν καὶ διελέχθη μέτρια, τὸ ὕποπτον ἐξαίρων, καὶ περὶ τοῦ βασιλέως ἀπολογούμενος· ἀπιὼν δὲ πάλιν ἐκ τῆς οἰκίας, καὶ μὴ προνοήσας ἐξόπισθεν ἄχρι τῶν θυρῶν ἐπακολουθοῦντα τὸν Κλεομένην, πικρῶς ἐπετίμησε τοῖς φύλαξιν, ὡς δὴ μέγα θηρίον καὶ δυσθήρευτον ἀμελῶς φυλάττουσι καὶ ῥαθύμως. τούτων ὁ Κλεομένης αὐτήκοος γενόμενος, καὶ πρὶν αἰσθέσθαι τὸν Πτολεμαῖον ἀναχωρήσας, ἔφρασε τοῖς φίλοις. εὐθὺς οὖν πάντες ἃς πρότερον εἶχον ἐλπίδας ἐκβαλόντες, πρὸς ὀργὴν ἐβουλεύσαντο, τοῦ Πτολεμαίου τὴν ἀδικίαν ἀμυνόμενοι καὶ τὴν ὕβριν, ἀξίως τῆς Σπάρτης ἀποθανεῖν, καὶ μὴ περιμένειν, ὥσπερ ἱερεῖα πιανθέντα, κατακοπῆναι.

offenſus Nicagoras denudat Cleomenis dicterium Soſibio. Hanc ille anſam accepit lubens. Cæterum regem majori de cauſa quærens irritare, induxit Nicagoram ut epiſtolam adverſus Cleomenem regi ſcriptam relinqueret, ſtatuiſſe illum, ſi naves & milites ab ipſo accepiſſet, Cyrenas occupare. Ac Nicagoras quidem his ſcriptis literis vela fecit. Quum Soſibius triduo poſt obtuliſſet Ptolemæo quaſi modo ſibi redditam epiſtolam, atque adoleſcentem inflammaſſet: viſum eſt in amplis ædibus Cleomenem recludere, præbitoque reliquo conſimili cultu arcere exitu.

Erant hæc acerba Cleomeni, ſed infeſtiorem in futurum ſpem concepit ex hujuſcemodi cauſa: Ptolemæus Chryſermi filius, regis amicus, appellaverat ſemper Cleomenem benigne, uſuſque inter eos & libera mutuo colloquia intercedebant. Hic tunc petentem adiit Cleomenem, lenique oratione ſuſpicionem elevavit, & regem excuſavit. Digrediens rurſus ex ædibus, quum proſequentem a tergo uſque ad oſtium Cleomenem non animadvertiſſet: caſtigavit acriter cuſtodes quod ſævam feram captuque difficilem ſervarent ſegniter & ſocorditer. Hoc Cleomenes ipſe excepit, & prius quam ſentiret Ptolemæus, recepit ſe & narravit amicis. Mox omnes, quam ante habuerant ſpe in iram verſa, deliberaverunt, Ptolemæi injuriam & contumeliam ulciſcentes, ut dignum Spartiatis eſſet mortem occumbere, neque operiri donec ſicut victimæ ſaginatæ mactarentur: indignum

πλεῦσαι. δεινὸν γὰρ εἰ τὰς πρὸς Ἀντίγονον ἄνδρα πολεμιστὴν καὶ δραστήριον διαλύσεις ὑπεριδὼν Κλεομένης, κάθηται μητραγύρτου βασιλέως σχολὴν ἀναμένων, ὅταν πρῶτον ἀπόθηται τὸ τύμπανον καὶ καταπαύσῃ τὸν θίασον, ἀποκτενοῦντος αὐτόν.

Ἐπεὶ δὲ ἔδοξε ταῦτα, καὶ κατὰ τύχην ὁ Πτολεμαῖος εἰς Κάνωβον ἐξώρμησε, πρῶτον μὲν διέδωκαν λόγον ὡς παραλύοιτο τῆς φυλακῆς ὑπὸ τοῦ βασιλέως· ἔπειτα, ἔκ τινος ἔθους βασιλικοῦ τοῖς μέλλουσιν ἐξ εἱρκτῆς ἀπολύεσθαι δείπνου τε πεμπομένου καὶ ξενίων, οἱ φίλοι πολλὰ τοιαῦτα τῷ Κλεομένει παρασκευάσαντες, ἔξωθεν εἰσέπεμψαν, ἐξαπατῶντες τοὺς φύλακας, οἰομένους ὑπὸ τοῦ βασιλέως ἀπεστάλθαι. καὶ γὰρ ἔθυε καὶ μετεδίδου τούτων ἀφθόνως αὐτοῖς, ἐπιθεὶς στεφάνους, καὶ κατακλινεὶς εἱστιᾶτο μετὰ τῶν φίλων. λέγεται δὲ τάχιον ἢ διεγνώκει πρὸς τὴν πρᾶξιν ὁρμῆσαι, συναισθόμενος οἰκέτην ἕνα τῶν συνειδότων τὴν πρᾶξιν, ἔξω παρὰ γυναικὶ κεκοιμημένον ἧς ἤρα. καὶ φοβηθεὶς μήνυσιν, ἐπειδὴ μέσον ἡμέρας ἦν, καὶ τοὺς φύλακας ᾔσθετο καθεύδοντας ὑπὸ τῆς μέθης, ἐνδυσάμενος τὸν χιτωνίσκον, καὶ τὴν ῥαφὴν ἐκ τοῦ δεξιοῦ παραλυσάμενος ὤμου, γυμνῷ τῷ ξίφει μετὰ τῶν φίλων ἐξεπήδησεν ἐξεσκευασμένων ὁμοίως, δεκατριῶν ὄντων. Ἱππότας δὲ χωλὸς ὢν, τῇ μὲν πρώτῃ συνεξέπεσεν ὁρμῇ προθύμως, ὡς δὲ ἑώρα σχολαίτερον πορευομένους δι' αὐτὸν, ἐκέλευσεν ἀνελεῖν, καὶ μὴ διαφθείρειν τὴν πρᾶξιν, ἄχρηστον ἄνθρωπον περιμένοντας. ἔτυχε δὲ τῶν Ἀλεξανδρέων τις ἵππον ἄγων παρὰ τὰς θύρας· τοῦτον ἀφελόμενοι καὶ τὸν Ἱππόταν ἀναλαβόντες, ἐφέροντο δρόμῳ διὰ

num enim eſſe, Cleomenem, qui fœdus paciſci cum Antigono faſtidierat, bellicoſo viro & ſtrenuo, deſidere Matri Idææ initiati regis otium manentem, ut ubi primum tympanum depoſuerit atque a tripudio quieverit, ipſum obtruncaret.

Poſtquam in eam ſententiam itum eſt, Ptolemæo forte Canopum profecto, primo vulgaverunt rumorem liberari eum a rege cuſtodia: deinde, quod in more regi eſſet ut quos erat carcere ſoluturus, cœnam his & munera mitteret, amici multa talia apparata miſerunt foris in urbem Cleomeni, quo circumvenirent cuſtodes, qui iſta miſſa putabant a rege: quippe ſacrificavit & participavit eis hæc liberaliter, impoſitaque corona accumbens cum amicis epulatus eſt. Fama eſt autem maturius eum quam inſtituerat, ad rem exequendam erupiſſe: quod percepiſſet ſervum unum ex facti conſciis foris cum muliere, quam amabat, cubuiſſe: ac metuens indicium, quum meridies eſſet, & cuſtodes ſenſiſſet ex temulentia ſopitos, induit tunicam, ac ſutura ex dextro humero aperta, ſtrictoque gladio ejecit ſe domo cum amicis pariter inſtructis. Tredecim hi erant. Hippotas, qui erat claudus, primo impetu erupit cum eis alacriter: quos ut lentius ſui cauſa pergere vidit, petiit ut interficerent ſe, neque hominem inutilem exſpectando cœpta corrumperent. Forte Alexandrinorum quiſpiam equum præter januam ducebat. Hunc abſtulerunt, impoſitoque Hippota curſu lati ſunt per plateas, ple-

διὰ τῶν στενωπῶν, καὶ παρεκάλουν τὸν ὄχλον ἐπὶ τὴν ἐλευθερίαν. τοῖς δὲ τοσοῦτον, ὡς ἔοικεν, ἀλκῆς μετῆν, ὅσον ἐπαινεῖν καὶ θαυμάζειν τὴν τοῦ Κλεομένους τόλμαν, ἀκολουθεῖν δὲ καὶ βοηθεῖν οὐδεὶς ἐθάῤῥει. τὸν μὲν οὖν Χρυσέρμου Πτολεμαῖον ἐκ τῆς αὐλῆς ἐξιόντα τρεῖς εὐθὺς προσπεσόντες ἀπέκτειναν· ἑτέρου δὲ Πτολεμαίου τοῦ φυλάσσοντος τὴν πόλιν ἐλαύνοντος ἅρματι πρὸς αὐτοὺς, ὁρμήσαντες ἐναντίοι, τοὺς μὲν ὑπηρέτας καὶ δορυφόρους διεσκέδασαν, αὐτὸν δὲ κατασπάσαντες ἀπὸ τοῦ ἅρματος ἀπέκτειναν. εἶτα πρὸς τὴν ἄκραν ἐχώρουν, ἀναῤῥῆξαι διανοούμενοι τὸ δεσμωτήριον, καὶ χρήσασθαι τῷ πλήθει τῶν δεδεμένων. ἔφθασαν δὲ φραξάμενοι καλῶς οἱ φύλακες· ὥστε καὶ ταύτης ἀποκρουσθέντα τῆς πείρας τὸν Κλεομένην διαφέρεσθαι καὶ πλανᾶσθαι κατὰ τὴν πόλιν, οὐδενὸς αὐτῷ προσχωροῦντος, ἀλλὰ φευγόντων καὶ φοβουμένων ἁπάντων. οὕτως οὖν ἀποστὰς, καὶ πρὸς τοὺς φίλους εἰπὼν, Οὐδὲν ἦν ἄρα θαυμαστὸν ἄρχειν γυναῖκας ἀνθρώπων φευγόντων τὴν ἐλευθερίαν, παρεκάλεσε πάντας ἀξίως αὐτοῦ καὶ τῶν πεπραγμένων τελευτᾷν. καὶ πρῶτος μὲν Ἱππότας ὑπὸ τῶν νεωτέρων τινὸς ἐπλήγη δεηθεὶς, ἔπειτα τῶν ἄλλων ἕκαστος εὐκόλως καὶ ἀδεῶς ἑαυτὸν ἀποσφάττει, πλὴν Παντέως τοῦ πρώτου Μεγάλην πόλιν καταλαβόντος. τοῦτον δὲ κάλλιστον ὥρᾳ καὶ πρὸς τὴν ἀγωγὴν εὐφυέστατον τῶν νέων γενόμενον, ἐρώμενον ἐσχηκὼς ὁ βασιλεὺς, ἐκέλευεν, ὅταν αὐτόν τε καὶ τοὺς ἄλλους ἴδῃ πεπτωκότας, οὕτω τελευτᾷν. ἤδη δὲ κειμένων ἁπάντων ἐπιπορευόμενος ὁ Παντεὺς καὶ τῷ ξιφιδίῳ παραπτόμενος καθ' ἕκαστον, ἀπεπειρᾶτο μή τις διαλανθάνοι ζῶν. ἐπεὶ δὲ καὶ τὸν Κλεομένην νύξας παρὰ τὸ σφυρὸν εἶδε συστρέ-

στρέ-

plebemque vocaverunt ad libertatem. Illi tantum ſane habuerunt roboris, quod probarent admirarenturque audaciam Cleomenis: ſequi eum & opem ferre auſus fuit nemo. Ptolemæum Chryſermi aula digredientem tres ſtatim adorti occiderunt. Alterum Ptolemæum urbis præfectum, qui curru ad eos pergebat, infeſti invadentes, miniſtros & ſatellites ejus disjecerunt: illum curru detractum interfecerunt. Hinc ad arcem contenderunt, eo conſilio ut carcerem effringerent, uterenturque cuſtodiarum manu. Verum maturaverant cuſtodes diligenter fores obturare. Ita ubi hoc lapſus conatu Cleomenes eſt, palatus eſt vagabundus per urbem, neque ei quiſquam adjunxit ſe, ſed fugerunt trepidaveruntque omnes. Igitur a cœpto deſiſtens, atque ad amicos fatus, Nihil ſane miri eſt imperare fœminas viris libertatem refugientibus: hortatuſque cunctos eſt ut vitam deponerent, ſicut ſe rebuſque geſtis eſſet dignum. Primus igitur Hippotas precibus a quodam ex junioribus obtinuit ut occideret ſe. Mox aliorum quiſque æquo animo & intrepide ſeipſum interemit, præter Panteum, qui Megalopolim primus ingreſſus erat. Huic, quem rex ſpecie formoſiſſimum, & juventutis diſciplina præter æquales optime inſtitutum amaverat, præcepit, quum ipſum atque alios vidiſſet jam occubuiſſe, tum ſibi conſciſceret mortem. Omnibus jam humi ſtratis accedens Panteus, & pugione ſingulos fodiens, tentavit num quis adhuc forte ſpiraret. Quum Cleomenem quoque in planta pedis punxiſſet, atque ad-

στρέψαντα τὸ πρόσωπον, ἐφίλησεν αὐτὸν, εἶτα παρεκάθισε· καὶ τέλος ἔχοντος ἤδη περιβαλὼν τὸν νεκρὸν, ἑαυτὸν ἐπικατέσφαξε.

Κλεομένης μὲν οὖν ἑκκαίδεκα τῆς Σπάρτης βασιλεύσας ἔτη, καὶ τοιοῦτος ἀνὴρ γενόμενος, οὕτως κατέστρεψε. τῆς δὲ φήμης εἰς τὴν πόλιν ὅλην σκεδασθείσης, ἡ μὲν Κρατησίκλεια, καίπερ οὖσα γενναία γυνὴ, προὔδωκε τὸ φρόνημα πρὸς τὸ τῆς συμφορᾶς μέγεθος, καὶ περιβαλοῦσα τὰ παιδία τοῦ Κλεομένους ὠλοφύρετο. τῶν δὲ παιδίων τὸ πρεσβύτερον ἀποπηδῆσαν, οὐδενὸς ἂν προσδοκήσαντος, ἀπὸ τοῦ τέγους ἐπὶ κεφαλὴν ἔρριψεν ἑαυτό· καὶ κακῶς μὲν ἔσχεν, οὐ μὴν ἀπέθανεν, ἀλλ' ἤρθη βοῶν καὶ ἀγανακτοῦν ἐπὶ τῷ διακωλύεσθαι τελευτᾶν. ὁ δὲ Πτολεμαῖος ὡς ἔγνω ταῦτα, προσέταξε τὸ μὲν σῶμα τοῦ Κλεομένους κρεμάσαι καταβυρσώσαντας, ἀποκτεῖναι δὲ τὰ παιδία, καὶ τὴν μητέρα, καὶ τὰς περὶ αὐτὴν γυναῖκας. ἐν δὲ ταύταις ἦν καὶ Παντέως γυνὴ, καλλίστη καὶ γενναιοτάτη τὸ εἶδος. ἔτι δὲ αὐτοῖς νεογάμοις οὖσιν, ἐν ἀκμαῖς ἐρώτων αἱ τύχαι συνέβησαν. εὐθὺς μὲν οὖν συνεκπλεῦσαι τῷ Παντεῖ βουλομένην αὐτὴν οὐκ εἴασαν οἱ γονεῖς, ἀλλὰ βίᾳ κατακλείσαντες ἐφύλαττον· ὀλίγῳ δὲ ὕστερον ἵππον ἑαυτῇ παρασκευάσασα καὶ χρυσίδιον οὐ πολὺ, νυκτὸς ἀπέδρα, καὶ διώξασα συντόνως ἐπὶ Ταίναρον, ἐκεῖθεν ἐπέβη νεὼς εἰς Αἴγυπτον πλεούσης· καὶ διεκομίσθη πρὸς τὸν ἄνδρα, καὶ συνδιήνεγκεν αὐτῷ τὸν ἐπὶ ξένης βίον ἀλύπως καὶ ἱλαρῶς. αὕτη τότε τὴν Κρατησίκλειαν ὑπὸ τῶν στρατιωτῶν ἐξαγομένην ἐχειραγώγει, τόν τε πέπλον αὐτῆς ὑπολαμβάνουσα καὶ θαῤῥεῖν παρακαλοῦσα, μηδέν τι μηδ' αὐτὴν ἐκπεπληγμένην τὸν θάνατον

advertiſſet faciem eum contrahere: oſculum illi tulit, inde aſſedit ei, hinc exanimem jam complexus, ſemetipſum ſuper eum confodit.

Ac Cleomenes quidem, poſtquam regnum ſexdecim annos obtinuit, talemque ſe præſtitit, ad hunc occubuit modum. Ut vero rumor eſt per totam urbem dilatus, Crateſiclea, quamvis generoſa mulier, demiſit ex magnitudine calamitatis animos, liberoſque complexa Cleomenis projecit ſe in lamentationes. Ex filiis ſtirpis major, ex faſtigio domus præter omnium exſpectationem deſiliens in caput ſe præcipitem dedit: atque afflictus quidem fuit, non exſpiravit tamen, ſed ſublatus eſt clamans & fremens quod interpellaretur mori. Ptolemæus ubi hæc accepit, corpus imperavit Cleomenis excoriatum in crucem agi, necari inſuper liberos ejus, matrem & fœminas ejus comites. In his Pantei quoque uxor erat eximia & ingenua imprimis forma. Hi brevi poſt nuptias in ipſo amorum fervore in has inciderunt ærumnas. Eam comitari Pantei fugam per mare cupientem prohibuerant parentes, ac vi incluſam aſſervabant: at illa paulo poſt parato equo ac pauculo ære, arripuit nocte fugam, Tænarumque citato profecta curſu, navem quæ inde ſolvebat in Ægyptum, conſcendit, & ad virum pervenit, fortique animo & hilari peregrinationis ſe præbuit viro ſociam. Hæc tunc Crateſicleam, dum a militibus ad ſupplicium rapitur, manu duxit, peplum ejus ſublevans, ac confirmans ne illam quidem mortem trepidantem, verum unum modo

νατον, ἀλλ᾽ ἓν μόνον αἰτουμένην, πρὸ τῶν παιδίων ἀποθανεῖν. ἐπεὶ δὲ ἦλθον εἰς τὸν τόπον ἐν ᾧ ταῦτα δρᾷν εἰώθασιν οἱ ὑπηρέται, πρῶτον μὲν τὰ παιδία τῆς Κρατησικλείας ὁρώσης ἔσφαττον, εἶτα ἐκείνην, ἓν τοῦτο μόνον ἐπὶ τηλικούτοις φθεγξαμένην πάθεσιν, Ὦ τέκνα ποῖ ἐμόλετε; ἡ δὲ τοῦ Παντέως γυνὴ, περιζωσαμένη τὸ ἱμάτιον, εὔρωστος οὖσα καὶ μεγάλη, τῶν ἀποθνησκουσῶν ἑκάστην σιωπῇ καὶ μεθ᾽ ἡσυχίας ἐθεράπευε, καὶ περιέστελλεν ἐκ τῶν ἐνδεχομένων. τέλος δὲ μετὰ πάσας ἑαυτὴν κοσμήσασα, καὶ καταγαγοῦσα τὴν περιβολὴν, καὶ μηδένα προσελθεῖν ἐάσασα μηδὲ ἰδεῖν ἄλλον ἢ τὸν ἐπὶ τῆς σφαγῆς τεταγμένον, ἡρωϊκῶς κατέστρεψεν, οὐδενὸς δεηθεῖσα κοσμοῦντος καὶ περικαλύπτοντος μετὰ τὴν τελευτήν. οὕτω παρέμεινε τῷ θανάτῳ τὸ κόσμιον τῆς ψυχῆς, καὶ διεφύλαξεν ἣν ζῶσα φρουρὰν τῷ σώματι περιέθηκεν.

Ἡ μὲν οὖν Λακεδαίμων ἐφαμίλλως ἀγωνισαμένη τῷ γυναικείῳ δράματι πρὸς τὸ ἀνδρεῖον ἐν τοῖς ἐσχάτοις καιροῖς, ἐπέδειξε τὴν ἀρετὴν ὑβρισθῆναι μὴ δυναμένην ὑπὸ τῆς τύχης. ὀλίγαις δὲ ὕστερον ἡμέραις, οἱ τὸ σῶμα τοῦ Κλεομένους ἀνεσταυρωμένον παραφυλάττοντες, εἶδον εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον, καὶ ἀποκρύπτοντα τὸ πρόσωπον, ὥστε μηδὲν ὄρνεον ἐφίπτασθαι σαρκοφάγον. ἐκ δὲ τούτου δεισιδαιμονία προσέπεσε τῷ βασιλεῖ, καὶ φόβος ἄλλων καθαρμῶν ταῖς γυναιξὶν ἀρχὴν παρασχὼν, ὡς ἀνδρὸς ἀνῃρημένου θεοφιλοῦς, καὶ κρείττονος τὴν φύσιν. οἱ δὲ Ἀλεξανδρεῖς καὶ προσέτρεπον, φοιτῶντες ἐπὶ τὸν τόπον, ἥρωα τὸν Κλεομένην καὶ Θεῶν παῖδα προσαγορεύοντες· ἄχρι οὗ κατέπαυσαν αὐτοὺς οἱ σοφώτεροι, διδόντες λόγον, ὡς μελίττας

μὲν


modo petentem, ut ante pueros ſuſtolleretur. Poſtquam ad ſupplicii locum perventum eſt: pueros primum ſub oculis Crateſicleæ, deinde illam interfecerunt. Illa unam hanc vocem tantis in malis miſit, Quo pueri eſtis profecti? At Pantei uxor ſtola ſuccincta, valens mulier & eminenti ſtatura, unamquamque morientium ſilentio & ſedate curavit, atque ex præſenti copia velavit. Tandem omnium noviſſima ſemetipſam compoſuit: deductoque amictu neminem accedere permittens neque contueri ſe, extra unum qui ad jugulandum ipſam præpoſitus erat, vitam depoſuit fortiſſime, neque eguit quoquam qui ſe adornaret & obnuberet ab exceſſu. Adeo in morte animi decus uſque retinuit, conſervavitque quam viva corpori cuſtodiendo adhibuerat curam.

Ita Lacedæmon, quæ muliebri actu ex æquo cum virili extremis temporibus certavit, virtutem oſtendit non poſſe a fortuna violari. Paucis poſt diebus, qui Cleomenis corpus cruci ſuffixum cuſtodiebant, draconem ingentem conſpexerunt, qui caput illius circumplicabat, faciemque contegebat, ne avis carnivora eam ulla attingeret. Hinc ſuperſtitio invaſit regem trepidatioque, aliarum expiationum mulieribus aditum præbens, quaſi virum interfeciſſet divinum & humana ſorte majorem. Alexandrini quoque excurrebant ad ipſum locum, ac heroem Cleomenem Deorumque filium appellabant, uſque dum reflexerunt eos doctiores, qui docuerunt, apes ex bobus,

μὲν βόες, σφῆκας δὲ ἵπποι κατασαπέντες ἐξανθοῦσι, κάνθαροι δὲ ὄνων τὸ αὐτὸ παθόντων ζωογονοῦνται· τὰ δὲ ἀνθρώπινα σώματα, τῶν περὶ τὸν μυελὸν ἰχώρων συῤῥοήν τινα καὶ σύστασιν ἐν ἑαυτοῖς λαβόντων, ὄφεις ἀναδίδωσι. καὶ τοῦτο κατιδόντες οἱ παλαιοὶ, μάλιστα τῶν ζώων τὸν δράκοντα τοῖς ἥρωσι συνῳκείωσαν.

bus, ex equis veſpas putreſcentibus germinare, ſcarabeos ex aſinis pullulare eodem deductis: humana vero corpora tabe medullæ inter ſe compacta & concreta edere angues. Qua re veteres animadverſa, inter omnes animantes heroibus draconem conſecravere.

TIBE-



ΤΙΒΕΡΙΟΣ ΚΑΙ ΓΑΙΟΣ ΓΡΑΚΧΟΙ.

ΗΜΕΙΣ δὲ τὴν πρώτην ἱστορίαν ἀποδεδωκότες, ἔχομεν οὐκ ἐλάττονα πάθη τούτων ἐν τῇ Ῥωμαϊκῇ συζυγίᾳ θεωρῆσαι, τὸν Τιβερίου καὶ Γαΐου βίον ἀντιπαραβάλλοντες. οὗτοι Τιβερίου Γράκχου παῖδες ἦσαν· ᾧ τιμητῇ τε Ῥωμαίων γενομένῳ, καὶ δὶς ὑπατεύσαντι, καὶ θριάμβους δύο καταγαγόντι, λαμπρότερον ἦν τὸ ἀπὸ τῆς ἀρετῆς ἀξίωμα. διὸ καὶ τὴν Σκιπίωνος τοῦ καταπολεμήσαντος Ἀννίβαν θυγατέρα Κορνηλίαν οὐκ ὢν φίλος, ἀλλὰ καὶ διάφορος τῷ ἀνδρὶ γεγονὼς, λαβεῖν ἠξιώθη μετὰ τὴν ἐκείνου τελευτήν. λέγεται δέ ποτε συλλαβεῖν αὐτὸν ἐπὶ τῆς κλίνης ζεῦγος δρακόντων· τοὺς δὲ μάντεις σκεψαμένους τὸ τέρας, ἄμφω μὲν οὐκ ἐᾶν ἀνελεῖν, οὐδὲ ἀφεῖναι· περὶ δὲ θατέρου διερεῖν, ὡς ὁ μὲν ἄῤῥην τῷ Τιβερίῳ φέροι θάνατον ἀναιρεθεὶς, ἡ δὲ θήλεια τῇ Κορνηλίᾳ. τὸν οὖν Τιβέριον καὶ φιλοῦντα τὴν γυναῖκα, καὶ μᾶλλον αὐ-

Prima explicata hiſtoria, haud minores habemus in Romano pari contemplari calamitates, dum cum illis Tiberii & Caii vitam comparamus. Patre hi fuerunt Tiberio Graccho: qui cenſor Romæ quum fuiſſet & bis Conſul, duoſque reportaſſet triumphos, dignitatem tamen quæſivit ex virtute majorem: quapropter habitus dignus eſt, ut Scipionis, qui Annibalem debellavit, nulla conjunctus neceſſitudine, immo alienus ab eo, filiam Corneliam in matrimonium acciperet poſt illius obitum. Hunc fama eſt duos angues in cubili comprehendiſſe, atque aruſpices perpenſo prodigio ambos vetaſſe interfici vel dimitti: de altero aſſeveraſſe, ſi necatus mas foret, funeſtum Tiberio eſſe: Corneliæ, ſi fœmina: Tiberium vero, qui uxorem diligebat, ac ſibi maturiorem mortem ætate

αὐτῷ προσήκειν ὄντι πρεσβυτέρῳ τελευτᾷν ἡγέμενον, ἔτι νέας οὔσης ἐκείνης, τὸν μὲν ἄῤῥενα κτεῖναι τῶν δρακόντων, ἀφεῖναι δὲ τὴν θήλειαν· εἶτα ὕστερον οὐ πολλῷ χρόνῳ τελευτῆσαι, δεκαδύο παῖδας ἐκ τῆς Κορνηλίας αὐτῷ γεγονότας καταλιπόντα. Κορνηλία δὲ ἀναλαβοῦσα τοὺς παῖδας καὶ τὸν οἶκον, οὕτω σώφρονα καὶ φιλότεκνον καὶ μεγαλόψυχον αὐτὴν παρέσχεν, ὥστε μὴ κακῶς δόξαι βεβουλεῦσθαι τὸν Τιβέριον, ἀντὶ τοιαύτης γυναικὸς ἀποθανεῖν ἑλόμενον. ἥ γε καὶ Πτολεμαίου τοῦ βασιλέως κοινουμένου τὸ διάδημα, καὶ μνωμένου τὸν γάμον αὐτῆς, ἠρνήσατο, καὶ χηρεύουσα τοὺς μὲν ἄλλους ἀπέβαλε παῖδας, μίαν δὲ τῶν θυγατέρων, ἣ Σκιπίωνι τῷ νεωτέρῳ συνῴκησε, καὶ δύο υἱοὺς, περὶ ὧν τάδε γέγραπται, Τιβέριον καὶ Γάϊον, διαγενομένους οὕτω φιλοτίμως ἐξέθρεψεν, ὥστε πάντων εὐφυεστάτους Ῥωμαίων ὁμολογουμένως γεγονότας, πεπαιδεῦσθαι δοκεῖν βέλτιον ἢ πεφυκέναι πρὸς ἀρετήν.

Ἐπεὶ δὲ ὥσπερ ἡ τῶν πλασσομένων καὶ γραφομένων Διοσκούρων ὁμοιότης ἔχει τινὰ τοῦ πυκτικοῦ πρὸς τὸν δρομικὸν ἐπὶ τῆς μορφῆς διαφοράν, οὕτω τῶν νεανίσκων ἐκείνων ἐν πολλῇ τῇ πρὸς ἀνδρείαν καὶ σωφροσύνην, ἔτι δὲ ἐλευθεριότητα καὶ λογιότητα καὶ μεγαλοψυχίαν ἐμφερείᾳ, μεγάλαι περὶ τὰ ἔργα καὶ τὰς πολιτείας οἷον ἐξηνθήσαν καὶ διεφάνησαν ἀνομοιότητες· οὐ χεῖρον εἶναί μοι δοκεῖ ταύτας προεκθέσθαι. πρῶτον μὲν οὖν ἰδέᾳ προσώπου καὶ βλέμματι καὶ κινήματι πρᾶος καὶ καταστηματικὸς ἦν ὁ Τιβέριος, ἔντονος δὲ καὶ σφοδρὸς ὁ Γάϊος, ὥστε καὶ δημηγορεῖν τὸν μὲν ἐν μιᾷ χώρᾳ βεβηκότα κοσμίως, τὸν δὲ Ῥωμαίων πρῶτον ἐπὶ τοῦ βήματος περιπάτῳ τε χρήσασθαι,

ætate priori quam juveni illi ducebat, draconem marem ſuſtuliſſe emiſſa fœmina: inde non multo poſt fato functum duodecim liberos ex Cornelia ſuſceptos reliquiſſe. Suſcipiens liberos & rei familiaris curam, vitam exegit Cornelia in tanta caſtitate, tanta pietate, tanta denique animi magnitudine, ut non male viſus ſit conſuluiſſe Tiberius, qui pro tali muliere animum induxit emori. Nempe quæ etiam regi Ptolemæo nuptias ejus ambienti, & ad conſortium eam vocanti regni, abnuit: atque in viduitate manens reliquam amiſit prolem, excepta unica filia quæ Scipioni Africano minori nupſit, & filiis duobus, de quibus hic tractamus, ſuperſtitibus, Tiberio & Caio. Hos tanta eduxit cura, ut quum in pube Romana eſſent citra controverſiam ſumma indole, præclarius tamen inſtituti quam geniti viderentur ad virtutem.

Quando vero ut in ſignis & picturis habet Caſtoris & Pollucis ſimilitudo quoddam pugilis cum curſore figuræ diſcrimen: ita illorum adoleſcentium in magna ad fortitudinem & moderationem, inſuper ad liberalitatem, eloquentiam, animi celſitudinem affinitate, grandes quaſi effloruerunt & eluxerunt in actibus eorum & reipublicæ procuratione diſparitates: non ab re viſum mihi eſt ante eas expedire. Primum vultu & obtutu & motu blandus erat & compoſitus Tiberius, acer Caius & vehemens. Itaque in concionando, ille modeſte non ſe movebat loco: hic, primus Romæ in roſtris deambulavit inter dicendum,

σθαι, καὶ περισπάσαι τὴν τήβεννον ἐξ ὤμου, καθάπερ περὶ Κλέωνος τοῦ Ἀθηναίου ἱστορεῖται, περισπάσαι τε τὴν περιβολὴν καὶ τὸν μηρὸν ἀλοῆσαι πρῶτον τῶν δημηγορούντων. ἔπειτα ὁ λόγος τοῦ μὲν Γαΐου φοβερὸς καὶ περιπαθὴς εἰς δείνωσιν, ἡδίων δὲ ὁ τοῦ Τιβερίου, καὶ μᾶλλον ἐπαγωγὸς οἴκτου. τῇ δὲ λέξει καθαρὸς καὶ διαπεπονημένος ἀκριβῶς ἐκεῖνος, ὁ δὲ Γαΐου, πιθανὸς καὶ γεγανωμένος. οὕτω δὲ καὶ περὶ τὴν δίαιταν καὶ τράπεζαν εὐτελὴς καὶ ἀφελὴς ὁ Τιβέριος, ὁ δὲ Γάϊος, τοῖς μὲν ἄλλοις παραβαλεῖν, σώφρων καὶ αὐστηρὸς, τῇ δὲ πρὸς τὸν ἀδελφὸν διαφορᾷ νεοπρεπὴς καὶ περίεργος· ὡς οἱ περὶ Δροῦσον ἤλεγχον ὅτι δελφῖνας ἀργυροῦς ἐπρίατο τιμῆς εἰς ἑκάστην λίτραν δραχμῶν χιλίων καὶ διακοσίων πεντήκοντα. τῷ δὲ ἤθει, κατὰ τὴν τοῦ λόγου διαφορὰν, ὁ μὲν ἐπιεικὴς καὶ πρᾶος, ὁ δὲ τραχὺς καὶ θυμοειδής· ὥστε καὶ παρὰ γνώμην ἐν τῷ λέγειν ἐκφερόμενον πολλάκις ὑπ᾽ ὀργῆς, τήν τε φωνὴν ἀποξύνειν, καὶ βλασφημεῖν, καὶ συνταράττειν τὸν λόγον. ὅθεν καὶ βοήθημα τῆς ἐκτροπῆς ταύτης ἐποιήσατο τὸν Λικίννιον οἰκέτην, οὐκ ἀνόητον, ὃς ἔχων φωνασκικὸν ὄργανον, ᾧ τοὺς φθόγγους ἀναβιβάζουσιν, ὄπισθεν ἑστὼς τοῦ Γαΐου λέγοντος, ὁπηνίκα τραχυνόμενον αἴσθοιτο τῇ φωνῇ καὶ παραρρηγνύμενον δι᾽ ὀργὴν, ἐνεδίδου τόνον μαλακὸν, ᾧ τὸ σφοδρὸν ἐκεῖνος εὐθὺς ἅμα τοῦ πάθους καὶ τῆς φωνῆς ἀνιεὶς ἐπραΰνετο, καὶ παρεῖχεν ἑαυτὸν εὐανάκλητον.

Αἱ μὲν οὖν διαφοραὶ τοιαῦταί τινες ἦσαν αὐτῶν· ἀνδραγαθίαι δὲ πρὸς τοὺς πολεμίους, καὶ πρὸς τοὺς ὑπηκόους δικαιοσύνη, καὶ πρὸς τὰς ἀρχὰς ἐπιμέλεια, καὶ πρὸς τὰς ἡδονὰς ἐγκράτεια ἀπαράλλακτος. ἦν δὲ πρεσβύτερος

cendum, & togam ex humero divulſit, ut de Athenienſe memoriæ proditum eſt Cleone, diloricaſſe eum in dicendo pallium ac femur percuſſiſſe inter oratores primum. Deinde oratio fulminans Caii, exaggerataque affectibus: dulcior Tiberii, magiſque commiſerationem movens. Dictione pura hæc atque exquiſite elaborata, Caii artificioſa & ſplendida. Pari modo in victu & menſa frugalis ac ſimplex Tiberius: Caius, ſi cum aliis eum contendas, continens & reſtrictus, verum ſi compares cum fratre, delicatus & exquiſitus: quod objecit ei Druſus, delphinas comparaſſe eum argento repenſos in libras quinis millibus nummorum. Moribus reſpondebant orationi, ſuperior lenis & placidus, confragoſus alter & fervens. Unde in dicendo frequenter auferebatur invitus ab ira, ut vocem concitaret, in maledicta erumperet, & conturbaret orationem. Quare remedium adhibuit hujus exceſſus Licinium ſervum non inſulſum, qui tenens inſtrumentum phonaſcicum, quo excitant ſonos, & a tergo Caii concionantis conſiſtens, ubi voce ſenſit concitatum & ira erumpentem, remittebat molliter tenorem, quo fulmen orationis confeſtim ille una cum affectu & voce molliens, referveſcebat revocabaturque facile.

Diſſonantiæ erant eorum hæ: audacia vero adverſus hoſtes, juſtitia adverſus populares, officiorum in muneribus eorum ſedulitas, & adverſus voluptates continentia par in utroque. Major erat

τερος ἐνιαυτοῖς ἐννέα ὁ Τιβέριος, καὶ τοῦτο τὴν ἑκατέρου πολιτείαν ἀπηρτημένην τοῖς χρόνοις ἐποίησε, καὶ τὰς πράξεις οὐχ ἥκιστα διαλυμήνατο, μὴ συνακμασάντων, μηδὲ συμβαλόντων εἰς τὸ αὐτὸ τὴν δύναμιν, μεγάλην ἂν ἐξ ἀμφοῖν ὁμοῦ καὶ ἀνυπέρβλητον γενομένην. λεκτέον οὖν ἰδίᾳ περὶ ἑκατέρου, καὶ περὶ τοῦ πρεσβυτέρου πρότερον.

ΕΚΕΙΝΟΣ τοίνυν εὐθὺς ἐκ παίδων γενόμενος, οὕτως ἦν περιβόητος, ὥστε τῆς τῶν αὐγούρων λεγομένης ἱερωσύνης ἀξιωθῆναι δι' ἀρετὴν μᾶλλον ἢ διὰ τὴν εὐγένειαν. ἐδήλωσε δὲ Ἄππιος Κλαύδιος, ἀνὴρ ὑπατικὸς καὶ τιμητικὸς καὶ προγεγραμμένος κατ' ἀξίωμα τῆς Ῥωμαίων βουλῆς, καὶ πολὺ φρονήματι τοὺς κατ' αὐτὸν ὑπεραίρων. ἑστιωμένων γὰρ ἐν ταυτῷ τῶν ἱερέων, προσαγορεύσας τὸν Τιβέριον καὶ φιλοφρονηθεὶς, αὐτὸς ἐμνᾶτο τῇ θυγατρὶ νυμφίον. δεξαμένου δὲ ἀσμένως ἐκείνου, καὶ τῆς καταινέσεως οὕτω γενομένης, εἰσιὼν ὁ Ἄππιος οἴκαδε πρὸς αὐτὸν, ἀπὸ τῆς θύρας εὐθὺς ἐκάλει τὴν γυναῖκα, καὶ μεγάλῃ τῇ φωνῇ βοῶν, Ὦ Ἀντιστία, τὴν Κλαυδίαν ἡμῶν ἀνδρὶ καθωμολόγηκα. κἀκείνη θαυμάσασα, Τίς, εἶπεν, ἡ σπουδή; ἢ τί τὸ τάχος, εἰ μὴ Τιβέριον αὐτῇ Γράκχον εὑρίσκεις νυμφίον; οὐκ ἀγνοῶ δὲ ὅτι τοῦτό τινες ἐπὶ τὸν πατέρα τῶν Γράκχων Τιβέριον καὶ Σκιπίωνα τὸν Ἀφρικανὸν ἀναφέρουσιν· ἀλλ' οἱ πλείους ὡς ἡμεῖς γράφομεν ἱστοροῦσι, καὶ Πολύβιος, μετὰ τὴν Σκιπίωνος Ἀφρικανοῦ τελευτὴν, τοὺς οἰκείους φησὶν ἐκ πάντων προκρίναντας τὸν Τιβέριον δοῦναι τὴν Κορνηλίαν, ὡς ὑπὸ τοῦ πατρὸς ἀνέκδοτον καὶ ἀνέγγυον ἀπολειφθεῖσαν. ὁ δ' οὖν νεώτερος Τιβέριος, στρα-

erat annis novem Tiberius: quod actiones utriuſque diſtraxit temporibus, & maxime cœpta evertit, quod non ſimul floruerint, neque opes ſuas conferre potuerint in unum, quæ ingentes ex ambobus conflatæ atque inexſuperabiles fuiſſent. Quare ſeorſum de utroque, atque primum de natu majore dicendum.

ILLE ſimul atque ex pueris exceſſit, adeo fuit celebris ut in collegium augurum virtutis magis quam nobilitatis nomine fuerit cooptatus. Oſtendit id Appius Claudius, vir conſularis & cenſorius & princeps ſenatus, multoque æquales ſuos prudentia antecellens. Nam in cœna augurali Tiberium comiter appellans, nuptias ipſe ei obtulit filiæ. Quam conditionem quum ille accepiſſet læte, ac mox factis ſponſaliis domum Appius ad ſe ingreſſus vocavit mox a limine uxorem, altaque voce clamans, Claudiam noſtram, (inquit) Antiſtia, viro deſpondi: illa obſtupeſcens, Quid feſtinato aut properato, inquit, opus erat? an Tiberium Gracchum ei ſponſum inveniſti? Non me fugit eſſe qui ad patrem hoc Gracchorum Tiberium & Scipionem referant Africanum: verum plerique ſcriptores nobis aſtipulantur, & Polybius poſt Scipionis Africani fata neceſſarios ejus ait omnibus prælato Tiberio collocaſſe Corneliam, ut a parente nulli elocatam vel pactam. Igitur minor Tiberius in Afri-

στρατευόμενος ἐν Λιβύῃ μετὰ τοῦ δευτέρου Σκιπίωνος, ἔχοντος αὐτοῦ τὴν ἀδελφὴν, ὁμοῦ συνδιαιτώμενος ὑπὸ σκηνὴν τῷ στρατηγῷ, ταχὺ μὲν αὐτοῦ τὴν φύσιν κατέμαθε, πολλὰ καὶ μεγάλα πρὸς ζῆλον ἀρετῆς καὶ μίμησιν ἐπὶ τῶν πράξεων ἐκφέρουσαν. ταχὺ δὲ τῶν νέων πάντων ἐπρώτευεν εὐταξίᾳ καὶ ἀνδρείᾳ· καὶ τοῦ γε τείχους ἐπέβη τῶν πολεμίων πρῶτος, ὥς φησι Φάννιος, λέγων καὶ αὐτὸς τῷ Τιβερίῳ συνεπιβῆναι, καὶ συμμεταχεῖν ἐκείνης τῆς ἀριστείας. πολλὴν δὲ καὶ παρὼν εὔνοιαν εἶχεν ἐν τῷ στρατοπέδῳ, καὶ πόθον ἀπαλλαττόμενος αὐτοῦ κατέλειπε.

Μετὰ δὲ τὴν στρατείαν ἐκείνην αἱρεθεὶς ταμίας, ἔλαχε τῶν ὑπάτων Γαΐῳ Μαγκίνῳ συστρατεύειν ἐπὶ Νομαντίνους, ἀνθρώπῳ μὲν οὐ πονηρῷ, βαρυποτμοτάτῳ δὲ Ῥωμαίων στρατηγῷ. διὸ καὶ μᾶλλον ἐν τύχαις παραλόγοις καὶ πράγμασιν ἐναντίοις τοῦ Τιβερίου διέλαμψεν οὐ μόνον τὸ συνετὸν καὶ ἀνδρεῖον, ἀλλ᾽, ὃ θαυμάσιον ἦν, αἰδώς τε πολλὴ καὶ τιμὴ τοῦ ἄρχοντος, ὑπὸ τῶν κακῶν οὐδ᾽ ἑαυτὸν εἰ στρατηγός ἐστιν ἐπιγινώσκοντος. ἡττηθεὶς γὰρ μάχαις μεγάλαις, ἐπεχείρησε μὲν ἀναζευγνύαι νυκτὸς, ἐκλιπὼν τὸ στρατόπεδον· αἰσθομένων δὲ τῶν Νομαντίνων, καὶ τὸ μὲν στρατόπεδον εὐθὺς λαβόντων, τοῖς δὲ ἀνθρώποις ἐπιπεσόντων φεύγουσι, καὶ τοὺς ἐσχάτους φονευόντων, τὸ δὲ πᾶν ἐγκυκλουμένων στράτευμα, καὶ συνωθούντων εἰς τόπους χαλεποὺς καὶ διάφυξιν οὐκ ἔχοντας, ἀπογνοὺς τὴν ἐκ τοῦ βιάζεσθαι σωτηρίαν ὁ Μαγκῖνος, ἐπεκηρυκεύετο περὶ σπονδῶν καὶ διαλύσεων πρὸς αὐτούς· οἱ δὲ πιστεύειν ἔφασαν οὐδενὶ,

Africa, merens ſub Africano ſequente, qui ſororem ipſius habebat in matrimonio, & in contubernio imperatoris agens, brevi notavit ingenium: quod multa & eximia ad virtutis excitandum amorem & factorum ſuorum æmulationem edebat exempla. Brevi etiam omnem juventutem parendo & ſtrenue agendo ſuperavit: ac vero murum hoſtium primus aſcendit, ut autor eſt Fannius, qui prædicat una cum Tiberio ſe in murum evaſiſſe conſortemque fuiſſe illius decoris. Jam ſtudium ingens ſui in exercitu præſens concitavit, & deſiderium reliquit diſcedens.

Ab illa expeditione quæſtor eſt deſignatus. Obvenit ei ſors ut conſulem C. Mancinum ad bellum Numantinum ſequeretur, hominem non malum, ſed ducem Romanorum omnium infeliciſſimum. At tamen in fortunis adverſis & duris caſibus eluxit Tiberii non prudentia modo & virtus, verum etiam, quod miraculum erat, obſervantia magna & reverentia imperatoris: qui ob ærumnarum molem ne ipſe quidem meminerat ſe eſſe ducem. Quippe quum ingentibus fuſus prœliis eſſet, adortus eſt nocte relictis caſtris ſe recipere. Cæterum odorati id Numantini, ceperunt extemplo caſtra ejus, exercitum inſequuti fugientem ſunt, extremum agmen conciderunt, omnes circumvenerunt copias, conjeceruntque in loca aſpera unde nullum patebat effugium. Hic diffidens vi expedire ſe ſalutem poſſe Mancinus, legatos miſit ad illos inducias & pacem flagitatum: illi vero fidem negaverunt adjungere ſe ulli præter-

οὐδενὶ, πλὴν μόνῳ Τιβερίῳ, καὶ τοῦτον ἐκέλευον ἀποστέλλειν πρὸς αὐτούς. ἐπεπόνθεισαν δὲ τοῦτο καὶ δι' αὐτὸν τὸν νεανίσκον· ἦν γὰρ αὐτοῦ πλεῖστος λόγος ἐπὶ στρατιᾶς· καὶ μεμνημένοι τοῦ πατρὸς Τιβερίου, ὃς πολεμήσας Ἴβηρσι, καὶ πολλοὺς καταστρεψάμενος, εἰρήνην ἔθετο πρὸς Νομαντίνους, καὶ ταύτην ἐμπεδοῦντα τὸν δῆμον ὀρθῶς καὶ δικαίως ἀεὶ παρέσχεν. οὕτω δὴ πεμφθεὶς ὁ Τιβέριος, καὶ συγγενόμενος τοῖς ἀνδράσι, καὶ τὰ μὲν πείσας, τὰ δὲ δεξάμενος ἐσπείσατο, καὶ δισμυρίους ἔσωσε περιφανῶς Ῥωμαίων πολίτας, ἄνευ θεραπείας καὶ τῶν ἔξω τάξεως ἑπομένων.

Τὰ δὲ ἐν τῷ χάρακι λειφθέντα χρήματα πάντα κατέσχον οἱ Νομαντῖνοι καὶ διεπόρθησαν. ἐν δὲ τούτοις καὶ πινακίδες ἦσαν τοῦ Τιβερίου, γράμματα καὶ λόγους ἔχουσαι τῆς ταμιευτικῆς ἀρχῆς, ἃς περὶ πολλοῦ ποιούμενος ἀπολαβεῖν, ἤδη τοῦ στρατοῦ προκεχωρηκότος ἀνέστρεψε πρὸς τὴν πόλιν, ἔχων μεθ' ἑαυτοῦ τρεῖς ἢ τέτταρας ἑταίρους. ἐκκαλέσας δὲ τῶν Νομαντίνων τοὺς ἄρχοντας, ἠξίου κομίσασθαι τοὺς δέλτους, ὡς μὴ παράσχοι τοῖς ἐχθροῖς διαβολὴν, οὐκ ἔχων ἀπολογήσασθαι περὶ τῶν ᾠκονομημένων. ἡσθέντες οὖν οἱ Νομαντῖνοι τῇ συντυχίᾳ τῆς χρείας, παρεκάλουν αὐτὸν εἰσελθεῖν εἰς τὴν πόλιν· ὡς δὲ εἱστήκει βουλευόμενος, ἐγγὺς προσελθόντες ἐνεφύοντο ταῖς χερσὶ, καὶ λιπαρεῖς ἦσαν, δεόμενοι μηκέτι νομίζειν αὐτοὺς πολεμίους, ἀλλ' ὡς φίλοις χρῆσθαι καὶ πιστεύειν. ἔδοξεν οὖν τῷ Τιβερίῳ ταῦτα ποιεῖν· τῶν δὲ δέλτων περιεχομένῳ καὶ δεδοικότι παροξύνειν ὡς ἀπιστουμένους τοὺς Νομαντίνους, εἰσελθόντι δὲ εἰς τὴν πόλιν,

terquam uni Tiberio, atque ut hic mitteretur ad ſe popoſcerunt. Expetiverunt id tum ipſius virtute adoleſcentis, quod nomen ejus in caſtris foret ingens: tum patris memoria Tiberii, qui bello cum Hiſpanis geſto, multiſque domitis, fœdus cum Numantinis fecerat, quod ſervari a populo recte atque ordine præſtiterat illibatum. Ita miſſus Tiberius egit cum Numantinis, ac quædam ab iis impetrans, quædam concedens, fœdus fecit, atque viginti millia civium, præter ſervitia eoſque qui extra ordinem caſtra ſecuti ſunt, non obſcure conſervavit.

Quicquid autem relictum in caſtris fuerat, eo potiti Numantini omni ſunt & diripuerunt. In his tabulæ erant Tiberii, in quibus quæſturæ acta & rationes continebantur: quas recipere magni faciens, quum exercitus jam in itinere eſſet, tribus aut quatuor amicis comitantibus eum, regreſſus eſt Numantiam. Excitos Numantinorum magiſtratus oravit ut tabulas ſibi redderent, ne iniquis calumniandi præberet anſam, quod referre rationes non poſſet. Læti oblata præſtandi beneficii occaſione Numantini, invitaverunt eum ut urbem ingrederetur: ut deliberabundus conſtitit, propius accedentes manus ejus corripuerunt, majorem in modum precantes ne ultra in hoſtibus numeraret ipſos, ſed uteretur pro amicis & fidem haberet. Itaque viſum Tiberio eſt morem eis gerere, tum tabularum deſiderio, tum timens etiam exaſperare diffidentia Numantinos. Ingreſſo urbem, primo prandium pro-

πόλιν, πρῶτον μὲν ἄριστον παρέθεσαν, καὶ πᾶσαν ἐποιήσαντο δέησιν ἐμφαγεῖν τι κοινῇ μετ' αὐτῶν καθήμενον. ἔπειτα τοὺς δέλτους ἀπέδοσαν, καὶ τῶν ἄλλων ἃ βούλοιτο χρημάτων λαβεῖν ἐκέλευον. ὁ δὲ οὐδὲν ἢ τὸν λιβανωτὸν, ᾧ πρὸς τὰς δημοσίας ἐχρῆτο θυσίας, λαβὼν, ἀπῆλθεν ἀσπασάμενος καὶ φιλοφρονηθεὶς τοὺς ἄνδρας.

Ἐπεὶ δὲ εἰς Ῥώμην ἐπανῆλθεν, ἡ μὲν ὅλη πρᾶξις, ὡς δεινὴ καὶ καταισχύνουσα τὴν Ῥώμην, αἰτίαν εἶχε καὶ κατηγορίαν· οἱ δὲ τῶν στρατιωτῶν οἰκεῖοι καὶ φίλοι, μέγα μέρος ὄντες τοῦ δήμου, συνέτρεχον πρὸς τὸν Τιβέριον, τὰ μὲν αἰσχρὰ τῶν γεγονότων ἀναφέροντες εἰς τὸν ἄρχοντα, δι' αὐτὸν δὲ σώζεσθαι τοσούτους πολίτας φάσκοντες. οἱ μέντοι δυσχεραίνοντες τὰ πεπραγμένα, μιμεῖσθαι τοὺς προγόνους ἐκέλευον. καὶ γὰρ ἐκεῖνοι τοὺς ἀγαπήσαντας ὑπὸ Σαυνιτῶν ἀφεθῆναι στρατηγοὺς, αὐτούς τε τοῖς πολεμίοις γυμνοὺς προσέρριψαν, καὶ τοὺς ἐφαψαμένους καὶ μετασχόντας τῶν σπονδῶν, οἷον ταμίας καὶ χιλιάρχους, ὁμοίως προὔβαλον, εἰς ἐκείνους τὴν ἐπιορκίαν καὶ τὴν διάλυσιν τῶν ὡμολογημένων τρέποντες. ἔνθα δὴ καὶ μάλιστα τὴν πρὸς τὸν Τιβέριον εὔνοιαν καὶ σπουδὴν ἐξέφηνεν ὁ δῆμος. τὸν μὲν γὰρ ὕπατον ἐψηφίσαντο γυμνὸν καὶ δεδεμένον παραδοῦναι τοῖς Νομαντίνοις, τῶν δὲ ἄλλων ἐφείσαντο πάντων διὰ Τιβέριον. δοκεῖ δὲ καὶ Σκιπίων βοηθῆσαι, μέγιστος ὢν τότε, καὶ πλεῖστον δυνάμενος Ῥωμαίων· ἀλλ' οὐδὲν ἧττον ἐν αἰτίαις ἦν, ὅτι τὸν Μαγκῖνον οὐ περιέσωσεν, οὐδὲ τὰς σπονδὰς ἐμπεδωθῆναι τοῖς Νομαντίνοις ἐσπούδασεν, δι' ἀνδρὸς οἰκείου καὶ φίλου τοῦ Τιβερίου γενομένας. τὸ δὲ πλεῖστον, ἔοικεν ἐκ φιλοτι-

μίας,

poſuerunt, atque obſecraverunt enixe ut aliquid communi menſa ſecum cibi caperet. Inde tabulas ei reddiderunt, juſſeruntque ut de reliqua præda ſumeret quicquid ei cordi eſſet. Ille vero præter thus quo ad ſacra publica utebatur, nihil cepit, atque ita, poſtquam eos comiter ſalutavit, digreſſus eſt.

Ut Romam rediit, pacem eam totam exagitaverunt, & inſectati ſunt ut indignam & fœdam civitati. At militum neceſſarii, quæ portio erat ingens populi, concurſu ad Tiberium facto, quod inerat rei geſtæ maculæ aſcribebant duci, ſalutem vero tam multorum civium ei tribuebant. Enimvero hi quos pax illa offendebat, proponebant exemplum majorum. Quippe illi duces qui cupide fuerant amplexi fœdus quo dimiſerant eos Samnites, nudos hoſtibus dediderunt, conſorteſque & participes illius fœderis faciendi, velut quæſtores & tribunos, æque tradiderunt: quo verterent in eos perjurium & violationem pacis. Hic vero præcipue ſuam erga Tiberium benevolentiam & ſtudium declaravit populus: qui conſulem Numantinis nudum & vinctum juſſit dedi, cæteris omnibus Tiberii cauſa pepercit. Arbitror etiam eum qui ea tempeſtate Romæ ſummus erat & plurimum pollebat, opem ei tuliſſe Scipionem: fuit ei tamen datum crimini quod Mancinum non protexerit, neque pacem Numantinam elaboraverit confirmari, per propinquum ſuum & familiarem compoſitam Tiberium. Cæterum has querelas maxima

ex

μίας, καὶ τῶν ἐπαιρόντων τὸν Τιβέριον φίλων καὶ σοφιστῶν, ἐκγγυέσθαι τὰ τῆς διαφορᾶς. ἀλλ᾽ αὕτη γε πρὸς οὐδὲν ἀνήκεστον οὐδὲ φαῦλον ἐξέπεσε. δοκεῖ δ᾽ ἄν μοι μηδαμῶς περιπεσεῖν ὁ Τιβέριος οἷς ἔπαθεν, εἰ παρῆν αὐτοῦ τοῖς πολιτεύμασι Σκιπίων ὁ Ἀφρικανός· νῦν δὲ ἐκείνου περὶ Νομαντίαν ὄντος ἤδη καὶ πολεμοῦντος, ἥψατο τῆς περὶ τοὺς νόμους πολιτείας ἐκ τοιαύτης αἰτίας.

Ῥωμαῖοι τῆς τῶν ἀστυγειτόνων χώρας ὅσην ἐπετέμοντο πολέμῳ, τὴν μὲν ἐπίπρασκον, τὴν δὲ ποιούμενοι δημοσίαν, ἐδίδοσαν νέμεσθαι τοῖς ἀκτήμοσι καὶ ἀπόροις τῶν πολιτῶν, ἀποφορὰν οὐ πολλὴν εἰς τὸ δημόσιον τελοῦσιν. ἀρξαμένων δὲ τῶν πλουσίων ὑπερβάλλειν τὰς ἀποφορὰς, καὶ τοὺς πένητας ἐξελαυνόντων, ἐγράφη νόμος, οὐκ ἐῶν πλέθρα γῆς ἔχειν πλείονα πεντακοσίων. καὶ βραχὺν μὲν χρόνον ἐπέσχε τὴν πλεονεξίαν τὸ γράμμα τοῦτο, καὶ τοῖς πένησιν ἐβοήθησε, κατὰ χώραν μένουσιν ἐπὶ τῶν μεμισθωμένων, καὶ νεμομένοις ἣν ἕκαστος ἐξ ἀρχῆς εἶχε μοῖραν. ὕστερον δὲ τῶν γειτνιώντων πλουσίων ὑποβλήτοις προσώποις μεταφερόντων τὰς μισθώσεις εἰς ἑαυτοὺς, τέλος δὲ φανερῶς ἤδη δι᾽ ἑαυτῶν τὰ πλεῖστα κατεχόντων, ἐξωσθέντες οἱ πένητες, οὔτε ταῖς στρατείαις ἔτι προθύμους παρεῖχον ἑαυτοὺς, ἠμέλουν τε παίδων ἀνατροφῆς, ὡς ταχὺ τὴν Ἰταλίαν ἅπασαν ὀλιγανδρείας ἐλευθέρων ἔσεσθαι, δεσμωτηρίων δὲ βαρβαρικῶν ἐμπεπλῆσθαι, δι᾽ ὧν ἐγεώργουν οἱ πλούσιοι τὰ χωρία, τοὺς πολίτας ἐξελάσαντες. ἐπεχείρησε μὲν οὖν τῇ διορθώσει Γάϊος Λαίλιος ὁ Σκιπίωνος ἑταῖρος· ἀντικρουσάντων δὲ τῶν δυνατῶν, φοβηθεὶς τὸν θόρυβον καὶ παυσάμενος, ἐπεκλήθη σοφὸς, ἢ φρόνιμος. ἑκάτερον γὰρ ἐδόκει

ex parte ex ambitione Tiberii amicorum & doctorum, qui concitabant eum in Scipionem, apparet manaſſe. In inimicitiam hæc tamen acerbiorem aut incommodum non erupere. Immo vero nequaquam mihi videtur Tiberius in eos caſus incurſurus fuiſſe, ſi actionibus ejus interfuiſſet Scipio Africanus. Nunc dum ille jam ad Numantiam agit & res gerit, leges ferre ex cauſa hujuſcemodi auſpicatus eſt.

Populus Romanus agrum quem finitimis bello eripuerat, partim vendiderat ſub haſta, partim publicum fecerat. Eum inopibus & tenuioribus civibus ſub exigua penſione, quam ærario ferrent, locabant. Ut pecunioſi mercedem intendere, & pauperes ceperunt ſummovere, lex lata eſt quæ vetuit ne quis plus quingentis jugeribus agri poſſideret. Frænavit aliquandiu hæc ſanctio cupiditatem opulentorum, ſublevavitque egenos qui locata retinebant, fruebanturque ſorte quam quiſque a primo acceperat. Poſt per appoſitas perſonas transferentibus conductiones in ſe opulentis, ac denique propalam jam ſuo nomine pleraſque detinentibus, expulſi pauperes neque ad militiam ſe præſtabant alacres, abjiciebantque educandorum curam liberorum: unde brevi Italia infrequentia laboravit omnis liberorum hominum, & ergaſtulis completa eſt barbaricis: quibus colebant agros opulenti exactis civibus. Id corrigere familiaris Scipionis adortus C. Lælius, quia renitentibus potentibus deſtitit ob tumultus metum, Sapiens

ἐδόκει σημαίνειν ὁ σαπίηνς. ὁ Τιβέριος δὲ δήμαρχος ἀποδειχθεὶς, εὐθὺς ἐπ' αὐτὴν ὥρμησε τὴν πρᾶξιν, ὡς μὲν οἱ πλεῖστοι λέγουσι, Διοφάνους τοῦ ῥήτορος καὶ Βλοσσίου τοῦ φιλοσόφου παρορμησάντων αὐτόν· ὧν ὁ μὲν Διοφάνης, φυγὰς ἦν Μιτυληναῖος· ὁ δὲ, αὐτόθεν ἐξ Ἰταλίας Κυμαῖος, Ἀντιπάτρου τοῦ Ταρσέως γεγονὼς ἐν ἄστει συνήθης, καὶ τετιμημένος ὑπ' αὐτοῦ προσφωνήσεσι γραμμάτων φιλοσόφων. ἔνιοι δὲ καὶ Κορνηλίαν συνεπαιτιῶνται τὴν μητέρα, πολλάκις τοὺς υἱοὺς ὀνειδίζουσαν, ὅτι Ῥωμαῖοι Σκιπίωνος αὐτὴν ἔτι πενθερὰν, οὔπω δὲ μητέρα Γράκχων προσαγορεύουσιν. ἄλλοι δὲ Σπόριόν τινα Ποστούμιον λέγουσιν αἴτιον γενέσθαι, ἡλικιώτην τοῦ Τιβερίου, καὶ πρὸς δόξαν ἐφάμιλλον αὐτῷ περὶ τὰς συνηγορίας. ὃν, ὡς ἐπανῆλθεν ἀπὸ τῆς στρατείας, εὑρὼν πολὺ τῇ δόξῃ καὶ τῇ δυνάμει παρηλλαχότα καὶ θαυμαζόμενον, ἠθέλησεν, ὡς ἔοικεν, ὑπερβαλέσθαι, πολιτεύματος παραβόλου καὶ μεγάλην προσδοκίαν ἔχοντος ἁψάμενος. ὁ δὲ ἀδελφὸς αὐτοῦ Γάϊος ἔν τινι βιβλίῳ γέγραφεν, εἰς Νομαντίαν πορευόμενον διὰ τῆς Τυῤῥηνίας τὸν Τιβέριον, καὶ τὴν ἐρημίαν τῆς χώρας ὁρῶντα, καὶ τοὺς γεωργοῦντας ἢ νέμοντας, οἰκέτας ἐπεισάκτους καὶ βαρβάρους, τότε πρῶτον ἐπὶ νοῦν βαλέσθαι τὴν μυρίων κακῶν ἄρξασαν αὐτοῖς πολιτείαν. τὴν δὲ πλείστην αὐτὸς ὁ δῆμος ὁρμὴν καὶ φιλοτιμίαν ἐξῆψε, προκαλούμενος διὰ γραμμάτων αὐτὸν ἐν στοαῖς καὶ τοίχοις καὶ μνήμασι γραφομένων, ἀναλαβεῖν τοῖς πένησι τὴν δημοσίαν χώραν.

Οὐ μὴν ἐφ' αὐτοῦ γε συνέθηκε τὸν νόμον, τοῖς δὲ πρωτεύουσιν ἀρετῇ καὶ δόξῃ

Sapiens eſt appellatus. At Tiberius tribunus plebis creatus, ei actioni illico admovit manum, a Diophane oratore & Bloſſio philoſopho (ut tradunt plerique) incenſus: quorum Diophanes, exul erat Mitylenæus, alter ex Italia Cumanus. Hic in urbe Tarſenſem Antipatrum audiverat, a quo honoratus fuerat commentariorum philoſophicorum nuncupationibus. Nonnulli Corneliæ quoque matri adſcribunt aliquid culpæ: quæ filiis crebro objiceret quod populus Romanus Scipionis ſe adhuc ſocrum, nondum matrem Gracchorum vocaret. Alii Sp. quendam Poſthumium perhibent autorem fuiſſe, Tiberii æqualem, atque in gloria cauſarum dicendarum æmulum: quem poſt reditum a militia offendens longe gloria potentiaque præfulgentem & celebrem, voluit eum meo judicio tranſgredi actione ſuſcepta ancipiti & magnæ exſpectationis. At frater ejus Caius in quodam libro reliquit ſcriptum, quum Numantiam pergeret per Hetruriam Tiberius, ſolitudinemque agrorum ſpectaret, agricolas autem & paſtores ſervitia eſſe peregrina & barbara, tunc primum illam actionem, ex qua infinita iis fluxerunt mala, animo complexum. Maxima vero ex parte ipſe ardorem & contentionem hujus inflammavit populus, per libellos provocando eum in porticibus, muris & monumentis perſcriptos, ut inopibus agrum publicum redderet.

Legem non compoſuit tamen ſolus, ſed adhibuit

δόξῃ τῶν πολιτῶν συμβούλοις χρησάμενος· ὧν καὶ Κράσσος ἦν ὁ ἀρχιερεὺς, καὶ Μούκιος Σκαιόλας ὁ νομοθέτης, ὑπατεύων τότε, καὶ Κλαύδιος Ἄππιος ὁ κηδεστὴς τοῦ Τιβερίου. καὶ δοκεῖ νόμος εἰς ἀδικίαν καὶ πλεονεξίαν τοσαύτην μηδέποτε πρᾳότερος γραφῆναι καὶ μαλακώτερος. οὓς γὰρ ἔδει δίκην τῆς ἀπειθίας δοῦναι, καὶ μετὰ ζημίας ἣν παρὰ τοὺς νόμους ἐκαρποῦντο χώραν ἀφεῖναι, τούτους ἐκέλευσε τιμὴν προσλαμβάνοντας ἐκβαίνειν ὧν ἀδίκως ἐκέκτηντο, καὶ παραδέχεσθαι τοὺς βοηθείας δεομένους τῶν πολιτῶν. ἀλλὰ καίπερ οὕτω τῆς ἐπανορθώσεως οὔσης εὐγνώμονος, ὁ μὲν δῆμος ἠγάπα, παρεὶς τὰ γεγενημένα, παύσασθαι τὸ λοιπὸν ἀδικούμενος· οἱ δὲ πλούσιοι καὶ κτηματικοὶ πλεονεξίᾳ μὲν τὸν νόμον, ὀργῇ δὲ καὶ φιλονεικίᾳ τὸν νομοθέτην δι᾽ ἔχθους ἔχοντες, ἐπεχείρουν ἀποτρέπειν τὸν δῆμον, ὡς γῆς ἀναδασμὸν ἐπὶ συγχύσει τῆς πολιτείας εἰσάγοντος τοῦ Τιβερίου, καὶ πάντα πράγματα κινοῦντος. ἀλλ᾽ οὐδὲν ἐπέραινον· ὁ γὰρ Τιβέριος πρὸς καλὴν ὑπόθεσιν καὶ δικαίαν ἀγωνιζόμενος λόγῳ καὶ φαυλότερα κοσμῆσαι δυναμένῳ πράγματα, δεινὸς ἦν καὶ ἄμαχος, ὁπότε τοῦ δήμου τῷ βήματι περικεχυμένου καταστὰς λέγοι περὶ τῶν πενήτων, ὡς τὰ μὲν θηρία τὰ τὴν Ἰταλίαν νεμόμενα, καὶ φωλεὸν ἔχει καὶ κοιταῖον ἐστὶν αὐτῶν ἑκάστῳ καὶ καταδύσεις, τοῖς δὲ ὑπὲρ τῆς Ἰταλίας μαχομένοις καὶ ἀποθνήσκουσιν, ἀέρος καὶ φωτὸς, ἄλλου δὲ οὐδενὸς μέτεστιν, ἀλλ᾽ ἄοικοι καὶ ἀνίδρυτοι μετὰ τέκνων πλανῶνται καὶ γυναικῶν· οἱ δὲ αὐτοκράτορες ψεύδονται, τοὺς στρατιώτας ἐν ταῖς μάχαις παρακαλοῦντες ὑπὲρ τάφων καὶ

buit in conſilium principes virtute & autoritate cives: in quibus Craſſus fuit Pontifex Max. Mutius Scævola juriſconſultus, qui id temporis conſulatu fungebatur, & Appius Claudius ſocer ejus. Neque videtur lex in injuriam & iniquitatem adeo grandem fuiſſe unquam lata mitior vel mollior: quippe a quibus exigenda violatæ legis piacula erant, & quibus cum mulcta agri quos tenebant contra legem erant dimittendi: ab his poſtulavit ut accepto inſuper præmio relinquerent ea quæ inique uſurpaverant, redderentque ea civibus qui ſublevandi erant. Verum quamvis adeo eſſet levis correctio, ſat habuit tamen populus diſſimulatis anteactis, ne læderetur in poſterum cavere. At divites & locupletes per cupiditatem legi, per iram & pervicaciam infenſi legiſlatori, populum abducere moliebantur ab ea: quaſi legem agrariam ad rempub. conturbandam Tiberius induceret, & res novas undique moliretur. Verum nihil proficiebant. Siquidem in præclaro argumento & juſto decertans Tiberius facundia, qua valebat ornare vel turpiores materias, vehemens erat & inexpugnabilis, quum circumfuſa concione conſiſtens in roſtris hoc modo ageret pauperum cauſam, Feras etiam Italiam incolentes luſtra habere & cubilia ſingulas ſtabulaque: illis vero qui arma ferrent pro Italia & ſanguinem profunderent, nihil præter aera & lucem concedi, ſed ſine tectis ſedibuſque cum liberis & conjugibus vagari: ludibrio haberi ad imperatoribus milites, quum eos adhortantur in acie ut pro aris

καὶ ἱερῶν ἀμύνεσθαι τοὺς πολεμίους. οὐδενὶ γάρ ἐστιν οὐ βωμὸς πατρῷος, οὐκ ἠρίον προγονικὸν τῶν τοσούτων Ῥωμαίων, ἀλλ' ὑπὲρ ἀλλοτρίας τρυφῆς καὶ πλούτου πολεμοῦσι καὶ ἀποθνήσκουσι, κύριοι τῆς οἰκουμένης εἶναι λεγόμενοι, μίαν δὲ βῶλον ἰδίαν οὐκ ἔχοντες.

Τούτους ἀπὸ φρονήματος μεγάλου καὶ πάθους ἀληθινοῦ τοὺς λόγους κατιόντας εἰς τὸν δῆμον ἐνθουσιῶντα καὶ συνεξανιστάμενον οὐδεὶς ὑφίστατο τῶν ἐναντίων. ἐάσαντες οὖν τὸ ἀντιλέγειν, ἐπὶ Μάρκον Ὀκτάβιον τρέπονται τῶν δημάρχων ἕνα, νεανίαν ἐμβριθῆ τὸ ἦθος καὶ κόσμιον, ἑταῖρον δὲ τοῦ Τιβερίου καὶ συνήθη. διὸ τὸ μὲν πρῶτον αἰδούμενος ἐκεῖνον ἀνεδύετο· πολλῶν δὲ καὶ δυνατῶν δεομένων καὶ λιπαρούντων, ὥσπερ ἐκβιασθεὶς ἀντικαθίστατο τῷ Τιβερίῳ, καὶ διεκρούετο τὸν νόμον. ἔστι δὲ τοῦ κωλύοντος ἐν τοῖς δημάρχοις τὸ κράτος. οὐδὲν γὰρ οἱ πολλοὶ κελεύοντες περαίνουσιν ἑνὸς ἐνισταμένου. πρὸς τοῦτο παροξυνθεὶς ὁ Τιβέριος, τὸν μὲν φιλάνθρωπον ἐπανείλετο νόμον· τὸν δὲ ἡδίω τε τοῖς πολλοῖς καὶ σφοδρότερον ἐπὶ τοὺς ἀδικοῦντας εἰσέφερεν, ἤδη κελεύων ἐξίστασθαι τῆς χώρας ἣν ἐκέκτηντο παρὰ τοὺς προτέρους νόμους. ἦσαν οὖν ὁμοῦ τι καθ' ἑκάστην ἡμέραν ἀγῶνες αὐτῷ πρὸς τὸν Ὀκτάβιον ἐπὶ τοῦ βήματος· ἐν οἷς καίπερ ἐξ ἄκρας σπουδῆς καὶ φιλονεικίας ἀντερείδοντες, οὐδὲν εἰπεῖν λέγονται περὶ ἀλλήλων φλαῦρον, οὐδὲ ῥῆμα προσπεσεῖν θατέρου πρὸς τὸν ἕτερον δι' ὀργὴν ἀνεπιτήδειον. οὐ γὰρ μόνον ἐν βακχεύμασιν, ὡς ἔοικεν, ἀλλὰ καὶ ἐν φιλοτιμίαις καὶ ὀργαῖς τὸ πεφυκέναι καλῶς, καὶ πεπαιδεῦσθαι σωφρόνως, ἐφί-

aris & focis dimicent: nemini enim in tanto numero civium vel aram paternam eſſe vel monumentum avitum, verum pro alienis deliciis opulentiaque belligerare & emori: nominari orbis terræ dominos, qui ne glebam quidem, ubi pedem ponant in ſuo, habeant.

Hæc verba a magno ſpiritu & vero animi motu in populum demiſſa, quæ fanaticum eum & lymphatum reddebant, nemo ſuſtinebat adverſariorum. Igitur abſiſtentes a digladiatione verborum, ad unum ex tribunis convertunt ſe, M. Octavium, gravibus juvenem moribus & modeſtum, Tiberii autem amicum & familiarem: unde illius pudore detrectavit primum ſe ei objicere; verum potentibus magna caterva orantibus eum atque inſtantibus, tanquam expugnatus objecit ſe Tiberio & legem inſtitit antiquare. Prævalet autem inter tribunos illius poteſtas qui quid vetat: nihil enim ſciſcere plebs uno valet intercedente. Hinc incenſus Tiberius, legi illi benigniori ſalutem dixit, gratioremque multitudini & flagrantiorem promulgavit in fraudatores, jubens extemplo illo excedere eos agro cui contra ſuperiores leges incubabant. Erant fere quotidie ei in roſtris cum Octavio certamina: in quibus etſi ſummo ſtudio ac contentione decertarent inter ſe, nihil contumelioſe tamen feruntur invicem dixiſſe, neque verbum excidiſſe in alterum alteri ex indignatione importunum. Neque enim in bacchanalibus ſolum, ſed & in contentionibus & ira ſtomacho coercet & componit præclara indoles & bona inſtitutio

ἐφίστησι καὶ κατακοσμεῖ τὴν διάνοιαν. ἐπεὶ δ' ἑώρα τὸν Ὀκτάβιον ἐνεχόμενον τῷ νόμῳ, καὶ κατέχοντα τῆς δημοσίας χώρας συχνὴν, ὁ Τιβέριος ἐδεῖτο παρεῖναι τὴν φιλονεικίαν, ὑφιστάμενος αὐτῷ τὴν τιμὴν ἀποδώσειν ἐκ τῶν ἰδίων, καίπερ οὐ λαμπρῶν ὄντων. οὐκ ἀναχομένου δὲ τοῦ Ὀκταβίου, διαγράμματι τὰς ἄλλας ἀρχὰς ἁπάσας ἐκώλυσε χρηματίζειν, ἄχρις ἂν ἡ περὶ τοῦ νόμου διενεχθῇ ψῆφος. τῷ δὲ τοῦ Κρόνου ναῷ σφραγίδας ἰδίας ἐπέβαλεν, ὅπως οἱ ταμίαι μηδὲν ἐξ αὐτοῦ λαμβάνοιεν μηδ' εἰσφέροιεν· καὶ τοῖς ἀπειθήσασι τῶν στρατηγῶν ζημίαν ἐπεκήρυξεν, ὥστε πάντας ὑποδείσαντας ἀφεῖναι τὴν ἑκάστῳ προσήκουσαν οἰκονομίαν. ἐντεῦθεν οἱ κτηματικοὶ τὰς μὲν ἐσθῆτας μετέβαλον, καὶ περιῄεσαν οἰκτροὶ καὶ ταπεινοὶ κατὰ τὴν ἀγοράν. ἐπεβούλευον δὲ τῷ Τιβερίῳ κρύφα, καὶ συνίστασαν ἐπ' αὐτὸν τοὺς ἀναιρήσοντας· ὥστε κἀκεῖνον οὐδενὸς ἀγνοοῦντος ὑποζώννυσθαι ξιφίδιον λῃστρικὸν, ὃ δόλωνα καλοῦσιν.

Ἐνστάσης δὲ τῆς ἡμέρας, καὶ τὸν δῆμον αὐτοῦ καλοῦντος ἐπὶ τὴν ψῆφον, ἡρπάσθησαν ὑπὸ τῶν πλουσίων αἱ ὑδρίαι, καὶ τὰ γινόμενα πολλὴν εἶχε σύγχυσιν. οὐ μὴν ἀλλὰ τῶν περὶ τὸν Τιβέριον πλήθει βιάσασθαι δυναμένων, καὶ συστρεφομένων ἐπὶ τούτῳ, Μάλλιος καὶ Φούλβιος, ἄνδρες ὑπατικοὶ, προσπεσόντες Τιβερίῳ, καὶ χειρῶν ἁπτόμενοι καὶ δακρύοντες ἐδέοντο παύσασθαι. τοῦ δὲ καὶ τὸ μέλλον ὅσον οὔπω δεινὸν ἤδη συμφρονοῦντος, καὶ δι' αἰδῶ τῶν ἀνδρῶν πυθομένου τί κελεύουσι πράττειν αὐτὸν, οὐκ ἔφασαν ἀξιόχρεως εἶναι πρὸς τηλικαύτην συμβουλίαν· ἐπιτρέψαι δὲ τῇ βουλῇ κελεύοντες
καὶ

tutio mentem. Ut vero Octavium advertit in legem commiſiſſe, & multum tenere agri publici: rogavit eum Tiberius ut abjiceret certamen, pretium ſe oſtendens ei ex facultatibus ſuis, quamvis non lautis, depenſurum. Abnuente Octavio, vetuit alios magiſtratus omnes per edictum muneribus ſuis fungi, dum perlata lex eſſet. Templum Saturni annulo ſuo conſignavit, ne quid quæſtores inde vel ſumerent vel inferrent, adſcripſitque mulctam, ni parerent, prætoribus. Ita territi, omiſerunt omnes ſuorum quiſque officiorum partes. Hinc locupletes veſtem mutare, ſordidatique & ſqualidi in foro circumire, ſtruere etiam clam Tiberio inſidias, ſubornareque ei percuſſores. Ita ille quoque aperte ſica, quam dolonem vocant, accinctus fuit.

Appetente die, populumque Tiberio in ſuffragia mittente, quia ſubtractæ a divitibus fuerunt urnæ, res ad tumultum ſpectabat. Enimvero quum Tiberii factio numero vim facere poſſet, atque ad id ſe conglobaret: Manlius & Fulvius, viri conſulares, ad genua Tiberii accidentes, manuſque cum lacrymis tangentes, oraverunt eum ut rem deſereret. Qui quum hinc jamjam imminens malum animadverteret, hinc illorum moveretur reverentia, requiſivit ab eis quid ab ſe vellent fieri: qui negaverunt ſe tantæ conſultationi pares eſſe, hortantes autem precanteſque ut permitteret
eam

καὶ δεόμενοι συνέπεισαν. ὡς δ' οὐδὲν ἐπέραινεν ἡ βουλὴ συνελθοῦσα διὰ τοὺς πλουσίους ἰσχύοντας ἐν αὐτῇ, τρέπεται πρὸς ἔργον οὐ νόμιμον, οὐδὲ ἐπιεικὲς, ἀφελέσθαι τῆς ἀρχῆς τὸν Ὀκτάβιον, ἀμηχανῶν ἄλλως ἐπαγαγεῖν τῷ νόμῳ τὴν ψῆφον· καὶ πρῶτον μὲν ἐδεῖτο φανερῶς, αὐτῷ λόγους τε προσφέρων φιλανθρώπους, καὶ χειρῶν ἁπτόμενος, ἐνδοῦναι καὶ χαρίσασθαι τῷ δήμῳ δίκαια μὲν ἀξιοῦντι, μικρὰ δ' ἀντὶ μεγάλων πόνων καὶ κινδύνων ληψομένῳ. διωθουμένου δὲ τοῦ Ὀκταβίου τὴν ἔντευξιν, ὑπειπὼν ὁ Τιβέριος ὡς οὐκ ἔστιν ἄρχοντας ἀμφοτέρους, καὶ περὶ πραγμάτων μεγάλων ἀπ' ἴσης ἐξουσίας διαφερομένους, ἄνευ πολέμου διεξελθεῖν τὸν χρόνον, ἓν ἴαμα τοῦτο μόνον ὁρᾶν ἔφη, τὸ παύσασθαι τῆς ἀρχῆς τὸν ἕτερον. καὶ περὶ αὐτοῦ γε πρότερον τὸν Ὀκτάβιον ἐκέλευσε τῷ δήμῳ ψῆφον ἀναδοῦναι· καταβήσεσθαι γὰρ εὐθὺς ἰδιώτης γενόμενος, ἂν τοῦτο δόξῃ τοῖς πολίταις. τοῦ δ' Ὀκταβίου μὴ θέλοντος, αὐτὸς ἔφη περὶ ἐκείνου ψῆφον ἀναδώσειν, ἐὰν μὴ μεταγνῷ βουλευσάμενος.

Καὶ τότε μὲν ἐπὶ τούτοις διέλυσε τὴν ἐκκλησίαν. τῇ δ' ὑστεραίᾳ τοῦ δήμου συνελθόντος, ἀναβὰς ἐπὶ τὸ βῆμα, πάλιν ἐπειρᾶτο πείθειν τὸν Ὀκτάβιον· ὡς δ' ἦν ἀμετάπειστος, εἰσήνεγκε νόμον ἀφαιρούμενον αὐτοῦ τὴν δημαρχίαν, καὶ τοὺς πολίτας εὐθὺς ἐκάλει τὴν ψῆφον ἐπιφέροντας. οὐσῶν δὲ πέντε καὶ τριάκοντα φυλῶν, ὡς αἱ δεκαεπτὰ τὴν ψῆφον ἐπενηνόχεισαν, καὶ μιᾶς ἔτι προσγινομένης ἔδει τὸν Ὀκτάβιον ἰδιώτην γενέσθαι, κελεύσας ἐπισχεῖν, αὖθις ἐδεῖτο τοῦ Ὀκταβίου. καὶ περιέβαλλεν αὐτὸν ἐν ὄψει τοῦ δήμου καὶ κατησπάζετο, λιπαρῶν καὶ δεόμενος μήτε αὐτὸν ἄτιμον περιϊδεῖν γενόμενον,

eam ſenatui, induxerunt eum. Ut vero nihil ſenatus coactus propter opes in curia locupletum, expedivit: tranſit jam ad facinus nec legitimum nec probum, Octavio ut poteſtatem tribunitiam abroget, certus non poſſe alioqui perferre ſe legem. Ac primum in publico oravit eum, benignis verbis & ſupplicibus cum eo agens, ut concederet & accommodaret ſe populo æqua petenti, & exigua pro magnis laboribus & periculis accepturo. Rejiciente hanc interpellationem Octavio, teſtificatus Tiberius non poſſe in tribunatu ambos magnis de rebus a pari poteſtate diſſidentes traducere ſine bello tempus, unum ſe oſtendit hujus videre remedium, alteri ſi magiſtratus ſit abrogatus: ac de ſe juſſit priore Octavium ad ſuffragia populum vocare: confeſtim enim ſe, ſi ita viſum ſit civibus, poteſtate abiturum. Detrectante Octavio, jam de ipſo ait ſe, niſi re deliberata meliora conſilia cepiſſet, ſuffragia propoſiturum.

Atque his in præſenti denunciatis concionem dimiſit. Inſequenti die convocato populo conſcendit roſtra, anniſuſque denuo eſt Octavium inducere ad deſiſtendum: qui ut fuit inflexibilis, legem rogavit qua tribunatus ei abrogabatur, populumque extemplo miſit in ſuffragia. Ex quinque & triginta tribubus ut ſeptemdecim legem juſſerunt, una autem ſi inſuper accederet privatus fiebat Octavius: juſſo ſuſtineri ſuffragia, aggreditur ex integro Octavium precibus, ac complectitur hominem conſpiciente populo, oſculaturque eum ſupplex atque obſecrans, ne admittat iſta

μένον, μήτε ἐκείνῳ βαρέος οὕτω καὶ σκυθρωποῦ πολιτεύματος αἰτίαν προσάψαι. τούτων τῶν δεήσεων οὐ παντελῶς ἄτεγκτον οὐδὲ ἀτενῆ λέγουσιν ἀκροάσασθαι τὸν Ὀκτάβιον, ἀλλὰ καὶ δακρύων ὑποπίμπλασθαι τὰ ὄμματα, καὶ σιωπᾶν ἐπὶ πολὺν χρόνον. ὡς μέντοι πρὸς τοὺς πλουσίους καὶ τοὺς κτηματικοὺς συνεστῶτας ἀπέβλεψεν, αἰδεσθεὶς δοκεῖ καὶ φοβηθεὶς τὴν παρ' ἐκείνοις ἀδοξίαν ὑποστῆναι πᾶν δεινόν, οὐκ ἀγεννῶς κελεῦσαι πράττειν ὃ βούλεται τὸν Τιβέριον. οὕτω δὴ τοῦ νόμου κυρωθέντος, ὁ μὲν Τιβέριος τῶν ἀπελευθέρων τινὶ προσέταξεν ἀπὸ τοῦ βήματος ἑλκύσαι τὸν Ὀκτάβιον· ἐχρῆτο δὲ ὑπηρέταις, ἀπελευθέροις ἰδίοις· καὶ τοῦτο τὴν ὄψιν οἰκτροτέραν τοῦ Ὀκταβίου παρέσχεν, ἑλκομένου πρὸς ὕβριν. ὁ δὲ δῆμος ἐφώρμησεν αὐτῷ, καὶ τῶν πλουσίων συνδραμόντων, καὶ διασχόντων τὰς χεῖρας, ὁ μὲν Ὀκτάβιος ἐσώθη μόνος, ἐξαρπαγεὶς καὶ διαφυγὼν τὸν ὄχλον, οἰκέτην δὲ αὐτοῦ πιστὸν ἔμπροσθεν ἑστῶτα καὶ προτεταγμένον ἐξετύφλωσαν, ἄκοντος τοῦ Τιβερίου, καὶ πρὸς τὸν θόρυβον, ὡς ᾔσθετο τὰ γινόμενα, πολλῇ σπουδῇ καταδραμόντος.

Ἐκ τούτου κυροῦται μὲν ὁ περὶ τῆς χώρας νόμος, αἱροῦνται δὲ τρεῖς ἄνδρες ἐπὶ τὴν διάκρισιν καὶ τὴν διανομήν, αὐτὸς Τιβέριος, καὶ Κλαύδιος Ἄππιος ὁ πενθερός, καὶ Γάϊος ὁ Γράκχος ὁ ἀδελφός, οὐ παρὼν οὗτος, ἀλλὰ ὑπὸ Σκιπίωνι πρὸς Νομαντίαν στρατευόμενος. ταῦτα τοῦ Τιβερίου διαπραξαμένου καθ' ἡσυχίαν, μηδενὸς ἐνισταμένου, καὶ πρὸς τούτοις δήμαρχον ἀντικαταστήσαντος οὐδένα τῶν ἐπιφανῶν, ἀλλὰ Μούκιόν τινα πελάτην αὐτοῦ, πρὸς πάντα δυσχεραίνοντες οἱ δυνατοί, καὶ φοβούμενοι τοῦ Τιβερίου τὴν αὔξη-

iſta ut ei infligatur infamia, neve tam acerbi ſibi & triſtis facti culpam inuri patiatur. Has preces haud undequaque memorant immotum & rigidum audiviſſe Octavium: ſed oculos ei lacrymis quoque repletos fuiſſe, ac perdiu ſilentium tenuiſſe. Poſtquam tamen ad pecunioſos & locupletes conglobatos convertit oculos, rubore apparet eum & metu ne incurreret apud illos probrum, omnia acerba ſubſtitiſſe: nec ingeneroſe dixiſſe, ageret, quod ei viſum eſſet, Tiberius. Ita perlata lege, imperavit Tiberius uni ex libertis ut Octavium de roſtris detraheret. Apparitoribus autem utebatur libertis ſuis: idque ſpeciem indigniorem reddidit, quod detraheretur Octavius contumelioſe. Ibi quum populus impetum in eum faceret, concurrentibus divitibus ac vim repellentibus, unus incolumis ereptus eſt & effugit populum Octavius: ſervo autem ejus fido, qui quaſi in fronte pro eo objecerat ſe, oculos eruerunt, invito Tiberio, & ad tumultum, ubi animadvertit quid ageretur, propere devolante.

Hinc lex agraria ſciſcitur. Triumviri creantur diſquirendo & diſtribuendo agro, ipſe Tiberius, Appius Claudius ſocer ejus, frater C. Gracchus abſens, qui ſub Scipione apud Numantiam militabat. His quiete a Tiberio nemine obſiſtente perpetratis, ad hæc tribuno ſubrogato non ex claris viro ullis, ſed Mutio quodam ejus cliente, indignantes ad omnia potentes & Tiberii formidantes in-

αὔξησιν, ἐν τῇ βουλῇ προεπηλάκιζον αὐτόν, αἰτουμένῳ μὲν, ὡς ἔθος ἐστὶν, ἐκ δημοσίου σκηνὴν, ὅπως ἔχοι διανέμων τὴν χώραν, οὐ δόντες, ἑτέρων ἐπ' ἐλάττοσι χρείαις πολλάκις λαβόντων, ἀνάλωμα δὲ εἰς ἑκάστην ἡμέραν ἐννέα ὀβολοὺς τάξαντες· εἰσηγουμένου ταῦτα Ποπλίου Νασικᾶ, καὶ δεδωκότος ἑαυτὸν εἰς τὴν πρὸς ἐκεῖνον ἔχθραν ἀφειδῶς. πλείστην γὰρ ἐκέκτητο γῆν δημοσίαν, καὶ χαλεπῶς ἔφερεν ἐκβαίνειν αὐτῆς ἀναγκαζόμενος. ὁ δὲ δῆμος ἔτι μᾶλλον ἐξεκάετο· καὶ φίλου τινὸς τῷ Τιβερίῳ τελευτήσαντος αἰφνιδίως, καὶ σημείων τῷ νεκρῷ μοχθηρῶν ἐπιδραμόντων, βοῶντες ὑπὸ φαρμάκων ἀνῃρῆσθαι τὸν ἄνθρωπον, ἐπὶ τὴν ἐκφορὰν συνέδραμον, καὶ τὸ λέχος ἤραντο, καὶ θαπτομένῳ παρέστησαν, οὐ φαύλως ὑπονοῆσαι τὴν φαρμακείαν δόξαντες. ἐρράγη γὰρ ὁ νεκρὸς, καὶ διεφθορότων ὑγρῶν πλῆθος ἐξέβλυσεν, ὥστε ἀποσβέσαι τὴν φλόγα. καὶ φερόντων ἄλλην αὖθις οὐκ ἐκάετο, πρὶν εἰς ἕτερον τόπον μετακομισθῆναι. καὶ πολλὰ πραγματευσαμένων, μόλις ἥψατο τὸ πῦρ αὐτοῦ. πρὸς ταῦτα τοὺς πολλοὺς ἔτι μᾶλλον ὁ Τιβέριος παροξύνων, μετέβαλε τὴν ἐσθῆτα, καὶ τοὺς παῖδας προαγαγὼν, ἐδεῖτο τοῦ δήμου τούτων κήδεσθαι καὶ τῆς μητρὸς, ὡς αὐτὸς ἀπεγνωκὼς ἑαυτόν.

Ἐπεὶ δὲ τοῦ Φιλοπάτορος Ἀττάλου τελευτήσαντος, Εὔδημος ὁ Περγαμηνὸς ἀνήνεγκε διαθήκην, ἐν ᾗ κληρονόμος ἐγέγραπτο τοῦ βασιλέως ὁ Ῥωμαίων δῆμος· εὐθὺς ὁ Τιβέριος δημαγωγῶν εἰσήνεγκε νόμον, ὅπως τὰ βασιλικὰ χρήματα κομισθέντα τοῖς τὴν χώραν διαλαγχάνουσι τῶν πολιτῶν ὑπάρχοι πρὸς κατασκευὴν καὶ γεωργίας ἀφορμήν. περὶ δὲ τῶν πόλεων ὅσαι

incrementa, omni contumelia affecerunt eum in curia. Poſtulanti de more ex publico tentorium, quo in agro dividundo uteretur, non dedere, quum levioribus in negotiis ſubinde accepiſſent alii. Ad ſumptum ſeſtertios in diem ſenos attribuerunt, P. Naſica referente, qui non dubitavit aperte objicere ſe illius inimicitiæ: quippe agrum publicum late poſſidebat, graviterque ferebat inde ſe expelli. At populus magis magiſque exarſit. Ac quum amicus quiſpiam Tiberii ſubito deceſſiſſet, in cujus cadavere tetra ſigna comparebant, vociferantes veneno hominem ſublatum, concurrerunt ad funus, lectumque ſubierunt: quum cremaretur, aſtiterunt, atque ibi haud ab re viſi ſunt veneficii ſuſpicionem habuiſſe. Namque diruptum cadaver fuit, ex quo pravorum humorum vis erupit: unde extincta flamma eſt, aliaque allata nihilo magis flagravit, donec fuit alio tranſlatum, magnoque negotio ægre id attigit ignis. Ad hæc quo plebem Tiberius etiam atque etiam inflammaret, veſtem mutavit, & liberos producens, quaſi deplorata ſalute ſua, commendavit eos matremque eorum populo.

Circa hanc tempeſtatem defunctus eſt Attalus Philopater: cujus tabulas teſtamenti, quibus populus Romanus ſcriptus hæres regis fuerat, Pergamenus Eudemus attulit. Hic mox Tiberius ambitioſe ad populum promulgavit legem, ut pecunia advecta regia ſortitis agrum civibus ad inſtrumentum parandum & ſubſidium agri colendi præberetur. De oppidis vero quæ regni

ὅσαι τῆς Ἀττάλου βασιλείας ἦσαν, οὐδὲν ἔφη τῇ συγκλήτῳ βουλεύεσθαι προσήκειν, ἀλλὰ τῷ δήμῳ γνώμην αὐτὸς προθήσειν. ἐκ τούτου μάλιστα προσέκρουσε τῇ βουλῇ· καὶ Πομπήϊος μὲν ἀναστὰς ἔφη γειτνιᾶν τῷ Τιβερίῳ, καὶ διὰ τοῦτο γινώσκειν Εὔδημον αὐτῷ τὸν Περγαμηνὸν τῶν βασιλικῶν διάδημα δεδωκότα καὶ πορφύραν, ὡς μέλλοντι βασιλεύειν ἐν Ῥώμῃ· Κόϊντος δὲ Μέτελλος ὠνείδισε τὸν Τιβέριον, ὅτι τοῦ μὲν πατρὸς αὐτοῦ τιμητεύοντος, ὁσάκις ἀναλύοι μετὰ δεῖπνον οἴκαδε, τὰ φῶτα κατεσβέννυσαν οἱ πολῖται, φοβούμενοι μὴ πορρωτέρω τοῦ μετρίου δόξωσιν ἐν συνουσίαις εἶναι καὶ πότοις· τούτῳ δὲ παραφαίνουσι νύκτωρ οἱ θρασύτατοι καὶ ἀπορώτατοι τῶν δημοτῶν. Τῖτος δὲ Ἄννιος οὐκ ἐπιεικὴς μὲν οὐδὲ σώφρων ἄνθρωπος, ἐν δὲ λόγῳ περὶ τὰς ἐρωτήσεις καὶ ἀποκρίσεις ἄμαχος εἶναι δοκῶν, εἰς ὁρισμόν τινα προὐκαλεῖτο τὸν Τιβέριον, ἦ μὴν ἱερὸν ὄντα καὶ ἄσυλον ἐκ τῶν νόμων ἠτιμηκέναι τὸν συνάρχοντα. θορυβούντων δὲ πολλῶν, ἐκπηδήσας ὁ Τιβέριος τόν τε δῆμον συνεκάλει, καὶ τὸν Ἄννιον ἀχθῆναι κελεύσας ἐβούλετο κατηγορεῖν. ὁ δὲ, καὶ τῷ λόγῳ καὶ τῇ δόξῃ πολὺ λειπόμενος, εἰς τὴν ἑαυτοῦ δεινότητα κατεδύετο, καὶ παρεκάλει μικρὰ πρὸ τῶν λόγων ἀποκρίνασθαι τὸν Τιβέριον. συγχωροῦντος δὲ ἐρωτᾶν ἐκεῖνον, καὶ σιωπῆς γενομένης, εἶπεν ὁ Ἄννιος, Ἂν σὺ μὲν ἀτιμοῦν με βούλῃ καὶ προπηλακίζειν, ἐγὼ δέ τινα τῶν σῶν ἐπικαλέσωμαι συναρχόντων, ὁ δὲ ἀναβῇ βοηθήσων, σὺ δὲ ὀργισθῇς· ἆρά γε αὐτοῦ τὴν ἀρχὴν ἀφαιρήσῃ; πρὸς ταύτην λέγεται τὴν ἐρώτησιν οὕτω διαπορηθῆναι τὸν Τιβέριον, ὥστε πάντων ὄντα καὶ τῷ λέγειν ἑτοιμότατον, καὶ τῷ θαῤῥεῖν ἰταμότατον, ἀποσιωπῆσαι.

Τότε

regni Attali fuiſſent, negavit quicquam ad curam ſenatus pertinere, ſed de iis ad concilium ſe populi relaturum. Hinc ſenatum offendit graviſſime. Exſurgens autem Pompeius, vicinum ſe ait Tiberii eſſe, atque ideo ſibi Eudemum Pergamenum conſtare diadema regium & purpuram ei, quaſi Romæ regnaturo, donaſſe. Quintus Metellus exprobravit Tiberio, patre ejus cenſore, quum reverteretur a cœna domum, lumina cives reſtinguere ſolitos, quod timerent ne longius quam oporteret, conviviis & poculis indulſiſſe viderentur: huic vero nocte audaciſſimos quoſque & mendiciſſimos de plebe prælucere. Porro Titus Annius, nec probitate nec modeſtia commendatus homo, ſed qui inter dicendum interrogationum & reſponſionum argutiis invictus haberetur, provocavit Tiberium ad ſponſionem, ni ſacroſanctum inviolandumque legibus collegam violaſſet. Obſtrepente plebe, exſiliens Tiberius advocavit concionem: & quum juſſiſſet Annium adduci, inſtituit eum poſtulare. Hic vero & facundia & dignitate longe illi concedens, ad artes ſe recepit ſuas, petivitque a Tiberio ut pauca ante diſceptationes requirere deeo liceret. Quo dante ut interrogaret, & ſilentio facto, ait Annius, Si tu infamem reddere me & dehoneſtare in animo habeas, ego autem aliquem ex collegis tuis appellem, atque ille auxilio mihi fuerit, tu vero ira ſis incenſus, extorquebiſne ei magiſtratum? Ad hanc quæſtionem referunt ita Tiberium hæſitaſſe, ut qui omnium eſſet ad dicendum expeditiſſimus, & projectiſſimus ad audendum, obmutuerit.

Ita

Τότε μὲν οὖν διέλυσε τὴν ἐκκλησίαν. αἰσθανόμενος δὲ τῶν πολιτευμάτων τὸ περὶ τὸν Ὀκτάβιον οὐ τοῖς δυνατοῖς μόνον ἀλλὰ καὶ τοῖς πολλοῖς ἐκπαθέστερον (μέγα γάρ τι καὶ καλὸν ἐδόκει τὸ τῶν δημάρχων ἀξίωμα μέχρι τῆς ἡμέρας ἐκείνης διατετηρημένον ἀνῃρῆσθαι καὶ καθυβρίσθαι) λόγον ἐν τῷ δήμῳ διεξῆλθεν, οὗ μικρὰ παραθέσθαι τῶν ἐπιχειρημάτων οὐκ ἄτοπον ἦν, ὥστε ὑπονοηθῆναι τὴν πιθανότητα καὶ πυκνότητα τοῦ ἀνδρός. ἔφη γὰρ ἱερὸν τὸν δήμαρχον εἶναι καὶ ἄσυλον, ὅτι τῷ δήμῳ καθωσίωται, καὶ τοῦ δήμου προέστηκεν. ἂν οὖν μεταβαλλόμενος τὸν δῆμον ἀδικῇ, καὶ τὴν ἰσχὺν κωλύῃ, καὶ παραιρῆται τὴν ψῆφον, αὐτὸς ἑαυτὸν ἀπεστέρηκε τῆς τιμῆς, ἐφ' οἷς ἔλαβεν οὐ ποιῶν. ἐπεὶ καὶ τὸ Καπετώλιον κατασκάπτοντα, καὶ τὸ νεώριον ἐμπιπράντα δήμαρχον ἐᾶν δεήσει. καὶ ταῦτα μὲν ποιῶν, δήμαρχός ἐστι πονηρός· ἐὰν δὲ καταλύῃ τὸν δῆμον, οὐ δήμαρχός ἐστι. πῶς οὖν οὐ δεινὸν, εἰ τὸν μὲν ὕπατον ὁ δήμαρχος ἄξει, τὸν δὲ δήμαρχον οὐκ ἀφαιρήσεται τὴν ἐξουσίαν ὁ δῆμος, ὅταν αὐτῇ κατὰ τοῦ δεδωκότος χρῆται; καὶ γὰρ ὕπατον καὶ δήμαρχον ὁμοίως δῆμος αἱρεῖται. καὶ μὴν ἥ γε βασιλεία, πρὸς τῷ πᾶσαν ἀρχὴν ἔχειν ἐν ἑαυτῇ συλλαβοῦσα, καὶ ταῖς μεγίσταις ἱερουργίαις καθωσίωται πρὸς τὸ θεῖον· ἀλλὰ Ταρκύνιον ἐξέβαλεν ἡ πόλις ἀδικοῦντα, καὶ δι' ἑνὸς ἀνδρὸς ὕβριν ἡ πάτριος ἀρχὴ καὶ κτίσασα τὴν Ῥώμην κατελύθη. τί δὲ οὕτως ἅγιον ἐν Ῥώμῃ καὶ σεμνὸν, ὡς αἱ περιέπουσαι παρθένοι καὶ φυλάττουσαι τὸ ἄφθιτον πῦρ; ἀλλ' εἴ τις ἂν ἁμάρτῃ αὐτῶν, ζῶσα κατορύσσεται. τὸ γὰρ ἄσυλον οὐ φυλάτ-

τουσιν

Ita dimiſit in præſenti concionem. Quia vero advertit ex actionibus ſuis illam de Octavio non principibus tantum, verum etiam plebi odioſiorem eſſe (ſiquidem eximia habebatur & præclara tribunorum plebis dignitas, quæ fuerat in eum uſque diem intacta, oppreſſa fuiſſe & conculcata) orationem habuit ad populum, cujus pauca argumenta, quo vim in dicendo ejus & nervos hinc cognoſcere queas, non ab re erit attexere. Nam faſſus eſt ſacroſanctum tribunum eſſe, quod conſecratus populo ſit, & populi curam gerat. At ſi transfuga populum lædat, & poteſtatem ejus retundat, ſpolietque eum ſuffragio, ipſe ſeſe exuit honore, quum, cujus gratia eum accepit, id non præſtet: alioqui & Capitolium diruentem & navalia inflammantem attingere non licebit tribunum. Quæ quum faciat, improbus quidem eſt tribunus: populum vero ſi peſſundet, non eſt jam tribunus plebis. Annon igitur res ſit abſurda ſi conſulem tribuno in carcerem jus erit ducendi, populo poteſtatem tribuno, ubi ea adverſus autorem utatur, detrahere non licebit? Etenim conſulem & tribunum juxta populus creat. Jam imperium regium, præterquam quod magiſtratum in ſe complectatur omnem, etiam maximis ceremoniis & religionibus Deorum immortalium eſt conſecratum. Tarquinium civitas tamen flagitia committentem exegit, atque ob unius admiſſa hominis imperium antiquum, a quo condita Roma fuerat, fuit abrogatum. Quid perinde Romæ ſanctum & auguſtum ut virgines Veſtales, quæ ſacro igni præſident cuſtodes? At ſi qua tamen harum ſtupro obſtrinxerit ſe, viva defoditur: quippe ſacroſanctæ non ſunt

quæ

τοῦσιν ἀσεβοῦσαι εἰς τοὺς Θεοὺς, ὃ διὰ τοὺς Θεοὺς ἔχουσιν. οὐκοῦν οὐδὲ δήμαρχος ἀδικῶν δῆμον, ἔχειν τὴν διὰ τὸν δῆμον ἀσυλίαν δίκαιός ἐστιν· ἣ γὰρ ἰσχύει δυνάμει, ταύτην ἀναιρεῖ. καὶ μὴν εἰ δικαίως ἔλαβε τὴν δημαρχίαν τῶν πλείστων φυλῶν ψηφισαμένων, πῶς οὐχὶ καὶ ἀφαιρεθείη δικαιότερον πασῶν ἀποψηφισαμένων; ἱερὸν δὲ καὶ ἄσυλον οὐδὲν οὕτως ἐστὶν, ὡς τὰ τῶν Θεῶν ἀναθήματα· χρῆσθαι δὲ τούτοις, καὶ κινεῖν καὶ μεταφέρειν ὡς βούλεται, τὸν δῆμον οὐδεὶς κεκώλυκεν. ἐξῆν οὖν αὐτῷ καὶ τὴν δημαρχίαν ὡς ἀνάθημα μετενεγκεῖν εἰς ἕτερον. ὅτι δὲ οὐκ ἄσυλον οὐδ᾽ ἀναφαίρετον ἡ ἀρχὴ, δῆλόν ἐστι τῷ πολλάκις ἔχοντας τινὰς ἀρχὴν ἐξόμνυσθαι καὶ παραιτεῖσθαι δι᾽ αὑτῶν.

Τοιαῦτα μὲν ἦν τὰ κεφάλαια τῆς τοῦ Τιβερίου δικαιολογίας. ἐπεὶ δὲ συνορῶντες οἱ φίλοι τὰς ἀπειλὰς καὶ τὴν σύστασιν, ᾤοντο δεῖν ἑτέρας περιέχεσθαι δημαρχίας εἰς τὸ μέλλον, αὖθις ἄλλοις νόμοις ἀνελάμβανε τὸ πλῆθος, τούς τε χρόνους τῶν στρατειῶν ἀφαιρῶν, καὶ διδοὺς ἐπικαλεῖσθαι τὸν δῆμον ἀπὸ τῶν δικαστῶν· καὶ τοῖς κρίνουσι τότε συγκλητικοῖς οὖσι καταμιγνὺς ἐκ τῶν ἱππέων τὸν ἴσον ἀριθμὸν, καὶ πάντα τρόπον ἤδη τῆς βουλῆς τὴν ἰσχὺν κολούων, πρὸς ὀργὴν καὶ φιλονεικίαν μᾶλλον, ἢ τὸν τοῦ δικαίου καὶ συμφέροντος λογισμόν. ἐπεὶ δὲ τῆς ψήφου φερομένης ᾔσθοντο τοὺς ἐναντίους κρατοῦντας (οὐ γὰρ παρῆν ἅπας ὁ δῆμος) πρῶτον μὲν εἰς βλασφημίας τραπόμενοι τῶν συναρχόντων, εἷλκον τὸν χρόνον· ἔπειτα τὴν ἐκκλησίαν ἀφῆκαν, εἰς τὴν ὑστεραίαν ἀπαντᾶν κελεύσαντες. καὶ πρῶτον μὲν εἰς τὴν ἀγορὰν καταβὰς ὁ Τιβέριος,

ἱκέ-

quæ in Deos ſunt impiæ, quorum cauſa ſunt ſacroſanctæ. Ita neque eum qui opprimit populum, tribunum, ſacroſanctum eſſe populi cauſa par eſt: qua enim pollet, hanc abolet poteſtatem. Atqui ſi jure tribunatum maximæ partis tribuum ſuffragiis cepit, quidni majore jure privetur abrogantibus omnibus? Jam nihil tam ſacrum vel ſanctum ſit ut res Diis immortalibus conſecratæ: at his uti populo, movere, transferre pro arbitrio, nemo prohibuit. Quare jus ei fuit tribunatum quoque, ut quod conſecratum eſt, in alium traducere. Neque enim inviolatum eſſe hunc, ut extorqueri nequeat, magiſtratum, ex eo patet quod identidem, qui obtinebant magiſtratum, ultro ſe eo abdicaverunt.

Hæc ſumma eſt Tiberii defenſionis. Ut vero minas amici perſpicientes & coitionem, autores fuerunt ei ut tribunatum in proximum annum iterum peteret: tum denuo cœpit aliis legibus illicere plebem. Illis legibus annos ſtipendiorum contrahebat, & provocationem a judicibus concedebat ad populum: obtinentibus etiam id temporis judicia ſenatoribus, parem numerum ex equeſtri ordine affundebat, atque ita vires ſenatus omnibus modis coercebat, felle magis atque pervicacia, quam æqui & commodi ratione adductus. Ut ſenſerunt illius amici ſuffragiis adverſarios ſuperiores eſſe, (neque enim populus omnis aderat) ad convitia primum verterunt collegarum, diem exemerunt, inde dimiſerunt concionem, eamque in poſterum diem indixerunt. Ibi primum, deſcendens in forum Tiberius, ſordidatus

&c.

ἱκέτευε τοὺς ἀνθρώπους ταπεινὸς καὶ δεδακρυμένος, ἔπειτα δεδοικέναι φήσας μὴ νύκτωρ ἐκκόψωσι τὴν οἰκίαν οἱ ἐχθροὶ, καὶ διαφθείρωσιν αὐτὸν, οὕτως τοὺς ἀνθρώπους διέθηκεν ὥστε περὶ τὴν οἰκίαν αὐτοῦ παμπόλλους τινὰς αὐλίσασθαι καὶ διανυκτερεῦσαι παραφυλάττοντας.

Ἅμα δὲ ἡμέρᾳ παρῆν ὁ τὰς ὄρνιθας αἷς διαμαντεύονται κομίζων, καὶ προέβαλε τροφὴν αὐταῖς. αἱ δὲ οὐ προῆλθον, εἰ μὴ μία μόνη, διασείσαντος εὖ μάλα τοῦ ἀνθρώπου τὸ ἀγγεῖον. οὐδὲ αὕτη δὲ τῆς τροφῆς ἔθιγεν, ἀλλ' ἐπάρασα τὴν ἀριστερὰν πτέρυγα, καὶ παρατείνασα τὸ σκέλος, πάλιν εἰς τὸ ἀγγεῖον κατέφυγε. τοῦτο καὶ τοῦ προτέρου σημείου τὸν Τιβέριον ἀνέμνησεν. ἦν γὰρ αὐτῷ κράνος ᾧ πρὸς τὰς μάχας ἐχρῆτο, κεκοσμημένον ἐκπρεπῶς καὶ διάσημον· εἰς τοῦτο καταδύντες ὄφεις, ἔλαθον ἐντεκόντες ᾠὰ, καὶ ταῦτα ἐξεγλύψαντο. διὸ καὶ μᾶλλον ὁ Τιβέριος τοῖς περὶ τὰς ὄρνιθας ἐταράττετο. προσῄει δὲ ὅμως ἄνω τὸν δῆμον ἠθροῖσθαι περὶ τὸ Καπετώλιον πυνθανόμενος· καὶ πρὶν ἐξελθεῖν, προσέπταισε πρὸς τὸν οὐδὸν, σφοδρᾶς οὕτω πληγῆς γενομένης, ὥστε τὸν μὲν ὄνυχα τοῦ μεγάλου δακτύλου ῥαγῆναι, τὸ δὲ αἷμα διὰ τοῦ ὑποδήματος ἔξω φέρεσθαι. μικρὸν δὲ αὐτοῦ προελθόντος ὤφθησαν ὑπὲρ κεράμου μαχόμενοι κόρακες ἐν ἀριστερᾷ· καὶ πολλῶν, ὡς εἰκὸς, ἀνθρώπων παρερχομένων κατ' αὐτὸν τὸν Τιβέριον, λίθος ἀπωσθεὶς ὑπὸ θατέρου τῶν κοράκων ἔπεσε παρὰ τὸν πόδα. τοῦτο καὶ τοὺς θρασυτάτους τῶν περὶ αὐτὸν ἐπέστησεν· ἀλλὰ Βλάσος ὁ Κυμαῖος παρὼν, αἰσχύνην ἔφη καὶ κατήφειαν παρεῖναι πολλὴν, εἰ Τιβέριος Γράκχου μὲν υἱὸς, Ἀφρικανοῦ δὲ Σκι-

& lacrymis oppletus cum ſuppliciis prenſavit cives. Mox vereri jactans ſe ne domum ſuam inimici nocte exſcinderent, atque obtruncarent ſe: adeo permovit homines ut circa ædes ejus magna caterva tabernaculis erectis excubarent ſtationem agentes.

Ut diluxit, adfuit cum avibus pullarius, & augurii captandi cauſa eſcam eis objecit. Illæ præter unam ſolam non prodiere, quamvis homo caveam ſedulo concuſſiſſet. Ac ne hæc quidem pavit, ſed ſublata ſiniſtra ala protenſoque crure refugit rurſus in caveam. Hoc etiam prioris prodigii commonuit Tiberium. Erat ei galea qua in acie utebatur, exornata eximie & ſplendida: in eam irrepſerant angues, & clam in ea poſuerant excluſerantque ova. Quo magis cohorruit hoc auſpicio Tiberius. Scandit tamen in Capitolium, ut populi concilium ibi eſſe accepit. Ante quam egreſſus domo eſt, in limen impegit ictu adeo duro ut pollicis pedis unguis dilaceraretur, ſanguiſque ſubter per calceum prorumperet. Ubi paululum proceſſit, ſuper faſtigium domus ex ſiniſtra conſpecti ſunt corvi pugnantes, atque in frequentia mortalium (ut veriſimile eſt) Tiberium prætereuntium, propulſus ab altero corvo lapis juxta pedem ejus delapſus eſt: quod vel ferociſſimos eſt eorum qui illum ſtipabant remoratum. Cæterum Bloſſius Cumanus, qui aderat, perquam turpe jactavit eſſe & graviter dolendum, Tib. Gracchi filium, Scipionis

Σκιπίωνος θυγατριδοῦς, προστάτης δὲ τοῦ Ῥωμαίων δήμου, κόρακα δείσας, οὐχ ὑπακούσειε τοῖς πολίταις καλοῦσι· τοῦτο μέντοι τὸ αἰσχρὸν οὐκ ἐν γέλωτι θήσεσθαι τοὺς ἐχθρούς, ἀλλὰ ὡς τυραννοῦντος καὶ τρυφῶντος ἤδη καταβοήσεσθαι πρὸς τὸν δῆμον. ἅμα δὲ καὶ προσέθεον πολλοὶ τῷ Τιβερίῳ παρὰ τῶν ἐν Καπετωλίῳ φίλων, ἐπείγεσθαι κελεύοντες, ὡς τῶν ἐκεῖ καλῶς ἐχόντων. καὶ τάγε πρῶτα λαμπρῶς ἀπήντα τῷ Τιβερίῳ, φανέντι μὲν εὐθὺς ἀραμένων βοὴν φίλιον, ἀναβαίνοντα δὲ προθύμως δεχομένων, καὶ περὶ αὐτὸν ὡς μηδεὶς πελάσειεν ἀγνὼς παραττομένων.

Ἀρξαμένου δὲ πάλιν τοῦ Μουκίου τὰς φυλὰς ἀναγορεύειν, οὐδὲν ἐπεραίνετο τῶν εἰωθότων, διὰ τὸν ἀπὸ τῶν ἐσχάτων θόρυβον ὠθουμένων καὶ ὠθούντων τοὺς ἐναντίους εἰσβιαζομένους καὶ ἀναμιγνυμένους. ἐν δὲ τούτῳ Φλάβιος Φλάκκος ἀπὸ βουλῆς ἀνὴρ εἰς ἐμφανὲς καταστὰς, ὡς οὐκ ἦν φθεγγόμενον ἐφικέσθαι, διεσήμηνε τῇ χειρὶ φράσαι τὶ βουλόμενον αὐτὸν ἰδίᾳ τῷ Τιβερίῳ. καὶ κελεύσαντος ἐκείνου διασχεῖν τὸ πλῆθος, ἀναβὰς μόλις καὶ προσελθὼν, ἀπήγγειλεν ὅτι τῆς βουλῆς συγκαθεζομένης οἱ πλούσιοι τὸν ὕπατον μὴ πείθοντες, αὐτοὶ διανοοῦνται καθ' αὑτοὺς ἀποκτιννύναι τὸν Τιβέριον, πολλοὺς ἐπὶ τούτῳ δούλους καὶ φίλους ὡπλισμένους ἔχοντες.

Ὡς οὖν ταῦτα τοῖς περὶ αὐτὸν ἐξήγγειλεν ὁ Τιβέριος, οὗτοι μὲν εὐθὺς τάς τε τηβέννους περιεζώννυντο, καὶ τὰ τῶν ὑπηρετῶν δόρατα συγκλῶντες, οἷς ἀνείργουσι τὸν ὄχλον, διελάμβανον, ὡς ἀμυνούμενοι τοῖς κλάσμασι τοὺς ἐπερχομένους. τῶν δὲ ἀπωτέρω θαυμαζόντων τὰ γινόμενα, καὶ πυνθανομένων, ὁ

pionis Africani nepotem, præſidem populi Romani, corvi metu accerſentibus civibus non parere: atqui eam labem haud pro joco inimicos tranſmiſſuros, ſed ut tyrannidem agentem & ludibrio cives jam habentem, ad populum eum proſciſſuros. Simul accurrerunt frequentes qui Tiberium ut maturaret, mandato amicorum, qui in Capitolio erant, adhortarentur; omnia illic ex voto eſſe. Prima certe magnifica Tiberio fuere. Nam ſimul atque conſpectus eſt, feſta acclamatione exceperunt eum, aſcendentem receperunt alacriter: & ne quis eum ignotus attingeret, ſepiverunt.

Inſtituente de integro Mucio tribus citare, nihil ordine agebatur ob noviſſimorum tumultum, dum impelluntur & impellunt adverſos, qui irrumpebant & immiſcebant ſe turbæ. Interea Flavius Flaccus ſenator loco conſpicuo ſtans, quum exaudiri verba ejus non poſſent, manu ſignificavit habere ſe quod ſeorſum indicaret Tiberio. Juſſit multitudini Tiberius ut viam ei daret. Ita ægre aſcendit. Ubi pervenit ad eum, nunciavit ei, quum in ſenatus concilio conſulem locupletes adducere non valuiſſent in ſententiam ſuam, deliberatum habere ipſos per ſe interficere Tiberium: in quam rem habere eos frequentes ſervos & amicos in armis.

Quod ut circumſtantibus aperuit Tiberius, præcingunt hi confeſtim togas, frangenteſque apparitorum haſtilia, quibus cœtum ſummovent, arripiunt fragmenta, ut iis repellant vim inferentes. Id fieri mirantibus longinquioribus, & quid rei eſſet percunctantibus, admovit manum

ὁ Τιβέριος ἥψατο τῇ χειρὶ τῆς κεφαλῆς, ἐνδεικνύμενος τῇ ὄψει τὸν κίνδυνον, ἐπεὶ τῆς φωνῆς οὐκ ἐπήκουον. οἱ δ' ἐναντίοι τοῦτο ἰδόντες, ἔθεον πρὸς τὴν βουλὴν, ἀπαγγέλλοντες αἰτεῖν διάδημα τὸν Τιβέριον· καὶ τοῦτο σημεῖον εἶναι τὸ τῆς κεφαλῆς ἐπιθιγγάνειν. πάντες μὲν οὖν ἐθορυβήθησαν· ὁ δὲ Νασικᾶς ἠξίου τὸν ὕπατον τῇ πόλει βοηθεῖν, καὶ καταλύειν τὸν τύραννον. ἀποκριναμένου δὲ πράως ἐκείνου, βίας μὲν οὐδεμιᾶς ὑπάρξειν, οὐδὲ ἀναιρήσειν οὐδένα τῶν πολιτῶν ἄκριτον, εἰ μέν τι ψηφίσαιτό τι τῶν παρανόμων ὁ δῆμος ὑπὸ τοῦ Τιβερίου πεισθεὶς ἢ βιασθεὶς, τοῦτο κύριον μὴ φυλάξειν· ἀναπηδήσας ὁ Νασικᾶς, ἐπεὶ τοίνυν, ἔφη, προδίδωσιν ὁ ἄρχων τὴν πόλιν, οἱ βουλόμενοι τοῖς νόμοις βοηθεῖν ἀκολουθεῖτε. καὶ ταῦτα λέγων, ἅμα καὶ τὸ κράσπεδον τοῦ ἱματίου θέμενος ἐπὶ τῆς κεφαλῆς ἐχώρει πρὸς τὸ Καπετώλιον. ἕκαστος δὲ τῶν ἑπομένων αὐτῷ, τῇ χειρὶ τὴν τήβεννον περιελίξας, ὤθει τοὺς ἐμποδὼν, οὐδενὸς ἐνισταμένου πρὸς τὸ ἀξίωμα τῶν ἀνδρῶν, ἀλλὰ φευγόντων καὶ πατούντων ἀλλήλους. οἱ μὲν οὖν περὶ αὐτοὺς ῥόπαλα καὶ σκυτάλας ἐκόμιζον οἴκοθεν· αὐτοὶ δὲ τῶν δίφρων καταγνυμένων ὑπὸ τοῦ φεύγοντος ὄχλου τὰ κλάσματα καὶ τοὺς πόδας λαμβάνοντες, ἀνέβαινον ἐπὶ τὸν Τιβέριον, ἅμα παίοντες τοὺς προτεταγμένους. καὶ τούτων μὲν ἦν τροπὴ καὶ φόνος· αὐτοῦ δὲ τοῦ Τιβερίου φεύγοντος ἀντελάβετό τις τῶν ἱματίων. ὁ δὲ τὴν τήβεννον ἀφεὶς, καὶ φεύγων ἐν τοῖς χιτῶσιν ἐσφάλη, καὶ κατηνέχθη περί τινας τῶν πρὸ αὐτοῦ πεπτωκότας. ἀνιστάμενον δὲ αὐτὸν ὁ μὲν ἐμφανῶς καὶ πρῶτος εἰς τὴν κεφαλὴν πατάξας ποδὶ δίφρου, Πόπλιος ἦν Σατουρήϊος, εἷς τῶν συναρχόντων· τοῦ δὲ δευ-

num Tiberius capiti, diſcrimen ſuum ea ſpecie demonſtrans, quando non aſſequebantur vocem. Quod quum adverſarii intuerentur, properaverunt ad ſenatum, aſſerentes poſcere Tiberium diadema: cujus ſignificationem eſſe quod caput attigiſſet. Hinc commoti omnes fuere. Naſica autem petiit à conſule ut reipublicæ opem ferret, tolleretque tyrannum. Quo leniter reſpondente nullam ſe vim auſpicaturum, neque civem ullum indicta cauſa necaturum: quod ſi quid contra leges populus Tiberii ſuaſu vel coactus ſciviſſet, id ſe ratum non habiturum: exſiliens Naſica, Quando igitur, inquit, rempub. prodit conſul, ſequimini me qui leges ſalvas vultis. Sic fatus lacinia togæ capite obvoluto contendit ad Capitolium. Quotquot illum ſequebantur toga brachium circumjecta propulerunt obvios, renitente illis ob eorum dignitatem nemine, ſed fugientibus omnibus atque ſe mutuo obterentibus. Horum comitatus attulerat domo clavas & fudes: ipſi defractorum ab effuſo in fugam cœtu ſubſelliorum fragmenta & fulcra corripientes, perrexerunt in Tiberium, ſimulque ceciderunt in fronte locatos. Horum fuga & ſtrages edita: ipſius Tiberii fugæ conſulentis prehendit quiſpiam togam. Ille toga relicta fugiens in tunica, ceſſpitavit, prolapſuſque eſt ſuper eos qui ante eum ceciderant. Attollentem ſe primus aperte caput ejus afflixit ſubſellii pede unus ex collegis ejus Satureius. Secundum ictum

δευτέρας ἀντεποιεῖτο πληγῆς Λεύκιος Ῥοῦφος, ὡς ἐπὶ καλῷ τινι σεμνυνόμενος. τῶν δὲ ἄλλων ἀπέθανον ὑπὲρ τριακοσίους ξύλοις καὶ λίθοις συγκοπέντες, σιδήρῳ δὲ οὐδείς.

Ταύτην πρώτην ἱστοροῦσιν ἐν Ῥώμῃ στάσιν, ἀφ' οὗ τὸ βασιλεύεσθαι κατέλυσαν, αἵματι καὶ φόνῳ πολιτῶν διακριθῆναι· τὰς δὲ ἄλλας, οὔτε μικρὰς, οὔτε περὶ μικρῶν γενομένας, ἀνθυπείκοντες ἀλλήλοις, φόβῳ μὲν οἱ δυνατοὶ τῶν πολλῶν, αἰδούμενοι δὲ τὴν βουλὴν ὁ δῆμος, ἔπαυον. ἐδόκει δὲ καὶ τότε μὴ χαλεπῶς ἂν ἐνδοῦναι παρηγορηθεὶς ὁ Τιβέριος· ἔτι δὲ ῥᾷον εἶξαι δίχα φόνου καὶ τραυμάτων ἐπιοῦσιν· οὐ γὰρ πλείονες ἢ τρισχίλιοι περὶ αὐτὸν ἦσαν. ἀλλ' ἔοικεν ὀργῇ τῶν πλουσίων, καὶ μίσει, πλέον ἢ δι' ἃς ἐσκήπτοντο προφάσεις, ἡ σύστασις ἐπ' αὐτὸν γενέσθαι. καὶ τούτου μέγα τεκμήριον, ὠμῶς καὶ παρανόμως ὑβρισθεὶς ὁ νεκρός. οὐ γὰρ ἐπέτρεψαν ἀνελέσθαι τὸ σῶμα τῷ ἀδελφῷ δεομένῳ, καὶ θάψαι νυκτὸς, ἀλλὰ μετὰ τῶν ἄλλων νεκρῶν εἰς τὸν ποταμὸν ἔρριψαν. καὶ τοῦτο πέρας οὐκ ἦν, ἀλλὰ καὶ τῶν φίλων αὐτοῦ τοὺς μὲν ἐξεκήρυττον ἀκρίτους, τοὺς δὲ συλλαμβάνοντες ἀπεκτίννυσαν. ἐν οἷς καὶ Διοφάνης ὁ ῥήτωρ ἀπώλετο. Γάϊον δέ τινα Βίλλιον εἰς ἀγγεῖον καθείρξαντες, καὶ συνεμβαλόντες ἐχίδνας καὶ δράκοντας, οὕτω διέφθειραν. ὁ δὲ Κυμαῖος Βλόσσιος ἀνήχθη μὲν ἐπὶ τοὺς ὑπάτους, ἐρωτώμενος δὲ περὶ τῶν γεγονότων, ὡμολόγει πεποιηκέναι πάντα Τιβερίου κελεύοντος. εἰπόντος δὲ τοῦ Νασικᾶ πρὸς αὐτὸν, Τί οὖν εἴ σε Τιβέριος ἐκέλευεν ἐμπρῆσαι τὸ Καπετώλιον; τὸ μὲν πρῶ-

tum ſe ei ingeſſiſſe affirmavit L. Rufus, qui de eo velut re præclara geſta gloriabatur. Ex cœtu plus trecenti occubuerunt fuſtibus & lapidibus comminuti, ferro nullus.

Hanc Romæ primam memoria produnt a regno ſublato ſeditionem fuiſſe ſanguine & cæde civili diremptam. Cæteras vero neque modicas neque de modica exortas re, invicem concedentes terrore principes plebis, reverentia Senatus populus, pacaverant. Et quidem tunc quoque, ſi actum ſecum leniter eſſet, Tiberius fuiſſe videtur ſe haud gravate ſubmiſſurus: multoque facilius citra cædem & vulnera invehentibus ceſſiſſet. Neque enim plus tria millia ſecum habebat. Verum ira apparet divitum atque ſimultate potius, quam ob eas quas prætexebant cauſas, conſpiratum in illum fuiſſe. Magno indicio eſt, quod atrociter & fœde inſultaverunt cadaveri. Neque enim oranti fratri ut tollere liceret corpus ejus & funerare nocte, permiſerunt, verum id cum aliis cadaveribus projecerunt in amnem. Neque hactenus tantum progreſſi ſunt, ſed amicis quoque ejus partim inauditis aqua & igni interdixerunt, partim quos potuerunt corripere, trucidaverunt: inter quos orator Diophanes periit. Caium quendam Billium caveæ incluſum cum viperis & draconibus, ad eum modum necavere. Bloſſius Cumanus ad conſules attractus eſt. Hic rogatus de his quæ acta erant, omnia ſe profeſſus eſt Tiberii juſſu facturum fuiſſe. Subjiciente Naſica, Quid igitur ſi tibi Tiberius Capitolium cremare præcepiſſet? Primum

πρῶτον ἀντέλεγεν, ὡς οὐκ ἂν τοῦτο Τιβερίου κελεύσαντος· πολλάκις δὲ καὶ πολλῶν τὸ αὐτὸ πυνθανομένων, ἀλλ' ἐκείνου γε προστάσσοντος, ἔφη, καλῶς κἀμοὶ τοῦτο πρᾶξαι ἔχειν. οὐ γὰρ ἂν Τιβέριος τοῦτο προσέταξεν, εἰ μὴ τῷ δήμῳ συνέφερεν. οὗτος μὲν οὖν διαφυγών, ὕστερον ᾤχετο πρὸς Ἀριστόνικον εἰς Ἀσίαν· καὶ τῶν ἐκείνου πραγμάτων διαφθαρέντων ἑαυτὸν ἀνεῖλεν.

Ἡ δὲ βουλή, θεραπεύουσα τὸν δῆμον ἐκ τῶν παρόντων, οὔτε πρὸς τὴν διανομὴν ἔτι τῆς χώρας ἠναντιοῦτο, καὶ Τῖτον ἀντὶ τοῦ Τιβερίου προὔθηκε τοῖς πολλοῖς ὁριστὴν ἑλέσθαι. λαβόντες δὲ τὰς ψήφους, εἵλοντο Πόπλιον Κράσσον οἰκεῖον ὄντα Γράκχῳ. θυγάτηρ γὰρ αὐτοῦ Λικιννία Γαΐῳ Γράκχῳ συνῴκει. καίτοι Νέπως ὁ Κορνήλιος φησίν, οὐ Κράσσου, Βρούτου δὲ τοῦ θριαμβεύσαντος ἀπὸ Λυσιτανῶν θυγατέρα γῆμαι Γάϊον. ἀλλὰ οἱ πλείους, ὡς ἡμεῖς γράφομεν, ἱστοροῦσιν. ἐπεὶ δὲ χαλεπῶς μὲν ὁ δῆμος εἶχε τῷ θανάτῳ τοῦ Τιβερίου, καὶ φανερὸς ἦν ἀμύνης περιμένων καιρόν, ἤδη δὲ καὶ δίκαι τῷ Νασικᾷ προσανεσείοντο, δείσασα περὶ τοῦ ἀνδρὸς ἡ βουλή, ψηφίζεται μηδὲν δεομένη, πέμπειν αὐτὸν εἰς Ἀσίαν. οὐ γὰρ ἀπεκρύπτοντο κατὰ τὰς ἀπαντήσεις οἱ ἄνθρωποι τὴν δυσμένειαν, ἀλλ' ἐξηγριαίνοντο, καὶ κατεβόων, ὅπου προστύχοιεν, ἐναγῆ καὶ τύραννον καὶ μεμιαγκότα φόνῳ σώματος ἀσύλου καὶ ἱεροῦ τὸ ἁγιώτατον καὶ φρικωδέστατον ἐν τῇ πόλει τῶν ἱερῶν ἀποκαλοῦντες. οὕτω μὲν ὑπεξῆλθε τῆς Ἰταλίας ὁ Νασικᾶς, καίπερ ἐνδεδεμένος ταῖς μεγίσταις ἱερουργίαις. ἦν γὰρ ὁ μέγιστος καὶ πρῶτος τῶν ἱερέων. ἔξω δὲ ἀλύων καὶ πλανώμενος ἄλλως, οὐ μετὰ πολὺν χρόνον κατέστρεψε περὶ Πέργαμον. οὐ δεῖ.

Primum abnuit, dicens hoc Tiberium juſſurum non fuiſſe. Subinde aliis idem requirentibus, reſpondit, Enimvero ſi ille imperaſſet, non duxiſſem mihi id exequi turpe: neque enim, niſi ex uſu eſſet populi, id imperaret Tiberius. Atque hic diſcrimen in præſenti tranſmiſit. Cæterum poſt in Aſiam contulit ſe ad Ariſtonicum: cujus labefactatis fortunis, intulit ſibi ipſe manus.

At ſenatus, quo populum ob ea acta leniret, neque legi agrariæ ultra refragatus eſt, & plebi permiſit ut Tiberii loco alium triumvirum agris dividundis deſignaret. In ſuffragia igitur miſſi, P. Craſſum Gracchi propinquum legere. Nam filia hujus Licinia in matrimonio erat C. Gracchi: quamvis Corn. Nepos autumet non Craſſi, ſed Bruti, qui de Luſitanis triumphaverat, Caium filiam in matrimonio habuiſſe. Cæterum plerique ſcriptores nobis ſubſcribunt. At acerba populo Tiberii cædes erat, & præ ſe ferebat ultionis opportunitatem exſpectare: & vero jam Naſicæ judicia intentabantur; cui ad ſecuritatem ſenatus nulla urgente neceſſitate legationem in Aſiam decernit. Neque enim obſcure ferebant homines in occurſu ejus indignationem ſuam, ſed efferabantur & clamore inſurgebant in eum, ſi quando obviam daretur, nefarium & tyrannum appellantes, qui corporis nece ſacroſancti ſanctiſſimum & religioſiſſimum urbis templum polluerat. Quare ceſſit Italia Naſica, licet maximis ſacrificiis eſſet devinctus: nam Pontifex Maximus erat. Peregre autem palans vaganſque huc illuc, brevi poſt apud Pergamum obiit. Neque mirum

δεῖ δὲ θαυμάζειν εἰ Νασικᾶν μεμίσηκει οὕτως ὁ δῆμος, ὅπου καὶ Σκιπίων ὁ Ἀφρικανὸς, οὗ δοκοῦσι Ῥωμαῖοι μηδένα δικαιότερον μηδὲ μᾶλλον ἀγαπῆσαι, παρὰ μικρὸν ἦλθεν ἐκπεσεῖν καὶ στέρεσθαι τῆς πρὸς τὸν δῆμον εὐνοίας, ὅτι πρῶτον μὲν ἐν Νομαντίᾳ τὴν τελευτὴν τοῦ Τιβερίου πυθόμενος, ἀνεφώνησεν ἐκ τῶν Ὁμηρικῶν,


Ὡς ἀπόλοιτο καὶ ἄλλος ὅτις τοιαῦτά γε ῥέζοι.

ἔπειτα τῶν περὶ Γάϊον καὶ Φούλβιον αὐτοῦ δι' ἐκκλησίας πυνθανομένων τί φρονοίη περὶ τῆς Τιβερίου τελευτῆς, οὐκ ἀρεσκομένην τοῖς ὑπ' ἐκείνου πεπολιτευμένοις ἀπόκρισιν ἔδωκεν. ἐκ τούτου γὰρ ὁ μὲν δῆμος ἀντέκρουσεν αὐτῷ λέγοντι, μηδέπω τοῦτο ποιήσας πρότερον· αὐτὸς δὲ τὸν δῆμον εἰπεῖν κακῶς προήχθη. περὶ μὲν οὖν τούτων ἐν τῷ Σκιπίωνος βίῳ τὰ καθ' ἕκαστα γέγραπται.

rum eſt infeſtum adeo Naſicæ populum fuiſſe, quum Scipio Africanus, quo populus Romanus neminem videtur juſtioribus de cauſis vel impenſius dilexiſſe, nihil propius factum ſit quam ut excideret & dejiceretur ejus benevolentia, quod ad Numantiam primum nuntiato Tiberii exitu, exclamaſſet Homericum illud,

Sic pereat quiſquis deſignet talia facta:

deinde Caio & Fulvio in concione rogantibus eum quid ei de morte Tiberii videretur, non placere ſibi reſpondiſſet illius acta. Inde enim concionanti populus obſtrepuit; quod antea fecerat nunquam: & ille eo eſt provectus, in populum ut inveheretur. Verum hæc in Scipionis vita ſingulatim retulimus.



Γ. ΓΡΑΚΧΟΣ.

ΓΑἶος δὲ Γράκχος, ἐν ἀρχῇ μὲν ἢ δεδιὼς τοὺς ἐχθροὺς, ἢ φθόνον συνάγων ἐπ' αὐτοὺς, ὑπεξέστη τε τῆς ἀγορᾶς, καὶ καθ' ἑαυτὸν ἡσυχίαν ἔχων διέτριβεν, ὡς ἄν τις ἔν τε τῷ παρόντι ταπεινὰ πράττων, καὶ τὸ λοιπὸν οὕτως ἀπραγμόνως βιωσόμενος· ὥστε καὶ λόγον τισὶ κατ' αὐτοῦ παρασχεῖν, ὡς δυσχεραίνοντος καὶ προβεβλημένου τὴν τοῦ Τιβερίου πολιτείαν. ἦν δὲ καὶ μειράκιον παντάπασιν. ἐννέα γὰρ ἐνιαυτοῖς ἐλείπετο τἀδελφοῦ καθ' ἡλικίαν· ἐκεῖνος δὲ οὔπω τριάκοντα γεγονὼς ἀπέθανεν. ἐπεὶ δὲ προϊόντος τοῦ χρόνου τόν τε τρόπον ἡσυχῇ διέφαινεν ἀργίας καὶ μαλακίας καὶ πότων καὶ χρηματισμῶν ἀλλότριον ὄντα, καὶ τὸν λόγον, ὥσπερ ὠκύπτερα, κατασκευαζόμενος ἐπὶ τὴν πολιτείαν, δῆλος ἦν οὐκ ἠρεμήσων· δίκην τε τινὶ τῶν φίλων φεύγοντι Βεττίῳ συνειπὼν, καὶ τοῦ δήμου συνενθουσιῶντος ὑφ' ἡδονῆς καὶ βακχεύοντος περὶ αὐτὸν, ἀπέδειξε τοὺς ἄλλους ῥήτορας παίδων μηδὲν διαφέροντας, εἰς φόβον
αὖθις

C. Gracchus initio ſive metu inimicorum, ſive invidiæ illis conflandæ gratia, reliquit forum, & domi in otio vitam egit: ſicut qui & in præſenti abjectus ſit, & deinceps ita in tranquillitate victurus: ut etiam in ſermonem quibuſdam venerit, improbare & deteſtari eum fratris actiones. Erat vero admodum tunc adoleſcens. Siquidem ætate novem annis fratre erat minor: ille nondum annos natus triginta occubuit. At temporis progreſſu quum mores ejus ſenſim eluxerunt a ſocordia, mollitia, vino & quæſtu remoti: tum dicendi facultatem, ſicut alas, ad rempub. concinnavit, tum vero ſignificavit non quieturum ſe. Atque quum amici cujuſdam Veſtii rei cauſam defenderet, populo præ gaudio lymphato & bacchante quum eum audiret, oſtendit cæteros oratores nihilo pueris præſtare. Hic offuſus
iterum

αὖθις οἱ δυνατοὶ καθίσταντο, καὶ πολὺς ἦν ἐν αὐτοῖς λόγος ὅπως οὐκ ἐάσωσιν ἐπὶ δημαρχίαν τὸν Γάϊον προελθεῖν. συντυγχάνει δὲ ἀπὸ ταυτομάτου λαχεῖν αὐτῷ εἰς Σαρδὼ ταμίαν Ὀρέστῃ τῷ ὑπάτῳ, καὶ τοῦτο τοῖς μὲν ἐχθροῖς καθ' ἡδονὴν ἐγεγόνει, τὸν δὲ Γάϊον οὐκ ἐλύπησεν. ἅτε γὰρ ὢν πολεμικὸς, καὶ χεῖρον οὐδὲν πρὸς στρατείας ἠσκημένος ἢ δίκας, ἔτι δὲ τὴν πολιτείαν καὶ τὸ βῆμα φρίττων, ἀντέχειν δὲ καλοῦντι τῷ δήμῳ καὶ τοῖς φίλοις οὐ δυνάμενος, παντάπασι τὴν ἀποδημίαν ἐκείνην ἠγάπησεν. καίτοι κρατεῖ δόξα πολλὴ, τοῦτον ἄκρατον γενέσθαι δημαγωγὸν, καὶ πολὺ τοῦ Τιβερίου λαμπρότερον πρὸς τὴν ἀπὸ τῶν ὄχλων δόξαν. οὐκ ἔχει δὲ οὕτω τὸ ἀληθές· ἀλλ' ἔοικεν ὑπ' ἀνάγκης τινὸς μᾶλλον οὗτος ἢ προαιρέσεως ἐμπεσεῖν εἰς τὴν πολιτείαν. ἱστορεῖ δὲ καὶ Κικέρων ὁ ῥήτωρ, ὡς ἄρα φεύγοντι πᾶσαν ἀρχὴν τῷ Γαΐῳ, καὶ μεθ' ἡσυχίας ἡρημένῳ ζῆν, ὁ ἀδελφὸς ὄναρ φανεὶς, καὶ προσαγορεύσας, τί δῆτα, φαίη, Γάϊε βραδύνεις; οὐκ ἔστιν ἀπόδρασις, ἀλλ' εἷς μὲν ἡμῖν ἀμφοτέροις βίος, εἷς δὲ θάνατος ὑπὲρ τοῦ δήμου πολιτευομένοις πέπρωται.

Γενόμενος γοῦν ὁ Γάϊος ἐν Σαρδόνι, πᾶσαν ἀρετῆς ἀπόδειξιν ἐδίδου, καὶ πολὺ πάντων διέφερε τῶν νέων ἐν τοῖς πρὸς τοὺς πολεμίους ἀγῶσι, καὶ ἐν τοῖς πρὸς τοὺς ὑπηκόους δικαίοις, καὶ ἐν τῇ πρὸς τὸν στρατηγὸν εὐνοίᾳ καὶ τιμῇ. σωφροσύνῃ δὲ καὶ λιτότητι καὶ φιλοπονίᾳ παρήλλαττε καὶ τοὺς πρεσβυτέρους. ἰσχυροῦ δὲ καὶ νοσώδους ἅμα χειμῶνος ἐν Σαρδόνι γενομένου, καὶ τοῦ στρατηγοῦ τὰς πόλεις ἐσθῆτα τοῖς στρατιώταις αἰτοῦντος, ἔπεμψαν εἰς Ῥώμην παραιτούμενοι. δεξαμένης δὲ τῆς βουλῆς τὴν παραίτησιν αὐτῶν, καὶ τὸν στρατηγὸν ἄλλο-

θεν

iterum primoribus pavor eſt, multumque inter ſe conſultabant ne ad tribunatum permitterent Caium aſpirare. Evenit autem forte fortuna ut quæſturam in Sardinia cum Oreſte conſule ſortiretur: quæ res læta fuit inimicis Caii, ſed nihil eum torſit. Nam qui vir militaris eſſet, & haud ſecus in armis quam litibus exercitatus, rempub. autem etiam tum roſtraque horreret, neque tamen vocanti obluctari populo & amicis valeret, omnino illam peregrinationem boni conſuluit. Quanquam obtinet crebra fama, impotentem eum populi ducem, & longe Tiberio ad auram popularem captandam fuiſſe acriorem. Cæterum non ita ſe res habet. Immo apparet invitum potius hunc incidiſſe in reipub. tractationem quam conſilio: ſiquidem Cicero orator eſt autor, omnem honorem declinanti Caio, vitamque ſectanti otioſam, oblatum in ſomnio fratrem hiſce eum appellaſſe verbis, Quid cunctaris Cai? nullum patet effugium, ſed eadem utrique noſtrum vita, idem exitus pro populo agentibus in fatis eſt.

Caius igitur dedit in Sardinia omnis ſpecimen virtutis, multoque omnem juventutem audacia adverſus hoſtes & juſtitia adverſus pacatos colenda antecelluit, etiam benevolentia & reverentia erga ducem: temperantia vero, frugalitate, induſtria præfulſit vel natu majoribus. Quum vero atrox ſimul & inſalubris hyems occurriſſet in Sardinia, veſtemque imperator in exercitum civitatibus imperaret: miſerunt Romam id deprecatum. Quorum accepta a ſenatu excuſatione, juſſoque duce

aliun-

θεν ἀμφιέζειν τοὺς στρατιώτας κελευούσης· ἀπορουμένου δὲ ἐκείνου καὶ τῶν στρατιωτῶν κακοπαθούντων, ἐπελθὼν τὰς πόλεις ὁ Γάϊος, αὐτοὺς ἀφ' ἑαυτῶν ἐποίησεν ἐσθῆτα πέμψαι, καὶ βοηθῆσαι τοῖς Ῥωμαίοις. ταῦτα πάλιν εἰς Ῥώμην ἀπαγγελλόμενα, καὶ δοκοῦντα δημαγωγίας προαγῶνες εἶναι, διετάραττε τὴν βουλήν. καὶ πρῶτον μὲν ἐκ Λιβύης παρὰ Μικίψα τοῦ βασιλέως πρέσβεις παραγενομένους, καὶ λέγοντας ὡς ὁ βασιλεὺς χάριτι Γαΐου Γράκχου πέμψειεν εἰς Σαρδόνα σῖτον τῷ στρατηγῷ, δυσχεραίνοντες ἐξέβαλον· ἔπειτα δόγμα ποιοῦνται, τοῖς μὲν στρατιώταις διαδοχὴν ἀποσταλῆναι, τὸν δὲ Ὀρέστην ἐπιμένειν, ὡς δὴ καὶ τοῦ Γαΐου διὰ τὴν ἀρχὴν παραμενοῦντος. ὁ δὲ, τούτων αὐτῷ προσπεσόντων, εὐθὺς ἐξέπλευσε πρὸς ὀργὴν, καὶ φανεὶς ἐν Ῥώμῃ παρ' ἐλπίδας, οὐ μόνον ὑπὸ τῶν ἐχθρῶν αἰτίαν εἶχεν, ἀλλὰ καὶ τοῖς πολλοῖς ἀλλόκοτον ἐδόκει, τὸ ταμίαν ὄντα προαποστῆναι τοῦ ἄρχοντος. οὐ μὴν ἀλλὰ κατηγορίας αὐτῷ γενομένης ἐπὶ τῶν τιμητῶν, αἰτησάμενος λόγον, οὕτω μετέστησε τὰς γνώμας τῶν ἀκουσάντων, ὡς ἀπελθεῖν ἠδικῆσθαι τὰ μέγιστα δόξας. ἐστρατεῦσθαι μὲν γὰρ ἔφη δώδεκα ἔτη, τῶν ἄλλων δέκα στρατευομένων ἐν ἀνάγκαις· ταμιεύων δὲ τῷ στρατηγῷ παραμεμενηκέναι τριετίαν, τοῦ νόμου μετ' ἐνιαυτὸν ἐπανελθεῖν διδόντος. μόνος δὲ τῶν στρατευσαμένων πλῆρες τὸ βαλλάντιον εἰσενηνοχέναι, τοὺς δ' ἄλλους ἐκπιόντας ὃν εἰσήνεγκαν οἶνον, ἀργυρίου καὶ χρυσίου μεστοὺς δεῦρο τοὺς ἀμφορεῖς ἥκειν κομίζοντας.

Ἐκ τούτου πάλιν ἄλλας αἰτίας αὐτῷ καὶ δίκας ἐπῆγον, ὡς τοὺς συμμάχους ἀφιστάντι, καὶ κεκοινωνηκότι τῆς περὶ Φρέγελλαν ἐνδειχθείσης συνωμοσίας.

ὁ

aliunde veſtitum militibus parare: quum conſilio ille deficeretur, & affligerentur milites, adiit Caius civitates, induxitque ut ſua ſponte mitterent veſtem, & Romanis opitularentur. Hæc iterum Romam perlata, viſaque plebis illiciendæ præludia eſſe, terrorem injecerunt patribus. Hi primum miſſos ex Africa a rege Micipſa legatos, qui oſtenderunt in gratiam Caii regem imperatori in Sardiniam frumentum miſiſſe, offenſi rejecerunt. Deinde ſenatuſconſultum fecerunt, ut militibus ſuccederetur, Oreſtes autem permaneret ibi, quo Caius quoque ob quæſturam ibidem remaneret. Quod ei quum oblatum eſſet, extemplo ira frendens deceſſit, ac Romæ nec opinantibus conſpectus, non ab iniquis modo eſt reprehenſus, ſed plebi etiam viſum inuſitatum ante conſulem decedere quæſtorem. Veruntamen quum dies ei dicta apud cenſores eſſet, poſtulata audientia, ita animos vertit auditorum, ut cum ea diſcederent opinione, eum quam maxime læſum fuiſſe. Stipendia enim ſe demonſtravit duodecim feciſſe, quum alii cogerentur facere decem: quæſtorem apud imperatorem triennium permanſiſſe, quum lege ſibi reverti exacto liceret anno. Solum ex militibus zonam ſe, quam in provinciam plenam intuliſſet, exportaſſe inanem: cæteros exhauſto quod importaverant vino, auro & argento domum plenas amphoras retuliſſe.

Inde alia rurſus crimina & lites ei impegerunt, ſolicitaſſe eum ſocios; conjurationis Fregellanæ, quæ fuerat detecta, conſcium fuiſſe.

ὁ δὲ πᾶσαν ὑποψίαν ἀπολυσάμενος, καὶ φανεὶς καθαρὸς, εὐθὺς ἐπὶ δημαρχίαν ὥρμησε, τῶν μὲν γνωρίμων ἀνδρῶν ὁμαλῶς ἁπάντων ἐναντιουμένων πρὸς αὐτὸν, ὄχλου δὲ τοσούτου συῤῥέοντος εἰς τὴν πόλιν ἐκ τῆς Ἰταλίας, καὶ συναρχαιρεσιάζοντος, ὡς πολλοῖς μὲν οἰκήσεις ἐπιλιπεῖν· τοῦ δὲ πεδίου μὴ δεξαμένου τὸ πλῆθος, ἀπὸ τῶν τεγῶν καὶ τῶν κεράμων τὰς φωνὰς συνηχεῖν. τοσοῦτον δ' οὖν ἐξεβιάσαντο τὸν δῆμον οἱ δυνατοὶ, καὶ τῆς ἐλπίδος τοῦ Γαΐου καθεῖλον, ὅσον οὐχ, ὡς προσεδόκησε, πρῶτον, ἀλλὰ τέταρτον ἀναγορευθῆναι. παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς ἦν ἁπάντων πρῶτος, ἰσχύων τε τῷ λέγειν, ὡς ἄλλος οὐδεὶς, καὶ τοῦ πάθους αὐτῷ παῤῥησίαν πολλὴν διδόντος ἀνακλαιομένῳ τὸν ἀδελφόν. ἐνταῦθα γὰρ ἐξ ἁπάσης προφάσεως περιῆγε τὸν δῆμον, ἀναμιμνήσκων τῶν γεγονότων, καὶ παρατιθεὶς τὰ τῶν προγόνων, ὡς ἐκεῖνοι μὲν καὶ Φαλίσκοις ἐπολέμησαν ὑπὲρ Γενυκίου τινὸς δημάρχου λοιδορηθέντος, καὶ Γαΐου Βετουρίου θάνατον κατέγνωσαν ὅτι δημάρχῳ πορευομένῳ δι' ἀγορᾶς οὐχ ὑπεξέστη μόνος· ὑμῶν δὲ ὁρώντων, ἔφη, Τιβέριον ξύλοις συνέκοπτον οὗτοι, καὶ διὰ μέσης τῆς πόλεως ἐσύρετο νεκρὸς ἐκ Καπετωλίου, ῥιφησόμενος εἰς τὸν ποταμόν· οἱ δὲ ἁλισκόμενοι τῶν φίλων ἀπέθνησκον ἄκριτοι. καίτοι πάτριόν ἐστιν ἡμῖν, εἴ τις ἔχων δίκην θανατικὴν μὴ ὑπακούει, τούτου πρὸς τὰς θύρας ἕωθεν ἐλθόντα σαλπιγκτὴν, ἀνακαλεῖσθαι τῇ σάλπιγγι, καὶ μὴ πρότερον ἐπιφέρειν ψῆφον αὐτῷ τοὺς δικαστάς. οὕτως εὐλαβεῖς καὶ πεφυλαγμένοι περὶ τὰς κρίσεις ἦσαν.

Τοι-

iſſe. At hic omnem amolitus ſuſpicionem, & inſons compertus, e veſtigio intendit animum ad tribunatum plebis petendum, univerſa eum pariter impugnante nobilitate. Cæterum tantus cœtus in urbem influxit ex Italia, ſuffragataque ejus petitioni eſt, multos ut diverſoria defecerint, ex tectiſque & faſtigiis ædificiorum, non capiente tantam multitudinem campo, voces eorum reſonarent. Tantum tamen expreſſerunt populo principes, & ſpei detraxerunt Caii, quod non pro exſpectatione ſua primus, ſed renuntiatus fuerit quartus. At inito magiſtratu mox omnium fuit primus, quod tum facundia, ut nemo alius, polleret, tum quia calamitas amplum libere dicendi campum ſuppeditabat fratrem ſuum deploranti. Eo enim ex omni occaſione circumagebat populum, refricans ejus facinoris memoriam, attexenſque exempla majorum: quemadmodum Faliſcis arma illi ob Genucium quendam tribunum plebis conviciis proſciſſum moverint: & C. Vulturium, quod incedenti per forum tribuno unus via non deceſſiſſet, rei capitalis damnaverint. At vobis inſpectantibus, inquit, Tiberium baculis hi conciderunt, mediamque per urbem raptus eſt ille exanimis ex Capitolio, ut in flumen projiceretur. Amicos ejus, quos comprehenderunt, indefenſos ſuſtulerunt. Et quidem more majorum, ſiquis rei capitalis poſtulatus ad judicium non occurrerit, hujus ad januam profectus mane tubicen tuba eum citat, neque ante ferunt ſententiam judices. Adeo religioſi & circumſpecti in judiciis fuerunt.

 Hu-

Τοιούτοις λόγοις προανασείσας τὸν δῆμον (ἦν δὲ καὶ μεγαλοφωνότατος καὶ ῥωμαλεώτατος ἐν τῷ λέγειν) δύο νόμους εἰσέφερε, τὸν μὲν, εἴ τινος ἄρχοντος ἀφῄρητο τὴν ἀρχὴν ὁ δῆμος, οὐκ ἐῶντα τούτῳ δευτέρας ἀρχῆς μετουσίαν εἶναι· τὸν δὲ, εἴ τις ἄρχων ἄκριτον ἐκκεκηρύχοι πολίτην, κατὰ τούτου κρίσιν διδόντα τῷ δήμῳ. τούτων τῶν νόμων ἄντικρυς ὁ μὲν Μάρκον Ὀκτάβιον *ἠτίμου, τὸν ὑπὸ* Τιβερίου *τῆς δημαρχίας ἐκπεσόντα· τῷ δ' ἐνείχετο* Ποπίλλιος. *οὗτος γὰρ στρατηγῶν τοὺς* Τιβερίου *φίλους ἐξεκήρυξε. καὶ* Ποπίλλιος *μὲν οὐχ ὑποστὰς τὴν κρίσιν, ἔφυγεν ἐξ* Ἰταλίας· *τὸν δὲ ἕτερον νόμον* Γάϊος *αὐτὸς ἐπανείλετο, φήσας τῇ μητρὶ* Κορνηλίᾳ *δεηθείσῃ χαρίζεσθαι τὸν* Ὀκτάβιον. *καὶ ὁ δῆμος ἠγάσθη καὶ συνεχώρησε, τιμῶν τὴν* Κορνηλίαν *οὐδὲν ἧττον ἀπὸ τῶν παίδων, ἢ τοῦ πατρός. ἧς γε χαλκῆν εἰκόνα στήσας ὕστερον, ἐπέγραψε* Κορνηλίαν *μητέρα* Γράκχων. *ἀπομνημονεύεται δὲ καὶ τοῦ* Γαΐου *πολλὰ ῥητορικῶς καὶ ἀγοραίως ὑπὲρ αὐτῆς εἰρημένα πρός τινα τῶν ἐχθρῶν· σὺ γὰρ, ἔφη,* Κορνηλίαν *λοιδορεῖς τὴν* Τιβέριον *τεκοῦσαν; ἐπεὶ δὲ διαβεβλημένος ἦν εἰς μαλακίαν ὁ λοιδορηθεὶς, τίνα δὲ, εἶπεν, ἔχων παῤῥησίαν, συγκρίνεις* Κορνηλίαν *σεαυτῷ; ἔτεκες γὰρ ὡς ἐκείνη; καὶ μὴν πάντες ἴσασι* Ῥωμαῖοι *πλείω χρόνον ἐκείνην ἀπ' ἀνδρὸς οὖσαν, ἢ σε τὸν ἄνδρα. τοιαύτη μὲν ἡ πικρία τῶν λόγων ἦν αὐτοῦ, καὶ πολλὰ λαβεῖν ἐκ τῶν γεγραμμένων ἐστὶν ὅμοια.*

Τῶν *δὲ νόμων οὓς εἰσέφερε τῷ δήμῳ χαριζόμενος, καὶ καταλύων τὴν σύγκλητον,*

Hujuſcemodi orationibus ad motum præparato populo, (erat enim vocaliſſimus & firmiſſimis lateribus in dicendo) duas leges promulgavit: Unam, ſicui populus magiſtratum abrogaverit, ne aditus huic ad ſecundum magiſtratum ſit: alteram, ſiquis magiſtratus civi indicta cauſa exilium irrogaverit, ut is cauſam dicat ad populum. Harum legum altera non obſcure M. Octavium notabat a Tiberio tribunatu dejectum, altera tenebatur Popilius. Hic enim in prætura ſua amicos Tiberii in exilium egerat. At Popilius non exſpectato judicio, ex Italia ſolum vertit: alteram legem Caius ipſe antiquavit, profeſſus matri ſe Corneliæ precibus dare Octavium. Id placuit populo, comprobatumque ab eo eſt, quod Corneliam in honore haberet non minus liberorum ſuorum quam parentis gratia. Nempe ſtatuam æneam ei poſuit poſtea, inſcripſitque, Corneliæ matri Gracchorum. Memorantur etiam multa oratorie & forenſi modo a Caio pro illa in quendam inimicum torta, Tune Corneliam, inquit, inſectaris Tiberii parentem? Quia vero infamis erat ille quem inſectabatur, quod adoleſcentia ejus obnoxia aliorum libidinibus fuiſſet, Qua fronte, inquit, tecum confers Corneliam? Peperiſti vero ut illa? Atqui toti populo Romano notum eſt diutius illam quam te virum a viro abſtinuiſſe. Ea erat illius in dicendo mordacitas, pariaque ex ſcriptis orationibus multa licet colligere.

Leges quas pro commodo plebis & ad opprimendum ſenatum rogavit, una fuit agra-

κλητον, ὁ μὲν ἦν κληρουχικὸς, ἅμα νέμων τοῖς πένησι τὴν δημοσίαν· ὁ δὲ, στρατιωτικὸς, ἐσθῆτά τε κελεύων δημοσίᾳ χορηγεῖσθαι, καὶ μηδὲν εἰς τοῦτο τῆς μισθοφορᾶς ὑφαιρεῖσθαι τῶν στρατευομένων, καὶ νεώτερον ἑπτὰ ἐτῶν καὶ δέκα μὴ καταλέγεσθαι στρατιώτην· ὁ δὲ, συμμαχικὸς, ἰσοψήφους ποιῶν τοῖς πολίταις τοὺς Ἰταλιώτας· ὁ δὲ, σιτικὸς, ἐπευωνίζων τοῖς πένησι τὴν ἀγορὰν· ὁ δὲ, δικαστικὸς, ᾧ τὸ πλεῖστον ἀπέκοψε τῆς τῶν συγκλητικῶν δυνάμεως. μόνοι γὰρ ἔκρινον τὰς δίκας, καὶ διὰ τοῦτο φοβεροὶ τῷ δήμῳ καὶ τοῖς ἱππεῦσιν ἦσαν· ὁ δὲ τριακοσίους τῶν ἱππέων προσκατέλεξεν αὐτοῖς οὖσι τριακοσίοις, καὶ τὰς κρίσεις κοινὰς τῶν ἑξακοσίων ἐποίησε. τοῦτον τὸν νόμον εἰσφέρων, τά τε ἄλλα λέγεται σπουδάσαι διαφερόντως, καὶ τῶν πρὸ αὐτοῦ πάντων δημαγωγῶν πρὸς τὴν σύγκλητον ἀφορώντων καὶ τὸ καλούμενον κομίτιον, πρῶτον τότε στραφεὶς ἔξω πρὸς τὴν ἀγορὰν δημηγορῆσαι, καὶ τὸ λοιπὸν οὕτω ποιεῖν ἐξ ἐκείνου, μικρᾷ παρεγκλίσει καὶ μεταθέσει σχήματος μέγα πρᾶγμα κινήσας, καὶ μετενεγκὼν τρόπον τινὰ τὴν πολιτείαν ἐκ τῆς ἀριστοκρατίας εἰς τὴν δημοκρατίαν· ὡς τῶν πολλῶν δέον, οὐ τῆς βουλῆς, στοχάζεσθαι τοὺς λέγοντας.

Ἐπεὶ δὲ οὐ μόνον ἐδέξατο τὸν νόμον τοῦτον ὁ δῆμος, ἀλλὰ κἀκείνῳ τοὺς κρίνοντας ἐκ τῶν ἱππέων ἔδωκε καταλέξαι, μοναρχική τις ἰσχὺς ἐγεγόνει περὶ αὐτόν· ὥστε καὶ τὴν σύγκλητον ἀνέχεσθαι συμβουλεύοντος αὐτοῦ. συνεβούλευε δὲ ἀεί τι τῶν ἐκείνῃ πρεπόντων εἰσηγούμενος· οἷον ἦν καὶ τὸ περὶ τοῦ σίτου δόγμα μετριώτατον καὶ κάλλιστον, ὃν ἔπεμψε μὲν ἐξ Ἰβηρίας Φάβιος ἀντιστράτηγος· ἐκεῖνος δ' ἔπεισε τὴν βουλὴν ἀποδομένην τὸν σῖτον, ἀναπέμψαι

agraria, de agro publico inopibus dividundo, altera militaris, qua ſancitum ut veſtes publice præberentur, neque quicquam ejus nomine ſtipendio militum detraheretur, ac ne quis minor decem & ſeptem annis ad nomen cogeretur reſpondere: ſocialis alia, qua jus ſuffragii ferendi cum civibus dabatur Italis: alia frumentaria, pretium elevans annonæ: alia judiciaria, qua plurimum circumcidit opes ſenatus. Soli enim judicia in poteſtate ſenatores habebant, atque ideo populo & ordini equeſtri erant formidabiles. Hic vero trecentos equites Romanos trecentis admiſcuit ſenatoribus, atque judicia hiſce ſexcentis communicavit. Dum hanc legem rogat, cum in alia dicitur magnopere incubuiſſe, tum ubi ſuperiores concionatores omnes reſpicere ad curiam aſſueverant & ad comitium, primus tunc foras verſus ad forum fuiſſe concionatus, atque id deinceps ſequutus, brevique declinatione & circumactu corporis magnam rem moviſſe, ac rempub. quaſi ab optimatibus ad arbitrium tranſtuliſſe populi, tanquam plebem ſpectare concionatores, non ſenatum deberent.

Ut vero non modo hanc legem ſcivit populus, ſed & judices illi deligere ex equitibus permiſit: poteſtatem obtinuit regiam quandam, adeo ut ſenatus quoque reciperet ejus conſilia. Conſultor ſemper erat & autor rei alicujus quæ eum ordinem decebat. Cujuſcemodi fuit decretum de frumento ex Hiſpania a Fabio proprætore miſſo moderatiſſimum & laudatiſſimum. Suaſit Caius ſenatui ut diſtracto frumento remitteret civitatibus pretium,

ψαι ταῖς πόλεσι τὸ ἀργύριον, καὶ προσεπαιτιάσασθαι τὸν Φάβιον, ὡς ἐπαχθῆ καὶ ἀφόρητον ποιοῦντα τὴν ἀρχὴν τοῖς ἀνθρώποις. ἐφ' ᾧ μεγάλην ἔσχε δόξαν μετ' εὐνοίας ἐν ταῖς ἐπαρχίαις. ἔγραψε δὲ καὶ πόλεις ἀποικίδας ἐκπέμπεσθαι, καὶ τὰς ὁδοὺς ποιεῖσθαι, καὶ κατασκευάζεσθαι σιτοβόλια. τούτοις ἅπασι πραττομένοις αὐτὸν ἄρχοντα καὶ διοικητὴν ἐφιστὰς, καὶ πρὸς μηδὲν ἀποτρυόμενος τῶν τοσούτων καὶ τηλικούτων, ἀλλὰ καὶ θαυμαστῷ τινὶ τάχει καὶ πόνῳ τῶν γινομένων, ὡς μόνον ἕκαστον ἐξεργαζόμενος· ὥστε καὶ τοὺς πάνυ μισοῦντας αὐτὸν καὶ δεδοικότας ἐκπλήττεσθαι τὸ διὰ πάντων ἀνύσιμον καὶ τελεσιουργόν. οἱ δὲ πολλοὶ καὶ τὴν ὄψιν αὐτὴν ἐθαύμαζον, ἐξηρτημένον ὁρῶντες αὐτοῦ πλῆθος ἐργολάβων, τεχνιτῶν, πρεσβευτῶν, ἀρχόντων, στρατιωτῶν, φιλολόγων· οἷς πᾶσιν ἐντυγχάνων μετ' εὐκολίας, καὶ τὸ σεμνὸν ἐν τῷ φιλανθρώπῳ διαφυλάττων, καὶ νέμων αὐτοῦ τὸ ἁρμόττον οἰκείως ἑκάστῳ, χαλεποὺς ἀπεδείκνυε συκοφάντας, τοὺς φοβερὸν αὐτὸν ἢ φορτικὸν ὅλως ἢ βίαιον ἀποκαλοῦντας. οὕτω δεινότερος ἦν ἐν ταῖς ὁμιλίαις καὶ ταῖς πράξεσιν, ἢ τοῖς ἀπὸ τοῦ βήματος λόγοις δημαγωγός.

Ἐσπούδασε δὲ μάλιστα περὶ τὴν ὁδοποιΐαν, τῆς τε χρείας ἅμα καὶ τοῦ πρὸς χάριν καὶ κάλλος ἐπιμεληθείς. εὐθεῖαι γὰρ ἤγοντο διὰ τῶν χωρίων ἀτρεμεῖς· καὶ τὸ μὲν ἐστόρνυντο πέτρᾳ ξεστῇ, τὸ δὲ ἄμμου χώμασιν ἀκτοῖς ἐπυκνοῦτο. πιμπλαμένων δὲ τῶν κοίλων καὶ ζευγνυμένων γεφύραις, ὅσα χείμαρροι διέκοπτον ἢ φάραγγες, ὕψος δὲ τῶν ἑκατέρωθεν ἴσον καὶ παράλληλον λαμβανόντων, ὁμαλὴν

Fabiumque inſuper caſtigaret, quod invidioſum & intolerandum redderet provincialibus imperium: quæ res ei in provinciis magnam paravit cum benevolentia laudem. Ad hæc leges tulit de coloniis deducendis, de viis muniendis, de ædificandis horreis. His muneribus omnibus rectorem ſe & diſpenſatorem præfecit, nihil in tot tantiſque fatiſcens negotiis: immo incredibili celeritate & labore, quaſi ſingulis tantum incumberet, conſummavit inſtituta opera: ut etiam illi qui impenſe oderant & timebant eum, obſtupeſcerent expeditam ubique ejus atque efficacem induſtriam. Plebs vero etiam ipſum rei mirabatur conſpectum, quum affectari eum conſpicerent catervam operariorum, artificum, legatorum, magiſtratuum, militum, doctorum hominum: quibus omnibus placidum aditum præbens, atque in humanitate tuens gravitatem, accommodanſque ſe ad id quod cuique proprie conveniret, effecit ut graves calumniatores haberentur qui trucem ipſum aut omnino moroſum dicebant aut præfractum. Adeo habebat excitatiorem in conſuetudine & actionibus quam in concionibus popularitatem.

Elaboravit autem potiſſimum in viis muniendis, tam utilitatis quam oblectamenti & ornatus curam gerens. Ducebantur enim directæ ad amuſſim per agros viæ, atque hinc lapide quadrato ſternebantur, hinc glareæ aggeribus advectis referciebantur. Complebat & pontibus jungebat lacunas torrentibus vel ſpecubus excavatas, ac lateribus pari inter ſe faſtigio utrinque comparatis, æquabilem

ὁμαλὴν καὶ καλὴν ὄψιν εἶχε δι' ὅλου τὸ ἔργον. πρὸς δὲ τούτοις διαμετρήσας κατὰ μίλιον ὁδὸν πᾶσαν (τὸ δὲ μίλιον ὀκτὼ σταδίων ὀλίγον ἀποδεῖ) κίονας λιθίνους σημεῖα τοῦ μέτρου κατέστησεν. ἄλλους δὲ λίθους ἔλαττον ἀπέχοντας ἀλλήλων ἑκατέρωθεν τῆς ὁδοῦ διέθηκεν, ὡς εἴη ῥαδίως τοῖς ἵππους ἔχουσιν ἐπιβαίνειν ἐπ' αὐτῶν, ἀναβολέως μὴ δεομένοις.

Ἐπὶ τούτοις τοῦ δήμου μεγαλύνοντος αὐτὸν, καὶ πᾶν ὁτιοῦν ἑτοίμως ἔχοντος ἐνδείκνυσθαι πρὸς εὔνοιαν, ἔφη ποτὲ δημηγορῶν αὐτὸς αἰτήσειν χάριν, ἣν λαβὼν μὲν, ἀντὶ παντὸς ἕξειν· εἰ δὲ ἀποτύχοι, μηδὲν ἐκείνοις μεμψιμοιρήσειν. τοῦτο ῥηθὲν ἔδοξεν αἴτησις ὑπατείας εἶναι, καὶ προσδοκίαν πᾶσιν ὡς ἅμα μὲν ὑπατείαν, ἅμα δὲ δημαρχίαν μετιὼν παρέσχεν. ἐνστάντων δὲ τῶν ὑπατικῶν ἀρχαιρεσιῶν, καὶ μετεώρων ὄντων ἁπάντων, ὤφθη Γάϊον Φάννιον κατάγων εἰς τὸ πεδίον, καὶ συναρχαιρεσιάζων ἐκείνῳ μετὰ τῶν φίλων. τοῦτο ῥοπὴν ἤνεγκε τῷ Φαννίῳ μεγάλην. κἀκεῖνος μὲν ὕπατος, Γάϊος δὲ δήμαρχος ἀπεδείχθη τὸ δεύτερον, οὐ παραγγέλλων, οὐδὲ μετιὼν, ἀλλὰ τοῦ δήμου σπουδάσαντος. ἐπεὶ δὲ ἑώρα τὴν μὲν σύγκλητον ἐχθρὰν ἄντικρυς, ἀμβλὺν δὲ τῇ πρὸς αὐτὸν εὐνοίᾳ τὸν Φάννιον, αὖθις ἑτέροις νόμοις ἀπήρτησε τὸ πλῆθος· ἀποικίας μὲν εἰς Τάραντα καὶ Καπύην πέμπεσθαι γράφων, καλῶν δὲ ἐπὶ κοινωνίᾳ πολιτείας τοὺς Λατίνους. ἡ δὲ βουλὴ, δείσασα μὴ παντάπασιν ἄμαχος γένηται, καινὴν καὶ ἀσυνήθη πεῖραν ἐπῆγε τοῖς πολλοῖς ἀποτροπῆς, ἀντιδημαγωγοῦσα καὶ χαριζομένη παρὰ τὸ βέλτιστον. ἦν γὰρ εἷς τῶν τοῦ Γαΐου συναρχόντων

bilem habebat & viſendam undique opus faciem. Ad hæc viam omnem per miliaria dimenſus (capit autem paulo minus octo ſtadia miliare) columnas lapideas ſpatii ſignandi gratia locavit. Alios lapides modicis inter ſe intervallis hinc inde ſecundum viam diſpoſuit: quibus equitantes ſine ſervis in equos attollentibus conſcenderent commodius equos.

Has ob res populo eum in cœlum laudibus ferente, & nihil non ejus ſtudio facere parato, jecit aliquando in concione gratiam ſe petiturum, quam ſi eſſet adeptus, inſtar ſe habiturum omnium: ſin tuliſſet repulſam, nihil de illis conqueſturum. Id dictum petitio viſum conſulatus eſſe: atque opinionem omnibus præbuit pariter ſe conſulatum & tribunatum petiturum. Inſtantibus comitiis conſularibus, omnibuſque ſuſpenſis prodiit Caius ad Fannium in campum deducendum, atque ad juvandum ſtudio ſuo cum amicis illius petitionem. Momentum hoc Fannio non exiguum attulit: qui conſul, & Caius iterum tribunus plebis renunciatus eſt, non candidatus neque ambiens, verum populi ſtudio. Quum vero ſenatum non obſcure infeſtum cerneret ſibi, frigida autem in ſe benevolentia Fannium: inſtitit aliis de integro legibus devincire ſibi plebem, legem promulgans de coloniis Tarentum & Capuam deducendis, & de adſciſcendis in civitatem Latinis. At ſenatus, veritus ne prorſus evaderet inſuperabilis, viam ad multitudinem avertendam molitus eſt novam & inſolitam, malo exemplo blandimentis erga populum cum Caio & obſequiis certans. Erat enim ex collegis Caii unus

ἀρχόντων Λίβιος Δροῦσος, ἀνὴρ οὔτε γεγονὼς τινὸς Ῥωμαίων οὔτε τεθραμμένος χεῖρον, ἤθει δὲ καὶ λόγῳ καὶ πλούτῳ ἐν τοῖς μάλιστα τιμωμένοις καὶ δυναμένοις ἀπὸ τούτων ἐνάμιλλος. ἐπὶ τοῦτον μὲν οὖν οἱ γνωριμώτατοι τρέπονται· καὶ παρεκάλουν αὐτὸν ἅψασθαι τοῦ Γαΐου, καὶ μετ' αὐτῶν ἐπὶ τὸν ἄνδρα συστῆναι, μὴ βιαζόμενον, μηδὲ ἀντικρούοντα τοῖς πολλοῖς, ἀλλὰ πρὸς ἡδονὴν ἄρχοντα, καὶ χαριζόμενον ὑπὲρ ὧν καὶ ἀπεχθάνεσθαι καλῶς εἶχεν.

Ἐπιδοὺς οὖν ὁ Λίβιος εἰς ταῦτα τῇ βουλῇ τὴν ἑαυτοῦ δημαρχίαν, νόμους ἔγραψεν, οὔτε τῶν καλῶν τινὸς, οὔτε τῶν λυσιτελῶν ἐχομένους· ἀλλὰ ἓν μόνον, ὑπερβαλέσθαι τὸν Γάϊον ἡδονῇ καὶ χάριτι τῶν πολλῶν, ὥσπερ ἐν κωμῳδίᾳ, σπεύδων καὶ διαμιλλώμενος. ᾧ καὶ καταφανεστάτην ἐποίησεν ἑαυτὴν ἡ σύγκλητος, οὐ δυσχεραίνουσα τοῖς τοῦ Γαΐου πολιτεύμασιν, ἀλλὰ αὐτὸν ἐκεῖνον ἀνελεῖν ἢ ταπεινῶσαι παντάπασι βουλομένη. τὸν μὲν γὰρ ἀποικίας δύο γράψαντα, καὶ τοὺς χαριεστάτους τῶν πολιτῶν εἰσάγοντα, δημοκοπεῖν ᾐτιῶντο· Λιβίῳ δὲ δώδεκα κατοικίζοντι, καὶ τρισχιλίους εἰς ἑκάστην ἀποστέλλοντι τῶν ἀπόρων, συνελαμβάνοντο. κἀκείνῳ μὲν, ὅτι χώραν διένειμε τοῖς πένησι, προστάξας ἑκάστῳ τελεῖν ἀποφορὰν εἰς τὸ δημόσιον, ὡς κολακεύοντι τοὺς πολλοὺς ἀπηχθάνοντο· Λίβιος δὲ καὶ τὴν ἀποφορὰν ταύτην τῶν νειμαμένων ἀφαιρῶν, ἤρεσκεν αὐτοῖς. ἔτι δὲ, ὁ μὲν τοῖς Λατίνοις ἰσοψηφίαν διδοὺς ἐλύπει· τοῦ δὲ, ὅπως μηδ' ἐπὶ στρατείας ἐξῇ τινὰ Λατίνων ῥάβδοις αἰκίσασθαι, γράψαντος, ἐβοήθουν τῷ νόμῳ. καὶ μέντοι καὶ αὐτὸς ὁ Λίβιος ἀεὶ δη-

μη-

unus Livius Druſus, vir neque indole ulli Romano neque tyrocinio ſecundus, ad hæc eloquentia & divitiis inter primos celebris, atque pollentibus horum præſidio par. Ad hunc igitur vertunt ſe primores, hortanturque ut Caium adoriatur, atque in eum conſpiret ſecum, non vi agendo neque incurrendo in plebem, ſed mulcendo in magiſtratu, concedendoque tanta quorum cauſa vel laceſſenda eſſet honeſte.

Itaque tribunatum ſuum Livius ad ſenatus voluntatem aggregans, leges promulgavit non ullam in rem honeſtam aut frugiferam, ſed id modo, ſuperare Caium ſicut in comœdia blandimentis & popularitate enitens & certans: quo apertiſſime declaravit ſenatus non actionibus offendi ſe Caii, ſed illum ipſum tollere aut conculcare modis omnibus in animo habere. Huic enim de duabus promulganti coloniis deducendis rogationem, & honeſtiſſimos cives in eas ſcribenti, lenocinari eum multitudini objiciebant: Livio de duodecim coloniis deducendis legem ferenti, & de ternis millibus in ſingulas inopum ſcribendis, erant auxilio. Illi, quod agrum partiretur pauperibus indicta ſingulis penſione quam inferrent ærario, ſuccenſebant ut plebis aſſentatori: Livius, qui etiam penſione hac agrorum poſſeſſores levabat, erat iis probatus. Ad hæc ille, quod Latinis ſuffragii ferendi jus faceret, cruciabat eos: hujus ne quem Latinum militem virgis mulctare duci liceret ferentis legi præſto erant. Et quidem Livius ipſe in concionando aſſidue jac-

μηγορῶν ἔλεγεν, ὡς γράφει ταῦτα τῇ βουλῇ δοκοῦντα κηδομένῃ τῶν πολλῶν· ὃ δὴ καὶ μόνον ἀπὸ τῶν πολιτευμάτων αὐτοῦ χρήσιμον ὑπῆρχεν. ἡμερώτερον γὰρ ἔσχε πρὸς τὴν βουλὴν ὁ δῆμος, καὶ τοὺς γνωριμωτάτους αὐτοῦ πρότερον ὑφορώμενος καὶ μισοῦντος, ἐξέλυσε καὶ κατεπράϋνε τὴν μνησικακίαν καὶ χαλεπότητα ταύτην ὁ Λίβιος, ὡς ἐκ τῆς ἐκείνων ὁρμώμενος γνώμης ἐπὶ τὸ δημαγωγεῖν καὶ χαρίζεσθαι τοῖς πολλοῖς.

Μεγίστη δὲ τῷ Δρούσῳ πίστις εὐνοίας πρὸς τὸν δῆμον ἐγίνετο καὶ δικαιοσύνης, τὸ μηδὲν αὐτῷ μηδ᾽ ὑπὲρ ἑαυτοῦ φαίνεσθαι γράφοντα. καὶ γὰρ οἰκιστὰς ἑτέρους ἐξέπεμπε τῶν πόλεων, καὶ διοικήσεσι χρημάτων οὐ προσῄει, τοῦ Γαΐου τὰ πλεῖστα καὶ μέγιστα τῶν τοιούτων αὐτῷ προστιθέντος. ἐπεὶ δὲ Ῥουβρίου, τῶν συναρχόντων ἑνὸς, οἰκίζεσθαι Καρχηδόνα γράψαντος ἀνῃρημένην ὑπὸ Σκιπίωνος, κλήρῳ λαχὼν ὁ Γάϊος ἐξέπλευσεν εἰς Λιβύην ἐπὶ τὸν κατοικισμὸν, ἔτι μᾶλλον ἐπιβὰς ὁ Δροῦσος ἀπόντος αὐτοῦ, τὸν δῆμον ὑπελάμβανε καὶ προσήγετο, μάλιστα ταῖς τοῦ Φουλβίου διαβολαῖς. ὁ δὲ Φούλβιος οὗτος, ἦν τοῦ Γαΐου φίλος, καὶ συνάρχων ἐπὶ τὴν διανομὴν τῆς χώρας ᾑρημένος· ἦν δὲ θορυβώδης, καὶ μισούμενος μὲν ὑπὸ τῆς βουλῆς ἄντικρυς, ὕποπτος δὲ καὶ τοῖς ἄλλοις, ὡς τὰ συμμαχικὰ διακινῶν, καὶ παροξύνων κρύφα τοὺς Ἰταλιώτας πρὸς ἀπόστασιν. οἷς ἀναποδείκτως καὶ ἀνελέγκτως λεγομένοις αὐτὸς προσετίθει πίστιν ὁ Φούλβιος, οὐχ ὑγιαινούσης οὐδὲ εἰρηνικῆς ὢν προαιρέσεως. τοῦτο μάλιστα κατέλυε τὸν Γάϊον, ἀπολαύοντα τοῦ μίσους. καὶ ὅτε Σκιπίων Ἀφρικανὸς ἐξ οὐδενὸς αἰτίου προφανοῦς ἐτελεύτησε, καὶ σημεῖά τινα

jactabat hæc ferre ſe ex ſenatus de plebe ſoliciti ſententia: quod ſane in actionibus ejus unum extitit utile. Placatior enim evaſit erga ſenatum populus: qui quum principes ante ſuſpectos & inviſos habuiſſet, diluit & mollivit hanc ſimultatem & iram Livius, oſtendens auſpicari ſe illis autoribus popularibus eſſe & plebi indulgere.

Summam vero ſibi Druſus benevolentiæ in populum & juſtitiæ fidem eo quæſivit, quod nihil ſibi aut in uſum ſuum videretur promulgare. Etenim triumviros deducendis coloniis miſit alios, neque ad pecuniam tractandam acceſſit, quum ejuſcemodi munera pleraque & maxima ſibi quæreret Caius. Ut vero unus ex collegio eorum Rubrius rogationem tulit de colonia Carthaginem ab Scipione exciſam deducenda, Caius autem id muneris ſortitus eo navigavit: abſentem Druſus adortus acrius, populum ſubiit, conciliavitque præſertim Fulvium calumniando. Fulvius hic Caii erat familiaris, & collega in triumviratu agri dividendi creatus, homo ſeditioſus & ſenatui palam inviſus, ſuſpectus etiam aliis bellum ſociale movere, Italoſque in occulto ſolicitare ad rebellandum. Quæ quum ſine ullo indicio vel argumento jactarentur, ea ipſe confirmabat Fulvius, quod parum ſana & quieta conſilia oſtenderet ſe habere. Id Caium imprimis evertit hujuſce participem invidiæ. Ac quum Scipio Africanus nulla liquida de cauſa deceſſiſſet, atque notæ in

τινα τῷ νεκρῷ πληγῶν καὶ βίας ἀποδραμεῖν ἔδοξεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται· τὸ μὲν πλεῖστον ἐπὶ τὸν Φούλβιον ἦλθε τῆς διαβολῆς, ἐχθρὸν ὄντα, καὶ τὴν ἡμέραν ἐκείνην ἐπὶ τοῦ βήματος τῷ Σκιπίωνι λελοιδορημένον· ἥψατο δὲ καὶ τοῦ Γαΐου ὑπόνοια. καὶ δεινὸν οὕτως ἔργον ἐπ' ἀνδρὶ τῷ πρώτῳ καὶ μεγίστῳ Ῥωμαίων τολμηθὲν οὐκ ἔτυχε δίκης, οὐδὲ εἰς ἔλεγχον προῆλθεν. ἐνέστησαν γὰρ οἱ πολλοὶ, καὶ κατέλυσαν τὴν κρίσιν, ὑπὲρ τοῦ Γαΐου φοβηθέντες, μὴ περιπετὴς τῇ αἰτίᾳ τοῦ φόνου ζητουμένου γένηται. τὰ μὲν οὖν ἐγεγόνει πρότερον.

Ἐν δὲ τῇ Λιβύῃ περὶ τὸν τῆς Καρχηδόνος κατοικισμὸν, ἣν ὁ Γάϊος Ἰουνωνίαν, ὅπερ ἐστὶν Ἡραίαν, ὠνόμασε, πολλὰ κωλύματα γενέσθαι παρὰ τοῦ δαιμονίου λέγουσιν. ἥ τε γὰρ πρώτη σημαία, πνεύματος ἀφαρπάζοντος αὐτὴν, τοῦ δὲ φέροντος ἐγκρατῶς ἀντεχομένου, συνετρίβη· καὶ τὰ ἱερὰ τοῖς βωμοῖς ἐπικείμενα διεσκέδασεν ἀνέμου θύελλα, καὶ διέρριψεν ὑπὲρ τοὺς ὅρους τῆς γεγενημένης ὑπογραφῆς. αὐτοὺς δὲ τοὺς ὅρους ἀνέσπασαν ἐπελθόντες λύκοι, καὶ μακρὰν ᾤχοντο φέροντες. οὐ μὴν ἀλλὰ πάντα συντάξας καὶ διακοσμήσας ὁ Γάϊος ἡμέραις ἑβδομήκοντα ταῖς πάσαις, ἐπανῆλθεν εἰς Ῥώμην, πιέζεσθαι τὸν Φούλβιον ὑπὸ τοῦ Δρούσου πυνθανόμενος, καὶ τῶν πραγμάτων τῆς αὐτοῦ παρουσίας δεομένων. Λεύκιος γὰρ Ὀπίμιος, ἀνὴρ ὀλιγαρχικὸς καὶ δυνατὸς ἐν τῇ βουλῇ, πρότερον μὲν ἐξέπεσεν, ὑπατείαν παραγγέλλων, τοῦ Γαΐου τὸν Φάννιον προαγαγόντος, ἐκεῖνον δὲ καταρχαιρεσιάσαντος· τότε δὲ πολλῶν βοηθούντων, ἐπίδοξος ἦν ὑπατεύσειν, ὑπατεύων δὲ, καταλύσειν τὸν Γάϊον, ἤδη

τρό-

in cadavere plagarum impreſſioniſque elucerent, (ut in illius hiſtoria retulimus) calumnia magna ex parte in Fulvium cecidit ejus hoſtem, qui eodem die Scipionem pro roſtris proſciderat convitiis. Neque vero exſors Caius ſuſpicionis fuit. Facinus autem adeo neſandum in virum principem & ſummum civitatis conceptum, impunitum manſit, neque fuit de eo acta quæſtio. Siquidem interpellavit & oppreſſit plebs cognitionem, Caio metuens: ne ſi de cæde illius inquireretur, noxæ comperiretur affinis. Cæterum hæc anteceſſere.

Porro in Africa quum deduceretur Carthaginem colonia, quam Caius Junoniam appellavit: prodigia feruntur ei divinitus obſcœna fuiſſe oblata. Siquidem primum ſignum vento rapiente & ſignifero ſumma ope renitente defractum eſt. Item victimas aris impoſitas diſſipavit venti procella, & ſuper ductorum urbis lineamentorum terminos disjecit. Ipſos terminos irruentes lupi abreptos longe abſtulere. Attamen omnibus digeſtis & compoſitis diebus non amplius ſeptuaginta, regreſſus Caius eſt Romam, quum premi a Druſo Fulvium accepiſſet, atque ipſæ res præſentiam ſuam requirerent. Quippe Lucius Opimius, vir de principum factione, & magnis in curia opibus, ante conſulatus candidatus, quod Caius Fannium commendaret, illumque factione ſua dejiceret, repulſam tulerat. Hic tunc multorum opibus nixus conſulatum ſibi ſpondebat, & in conſulatu Caium

pu-

τρόπον τινὰ τῆς δυνάμεως αὐτοῦ μαραινομένης, καὶ τοῦ δήμου μεστοῦ γεγονότος τῶν τοιούτων πολιτευμάτων, διὰ τὸ πολλοὺς τοὺς πρὸς χάριν δημαγωγοῦντας εἶναι, καὶ τὴν βουλὴν ὑπείκειν ἑκοῦσαν.

Ἐπανελθὼν δὲ, πρῶτον μὲν ἐκ τοῦ Παλατίου μετῴκησεν εἰς τὸν ὑπὸ τὴν ἀγορὰν τόπον, ὡς δημοτικώτερον, ὅπου πλείστους τῶν ταπεινῶν καὶ πενήτων συνέβαινεν οἰκεῖν· ἔπειτα τῶν νόμων ἐξέθηκε τοὺς λοιποὺς, ὡς ἐπάξων τὴν ψῆφον αὐτοῖς. ὄχλου δὲ πανταχόθεν αὐτῷ συνιόντος, ἔπεισεν ἡ βουλὴ τὸν ὕπατον Φάννιον ἐκβαλεῖν τοὺς ἄλλους πλὴν Ῥωμαίων ἅπαντας. γενομένου δὲ κηρύγματος ἀήθους καὶ ἀλλοκότου, μηδένα τῶν συμμάχων μηδὲ τῶν φίλων ἐν Ῥώμῃ φανῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἀντεξέθηκεν ὁ Γάϊος διάγραμμα, κατηγορῶν τοῦ ὑπάτου, καὶ τοῖς συμμάχοις, ἂν μένωσι, βοηθήσειν ἐπαγγελλόμενος. οὐ μὴν ἐβοήθησεν, ἀλλὰ ὁρῶν ἕνα τῶν ξένων αὐτοῦ καὶ συνήθων ἑλκόμενον ὑπὸ τῶν ὑπηρετῶν τοῦ Φαννίου, παρῆλθε, καὶ οὐ προσήμυνεν· εἴτε τὴν ἰσχὺν ἐπιλείπουσαν ἤδη δεδιὼς ἐλέγχειν, εἴτε μὴ βουλόμενος, ὡς ἔλεγεν, ἀψιμαχίας αὐτὸς καὶ συμπλοκῆς ἀρχὰς ζητοῦσι τοῖς ἐχθροῖς παρέχειν. συνέτυχε δὲ αὐτῷ καὶ πρὸς τοὺς συνάρχοντας ἐν ὀργῇ γενέσθαι διὰ τοιαύτην αἰτίαν. ἔμελλεν ὁ δῆμος θεᾶσθαι μονομάχους ἐν ἀγορᾷ, καὶ τῶν ἀρχόντων οἱ πλεῖστοι θεωρητήρια κύκλῳ κατασκευάσαντες ἐξεμίσθουν. ταῦτα ὁ Γάϊος ἐκέλευεν αὐτοὺς καθαιρεῖν, ὅπως οἱ πένητες ἐκ τῶν τόπων ἐκείνων ἀμισθὶ θεάσασθαι δύνωνται. μηδενὸς δὲ προσέχοντος, ἀναμείνας τὴν πρὸ τῆς θέας

um putabatur obtriturus, flacceſcente jam quodammodo ejus potentia, & quia, quum multi ſe populo venditarent, & ſenatus ultro concederet, ſatietas ceperat populum hujuſcemodi actionum.

Reverſus primum ex Palatio demigravit ſub forum, velut locum magis popularem, ubi frequentiſſimi abjecti & pauperes domicilia habebant. Deinde reliquas promulgavit leges, miſſurus de iis populum in ſuffragia. Quum turba undequaque conflueret ad eum, induxit ſenatus conſulem Fannium ut præter cives Romanos cæteros urbe ſummoveret omnes. Edicto novo & inuſitato propoſito, ne quis ſociorum vel amicorum illis diebus Romæ eſſet: propoſuit ex adverſo edictum Caius, incuſans conſulem, ſociiſque, ſi remanerent, auxilio ſe futurum oſtendens. Haud tulit tamen eis opem: verum quum unus ex hoſpitibus & familiaribus ipſius ſub oculis ſuis raperetur a lictoribus Fannii, præteriit, neque ſubvenit ei; vel quod vim ſuam prodere vereretur jam elangueſcentem, vel ne certaminis, uti ferebat ipſe, & conflictus exordium affectantibus id inimicis præberet. Acceſſit forte quod offenſio illi cum collegis intercederet ex cauſa hujuſcemodi. Ludi gladiatorii populo in foro exhibendi erant, & plerique eorum qui magiſtratibus fungebantur, cuneos in orbem ad ſpectandum inſtruxerant, quos mercede locabant. Eos Caius imperavit illis ut tollerent, quo inopes ex cavea ſpectare gratis valerent. Nemine ei auſcultante, præſtolatus noctem cui ſpectaculum il-

θέας νύκτα, καὶ τῶν τεχνιτῶν ὅσους εἶχεν ἐργολάβους ὑφ' ἑαυτῷ παραλαβὼν, τὰ θεωρητήρια καθεῖλε, καὶ τῷ δήμῳ σχολάζοντα μεθ' ἡμέραν ἀπέδειξε τὸν τόπον. ἐφ' ᾧ τοῖς μὲν πολλοῖς ἀνὴρ ἔδοξεν εἶναι, τοὺς δὲ συνάρχοντας ὡς ἰταμὸς καὶ βίαιος ἐλύπησεν. ἐκ τούτου καὶ τὴν τρίτην ἔδοξεν δημαρχίαν ἀφῃρῆσθαι, ψήφων μὲν αὐτῷ πλείστων γενομένων, ἀδίκως δὲ καὶ κακούργως τῶν συναρχόντων ποιησαμένων τὴν ἀναγόρευσιν καὶ ἀνάδειξιν. ἀλλὰ ταῦτα μὲν ἀμφισβήτησιν εἶχεν. ἤνεγκε δὲ οὐ μετρίως ἀποτυχὼν, καὶ πρός γε τοὺς ἐχθροὺς ἐπεγγελῶντας αὐτῷ λέγεται θρασύτερον τοῦ δέοντος εἰπεῖν, ὡς Σαρδόνιον γέλωτα γελῶσιν, οὐ γινώσκοντες ὅσον αὐτοῖς σκότος ἐκ τῶν αὐτοῦ περικέχυται πολιτευμάτων.

Ἐπεὶ δὲ καὶ τὸν Ὀπίμιον καταστήσαντες ὕπατον, τῶν νόμων πολλοὺς διέγραφον, καὶ τὴν Καρχηδόνος ἐκίνουν διάταξιν, ἐρεθίζοντες τὸν Γάϊον, ὡς ἂν αἰτίαν ὀργῆς παρασχὼν ἀναιρεθείη, τὸν μὲν πρῶτον χρόνον ἐκαρτέρει, τῶν δὲ φίλων, καὶ μάλιστα τοῦ Φουλβίου παροξύνοντος, ὥρμησε πάλιν συνάγειν τοὺς ἀντιταξομένους πρὸς τὸν ὕπατον. ἐνταῦθα καὶ τὴν μητέρα λέγουσιν αὐτῷ συστασιάσαι, μισθουμένην ἀπὸ τῆς ξένης κρύφα καὶ πέμπουσαν εἰς Ῥώμην ἄνδρας, ὡς δὴ θεριστάς· ταῦτα γὰρ ἐν τοῖς ἐπιστολίοις αὐτῆς ᾐνιγμένα γεγράφθαι πρὸς τὸν υἱόν. ἕτεροι δὲ καὶ πάνυ τῆς Κορνηλίας δυσχεραινούσης ταῦτα πράττεσθαι λέγουσιν. ἧ δ' οὖν ἔμελλον ἡμέρᾳ τοὺς νόμους λύειν οἱ περὶ τὸν Ὀπίμιον, κατείληπτο μὲν ὑπ' ἀμφοτέρων ἕωθεν εὐθὺς τὸ Καπετώλιον· θύσαντος δὲ τοῦ ὑπάτου, τῶν ὑπηρετῶν τις αὐτοῦ Κόϊντος Ἀντύλλιος, διαφέρων ἑτέ-

ρωσε

illuceſcebat, evertit per opifices, quos habebat penes ſe conductos, cuneos illos, populoque poſtridie locum vacuum exhibuit. Quo facto apud multitudinem magni vir animi habitus eſt, verum collegas offendit ut ferox & violentus. Hinc etiam tertio tribunatu lapſum apparet, non quin plurima tulerit ſuffragia, ſed quod improbe & fraudulenter renuntiaverint deſignatos collegæ ejus. Cæterum ea controverſa fuerunt. Non tulit modice repulſam, & ad illudentes ei æmulos perhibetur inſolentius quam par erat dixiſſe, riſum Sardonium eos ridere, ignaros quantas eis tenebras actionibus ſuis offudiſſet.

Ut vero Opimio lecto conſule multas Caii leges circumduxerunt, & Carthagine acta moverunt, ſtimulantes eum, quo, quum cauſam iræ præbuiſſet, interficeretur: toleravit id aliquamdiu. Cæterum quia ab amicis fuit, præcipue a Fulvio, accenſus, aggreſſus denuo eſt factionem adverſus conſulem contrahere. Hic matrem quoque ejus ferunt ſociam ſe præbuiſſe ſeditionis, peregrinos clam conducendo atque in urbem meſſorum ſpecie mittendo: hæc enim in epiſtolis ejus perplexe ſunt ad filium ſcripta. Alii Cornelia admodum improbante hæc aſſerunt ab eo patrata. Ergo qua die leges ejus Opimius antiquaturus erat, utraque pars inſederat prima luce Capitolium. Quum rem divinam conſul faceret, unus ex lictoribus ejus Quintus Antyllius auferens alio exta,

ad

ρωσε τὰ σπλάγχνα πρὸς τοὺς περὶ τὸν Φούλβιον, εἶπε, Δότε τόπον ἀγαθοῖς κακοὶ πολῖται. τινὲς δέ φασιν ἅμα τῇ φωνῇ ταύτῃ καὶ τὸν βραχίονα γυμνὸν οἷον ἐφ' ὕβρει σχηματίζοντα παρενεγκεῖν. ἀποθνήσκει γοῦν εὐθὺς ὁ Ἀντύλλιος ἐκεῖ, μεγάλοις γραφείοις κεντούμενος, ἐπ' αὐτὸ τοῦτο πεποιῆσθαι λεγομένοις. καὶ τὸ μὲν πλῆθος διεταράχθη πρὸς τὸν φόνον, ἐναντία δὲ τοὺς ἡγεμόνας ἔσχε διάθεσις. ὁ μὲν γὰρ Γάϊος ἤχθετο, καὶ κακῶς ἔλεγε τοὺς περὶ αὐτὸν, ὡς αἰτίας δεομένοις πάλαι καθ' ἑαυτῶν τοῖς ἐχθροῖς δεδωκότας· ὁ δὲ Ὀπίμιος, ὥσπερ ἐνδόσιμον λαβὼν, ἐπῆρτο, καὶ παρώξυνε τὸν δῆμον ἐπὶ τὴν ἄμυναν.

Καὶ τότε μὲν ὄμβρου γενομένου διελύθησαν· ἅμα δ' ἡμέρᾳ τὴν μὲν βουλὴν ὁ ὕπατος συναγαγὼν, ἔνδον ἐχρημάτιζεν, ἕτεροι δὲ τὸ τοῦ Ἀντυλλίου σῶμα γυμνὸν ἐπὶ κλίνης προθέμενοι, δι' ἀγορᾶς ἐπὶ τὸ βουλευτήριον ἐπίτηδες παρεκόμιζον, οἰμωγῇ χρώμενοι καὶ θρήνῳ, γιγνώσκοντος μὲν τοῦ Ὀπιμίου τὰ πραττόμενα, προσποιουμένου δὲ θαυμάζειν· ὥστε καὶ τοὺς βουλευτὰς προελθεῖν. κατατεθείσης δὲ τῆς κλίνης εἰς μέσον, οἱ μὲν ἐσχετλίαζον, ὡς ἐπὶ δεινῷ καὶ μεγάλῳ πάθει· τοῖς δὲ πολλοῖς ἐπῄει μισεῖν καὶ προβάλλεσθαι τοὺς ὀλιγαρχικοὺς, ὡς Τιβέριον μὲν Γράκχον ἐν Καπετωλίῳ φονεύσαντες αὐτοὶ δήμαρχον ὄντα, καὶ τὸν νεκρὸν προσεξέβαλον· ὁ δ' ὑπηρέτης Ἀντύλλιος, οὐ δίκαια μὲν ἴσως πεπονθὼς, τὴν δὲ πλείστην αἰτίαν εἰς τὸ παθεῖν αὐτῷ παρασχὼν, ἐν ἀγορᾷ πρόκειται, καὶ περιέστηκεν ἡ Ῥωμαίων βουλὴ θρηνοῦσα, καὶ συνεκκομίζουσα μισθωτὸν ἄνθρωπον, ἐπὶ τῷ τὸν ἔτι λειπόμενον ἀνελεῖν τῶν τοῦ

δήμου

ad Fulvii cohortem ait, Date locum bonis improbi cives. Sunt qui ferant ſimul cum voce hac etiam nudum brachium tanquam ad contumeliam compoſitum trajeciſſe. Ibi e veſtigio confoditur Antyllius longis ſtylis fodicatus, ad id ipſum, ut aiunt, paratis. Hæc cædes multitudinem conſternavit. Duces vero factionum diverſe fuerunt animati. Excanduit enim Caius, & caſtigavit ſuos quod colorem quærentibus jampridem adverſus ipſos præbuiſſent adverſariis. Opimius autem ſicut anſa accepta erectus exaſperavit ad ſumendum ſupplicium populum.

Ac tum quidem imbre excuſſo dirempti ſunt. Primo mane dum ſenatum coactum conſulit in curia conſul, alii nudum Antyllii corpus in lecto prolatum tranſtulerunt ex compoſito per forum ad curiam cum gemitu & lamentatione, non neſcio eorum quæ agerentur Opimio, ſed mirari ſe quid id eſſet fingente. Itaque patres quoque progreſſi ſunt. Depoſito in medio lecto, cœperunt alii quiritari ut in horrendo & gravi facinore. Compluribus vero ſubiit odiſſe & execrari iſtos de principum factione, quod quum Tiberium Gracchum in Capitolio tribunatu fungentem ipſi interemiſſent, & cadaver inſuper projeciſſent, lictor vero Antyllius fortaſſis quidem indigna paſſus, ſed qui mali ſui fuerat potiſſimus autor, in foro proponeretur, & ſenatus populi Romani circumſiſteret lugens, ſuaque frequentia exequias honoraret hominis mercenarii, quo reſiduum adhuc peri-

mere

δήμου κηδομένων. ἐκ τούτου πάλιν εἰς τὸ βουλευτήριον ἀπελθόντες, ἐψηφίσαντο καὶ προσέταξαν Ὀπιμίῳ τῷ ὑπάτῳ σώζειν τὴν πόλιν ὅπως δύναιτο, καὶ καταλύειν τοὺς τυράννους. ἐκείνου δὲ προειπόντος ἐπὶ τὰ ὅπλα χωρεῖν τοὺς συγκλητικοὺς, καὶ τῶν ἱππέων ἑκάστῳ παράγγελμα δόντος ἄγειν ἕωθεν οἰκέτας δύο καθωπλισμένους, ὁ μὲν Φούλβιος ἀντιπαρεσκευάζετο, καὶ συνῆγεν ὄχλον· ὁ δὲ Γάϊος ἐκ τῆς ἀγορᾶς ἀπερχόμενος, ἔστη κατὰ τὸν τοῦ πατρὸς ἀνδριάντα, καὶ πολὺν χρόνον ἐμβλέψας εἰς αὐτὸν, οὐδὲν ἐφθέγξατο, δακρύσας δὲ καὶ στενάξας ἀπῄει. τοῦτο πολλοῖς τῶν ἰδόντων οἰκτεῖραι τὸν Γάϊον ἐπῆλθε· καὶ κακίσαντες αὑτοὺς, ὡς ἐγκαταλείποντες τὸν ἄνδρα καὶ προδιδόντες, ἧκον ἐπὶ τὴν οἰκίαν, καὶ παρενυκτέρευον ἐπὶ τῶν θυρῶν, οὐχ ὁμοίως τοῖς τὸν Φούλβιον φυλάττουσιν. ἐκεῖνοι μὲν γὰρ ἐν κρότοις καὶ ἀλαλαγμοῖς πίνοντες καὶ θρασυνόμενοι διετέλεσαν, αὐτοῦ τοῦ Φουλβίου πρώτου μεθυσκομένου, καὶ πολλὰ φορτικῶς παρ' ἡλικίαν φθεγγομένου καὶ πράττοντος· οἱ δὲ περὶ τὸν Γάϊον ὡς ἐπὶ συμφορᾷ κοινῇ τῆς πατρίδος ἡσυχίαν ἄγοντες, καὶ περισκοπούμενοι τὸ μέλλον, ἐν μέρει φυλάττοντες καὶ ἀναπαυόμενοι διῆγον.

Ἅμα δὲ ἡμέρᾳ τὸν μὲν Φούλβιον ἐκ τοῦ ποτοῦ καθεύδοντα μόλις ἐπεγείραντες, ὡπλίζοντο τοῖς περὶ τὴν οἰκίαν λαφύροις, ἃ Γαλάτας νενικηκὼς ὅτε ὑπάτευεν εἰλήφει, καὶ μετὰ πολλῆς ἀπειλῆς καὶ κραυγῆς ἐχώρουν καταληψόμενοι τὸν Ἀβεντῖνον λόφον. ὁ δὲ Γάϊος ὁπλίσασθαι μὲν οὐκ ἠθέλησεν, ἀλλ' ὥσπερ εἰς ἀγορὰν, ἐν τηβέννῳ προῄει μικρὸν ἐπεζωσμένος ἐγχειρίδιον. ἐξιόντι δὲ αὐτῷ περὶ τὰς θύρας ἡ γυνὴ προσπεσοῦσα, καὶ καταχοῦσα τῶν χειρῶν τῇ μὲν

αὐτὸν

mere valeret populi tutorum. Regreſſi inde in curiam, ſenatuſconſulto facto mandant conſuli Opimio, daret diligenter operam ne quid reſpublica detrimenti pateretur, & opprimeret tyrannos. Ille quum denunciaſſet ut patres ad arma irent, & equitibus edixiſſet ſinguli ut cum luce binos ſervos armis inſtructos adducerent: Fulvius e diverſo adornavit ſe, & coegit multitudinem. At Caius foro digrediens ſubſtitit ante patris ſtatuam, diuque eum intuitus nullum verbum fecit: tantum lacrymis effuſis atque edito gemitu abſceſſit. Id multi ſpectantes miſereri Caii cœperunt: ac ſemetipſi culpantes quod deſererent & proderent eum, profecti ſunt domum ejus, ubi ad fores excubuerunt, non perinde atque illi qui ſtipabant Fulvium. Illi enim per plauſus & ululatus potantes ferocienteſque tranſegerunt noctem: ipſe fuit primus Fulvius vino merſus, multaque odioſe præter ætatem effudit & deſignavit. Caii cohors, ut in publica patriæ pernicie pacata volvenſque eventum, viciſſim excubias agendo & quieſcendo noctem tranſmittebat.

Ubi diluxit, ægre excitaverunt ſopitum mero Fulvium, armaveruntque ſe ſpoliis, quæ domi habebat Gallis in conſulatu ſuo devictis detracta, magniſque cum minis & clamore ad occupandum Aventinum collem contenderunt. Caius noluit arma induere, verum ſicut in forum toga amictus progreditur, tantum modico pugione accinxit ſe. Ad exeuntem accurrit apud januam uxor, tenenſque una manu illum, altera

αὐτὸν ἐκεῖνον, τῇ δὲ τὸ παιδίον, Οὐκ ἐπὶ τὸ βῆμά σε, εἶπεν, ὦ Γάϊε, προπέμπω δήμαρχον, ὡς πρότερον, καὶ νομοθέτην, οὐδ' ἐπὶ πόλεμον ἔνδοξον, ἵνα μοι καὶ παθών τι τῶν κοινῶν ἀπολίπῃς τιμώμενον γοῦν πένθος· ἀλλὰ τοῖς Τιβερίου φονεῦσιν ὑποβάλλεις σεαυτὸν, ἄνοπλον μὲν καλῶς, ἵνα πάθῃς τι μᾶλλον ἢ δράσῃς, πρὸς οὐδὲν δὲ τοῖς κοινοῖς ὄφελος ἀπολῇ. κεκράτηκεν ἤδη τὰ χείρω, βίᾳ καὶ σιδήρῳ τὰς δίκας ἤδη πράττουσιν. εἰ περὶ Νομαντίαν ὁ σὸς ἀδελφὸς ἔπεσεν, ὑπόσπονδος ἂν ἡμῖν ἀπεδόθη νεκρός· νῦν δὲ ἴσως κἀγὼ ποταμοῦ τινος ἢ θαλάσσης ἱκέτης ἔσομαι, φῆναί ποτε τὸ σὸν σῶμα φρουρούμενον. τί γὰρ ἢ νόμοις ἔτι πιστὸν ἢ Θεοῖς μετὰ τὸν Τιβερίου φόνον; τοιαῦτα τῆς Λικιννίας ὀδυρομένης, ἀτρέμα τὰς περιβολὰς ἀπολυσάμενος αὐτῆς ὁ Γάϊος, ἐχώρει σιωπῇ μετὰ τῶν φίλων. ἡ δὲ τοῦ ἱματίου λαβέσθαι γλιχομένη, καταῤῥυεῖσα πρὸς τοὔδαφος, ἔκειτο πολὺν χρόνον ἄναυδος· ἄχρι οὗ λειποθυμήσασαν αὐτὴν οἱ θεράποντες ἀράμενοι, πρὸς Κράσσον ᾤχοντο τὸν ἀδελφὸν κομίζοντες.

Ὁ δὲ Φούλβιος, ὡς ἐγένοντο πάντες ἀθρόοι, πεισθεὶς ὑπὸ τοῦ Γαΐου, πέμπει τῶν υἱῶν τὸν νεώτερον ἔχοντα κηρύκιον εἰς ἀγοράν. ἦν δὲ κάλλιστος ὁ νεανίσκος ὀφθῆναι· καὶ τότε καταστὰς κοσμίως καὶ μετ' αἰδοῦς δεδακρυμένος, ἐποιήσατο συμβατικοὺς λόγους πρὸς τὸν ὕπατον καὶ τὴν σύγκλητον. οἱ μὲν οὖν πολλοὶ τῶν παρόντων οὐκ ἀηδῶς πρὸς τὰς διαλύσεις εἶχον· ὁ δὲ Ὀπίμιος οὐ δι' ἀγγέλων ἔφη χρῆναι πείθειν τὴν σύγκλητον, ἀλλὰ καταβάντας, ὡς ὑπευθύνους πολίτας, ἐπὶ κρίσιν, καὶ παραδόντας αὐτοὺς παραιτεῖσθαι τὴν ὀργήν.

ra puerum, Non ad roſtra te, inquit, Cai, dimitto tribunum ut ante & legiſlatorem, neque ad bellum glorioſum; ut mihi, ſi quid humanitus tibi acciderit, honorificum certe luctum relinquas: ſed Tiberii temetipſum percuſſoribus objicis, inermem quidem recte, ut accipias potius quam feras injuriam, verum in nullum reipublicæ uſum te is perditum. Viget improbitas: vis & ferrum dominantur jam in ſubſelliis. Si apud Numantiam frater tuus occubuiſſet, cadaver petitis induciis reddidiſſent nobis: nunc forſitan & ego quoque fluvio alicui aut mari ſupplex ero, ut oſtendat quo loco corpus tuum detineatur. Quid enim ultra legibus poſt Tiberii cædem aut Diis confidas? Ita lamentante Licinnia Caius ſenſim amplexibus ejus laxatis proceſſit tacitus cum amicis. Illa quum arripere togam ejus anniteretur, humi delapſa diu ſine ulla voce jacuit: quoad animo defectam ſuſtulerunt ſervi, & ad Craſſum fratrem deportaverunt.

At Fulvius, ubi frequentes convenerunt, filium minorem de Caii conſilio mittit cum caduceo in forum. Erat adoleſcens facie elegantiſſima, & tunc vultu modeſto atque cum rubore lacrymabundus, de pace cum conſule & ſenatu egit. Magna pars aſſiſtentium non abhorrebant a pacificatione: verum Opimius, Non per nuncios, inquit, oportebat eos ſenatui ſatisfacere, ſed deſcendere ut cives ſontes ad cauſam dicendam, permittenteſque ſe ei ita deprecari pœnam:

γην. τῷ δὲ μειρακίῳ καὶ διηγόρευσεν ἐπὶ τούτοις κατιέναι πάλιν, ἢ μὴ κατιέναι. Γάϊος μὲν οὖν, ὥς φασιν, ἐβούλετο βαδίζειν καὶ πείθειν τὴν σύγκλητον· οὐδενὸς δὲ τῶν ἄλλων συγχωροῦντος, αὖθις ἔπεμψεν ὁ Φούλβιος τὸν παῖδα διαλεξόμενον ὑπὲρ αὐτῶν ὅμοια τοῖς προτέροις. ὁ δὲ Ὀπίμιος σπεύδων μάχην συνάψαι, τὸ μὲν μειράκιον εὐθὺς συνέλαβε καὶ παρέδωκεν εἰς φυλακήν· τοῖς δὲ περὶ τὸν Φούλβιον ἐπῄει μετὰ πολλῶν ὁπλιτῶν, καὶ τοξοτῶν Κρητῶν, οἳ μάλιστα βάλλοντες αὐτοὺς καὶ κατατραυματίζοντες συνετάραξαν. γενομένης δὲ τῆς τροπῆς, ὁ μὲν Φούλβιος εἴς τι βαλανεῖον ἠμελημένον καταφυγὼν, καὶ μετὰ μικρὸν ἀνευρεθεὶς, κατεσφάγη μετὰ τοῦ πρεσβυτέρου παιδός· ὁ δὲ Γάϊος ὤφθη μὲν ὑπ' οὐδενὸς μαχόμενος, ἀλλὰ δυσανασχετῶν τοῖς γινομένοις, ἀνεχώρησεν εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν· ἐκεῖ δὲ βουλόμενος ἑαυτὸν ἀνελεῖν, ὑπὸ τῶν πιστοτάτων ἑταίρων ἐκωλύθη, Πομπωνίου καὶ Λικιννίου. παρόντες γὰρ οὗτοι τό, τε ξίφος ἀφείλοντο, καὶ φεύγειν ἐπῆραν αὐτόν. ἔνθα δὴ λέγεται καθεσθεὶς εἰς γόνυ, καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὴν Θεὸν, ἐπεύξασθαι, τὸν Ῥωμαίων δῆμον ἀντὶ τῆς ἀχαριστίας ἐκείνης καὶ προδοσίας μηδέποτε παύσασθαι δουλεύοντα. φανερῶς γὰρ οἱ πλεῖστοι μετεβάλλοντο, κηρύγματι δοθείσης ἀδείας.

Φεύγοντι γοῦν τῷ Γαΐῳ τῶν ἐχθρῶν ἐπιφερομένων, καὶ καταλαμβανόντων περὶ τὴν ξυλίνην γέφυραν, οἱ μὲν δύο φίλοι προχωρεῖν αὐτὸν κελεύσαντες, αὐτοὶ τοὺς διώκοντας ὑπέστησαν, καὶ μαχόμενοι πρὸ τῆς γεφύρας, οὐδένα παρῆκαν ἕως ἀπέθανον. τῷ δὲ Γαΐῳ συνέφευγεν εἷς οἰκέτης, ὄνομα Φιλοκράτης· πάντων

pœnam: adoleſcenti vero edixit ut, niſi his conditionibus, ne rediret. Caius autem fuit, uti fama eſt, paratus ire, & purgare apud ſenatum ſe: ſed quum id nemo aliorum permitteret, miſit filium Fulvius iterum ad agendum pro ipſis ſicut ante. At Opimius, qui cupiebat pugnam committere, injecit extemplo adoleſcenti manus, tradiditque eum in cuſtodiam. In Fulvii cohortem fecit impreſſionem cum multis peditibus & ſagittariis Cretenſibus: qui potiſſimum miſſilibus petentes adverſarios convulnerantesque diſſipaverunt eos. Data fuga, Fulvius in balneum quoddam obſoletum confugit. Mox extractus inde cum filio natu majore obtruncatus eſt. Caius vero a nemine prœliari conſpectus eſt, verum iſta fieri dolens recepit ſe in ædem Dianæ. Illic quum manus inferre ſibi conaretur, a fidiſſimis amicis, Pomponio & Licinio, eſt interpellatus. Hi enim præſentes gladium ei abſtulerunt, perpuleruntque eum ad fugam capeſſendam. Ita dicitur poſitis genibus tenſiſque ad Deam manibus populo Romano imprecatus, ut iſta pro ingratitudine & proditione perpetua ſervitute premeretur. Fecerunt enim propalam plerique pronunciata per præconem impunitate tranſitionem.

Igitur in Caium fugam capeſſentem inferentibus ſe hoſtibus, & aſſequutis ad pontem ſublicium, duo illi amici hortati ſunt eum ut iter ante caperet. Ipſi ſuſtinuerunt inſtantes, dimicanteſque pro ponte, nemini, quoad occubuerunt, viam dedere. Comitem fugæ Caius unum habuit ſervum, Philocratem nomine. Ad-

πάντων μὲν ὥσπερ ἐν ἁμίλλῃ παρακελευομένων, οὐδενὸς δὲ βοηθοῦντος, οὐδὲ ἵππον αἰτουμένῳ παρασχεῖν ἐθελήσαντος. ἐπέκειντο γὰρ ἐγγὺς οἱ διώκοντες. ὁ δὲ φθάνει μικρὸν εἰς ἱερὸν ἄλσος Ἐριννύων καταφυγὼν, κἀκεῖ διαφθείρεται, τοῦ Φιλοκράτους ἀνελόντος ἐκεῖνον, εἶτα ἑαυτὸν ἐπισφάξαντος. ὡς δὲ ἔνιοι φασὶν, ἀμφότεροι μὲν ὑπὸ τῶν πολεμίων κατελήφθησαν ζῶντες· τοῦ δὲ θεράποντος τὸν δεσπότην περιβαλόντος, οὐδεὶς ἐκεῖνον ἠδυνήθη πατάξαι πρότερον ἢ τοῦτον ὑπὸ πολλῶν παιόμενον ἀναιρεθῆναι. τὴν δὲ κεφαλὴν τοῦ Γαΐου λέγουσιν ἄλλον μὲν ἀποκόψαι καὶ κομίζειν, ἀφελέσθαι δὲ τούτου, φίλον Ὀπιμίου τινὰ Σεπτουμουλήϊον. ἦν γὰρ προκεκηρυγμένον ἐν ἀρχῇ τῆς μάχης ἰσοστάσιον χρυσίον τοῖς ἀνενέγκουσι τὴν Γαΐου καὶ Φουλβίου κεφαλήν. ἀνηνέχθη δὲ ὑπὸ τοῦ Σεπτουμουληΐου περιπεπαρμένη δόρατι πρὸς τὸν Ὀπίμιον, καὶ ζυγοῦ κομισθέντος ἐντεθεῖσα λίτρας ἑπτακαίδεκα καὶ δίμοιρον εἵλκυσε· τοῦ Σεπτουμουληΐου καὶ περὶ τοῦτο μιαροῦ γενομένου καὶ κακουργήσαντος. ἐξελὼν γὰρ τὸν ἐγκέφαλον, ἐνέτηξε μόλιβδον. οἱ δὲ τοῦ Φουλβίου τὴν κεφαλὴν κομίσαντες (ἦσαν γὰρ τῶν ἀσημοτέρων) οὐδὲν ἔλαβον. τὰ δὲ σώματα καὶ τούτων καὶ τῶν ἄλλων εἰς τὸν ποταμὸν ἐρρίφη, τρισχιλίων ἀναιρεθέντων· καὶ τὰς οὐσίας αὐτῶν ἀπέδοντο πρὸς τὸ δημόσιον. ἀπεῖπαν δὲ πενθεῖν ταῖς γυναιξὶ, τὴν δὲ Γαΐου Λικιννίαν καὶ τῆς προικὸς ἀπεστέρησαν. ὠμότατα δὲ προσειργάσαντο τοῦ Φουλβίου τὸν νεώτερον υἱὸν, οὔτε χεῖρας ἀνταράμενον, οὔτε ἐν τοῖς μαχομένοις γενόμενον, ἀλλὰ ἐπὶ σπονδὰς ἐλθόντα πρὸ τῆς μάχης συλλαβόντες, καὶ μετὰ τὴν μάχην ἀνελόντες.

Adhortabantur quidem eum ut in certamine omnes, ſed ſubveniebat nemo, neque ſubminiſtrare petenti quiſquam animum induxit equum: quippe inhærebant tergo illi qui eum perſequebantur. Occupavit autem aliquantiſper in lucum Furinæ confugere. Ibi obtruncatur a Philocrate: qui poſtquam illum interemit, mox ſuper eum trajecit ſemetipſum. Ut vero alii tradunt, ab hoſtibus ambo vivi comprehenſi fuere. Cæterum quum dominum ſervus complecteretur, nemo ferire illum prius valuit quam hic a multis vulnera ingerentibus fuit interemptus. Caput Caii dictitant, quum ab neſcio quo præciſum & ablatum eſſet, huic ademiſſe amicum Opimii Septimuleium: ſiquidem pronunciatum initio pugnæ fuerat Caii & Fulvii capita referentibus præmium, ut pari auri pondere rependerentur. Relatum a Septimuleio fuit ad Opimium lanceæ præfixum. Stateræ allatæ impoſitum pependit pondo ſeptendecim cum beſſe. Atque hic quoque conſceleratus Septimuleius & fraudulentus fuit. Nam exempto cerebro infuderat plumbum. Qui vero Fulvii caput attulerunt, quod eſſent obſcuriores, nihil accepere. Cadavera tam horum quam aliorum qui trucidati fuerunt, tria millia, in amnem projecta; bona eorum ſub haſta vendita; interdictus inſuper conjugibus eorum luctus: Licinia Caii & dote ſpoliata. Ad hæc necaverunt truculentiſſime minorem Fulvii filium: qui non arma contra tulerat, neque in cœtu fuerat prœliantium, ſed ad pacificandum venientem ante pugnam corripuerunt, & poſt pugnam occiderunt. At-

λόντες. οὐ μὴν ἀλλὰ καὶ τούτου καὶ τῶν ἄλλων ἁπάντων μᾶλλον ἠνίασε τοὺς πολλοὺς τὸ κατασκευασθὲν Ὁμονοίας ἱερὸν ὑπὸ τοῦ Ὀπιμίου. σεμνύνεσθαι γὰρ ἐδόκει καὶ μέγα φρονεῖν, καὶ τρόπον τινὰ θριαμβεύειν ἐπὶ φόνοις τοσούτοις πολιτῶν. διὸ καὶ νυκτὸς ὑπὸ τὴν ἐπιγραφὴν τοῦ νεὼ παρενέγραψαν τινὲς τὸν στίχον τοῦτον,

Ἔργον ἀπονοίας, ναὸν Ὁμονοίας ποιεῖ.

Οὗτος μέντοι πρῶτος ἐξουσίᾳ δικτάτωρος ἐν ὑπατείᾳ χρησάμενος, καὶ κατακρίνας ἀκρίτους ἐπὶ τρισχιλίοις πολίταις Γάϊον Γράκχον καὶ Φούλβιον Φλάκκον· ὧν ὁ μὲν ἦν ὑπατικὸς καὶ θριαμβικός, ὁ δὲ τῶν καθ' αὑτὸν ἡλικίας ἀρετῇ καὶ δόξῃ πεπρωτευκώς. Ὀπίμιος δὲ οὐκ ἀπέσχετο κλοπῆς, ἀλλὰ πεμφθεὶς ὡς Ἰουγούρθαν τὸν Νομάδα πρεσβευτής, διεφθάρη χρήμασιν ὑπ' αὐτοῦ· καὶ δίκην ὄφλων αἰσχίστην δωροδοκίας, ἐν ἀτιμίᾳ κατεγήρασε, μισούμενος καὶ προπηλακιζόμενος ὑπὸ τοῦ δήμου, παρ' αὐτὰ μὲν τὰ πραχθέντα ταπεινοῦ γενομένου καὶ συσταλέντος, ὀλίγῳ δὲ ὕστερον ἐκφήναντος ὅσον εἶχεν ἱμέρου καὶ πόθου τῶν Γράκχων. εἰκόνας τε γὰρ αὐτῶν ἀναδείξαντες, ἐν φανερῷ προυτίθεντο, καὶ τοὺς τόπους ἐν οἷς ἐφονεύθησαν ἀφιερώσαντες, ἀπήρχοντο μὲν ὧν ὧραι φέρουσι πάντων· ἔθυον δὲ καθ' ἡμέραν πολλοὶ καὶ προσέπιπτον, ὥσπερ θεῶν ἱεροῖς ἐπιφοιτῶντες.

Καὶ μέντοι καὶ ἡ Κορνηλία λέγεται τά τε ἄλλα τῆς συμφορᾶς εὐγενῶς καὶ μεγαλοψύχως ἐνεγκεῖν, καὶ περὶ τῶν ἱερῶν ἐν οἷς ἀνῃρέθησαν εἰπεῖν, ὡς ἀξίους οἱ νεκροὶ τάφους ἔχουσιν. αὐτὴ δὲ περὶ τοὺς καλουμένους Μισηνοὺς διέτριβεν,

οὐδὲν

Atqui ſupra hoc & alia omnia torſit plebem extructa ab Opimio ædes Concordiæ. Gloriari enim, & inſoleſcere atque triumphare quodammodo de tanta civium ſtrage videbatur. Unde inſcriptioni ædis noctu attexuerunt quidam hunc verſum,

Actus vecors templum facit Concordiæ.

Hic poteſtate in conſulatu eſt primus dictatoria uſus, damnavitque indicta cauſa, præter tria millia civium, Caium Gracchum & Fulvium Flaccum: quorum hic, conſularis & triumphalis: ille ſuorum æqualium virtute & gloria primus fuit. At Opimius non temperavit a furto ſe, ſed legatus ad Jugurtham regem Numidiæ miſſus quum eſſet, pecunia fuit ab eo corruptus, ac turpiſſime repetundarum judicatus in labe pudoris conſenuit, inviſuſque fuit & probris agitatus a populo, qui recenti illo facto abjecto fuit & infracto animo. At brevi poſt aperuit quanto ardore & deſiderio teneretur Gracchorum. Siquidem ſimulacra eorum fecerunt, eaque in aperto propoſuerunt. Loca in quibus fuerant interempti, conſecrantes, primitias ibi omnium quæ temporum articuli ferunt, libabant. Multi etiam quotidie ibi ſacra faciebant & adorabant, eo ſicut ad Deorum templa commeantes.

Jam vero etiam Cornelia perhibetur cum alia illius cladis forti magnoque animo tuliſſe, tum de locis ſacris in quibus fuerunt oppreſſi, retuliſſe dignos mortuis tumulos eſſe. Hæc ad Miſenum ætatem egit, nihil

con-

οὐδὲν μεταλλάξασα τῆς συνήθους διαίτης. ἦν δὲ καὶ πολύφιλος, καὶ διὰ φιλοξενίαν εὐτράπεζος, ἀεὶ μὲν Ἑλλήνων καὶ φιλολόγων περὶ αὐτὴν ὄντων, ἁπάντων δὲ τῶν βασιλέων καὶ δεχομένων παρ' αὐτῆς δῶρα καὶ πεμπόντων. ἡδίστη μὲν οὖν αὕτη τοῖς ἀφικνουμένοις καὶ συνοῦσι διηγουμένη τὸν τοῦ πατρὸς Ἀφρικανοῦ βίον καὶ δίαιταν, θαυμασιωτάτη δὲ, τῶν παίδων ἀπενθὴς καὶ ἀδάκρυτος μνημονεύουσα, καὶ πάθη καὶ πράξεις ὥσπερ ἀρχαίων τινῶν ἐξηγουμένη τοῖς πυνθανομένοις. ὅθεν ἔδοξεν ἐνίοις ἔκνους ὑπὸ γήρως ἢ μεγέθους κακῶν γεγονέναι, καὶ τῶν ἀτυχημάτων ἀναίσθητος· αὐτοῖς ὡς ἀληθῶς ἀναισθήτοις οὖσιν, ὅσον ἐξ εὐφυΐας καὶ τοῦ γεγονέναι καὶ τεθράφθαι καλῶς ὄφελός ἐστι πρὸς ἀλυπίαν ἀνθρώποις, καὶ ὅτι τῆς ἀρετῆς ἡ τύχη φυλαττομένοις μὲν τὰ κακὰ πολλάκις περίεστιν, ἐν δὲ τῷ πταῖσαι τὸ φέρειν εὐλογίστως οὐ παραιρεῖται.

converſa priſtina vita. Multorum colebatur amicitia, & ob hoſpitalitatem patebat menſa ejus, ſemperque Græcos & doctos ſecum habebat, atque reges omnes invicem munera ab ea accipiebant mittebantque. Erat jucundiſſima hæc inviſentibus ipſam & familiaribus, dum patris vitam & inſtituta domeſtica Africani commemoraret: verum ſtupendiſſima, dum filiorum faceret ſine luctu & lacrymis mentionem, caſuſque acerbos atque actus eorum quaſi priſcorum hominum exponeret requirentibus. Unde amens ex ſenio vel ex cladium magnitudine habita quibuſdam eſt evaſiſſe, atque occalluiſſe ad ſenſum calamitatum: quum revera illi ſenſum nullum habuerint, quantum ex præclara indole boniſque natalibus & diſciplina momenti ad pellendum hominibus mœrorem accedat, & quod virtutem fortuna uſquequaque ſequentem honeſtum ſæpenumero vincat: cæterum in ceſpitando infortunia prudenter ferendi facultatem non adimat.

Ἡμῖν δὲ καὶ ταύτης πέρας ἐχούσης τῆς διηγήσεως, ὑπολείπεται λαβεῖν ἐκ παραλλήλου τῶν βίων τὴν ἀποθεώρησιν. τοὺς μὲν οὖν Γράκχους οὐδ' οἱ πάνυ τἆλλα κακῶς λέγοντες καὶ μισοῦντες, ἐτόλμησαν εἰπεῖν ὡς οὐκ εὐφυέστατοι πρὸς ἀρετὴν ἐγένοντο Ῥωμαίων ἁπάντων, καὶ τροφῆς τε καὶ παιδεύσεως ἐκπρεποῦς ἔτυχον· ἡ δὲ Ἄγιδος καὶ Κλεομένους φύσις ἐρρωμενεστέρα φαίνεται τῆς ἐκείνων γνώμης, παρ' ὅσον οὔτε παιδείας μεταλαβόντες ὀρθῆς, ἔθεσί τε καὶ διαίταις ἐντραφέντες, ὑφ' ὧν οἱ πρεσβύτεροι πάλαι διεφθάρησαν, αὐτοὺς ἡγεμόνας εὐτελείας καὶ σωφροσύνης παρέσχον. ἔτι δὲ οἱ μὲν, ὅτε λαμπρότατον εἶχεν ἡ Ῥώμη καὶ μέγιστον ἀξίωμα, καὶ καλῶν ἔργων ζῆλον, ὥσπερ διαδοχὴν ἀρετῆς πατρῴας καὶ προγονικῆς ᾐσχύνθησαν ἐγκαταλιπεῖν· οἱ δὲ καὶ πατέρων τἀναντία προῃρημένων γεγονότες, καὶ τὴν πατρίδα μοχθηρὰ πράττουσαν καὶ νοσοῦσαν παραλαβόντες, οὐδέν τι διὰ ταῦτα τὴν πρὸς τὸ καλὸν ἀπήμβλυναν ὁρμήν. καὶ μὴν τῆς γε Γράκχων ἀφιλοχρηματίας καὶ πρὸς ἀργύριον ἐγκρατείας μέγιστόν ἐστιν, ὅτι λημμάτων ἀδίκων καθαροὺς ἐν ἀρχαῖς καὶ πολιτείαις διεφύλαξαν ἑαυτούς· Ἆγις δὲ κἂν ἠγανάκτησεν ἐπὶ τῷ μηδὲν ἀλλότριον λαβεῖν ἐπαινούμενος,

ὃς

HAC abſoluta a nobis hiſtoria, ſupereſt ut vitas horum contemplemur invicem. Atque Gracchos vel mordaciſſimi alias & inimiciſſimi non ſuſtinuerunt dicere quin præclariſſima omnium Romanorum ad virtutem indole fuerint, educationemque & inſtitutionem habuerint eximiam: verum apparet Agidis & Cleomenis quam illorum ſolidius ingenium fuiſſe, quatenus neque diſciplina imbuti recta, moribuſque & vivendi ratione educti, a quibus fuerant majores natu jampridem labefactati, duces ſe frugalitatis & continentiæ exhibuerunt. Ad hæc ſuperiores, quum in ſplendidiſſima & ſumma ſeveritate Roma atque in egregiorum factorum eſſet ſtudio, quaſi paternæ & avitæ hæreditatem virtutis erubuerunt repudiare: hi, parentibus nati diverſa ſectantibus, patriamque male affectam & ægram nacti, nihil idcirco hebetaverunt ardorem ad honeſtum. Jam Gracchorum abſtinentiæ, & in pecunia temperantiæ hoc ſummum eſt, quod ab improbis quæſtibus integros ſe in magiſtratibus & repub. gerenda conſervaverunt: Agis vero etiam ſtomachatus eſſet, ideo ſi commendaretur quod nihil alieni

cepiſſet,

ὃς τὴν οὐσίαν τὴν ἑαυτοῦ τοῖς πολίταις ἐπέδωκεν, ἄνευ τῶν ἄλλων κτημάτων, ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν. πηλίκον οὖν ἐνόμιζε κακὸν εἶναι τὸ κερδαίνειν ἀδίκως, ὃ καὶ δικαίως πλέον ἔχειν ἑτέρου πλεονεξίαν ἡγούμενος;

Ἥ γε μὴν ἐπιβολὴ καὶ τόλμα τῶν καινοτομουμένων πολὺ τῷ μεγέθει παρήλλαττεν. ἐπολιτεύοντο γὰρ ὁ μὲν, ὁδῶν κατασκευὰς καὶ πόλεων κτίσεις· καὶ τὸ πάντων νεανικώτατον ἦν Τιβερίῳ μὲν ἀνασῶσαι δημοσίους ἀγροὺς, Γαΐῳ δὲ, μῖξαι τὰ δικαστήρια, προσεμβαλόντι τῶν ἱππικῶν τριακοσίους· ὁ δὲ Ἄγιδος καὶ Κλεομένους νεωτερισμὸς, τὸ μικρὰ καὶ κατὰ μέρος τῶν ἡμαρτημένων ἰᾶσθαι καὶ ἀποκόπτειν, ὕδραν τινὰ τέμνοντος, ὥς φησιν ὁ Πλάτων, ἡγησάμενος εἶναι, τὴν ἅμα πάντα ἀπαλλάξαι κακὰ καὶ παρασκευάσαι δυναμένην μεταβολὴν ἐπῆγε τοῖς πράγμασιν. ἀληθέστερον δ᾽ ἴσως εἰπεῖν ἐστιν, ὅτι τὴν πάντα ἀπεργασαμένην κακὰ μεταβολὴν ἐξήλαυνεν, ἀπάγων καὶ καθιστὰς εἰς τὸ οἰκεῖον σχῆμα τὴν πόλιν. ἐπεὶ καὶ τοῦτο ἄν τις εἴποι, τῇ μὲν Γράκχων πολιτείᾳ τοὺς μεγίστους ἐνίστασθαι Ῥωμαίων, οἷς δὲ Ἆγις ἐνεχείρησε, Κλεομένης δὲ τὸ ἔργον ἐπέθηκε, τῶν παραδειγμάτων τὸ κάλλιστον ὑπέκειτο καὶ μεγαλοπρεπέστατον, αἱ πάτριοι ῥῆτραι περὶ σωφροσύνης καὶ ἰσότητος· ὧν τούτοις μὲν ὁ Λυκοῦργος, ἐκείνοις δὲ ὁ Πύθιος βεβαιωτής. ὃ δὲ μέγιστον, ὅτι τοῖς μὲν ἐκείνων πολιτεύμασιν εἰς οὐδὲν ἡ Ῥώμη μεῖζον ἐπέδωκε τῶν ὑπαρχόντων· ἐκ δὲ ὧν ὁ Κλεομένης ἔπραξεν, ὀλίγου χρόνου τὴν Σπάρτην τῆς Πελοποννήσου κρατοῦσαν ἡ Ἑλλὰς ἐπεῖδε, καὶ τοῖς τότε μέγιστον δυναμένοις διαγωνιζομένην ἀγῶνα τὸν περὶ τῆς ἡγεμονίας· οὗ τέλος ἦν, ἀπαλλαγεῖσαν Ἰλ-

cepiſſet, qui fortunas ſuas, in quibus extra facultates alias ſexcenta talenta pecuniæ numeratæ fuerunt, profudit in cives. Quantum igitur eſſe vitium iniquum compendium duxit, qui plus alio etiam juſte tenere habuit pro avaritia?

Jam in rebus novandis cœpta & auſa longe mole variaverunt. Deſignaverunt enim actionibus ſuis, Caius, viarum munitiones, & coloniarum deductiones: & quod omnium fuit quæ geſſit Tiberius animoſiſſimum, quod agrum publicum receperit: Caius, quod commiſcuerit judicia adjectis ex equeſtri ordine trecentis. At Agidis & Cleomenis novatio pedetentim & paulatim medicinam peccatis facere eaque reſecare, hydræ cujuſdam caput præcidentis, ut ait Plato, cenſens eſſe, eam quæ omnia ſimul tollere & exſcindere mala valeret, viciſſitudinem reipublicæ invexit: immo verius dicas fortaſſe eos deflectenda & trahenda in proprium ſuum ordinem repub. mutationem omnis autorem pravitatis exegiſſe. Quin hoc quoque addas, Gracchorum actionibus principes Romanos reluctatos. Quæ vero inſtituit Agis, & Cleomenes conſummavit, hæc pulcherrimo & præclariſſimo exemplo fulciebantur, antiquis rhetris de frugalitate & exæquatione bonorum: quarum partim Lycurgus, Apollo partim fuit autor. Quod vero maximum eſt, ex illorum actis nihilo Roma plus quam haberet, accepit incrementi: quum ex actis Cleomenis exiguo tempore dominam Spartam Peloponneſi conſpexerit Græcia, & cum illius ævi potentiſſimis de imperio certantem: cujus certaminis erat finis, ut ſoluta Il-

Ἰλλυρικῶν ὅπλων καὶ Γαλατικῶν τὴν Ἑλλάδα, κοσμεῖσθαι πάλιν ὑφ' Ἡρακλείδαις.

Οἶμαι δὲ καὶ τὰς τελευτὰς τῶν ἀνδρῶν ἐμφαίνειν τινὰ τῆς ἀρετῆς διαφοράν. ἐκεῖνοι μὲν γὰρ μαχόμενοι πρὸς τοὺς πολίτας, εἶτα φεύγοντες ἐτελεύτησαν. τούτων δὲ Ἆγις μὲν ὑπὲρ τοῦ μηδένα κτεῖναι τῶν πολιτῶν, ὀλίγου δεῖν ἑκὼν ἀπέθανε· Κλεομένης δὲ προπηλακισθεὶς καὶ ἀδικηθεὶς, ὥρμησε μὲν ἀμύνασθαι, τοῦ δὲ καιροῦ μὴ παρασχόντος, αὐτὸν εὐτόλμως ἀνεῖλε. πάλιν δὲ τἀναντία σκοποῦσιν, Ἆγις μὲν οὐδὲν ἀπεδείξατο στρατηγίας ἔργον, ἀλλὰ προανηρέθη· ταῖς δὲ Κλεομένους νίκαις, πολλαῖς καὶ καλαῖς γενομέναις, παραβαλεῖν ἔστι Τιβερίου τὴν ἐν Καρχηδόνι τοῦ τείχους κατάληψιν, οὐ μικρὸν ἔργον, καὶ τὰς ἐν Νομαντίᾳ σπονδὰς, αἳ δισμυρίους στρατιώτας Ῥωμαίων οὐκ ἔχοντας ἄλλην ἐλπίδα σωτηρίας περιεποίησε. καὶ Γάϊος δὲ πολλὴν μὲν αὐτόθι, πολλὴν δὲ ἐν Σαρδόνι στρατευόμενος ἀνδραγαθίαν ἔφηνεν· ὥστε τοῖς πρώτοις ἐναμίλλους Ῥωμαίων γενέσθαι στρατηγοῖς, εἰ μὴ προανηρέθησαν.

Τῆς δὲ πολιτείας ὁ μὲν Ἆγις ἔοικεν ἅψασθαι μαλακώτερον, ἐκκρουσθεὶς ὑπὸ Ἀγησιλάου, καὶ ψευσάμενος τὸν ἀναδασμὸν τοῖς πολίταις, καὶ ὅλως ἐλλειπὴς καὶ ἀτελὴς ὧν προείλετο καὶ κατήγγειλεν ὑπὸ ἀτολμίας διὰ τὴν ἡλικίαν γενόμενος· ὁ δὲ Κλεομένης τοὐναντίον θρασύτερον καὶ βιαιότερον ἐπὶ τὴν μεταβολὴν ἦλθε τῆς πολιτείας, ἀποκτείνας τοὺς ἐφόρους παρανόμως, οὓς καὶ προσαγαγέσθαι τοῖς ὅπλοις κρατοῦντα, καὶ μεταστῆσαι ῥᾴδιον ἦν, ὥσπερ οὐκ ὀλίγους ἄλλους μετέστησαν ἐκ τῆς πόλεως. τὸ γὰρ ἄνευ τῆς ἐσχάτης ἀνάγκης ἐπι-

Illyricis & Gallicis armis denuo ab Herculis progenie ordinaretur Græcia.

Fata etiam horum virorum mea ſententia aliquod diſcrimen virtutis produnt. Illi enim cum civibus ſuis confligentes, denique in fuga occubuerunt. Horum, Agis, ne ullum perimeret civem, ſponte pene occidit: Cleomenes, violatus & laceſſitus reſurrexit in ultionem, verum privatus opportunitate ſemetipſe fortiter peremit. Rurſus ſi ex altera parte perpendas, nullum Agis edidit ducis factum, ſed præventus fuit nece. Cleomenis vero trophæis crebris & ſplendidis Tiberii opponas muri Carthaginenſis occupationem, facinus non vulgare; & pacem Numantinam, qua militum Romanorum viginti millia ſpem omnem ſalutis aliam deſpondentium conſervavit: & Caius multa ibidem, multa etiam in Sardinia miles, virtutis opera edidit: ut primis Romanis ducibus, niſi occupati fato forent, fuerint conferendi.

Rempub. Agis domi videtur mollius tractaſſe, quod abreptus a curſu fuerit per Ageſilaum, & in lege agraria cives fefellerit, atque omnino rudia mutilaque cœpta ſua ac pollicitationes ex timiditate ob ætatem reliquerit: Cleomenes contra eſt ad rempub. movendam progreſſus ferocius & violentius: occidit enim per nefas Ephoros, quos adjungere armis prævalenti, atque urbe pellere pronius erat, quo modo alios ex urbe non paucos in exilium pepulere. Nam niſi extrema neceſſitate ferrum ad-

ἐπιφέρειν σίδηρον, οὔτε ἰατρικὸν, οὔτε πολιτικὸν, ἀλλ᾽ ἀτεχνίας μὲν ἀμφότερα· τούτῳ δὲ καὶ τὸ ἀδικεῖν μετ᾽ ὠμότητος πρόσεστι. τῶν δὲ Γράκχων οὐδέτερος μὲν ἤρξατο σφαγῆς ἐμφυλίου· Γάϊος δὲ λέγεται μηδὲ βαλλόμενος ὁρμῆσαι πρὸς ἄμυναν, ἀλλὰ λαμπρότατος ὢν ἐν τοῖς πολεμικοῖς, ἀργότατος ἐν τῇ στάσει γενέσθαι. καὶ γὰρ προῆλθεν ἄνοπλος, καὶ μαχομένων ἀνεχώρησεν, καὶ ὅλως πλείονα τοῦ μή τι δρᾶσαι πρόνοιαν, ἢ τοῦ μὴ παθεῖν ἔχων ἑωρᾶτο. διὸ καὶ τὴν φυγὴν αὐτῶν οὐκ ἀτολμίας σημεῖον, ἀλλ᾽ εὐλαβείας ποιητέον. ἔδει γὰρ ὑπεῖξαι τοῖς ἐπιφερομένοις, ἢ μένοντας ὑπὲρ τοῦ μὴ παθεῖν τῷ δρᾶν ἀμύνασθαι.

Τῶν τοίνυν ἐγκλημάτων τῶν κατὰ Τιβερίου μέγιστόν ἐστιν, ὅτι τὸν συνάρχοντα τῆς δημαρχίας ἐξέβαλε, καὶ δευτέραν αὐτὸς τῷ Γαΐῳ δημαρχίαν μετῄει· Γαΐῳ δὲ τὸν Ἀντυλλίου φόνον οὐ δικαίως οὐδὲ ἀληθῶς προσετρίβοντο· διεφθάρη γὰρ ἄκοντος αὐτοῦ καὶ ἀγανακτοῦντος. Κλεομένης δὲ, ἵνα τὰς σφαγὰς τῶν ἐφόρων ἐάσωμεν, ἐλευθέρωσε μὲν ἅπαντας τοὺς οἰκέτας, ἐβασίλευσε δὲ τῷ μὲν ἔργῳ μόνος, τῷ δὲ ὀνόματι δεύτερος, Εὐκλείδαν τὸν ἀδελφὸν ἐκ μιᾶς οἰκίας αὐτῷ προσελόμενος. Ἀρχίδαμον δὲ, ᾧ προσῆκον ἦν ἀπὸ τῆς ἑτέρας οἰκίας ὄντι βασιλεύειν, ἔπεισε μὲν ἐκ Μεσσήνης κατελθεῖν, ἀποθανόντος δὲ τὸν φόνον οὐκ ἐπεξελθὼν, ἐβεβαίωσε τὴν αἰτίαν καθ᾽ αὑτοῦ τῆς ἀναιρέσεως. καίτοι Λυκοῦργος, ὃν προσεποιεῖτο μιμεῖσθαι, τὴν μὲν βασιλείαν ἑκὼν ἀπέδωκε τῷ παιδὶ τοῦ ἀδελφοῦ Χαρίλλῳ· φοβούμενος δὲ μὴ κἂν ἄλλως ἀποθάνῃ τὸ μειράκιον, αἰτία τις ἐπ᾽ αὐτὸν ἔλθῃ, πολὺν χρόνον ἔξω πλανηθεὶς, οὐ πρότερον

τερον

adhibere, neque medicum eſt neque civile, ſed imperitiæ utrobique. Huic vero adjuncta etiam cum ſævitia injuria eſt. At Gracchorum ſanguinem civilem neuter eſt effundere exorſus. Caium vero nec telis petitum memorant ad vindictam ſe convertiſſe: verum fortiſſimum adverſus hoſtes fuiſſe, in ſeditione ignaviſſimum. Quippe proceſſit domo inermis, & inter pugnandum recepit ſe, & denique plus ne quam inferret, quam ne acciperet injuriam, conſpicitur conſuluiſſe. Itaque fuga eorum non pavoris, ſed eſt cautionis ſtatuenda indicium. Cedere enim impreſſionem facientibus, aut, ſi manerent, ne violarentur, manu oportebat ſe protegere.

Porro peccatorum Tiberii maximum eſt, quod exuit collegam tribunatu, & ſecundum tribunatum ipſe ſibi ambivit. Caio necem Antyllii inuſſerunt immerito & falſo: nam invito eo & ægre ferente confoſſus fuit. At Cleomenes, ut necem prætereamus Ephororum, omnia ſervitia libertate donavit. Regnavit re ſolus, nomine alter, quod fratrem Euclidam ex eadem domo ſibi allegiſſet. Archidamum vero, ad quem ſpectabat ortum ex altera familia regnum, perpulit domum ex Meſſene redire: cujus quia cædem occiſi non eſt perſequutus, crimen adverſus ſe confirmavit cædis. Quanquam quem æmulari prætexebat, regnum Lycurgus fratris filio Charilao ultro reddidit, timenſque ne ſi deceſſiſſet vel caſu alio adoleſcens, attingeret ipſum ſuſpicio, diu

pere-

τερον ἐπανῆλθεν ἢ παῖδα τῷ Χαρίλλῳ γενέσθαι διάδοχον τῆς ἀρχῆς. ἀλλὰ Λυκούργῳ μὲν οὐδὲ ἄλλος τις Ἑλλήνων παραβλητὸς οὐδείς. ὅτι δὲ τοῖς Κλεομένους πολιτεύμασι καινοτομίαι καὶ παρανομίαι μείζονες ἔνεισι, δεδήλωται. καὶ μὴν οἵ γε τὸν τρόπον αὐτῶν ψέγοντες, τοῦτον μὲν ἐξ ἀρχῆς τυραννικὸν καὶ πολεμοποιὸν αἰτιῶνται γενέσθαι, τῇ δὲ ἐκείνων φύσει φιλοτιμίας ἀμετρίαν, ἄλλο δὲ οὐδὲν οἱ φθονοῦντες ἐπικαλεῖν εἶχον· ἐκριπισθέντας δὲ τῷ πρὸς τοὺς ἐνισταμένους ἀγῶνι καὶ θυμῷ παρὰ τὴν αὐτῶν φύσιν, ὥσπερ πνοαῖς ἐφεῖναι περὶ τὰ ἔσχατα τὴν πολιτείαν ὡμολόγουν. ἐπεὶ τῆς γε πρώτης ὑποθέσεως τί κάλλιον ἢ δικαιότερον ἦν, εἰ μὴ κατὰ βίαν καὶ δυναστείαν ἐπιχειρήσαντες ἐξῶσαι τὸν νόμον οἱ πλούσιοι, περιέστησαν ἀμφοτέροις ἀγῶνας, τῷ μὲν, φοβουμένῳ ὑπὲρ αὐτοῦ, τῷ δὲ ἐκδικοῦντι τὸν ἀδελφὸν ἄνευ δίκης καὶ δόγματος οὐδὲ ὑπάρχοντος ἀναιρεθέντα; συνορᾷς μὲν οὖν αὐτὸς ἐκ τῶν εἰρημένων τὴν διαφοράν. εἰ δὲ δεῖ καὶ καθ᾽ ἕκαστον ἀποφήνασθαι, Τιβέριον μὲν ἀρετῇ πεπρωτευκέναι τίθημι πάντων, ἐλάχιστα δὲ τὸ μειράκιον ἡμαρτηκέναι Ἆγιν, πράξει δὲ καὶ τόλμῃ Γάϊον οὐκ ὀλίγῳ Κλεομένους ὕστερον γεγονέναι.

peregre palatus eſt, neque ante regreſſus domum quam filius Charilao regni ſucceſſor fuit natus. Cæterum cum Lycurgo quidem nec alius ſit quiſquam Græcorum contendendus. Cleomenis vero acta majores novationes & iniquitates demonſtravimus habuiſſe. Jam vero qui mores eorum perſtringunt, his a primo tyrannicos & bellaces notant fuiſſe, & illis ingenia quidem immodica prædita ambitione: præterea quod inſectarentur, habebant æmuli nihil: verum excitatos eos certamine cum adverſariis contracto & ira præter ipſorum naturam, quaſi ventis ſe in actionibus ſuis extremis fatebantur permiſiſſe. Quando inſtituto quidem horum primo quid honeſtius erat aut juſtius, niſi vi & factione adorti legem divites antiquare, in certamina utrumque conjeciſſent: Tiberium, quia ſibi metuebat: alterum, dum necem fratris ulciſcitur ſine judicio vel ullo extante decreto necati? Ex antedictis igitur animadvertas ipſe horum diſparitatem. Quod ſi etiam pronunciandum de ſingulis eſt, Tiberium ſtatuo virtute omnibus his præſtitiſſe, minus cæteris adoleſcentem peccaſſe Agim; rebus geſtis atque audacia non paulo Caium Cleomeni poſtferendum.



Apud Ful: Urſin: *G. V. Gucht Sculp.*

ΔΗΜΟΣΘΕΝΗΣ.

ΟΜΕΝ γράψας τὸ ἐπὶ τῇ νίκῃ τῆς Ὀλυμπιάσιν ἱπποδρομίας εἰς Ἀλκιβιάδην ἐγκώμιον, εἴτ' Εὐριπίδης, (ὡς ὁ πολὺς κρατεῖ λόγος) εἴθ' ἕτερός τις ἦν, Σόσσιε, φησὶ χρῆναι τῷ εὐδαίμονι πρῶτον ὑπάρξαι τὴν πόλιν εὐδόκιμον· ἐγὼ δὲ τῷ μὲν εὐδαιμονήσειν μέλλοντι τὴν ἀληθινὴν εὐδαιμονίαν, ἧς ἐν ἤθει καὶ διαθέσει τὸ πλεῖστόν ἐστιν, οὐδὲν διαφέρειν ἡγοῦμαι, ἀδόξου καὶ ταπεινῆς πατρίδος, ἢ μητρὸς ἀμόρφου καὶ μικρᾶς γενέσθαι. γελοῖον γὰρ εἴ τις οἴοιτο τὴν Ἰουλίδα, μέρος μικρὸν οὖσαν οὐ μεγάλης νήσου τῆς Κέω, καὶ τὴν Αἴγιναν, ἣν τῶν Ἀττικῶν τις ἐκέλευεν ὡς λήμην ἀφαιρεῖν τοῦ Πειραιῶς, ὑποκριτὰς μὲν ἀγαθοὺς τρέφειν καὶ ποιητάς, ἄνδρα δ' οὐκ ἄν ποτε δύνασθαι δίκαιον καὶ αὐτάρκη καὶ νοῦν ἔχοντα καὶ μεγαλόψυχον προενεγκεῖν. τὰς γὰρ ἄλλας τέχνας εἰκός ἐστιν πρὸς ἐργασίαν ἢ δόξαν συνισταμένας ἐν ταῖς ἀδόξοις καὶ ταπειναῖς πόλεσιν ἀπομαραί-

μαραί-

QUI laudationem in victorem ludo equeſtri Olympiaco Alcibiadem ſcripſit, ſive Euripides ille, Soſſi, quod vulgatum eſt, ſive quis alius fuit, oportere ait virum fœlicem in clara genitum urbe eſſe. Ego vero ei qui veram adepturus fœlicitatem eſt, cujus in moribus plurimum & animo eſt poſitum, nihil referre arbitror, obſcura & humili patria, an deformi & puſilla natus ſit matre. Ridiculum enim ſit Iulidem, quæ exigua pars inſulæ non amplæ eſt Ceæ, & Æginam, quam Athenienſis quidam juſſit ut lemam detrahere Piræeo, hiſtriones bonos & poetas alere, virum bonum & abſtinentem & cordatum & magnanimum nunquam poſſe producere. Nam reliquas quidem artes probabile ſit, quibus quæſtus propoſitus eſt & gloria, in obſcuris & contemptis oppidis

pidis

μαραίνεσθαι, τὴν δ' ἀρετὴν, ὥσπερ ἰσχυρὸν καὶ διαρκὲς φυτὸν, ἐν ἅπαντι ῥιζοῦσθαι τόπῳ, φύσεώς τε χρηστῆς καὶ φιλοπόνου ψυχῆς ἐπιλαμβανομένην. ὅθεν οὐδ' ἡμεῖς, εἰ τοῦ φρονεῖν ὡς δεῖ καὶ βιοῦν ἐλλείπομεν, τοῦτο τῇ σμικρότητι τῆς πατρίδος, ἀλλ' αὐτοῖς δικαίως ἀναθήσομεν.

Τῷ μέντοι σύνταξιν ὑποβεβλημένῳ καὶ ἱστορίαν ἐξ οὐ προχείρων οὐδ' οἰκείων, ἀλλὰ ξένων τε τῶν πολλῶν καὶ διεσπαρμένων ἐν ἑτέροις συνιοῦσαν ἀναγνωσμάτων, τῷ ὄντι χρὴ πρῶτον ὑπάρχειν καὶ μάλιστα τὴν πόλιν εὐδόκιμον καὶ φιλόκαλον καὶ πολυάνθρωπον, ὡς βιβλίων τε παντοδαπῶν ἀφθονίαν ἔχειν, καὶ ὅσα τοὺς γράφοντας διαφυγόντα σωτηρίᾳ μνήμης ἐπιφανεστέραν εἴληφε πίστιν, ὑπολαμβάνων ἀκοῇ καὶ διαπυνθανόμενος, μὴ πολλῶν μηδ' ἀναγκαίων ἐνδεὲς ἀποδιδοίη τὸ ἔργον. ἡμεῖς δὲ μικρὰν οἰκοῦντες πόλιν, καὶ, ἵνα μὴ μικροτέρα γένηται, φιλοχωροῦντες, ἐν δὲ Ῥώμῃ καὶ ταῖς περὶ τὴν Ἰταλίαν διατριβαῖς οὐ σχολῆς οὔσης γυμνάζεσθαι περὶ τὴν Ῥωμαϊκὴν διάλεκτον, ὑπὸ χρειῶν πολιτικῶν καὶ τῶν διὰ φιλοσοφίαν πλησιαζόντων, ὀψέ ποτε καὶ πόρρω τῆς ἡλικίας ἡψάμεθα Ῥωμαϊκοῖς γράμμασιν ἐντυγχάνειν. καὶ πρᾶγμα θαυμαστὸν μὲν ἀλλ' ἀληθὲς ἐπάσχομεν. οὐ γὰρ οὕτως ἐκ τῶν ὀνομάτων τὰ πράγματα συνιέναι καὶ γνωρίζειν συνέβαινεν ἡμῖν, ὡς ἐκ τῶν πραγμάτων ἁμωσγέπως εἴχομεν ἐμπειρίας ἐπακολουθεῖν διὰ ταῦτα καὶ τοῖς ὀνόμασι. κάλλους δὲ Ῥωμαϊκῆς ἀπαγγελίας καὶ τάχους αἰσθάνεσθαι, καὶ μεταφορᾶς ὀνομάτων καὶ ἁρμονίας, καὶ τῶν ἄλλων οἷς ὁ λόγος ἀγάλλεται, χαρίεν μὲν ἡγοῦ-

pidis elangueſcere: virtutem vero inſtar robuſtæ & vivacis plantæ, ubi ingenium nacta ſit bonum & animum induſtrium, omni in loco radices agere. Itaque nos ſi minus recte quam decet vel ſentimus vel vivimus, non patriæ id anguſtiis, ſed nobis ipſis merito referemus acceptum.

At qui commentari inſtituit, & conſcribere hiſtoriam, non ex iis quæ ad manum ſunt & domeſticis, ſed ex multis externis & diffuſa apud alios collectam lectione, hic profecto primum & præcipue requirat inſignem civitatem, elegantem, & populoſam: quo variorum librorum promptam habeat copiam, & quæ ſcriptores prætererierunt, fideli memoria tamen clariorem acceperunt fidem, audiendo percipiat, percunctetur que ſedulo, ne opus edat rebus mutilum multis & neceſſariis. Nos vero qui exiguum colimus oppidum, & ne minus reddatur, fere ibi commorari avemus, (quia quum Romæ ageremus & in Italia, propter negotia publica, & eos qui ad nos philoſophiæ cauſa ventitabant, non vacabat in lingua Romana ſtudium ponere) ſero tandem & ætate provectiore latinas attigimus literas. Uſu venit autem nobis res quidem mira, ſed vera tamen; ut non tam ex verbis res cognoſceremus & perciperemus, quam notitiam utcunque aſſequuti rerum, harum ſubſidio ut aſſequeremur etiam verba. Pronunciationis vero Romanæ aſſequi ornamenta & volubilitatem, ad hæc verborum tranſlationes & compoſitiones, cæteraque quibus illuſtratur oratio, elegans quidem ducimus

ἡγούμεθα καὶ οὐκ ἀτερπές· ἡ δὲ πρὸς τοῦτο μελέτη καὶ ἄσκησις οὐκ εὐχερής, ἀλλ' οἷς τισι πλείων τε σχολὴ καὶ τὰ τῆς ὥρας ἔτι πρὸς τὰς τοιαύτας ἐπιχωρεῖ φιλοτιμίας.

Διὸ καὶ γράφοντες ἐν τῷ βιβλίῳ τούτῳ, τῶν παραλλήλων βίων ὄντι πέμπτῳ, περὶ Δημοσθένους καὶ Κικέρωνος, ἀπὸ τῶν πράξεων καὶ τῶν πολιτειῶν τὰς φύσεις αὐτῶν καὶ τὰς διαθέσεις πρὸς ἀλλήλας ἐπισκεψόμεθα· τὸ δὲ τοὺς λόγους ἀντεξετάζειν, καὶ ἀποφαίνεσθαι πότερος ἡδίων ἢ δεινότερος εἰπεῖν ἐάσομεν. Κἀκεῖ γάρ, ὥς φησιν ὁ Ἴων, δελφῖνος ἐν χέρσῳ βία. ἣν ὁ περιττὸς ἐν ἅπασι Καικίλιος ἀγνοήσας, ἐνεανιεύσατο σύγκρισιν τοῦ Δημοσθένους καὶ Κικέρωνος ἐξενεγκεῖν. ἀλλὰ γὰρ ἴσως εἰ παντὸς ἦν τὸ Γνῶθι σαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι. Δημοσθένη γὰρ καὶ Κικέρωνα τὸν αὐτὸν ἔοικε πλάττων ἀπ' ἀρχῆς ὁ δαίμων, πολλὰς μὲν ἐμβαλεῖν εἰς τὴν φύσιν αὐτῶν τῶν ὁμοιοτήτων, ὥσπερ τὸ φιλότιμον καὶ φιλελεύθερον ἐν τῇ πολιτείᾳ, πρὸς δὲ κινδύνους καὶ πολέμους ἄτολμον· πολλὰ δ' ἀναμῖξαι καὶ τῶν τυχηρῶν. δύο γὰρ ἑτέρους οὐκ ἂν εὑρεθῆναι δοκῶ ῥήτορας, ἐκ μὲν ἀδόξων καὶ μικρῶν ἰσχυροὺς καὶ μεγάλους γενομένους, προσκρούσαντας δὲ βασιλεῦσι καὶ τυράννοις, θυγατέρας δ' ἀποβαλόντας, ἐκπεσόντας δὲ τῆς πατρίδος, κατελθόντας δὲ μετὰ τιμῆς· ἀποδράντας δ' αὖθις, καὶ ληφθέντας ὑπὸ τῶν πολεμίων· ἅμα δὲ παυσαμένῃ τῇ τῶν πολιτῶν ἐλευθερίᾳ τὸν βίον συγκαταστρέψαντας. ὥστε εἰ γένοιτο τῇ φύσει καὶ τῇ τύχῃ καθάπερ τεχνίταις ἅμιλλα, χαλεπῶς μὲν ἂν διακριθῆναι πότερον αὕτη τοῖς τρόποις, ἢ τοῖς πράγμασιν
ἐκείνη

mus & non injucundum; ſed eorum eſt adeo non prompta meditatio & uſus, ut conveniat iis ſolum quibus abundat otium, & ætas ad ea ſtudia ſuppetit.

Quare hoc in libro, qui vitarum parallelarum eſt quintus, in quo de Demoſthene & Cicerone tractamus, ex rebus geſtis & actionibus publicis ingenia eorum & mores conſiderabimus invicem: at orationes inter ſe contendere, atque uter venuſtior in dicendo aut acrior fuerit, decernere ſuperſedebimus. Nam ut ait Ion,

Delphinis hic in continente curſus eſt.

Quod nimius ubique Cæcilius quum ignoraret, temere inconſulteque auſus eſt collationem cum Demoſthene Ciceronis proferre. Verum enimvero ſi cuivis promptum eſſet habere hoc quod dicitur, Noſce teipſum, non haberetur fortaſſe divinum oraculum. Quum enim Demoſthenem & Ciceronem eadem moneta conformaret ab initio Deus, multis modis naturam inſeruiſſe iis ſimilem videtur, ut ambitionem, libertatis in repub. amorem, timiditatem in periculis & armis: immiſcuiſſe etiam fortuita multa. Haud enim duos reperiri oratores arbitror alios, qui ex obſcuris & parvis potentes & magni evaſerint, regibus & tyrannis ſe objecerint, filias amiſerint, patria extorres redierint honorifice, iterum profugerint, & in manus inciderint hoſtium, vitam præterea cum exſpirante depoſuerint patriæ libertate. Itaque ſi in certamen natura & fortuna ſicut artifices deſcenderint, haud expeditum ſit, hæc negotiis, an moribus illa ma-

ἐκείνη τοὺς ἄνδρας ὁμοιοτέρους ἀπείργασαι. λεκτέον δὲ περὶ τοῦ πρεσβυτέρου πρότερον.

Δημοσθένης ὁ πατὴρ Δημοσθένους, ἦν μὲν τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν, ὡς ἱστορεῖ Θεόπομπος· ἐπεκαλεῖτο δὲ μαχαιροποιὸς, ἐργαστήριον ἔχων μέγα, καὶ δούλους τεχνίτας τοῦτο πράττοντας. ἃ δ᾽ Αἰσχίνης ὁ ῥήτωρ εἴρηκε περὶ τῆς μητρὸς, ὡς ἐκ Γύλωνός τινος ἐπ᾽ αἰτίᾳ προδοσίας φυγόντος ἐξ ἄστεος ἐγεγόνει, καὶ βαρβάρου γυναικὸς, οὐκ ἔχομεν εἰπεῖν εἴτ᾽ ἀληθῶς εἴρηκεν, εἴτε βλασφημῶν καὶ καταψευδόμενος. ἀπολειφθεὶς δ᾽ ὁ Δημοσθένης ὑπὸ τοῦ πατρὸς ἑπταέτης ἐν εὐπορίᾳ (μικρὸν γὰρ ἀπέλιπεν ἡ σύμπασα τίμησις αὐτοῦ τῆς οὐσίας πεντεκαίδεκα ταλάντων) ὑπὸ τῶν ἐπιτρόπων ἠδικήθη, τὰ μὲν νοσφισαμένων, τὰ δ᾽ ἀμελησάντων· ὥστε καὶ τῶν διδασκάλων αὐτοῦ τὸν μισθὸν ἀποστερῆσαι. διά τε δὴ τοῦτο τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ παιδὶ μαθημάτων ἀπαίδευτος δοκεῖ γενέσθαι, καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν καὶ θρύψιν, οὐ προϊεμένης τοῖς πόνοις τῆς μητρὸς αὐτὸν, οὐδὲ προσβιαζομένων τῶν παιδαγωγῶν. ἦν γὰρ ἐξ ἀρχῆς κάτισχνος καὶ νοσώδης, καὶ τὴν λοιδορουμένην ἐπωνυμίαν τὸν Βάταλον εἰς τὸ σῶμα λέγεται σκωπτόμενος ὑπὸ τῶν παίδων λαβεῖν. ἦν δὲ ὁ Βάταλος, ὡς μὲν ἔνιοι φασὶν, αὐλητὴς τῶν κατεαγότων· καὶ δραμάτιον εἰς τοῦτο κωμῳδῶν αὐτὸν Ἀντιφάνης πεποίηκεν. ἔνιοι δέ τινες ὡς ποιητοῦ τρυφερὰ καὶ παροίνια γράφοντος τοῦ Βατάλου μέμνηνται. δοκεῖ δὲ καὶ τῶν οὐκ εὐπρεπῶν τι λεχθῆναι τοῦ σώματος μορίων παρὰ τοῖς Ἀττικοῖς τότε καλεῖσθαι βάταλος. ὁ δ᾽ Ἄργας (καὶ τοῦτο γὰρ φασι

magis eos adæquaverit, dijudicare. Differemus autem priore loco de antiquiore.

Demoſthenis pater Demoſthenes fuit, ut tradit Theopompus, ex optimatibus. Cognomen fuit ei Machæropœo, quod officinam magnam gladiorum faciendorum exerceret, & ſervos ejus artificii haberet peritos. Nam quæ de matre Æſchines orator retulit, ex Gulone quodam qui ob crimen proditionis ſolum verterit, natam, & ex barbara fuiſſe muliere, non habemus dicere vere objecerit, an calumnioſe & mendaciter. Accepto a patre, qui eo ſeptimum ætatis annum agente deceſſit, lauto patrimonio, (taxatum fuit enim univerſum quindecim fere talentis) damno affectus a tutoribus eſt: qui id partim averterunt, partim negligenter curaverunt, ut præceptores ejus etiam fraudarent mercede. Quod quidem fuit in cauſa ut honeſtarum & ingenuarum artium fuiſſe videatur rudis, ſimul quia ob imbecillitatem corporis & teneritudinem abſtineret eum a laboribus mater, neque urgerent pædagogi. Quippe fuit a prima ætate gracilis & valetudinarius: unde cognomen probroſum Batalum deridentibus corporis ejus debilitatem pueris dicitur inveniſſe. Fuit Batalus, ut quidam volunt, tibicen effœminatus, ac fabellam hujus rei cauſa eum mordens fecit Antiphanes. Alii Batali meminerunt ut poetæ qui molliter & proterve ſcriberet. Videtur etiam Batalus dicta tunc fuiſſe apud Atticos pars corporis quædam quæ nominari honeſte non poteſt. Argas (nam & hoc cognominis Demoſtheni

φασι τῷ Δημοσθένει γενέσθαι παρώνυμον) ἢ πρὸς τὸν τρόπον ὡς θηριώδη καὶ πικρὸν ἐτέθη· τὸν γὰρ ὄφιν ἔνιοι τῶν ποιητῶν ἄργαν ὀνομάζουσιν· ἢ πρὸς τὸν λόγον, ὡς ἀνιῶντα τοὺς ἀκροωμένους. καὶ γὰρ Ἄργας τοὔνομα ποιητὴς ἦν νόμων πονηρῶν καὶ ἀργαλέων. καὶ ταῦτα μὲν ταύτῃ, κατὰ Πλάτωνα.

Τῆς δὲ πρὸς τοὺς λόγους ὁρμῆς ἀρχὴν αὐτῷ φασι τοιαύτην γενέσθαι. Καλλιστράτου τοῦ ῥήτορος ἀγωνίζεσθαι τὴν περὶ Ὠρωποῦ κρίσιν ἐν τῷ δικαστηρίῳ μέλλοντος, ἦν προσδοκία τῆς δίκης μεγάλη, διά τε τὴν τοῦ ῥήτορος δύναμιν ἀνθοῦντος τότε μάλιστα τῇ δόξῃ, καὶ διὰ τὴν πρᾶξιν οὖσαν περιβόητον. ἀκούσας οὖν ὁ Δημοσθένης τῶν διδασκάλων καὶ τῶν παιδαγωγῶν συντιθεμένων τῇ δίκῃ παρατυχεῖν, ἔπεισε τὸν ἑαυτοῦ παιδαγωγὸν δεόμενος καὶ προθυμούμενος, ὅπως αὐτὸν ἀγάγοι πρὸς τὴν ἀκρόασιν. ὁ δ' ἔχων πρὸς τοὺς ἀνοίγοντας τὰ δικαστήρια δημοσίους συνήθειαν, εὐπόρησε χώρας ἐν ᾗ καθήμενος ὁ παῖς ἀδήλως ἀκούσεται τῶν λεγομένων. εὐημερήσαντος δὲ τοῦ Καλλιστράτου, καὶ θαυμασθέντος ὑπερφυῶς, ἐκείνου μὲν ἐζήλωσε τὴν δόξαν, ὁρῶν προπεμπόμενον ὑπὸ τῶν πολλῶν καὶ μακαριζόμενον· τοῦ δὲ λόγου μᾶλλον ἐθαύμασε τὴν ἰσχὺν πάντα χειροῦσθαι καὶ τιθασσεύειν πεφυκότος. ὅθεν ἐάσας τὰ λοιπὰ μαθήματα, καὶ τὰς παιδικὰς διατριβὰς, αὐτὸς αὑτὸν ἤσκει καὶ διεπόνει ταῖς μελέταις, ὡς τῶν λεγόντων ἐσόμενος. ἐχρήσατο δὲ Ἰσαίῳ πρὸς τὸν λόγον ὑφηγητῇ, καίπερ Ἰσοκράτους τότε σχολάζοντος, εἴτε, ὥς τινες λέγουσι, τὸν ὡρισμένον μισθὸν Ἰσοκράτει τελέσαι μὴ δυνάμενος, τὰς δέκα μνᾶς, διὰ τὴν ὀρφανίαν· εἴτε μᾶλλον τοῦ Ἰσαίου τὸν λόγον, ὡς δραστήριον καὶ πανοῦργον,

ni ferunt fuiſſe) dictus eſt vel ex morum feritate & acerbitate, (anguem enim appellant quidam poetæ Argam) vel ex oratione offendente aures, quod hoc nomine poeta fuerit malorum & moleſtorum modorum. Sed de his, ut Plato ait, hactenus.

Auſpicium ardoris ejus ad dicendi facultatem hoc ferunt fuiſſe. Quum orator Calliſtratus cauſam acturus in foro eſſet de Oropo, magna erat hujus judicii exſpectatio, cum ob oratoris illius præſtantiam, cujus tunc maxime illuſtre nomen erat, tum propter ipſam actionem celebratam. Quum igitur præceptores & pædagogos audierat Demoſthenes conſtituiſſe inter ſe huic judicio intereſſe, precibus contendit a pædagogo ſuo, ut ad audiendam cauſam duceret ſe. Ille, quod conſuetudinem haberet cum miniſtris publicis qui auditorium aperiebant, locum accepit ubi puer ſederet in occulto & audiret orationes. Quum placuiſſet Calliſtratus & mirifice celebraretur, gloriam æmulatus eſt illius, quod cerneret a multis eum deduci & in cœlum ferri. Multo vero magis orationis vi, quæ rapere ad ſe & pellicere valeret omnia, obſtupuit. Itaque ſalutem dicens diſciplinis & ſtudiis reliquis puerilibus, exercuit & ſubegit ſe ipſe, tanquam inter oratores futurus, declamationibus. Iſæo uſus eſt ad dicendum duce, quamvis ſcholam eo tempore haberet Iſocrates: vel quod ob orbitatem pendere Iſocrati præfinitam mercedem non valeret, decem minas, vel quod dictionem Iſæi, ut nervoſam & verſutam, ad uſum præ-

γον, ἐπὶ τὴν χρείαν ἀποδεχόμενος. Ἕρμιππος δέ φησιν ἀδεσπότοις ὑπομνήμασιν ἐντυχεῖν, ἐν οἷς ἐγέγραπτο τὸν Δημοσθένη συνεσχολακέναι Πλάτωνι, καὶ πλεῖστον εἰς τοὺς λόγους ὠφελεῖσθαι. Κτησιβίου δὲ μέμνηται λέγοντος, παρὰ Καλλίου τοῦ Συρακουσίου, καί τινων ἄλλων τὰς Ἰσοκράτους τέχνας καὶ τὰς Ἀλκιδάμαντος κρύφα λαβόντα τὸν Δημοσθένη καταμαθεῖν.

Ὡς γοῦν ἐν ἡλικίᾳ γενόμενος τοῖς ἐπιτρόποις ἤρξατο δικάζεσθαι, καὶ λογογραφεῖν ἐπ᾽ αὐτοὺς, πολλὰς διαδύσεις καὶ παλινδικίας εὑρίσκοντας, ἐγγυμνασάμενος, κατὰ τὸν Θουκυδίδην, ταῖς μελέταις, οὐκ ἀκινδύνως οὐδ᾽ ἀργῶς κατευτυχήσας, ἐκπρᾶξαι μὲν οὐδὲ πολλοστὸν ἠδυνήθη μέρος τῶν πατρῴων· τόλμαν δὲ πρὸς τὸ λέγειν καὶ συνήθειαν ἱκανὴν λαβὼν, καὶ γευσάμενος τῆς περὶ τοὺς ἀγῶνας φιλοτιμίας καὶ δυνάμεως, ἐπεχείρησεν εἰς μέσον παριέναι, καὶ τὰ κοινὰ πράττειν. καὶ καθάπερ Λαομέδοντα τὸν Ὀρχομένιον λέγουσι καχεξίαν τινὰ σπληνὸς ἀμυνόμενον δρόμοις μακροῖς χρῆσθαι, τῶν ἰατρῶν κελευσάντων, εἶθ᾽ οὕτως διαπονήσαντα τὴν ἕξιν· ἐπιθέσθαι τοῖς στεφανίταις ἀγῶσι, καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων· οὕτως τῷ Δημοσθένει συνέβη, τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα τῶν ἰδίων ἀποδύντι πρὸς τὸ λέγειν, ἐκ δὲ τούτου κτησαμένῳ δεινότητα καὶ δύναμιν, ἐν τοῖς πολιτικοῖς ἤδη καθάπερ στεφανίταις ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τοῦ βήματος ἀγωνιζομένων πολιτῶν. καίτοι τὸ πρῶτον ἐντυγχάνων τῷ δήμῳ θορύβοις περιέπιπτε, καὶ κατεγελᾶτο δι᾽ ἀήθειαν τοῦ λόγου, συγκεχύσθαι ταῖς περιόδοις καὶ βεβασανίσθαι τοῖς ἐν-

θυ-

præferret. At Hermippus libros legiſſe commemorat ſe carentes autoris titulo, in quibus ſcriptum eſſet fuiſſe Platonis Demoſthenem auditorem: atque illud plurimum ei contuliſſe ad dicendum. Refert item Cteſibium dicere, Demoſthenem a Callia Syracuſano & nonnullis aliis clam accepiſſe & conſideraſſe Iſocratis atque Alcidamantis præcepta.

Quum igitur eſſet factus ſuæ tutelæ, cœpit cum tutoribus ſuis experiri, & ſcribere in eos orationes: qui quum iterum atque iterum petitiones ejus eluderent, e damnatis cauſis & emortuis redivivas controverſias exſuſcitantes: Demoſthenes interim declamitando, ut Thucydidis verbis utar, exercitatus, hactenus profecit, idque non ſine pulvere & diſcrimine, ut vel felicem adeptus actionum exitum, tamen ne quotamvis quidem partem patrimonii ab iis ſervare potuerit. Verum ut inde audaciam ad dicendum & uſum cepit, guſtavitque honores & potentiam forenſem: inſtitit in ſolem prodire atque rempublicam capeſſere. Sicut autem Orchomenium Laomedontem ad repellendum ſplenis vitium, aiunt ex medicorum præceptis longis curſibus uſum, atque ita corpore laboribus ſubacto certaminibus ſeſe dediſſe ſacris, & inter optimos evaſiſſe curſores: ita Demoſtheni uſu venit, qui primum reparandæ rei familiaris cauſa accinxerat ſe ad dicendum, ut parata hinc arte & facultate in republica jam quaſi coronatorum certaminibus primatum inter cives in dicendi palæſtra certantes obtineret. Quanquam ubi primum ad populum egit, obſtrepitum ei eſt, fuitque deriſus propter inſolentiam orationis, quæ confuſa periodis & argumentis acerbius & immodice vide-

θυμήμασι πικρῶς ἄγαν καὶ κατακόρως δοκοῦντος. ἦν δέ τις, ὡς ἔοικε, καὶ φωνῆς ἀσθένεια, καὶ γλώττης ἀσάφεια, καὶ πνεύματος κολοβότης, ἐπιταράττουσα τὸν νοῦν τῶν λεγομένων τῷ διασπᾶσθαι τὰς περιόδους. τέλος δ' ἀποστάντα τοῦ δήμου, καὶ ῥεμβόμενον ἐν Πειραιεῖ δι' ἀθυμίαν, Εὔνομος ὁ Θριάσιος ἤδη πάνυ γέρων θεασάμενος ἐπετίμησεν, ὅτι τὸν λόγον ἔχων ὁμοιότατον τῷ Περικλέους, προδίδωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτὸν, οὔτε τοὺς ὄχλους ὑφιστάμενος εὐθαρσῶς, οὔτε τὸ σῶμα πρὸς τοὺς ἀγῶνας ἐξαρτυόμενος, ἀλλὰ τρυφῇ περιορῶν μαραινόμενον.

Πάλιν δέ ποτε φασὶν, ἐκπεσόντος αὐτοῦ, καὶ ἀπιόντος οἴκαδε συγκεκαλυμμένου καὶ βαρέως φέροντος, ὑπακολουθῆσαι Σάτυρον τὸν ὑποκριτὴν, ἐπιτήδειον ὄντα, καὶ συνελθεῖν. ὀδυρομένου δὲ τοῦ Δημοσθένους πρὸς αὐτὸν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων, καὶ μικροῦ δέων καταναλωκέναι τὴν τοῦ σώματος ἀκμὴν εἰς τοῦτο, χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι ναῦται καὶ ἀμαθεῖς ἀκούονται καὶ κατέχουσι τὸ βῆμα, παρορᾶται δ' αὐτός· ἀληθῆ λέγεις, ὦ Δημόσθενες, φάναι τὸν Σάτυρον· ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἄν μοι τῶν Εὐριπίδου τινὰ ῥήσεων ἢ Σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος. εἰπόντος δὲ τοῦ Δημοσθένους, μεταλαβόντα τὸν Σάτυρον, οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥστ' ὅλως ἑτέραν τῷ Δημοσθένει φανῆναι. πεισθέντα δ' ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεστι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως

τῶν

debatur elaborata. Laboravit vero etiam vocis exilitate, lingua inexplanata, ſpiritus anguſtia, quæ diſtractis periodis ſenſum interpellabat orationis. Poſtremo quum foro ceſſiſſet, & errantem in Piræeo abjecto animo conſpexiſſet jam exacta ætate Eunomus Thriaſius, increpavit eum quod quum facundia ſua germana eſſet Periclis, ſibi ipſe deeſſet præ timiditate & ignavia: qui neque turbas ſuſtineret animoſe, neque corpus ad actiones inſtrueret, ſed inertia ſineret torpeſcere.

Alio tempore aiunt, quum exploſus domum ſe capite obvoluto & mœſto animo reciperet, ſequutum Satyrum mimum, appellaſſe eum. Conquerente lamentabiliter apud eum Demoſthene, quod qui inter omnes eſſet oratores laborioſiſſimus, corporiſque in eo vigorem pene conſumpſiſſet, non placeret populo tamen, ſed temulenti, nautæ, indocti audirentur, tenerentque ſuggeſtum, ipſe rejiceretur: Recte ais, Demoſthenes, dixiſſe Satyrum, at ego cito medebor cauſæ, ſi mihi carmina aliqua Euripidis aut Sophoclis memoriter velis pronuntiare. Quæ ubi pronuntiavit Demoſthenes, repetiiſſe eadem poſt Demoſthenem Satyrum, itaque formaſſe & reddidiſſe vultu decenti & apta actione eoſdem verſus, ut plane Demoſthenes alios putaret. Ut jam intellexit quantum ex actione dignitatis atque venuſtatis accederet orationi, rem tenuem atque inanem duxiſſe meditationem ſermonis, ſi pronuntiationem & actionem

τῶν λεγομένων. ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον, ὃ δὴ διεσώζετο καὶ καθ' ἡμᾶς· ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας προσιόντα πλάττειν τὴν ὑπόκρισιν, καὶ διαπονεῖν τὴν φωνήν· πολλάκις δὲ καὶ μῆνας ἑξῆς δύο καὶ τρεῖς συνάπτειν, ξυρούμενον τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προσελθεῖν ἐνδέχεσθαι δι' αἰσχύνην.

Οὐ μὴν ἀλλὰ καὶ τὰς πρὸς τοὺς ἐκτὸς ἐντεύξεις καὶ λόγους καὶ ἀσχολίας, ὑποθέσεις ἐποιεῖτο καὶ ἀφορμὰς τοῦ φιλοπονεῖν. ἀπαλλαγεὶς γὰρ αὐτῶν, τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον, καὶ διεξῄει τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν ἀπολογισμούς. ἔτι δὲ τοὺς λόγους οἷς παρέτυχε λεγομένοις, ἀναλαμβάνων εἰς ἑαυτὸν, εἰς γνώμας ἀνῆγε καὶ περιόδους· ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρων πρὸς αὐτὸν, ἢ ὑφ' αὐτοῦ πάλιν εἰς ἄλλον. ἐκ τούτου δόξαν εἶχεν ὡς οὐκ εὐφυὴς ὢν, ἀλλ' ἐκ πόνου συγκειμένῃ δεινότητι καὶ δυνάμει χρώμενος. ἐδόκει τε τούτου σημεῖον εἶναι μέγα, τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένους ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καὶ καθήμενον ἐν ἐκκλησίᾳ πολλάκις τοῦ δήμου καλοῦντος ὀνομαστὶ μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος εἰς τοῦτο. ἄλλοι τε πολλοὶ τῶν δημαγωγῶν ἐχλεύαζον αὐτὸν, καὶ Πυθέας ἐπισκώπτων, ἐλλυχνίων ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. τοῦτον μὲν οὖν ἠμείψατο πικρῶς ὁ Δημοσθένης, Οὐ ταυτὰ γὰρ, εἶπεν, ἐμοὶ καὶ σοὶ, ὦ Πυθέα, ὁ λύχνος σύνοιδε. πρὸς δὲ τοὺς ἄλλους οὐ παντάπασιν ἦν ἔξαρνος, ἀλλ'

onem negligas. Hinc cellam ædificaſſe ſubterraneam, in qua lucubraret: quæ extitit etiam noſtro ævo. Huc ſe omnino quidem quotidie contuliſſe ad formandam actionem & effingendam vocem: ſæpe menſes ibi continuaſſe duos aut tres, ac raſiſſe capitis alteram partem, quo, ne ſi ſumme quidem cuperet, prodire auderet verecundiæ cauſa.

Quinetiam ex colloquiis cum aliis habitis, & ſermonibus & negotiis, materiam ſumpſit & occaſiones induſtriæ. Ubi enim ab illis diſceſſerat, confeſtim deſcendebat in palæſtram illam, recenſebatque ordine acta, & quæ pro iis aut contra dici poſſent. Præterea orationes quas audiviſſet, ſecum repetens, eas in ſententias reducebat & periodos: correctiones etiam varias comminiſcebatur eorum quæ dicta ſibi ab aliis eſſent, aut contra ab ipſo ad alios, eaque alia dicendi figura meditabatur reddere. Unde eſt habitus parum ingenioſus, ſed vim & facultatem dicendi parare ex labore. Cujus magnum indicium videbatur, quod haud temere quiſquam Demoſthenem audierit ex tempore dicentem: ſed quum in concione ſæpe ſederet, & populus nominatim eum exciret ad dicendum, niſi eſſet meditatus ad id & paratus, non procederet. Hinc alii multi concionatores illudebant eum, & Pytheas irridens, lucernam olere ait enthymemata ejus. Cæterum hunc amare Demoſthenes retudit, Nempe non eorundem, inquit, tibi & mihi Pythea conſcia eſt lucerna. Ad alios non plane id ibat inficias, ſed fatebatur non omnino

ἀλλ' οὔτε γράψας, οὔτ' ἄγραφα κομιδῇ λέγειν ὡμολόγει. καὶ μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα, τὸν λέγειν μελετῶντα. θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευήν. τὸ δ' ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον ἀφροντιστεῖν, ὀλιγαρχικοῦ, καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχοντος. τῆς δὲ πρὸς καιρὸν ἀτολμίας αὐτοῦ καὶ τοῦτο ποιοῦνται σημεῖον, ὅτι Δημάδης μὲν ἐκείνῳ θορυβηθέντι πολλάκις ἀναστὰς ἐκ προχείρου συνεῖπεν, ἐκεῖνος δ' οὐδέποτε Δημάδῃ.

Πόθεν οὖν, φαίη τις ἄν, ὁ Αἰσχίνης πρὸς τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατον ἀπεκάλει τὸν ἄνδρα; πῶς δὲ Πύθωνι τῷ Βυζαντίῳ θρασυνομένῳ καὶ ῥέοντι πολλῷ κατὰ τῶν Ἀθηναίων, ἀναστὰς μόνος ἀντεῖπε; ἢ Λαμάχου τοῦ Μυῤῥιναίου γεγραφότος ἐγκώμιον Ἀλεξάνδρου καὶ Φιλίππου τῶν βασιλέων, ἐν ᾧ πολλὰ Θηβαίους καὶ Ὀλυνθίους εἰρήκει κακῶς, καὶ ἀναγινώσκοντος Ὀλυμπιάσι, παραναστάς, καὶ διεξελθὼν μεθ' ἱστορίας καὶ ἀποδείξεως ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα, καὶ πάλιν ὅσων αἴτιοι κακῶν γεγόνασιν οἱ κολακεύοντες Μακεδόνας, οὕτως ἐπέστρεψε τοὺς παρόντας, ὥστε δείσαντα τῷ θορύβῳ τὸν σοφιστὴν ὑπεκδῦναι τῆς πανηγύρεως. ἀλλ' ἔοικεν ὁ ἀνὴρ τοῦ Περικλέους τὰ μὲν ἄλλα μὴ πρὸς αὐτὸν ἡγήσασθαι, τὸ δὲ πλάσμα καὶ τὸν σχηματισμὸν αὐτοῦ, καὶ τὸ μὴ ταχέως μηδὲ περὶ παντὸς ἐκ τοῦ παρισταμένου λέγειν, ὥσπερ ἐκ τούτων μεγάλου γεγονότος, ζηλῶν καὶ μιμούμενος, οὐ πάνυ προΐεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν, οὐδ' ἐπὶ τύχῃ πολλάκις ἑκὼν εἶναι ποιεῖσθαι τὴν δύναμιν. ἐπεὶ τόλμαν γε καὶ

θάρ-

nino ſcriptionem adhibere ad dicendum, neque dicere tamen etiam ſe ſine ſcriptione. Immo popularem hominem oſtendebat eſſe eum qui ad dicendum meditaretur: eum enim pertinere ad obſervantiam populi apparatum: ac floccipendere quid de dictione ſentiat populus, id contemnentis autoritatem populi eſſe, & vi potius freti quam perſuaſione. Jam hac etiam nota utuntur ejus timiditatis ad ſubito dicendum, quod Demades illo perculſo ſubinde exſurrexerit prompte, eumque in dicendo expedite juverit, Demadem ille nunquam.

Unde igitur, roget forſitan aliquis, Æſchines ejus in dicendo ſupra modum admirandam eſſe dixit audaciam? Qui Byzantium Pythonem inſultantem & invehentem flumine orationis in Athenienſes, ſolus ſurgens refutavit? Aut quum Lamachus Myrrhinæus regum laudationem conſcripſiſſet Alexandri & Philippi, qua multa probra congeſſit in Thebanos & Olynthios, eamque in mercatu recitavit Olympiaco: ſubito ſurgens, commemoratis exemplis & argumentis multorum Thebanorum & Chalcidenſium adverſus Græciam meritorum, contra multis calamitatibus quæ adulatoribus Macedonum referendæ acceptæ eſſent, uſque adeo commovit auditores ut perculſus tumultu ſophiſta ſubduceret ſe ex conventu. Atqui apparet Demoſthenem cætera Periclis neglexiſſe, actionem vero ejus & conformationem, neve derepente, neque omni de re diceret fortuito, velut hinc famam ſibi comparaſſet, ſequutum & repræſentantem, non ſane repudiaſſe, quam dabat occaſio dicendi gloriam: neque frequenter voluiſſe tamen ſuam facultatem ſponte credere fortunæ. Audaciam

certe

θάρσος οἱ λεχθέντες ὑπ' αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει, καὶ Δημητρίῳ τῷ Φαληρεῖ, καὶ τοῖς κωμικοῖς. ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον· ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον, ὥσπερ ἐνθουσιῶντα,

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμοὺς, μὰ νάματα.

τῶν δὲ κωμικῶν ὁ μέν τις αὐτὸν ἀποκαλεῖ ῥωποπερπερήθραν. ὁ δὲ παρασκώπτων, ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησὶν, οὕτως ἀπέλαβεν ὥσπερ ἔλαβεν. ἠγάπησε γὰρ τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης· ἐκτὸς εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἁλονήσου λόγον ὁ Ἀντιφάνης καὶ τουτὶ πέπαιχεν, ἣν Ἀθηναίοις Δημοσθένης συνεβούλευε μὴ λαμβάνειν, ἀλλ' ἀπολαμβάνειν παρὰ Φιλίππου.

Πλὴν τόν γε Δημάδην πάντες ὡμολόγουν τῇ φύσει χρώμενον ἀνίκητον εἶναι, καὶ παραφέρειν αὐτὸν σχεδιάζοντα τὰς τοῦ Δημοσθένους σκέψεις καὶ παρασκευάς. Ἀρίστων δ' ὁ Χῖος καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων. ἐρωτηθέντα γὰρ, ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν, ἄξιος τῆς πόλεως· ὁποῖος δὲ Δημάδης, ὑπὲρ τὴν πόλιν. ὁ δ' αὐτὸς φιλόσοφος Πολύευκτον ἱστορεῖ τὸν Σφήττιον, ἕνα τῶν τότε πολιτευομένων Ἀθήνησιν, ἀποφαίνεσθαι μέγιστον μὲν εἶναι ῥήτορα Δημοσθένη, δυνατώτατον δὲ εἰπεῖν Φωκίωνα· πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐκφέρειν. καὶ μέντοι καὶ τὸν Δημοσθένη φασὶν αὐτὸν, ὁσάκις ἂν ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι, λέ-

certe & confidentiam orationes quas dixit, quam quas ſcripſit, habuerunt majorem, ſiquid eſt Eratoſtheni credendum & Demetrio Phalereo, comiciſque. Eratoſthenes enim ſæpe ait eum in dicendo furore abreptum. Phalereus jusjurandum verſu comprehenſum illud aliquando velut numine afflatum peregiſſe,

Per terram & amnes, perque fontes ac aquas.

Ex comicis quiſpiam appellat eum Rhopoperperethram, quaſi dicas futilem & loquacem. Alius obiter cavillans quod antitheto uteretur, ait, Sic recepit ſicut cepit. Frequenter enim hoc verbum uſurpabat affectatum Demoſthenes: niſi ſane Antiphanes hic ad orationem de Haloneſo alluſit, quam Demoſthenes ut reciperent non acciperent conſuluit a Philippo.

Cæterum Demadem quidem omnes, ubi naturam ſuam ſequeretur, fatentur cæteris præfulſiſſe, ac ſuperatas ab ejus extemporanea dictione Demoſthenis lucubrationes & apparatum. Ariſto Chius Theophraſti quoque cenſuram quandam prodit de oratoribus. Interrogatum enim qui ſibi videretur Demoſthenes orator, reſpondiſſe, Dignus hac urbe: Qualis Demades? Supra urbem. Idem philoſophus Polyeuctum Sphettium ſcribit, unum ex iis qui per id tempus rempub. Athenis gerebant, dixiſſe ſummum Demoſthenem oratorem eſſe, ſed acerrimum in dicendo Phocionem: plurimum enim eum pauciſſimis verbis ſententiæ complecti. Et vero ipſum etiam aiunt Demoſthenem, quoties contra ſe dicturus pulpitum conſcenderet Phocion, ad fami-

λέγειν πρὸς τοὺς συνήθεις, Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται. τοῦτο μὲν οὖν ἄδηλον εἴτε πρὸς τὸν λόγον τοῦ ἀνδρὸς ὁ Δημοσθένης, εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπεπόνθει, πολλῶν πάνυ καὶ μακρῶν περιόδων ἓν ῥῆμα καὶ νεῦμα πίστιν ἔχοντος ἀνθρώπου κυριώτερον ἡγούμενος.

Τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν, ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ, λέγων αὐτοῦ Δημοσθένους ἀκούειν πρεσβύτου γεγονότος· τὴν μὲν ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα, καὶ ῥήσεις ἅμα λέγοντα· τὴν δὲ φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι, καὶ ταῖς πρὸς τὰ σιμὰ προσβάσεσι διαλεγόμενον, καὶ λόγους τινὰς ἢ στίχους ἅμα τῷ πνεύματι πυκνουμένῳ προσφερόμενον· εἶναι δ' αὐτῷ μέγα κάτοπτρον οἴκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας ἐξ ἐναντίας ἱστάμενον περαίνειν. λέγεται δ' ἀνθρώπου προσελθόντος δεομένου συνηγορίας, καὶ διεξιόντος ὡς ὑπό του λάβοι πληγάς, ἀλλὰ σύ γε, φάναι τὸν Δημοσθένην, τούτων ὧν λέγεις οὐδὲν πέπονθας. ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου, καὶ βοῶντος, ἐγὼ Δημόσθενες οὐδὲν πέπονθα; νὴ Δία, φάναι, νῦν ἀκούω φωνὴν ἀδικουμένου καὶ πεπονθότος. οὕτως ᾤετο μέγα πρὸς πίστιν εἶναι τὸν τόνον, καὶ τὴν ὑπόκρισιν τῶν λεγόντων. τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἤρεσκε θαυμαστῶς· οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακόν, ὧν καὶ Δημήτριος ὁ Φαληρεύς ἐστιν. Αἰσίωνα δέ φησιν Ἕρμιππος ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' αὑτὸν εἰπεῖν, ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ

miliares ſuos dicere ſolitum, Mearum ſecuris orationum exſurgit. Incertum eſt autem de oratione illius ſic ſentiret Demoſthenes, anne de vita & exiſtimatione: quod permultis & prolixis circuitibus unum verbum & nutum exiſtimaret probati viri eſſe validiorem.

Corporis vitiis hanc adhibuit exercitationem, ut autor Phalereus eſt Demetrius, qui ex ipſo audiiſſe ſe jam magno natu Demoſthene refert: Linguam inexplanatam hæſitantemque conjectis in os calculis verſus ſimul recitando expugnaſſe & correxiſſe: vocem currendo & aſcenſu ingrediendo arduo exercitaſſe differentem, ſimulque orationem aut verſus intento ſpiritu pronunciantem; habuiſſe domi magnum ſpeculum, cujus ex adverſo ſtantem declamare ſolitum. Quum eum adiiſſet quidam ut cauſam ſuam ſuſciperet orans, commemoraretque a quopiam ſe cæſum: dicitur Demoſthenes reſpondiſſe, Tu vero nullam injuriam, ut dicis, paſſus es. Hic quum homo vocem intenderet, ac vociferaretur, Ego Demoſthenes injuriam non ſum paſſus? Nunc, dixiſſe, ego vocem audio læſi & violati. Tanti referre arbitrabatur ad fidem faciendam vocis contentionem, & actionem dicentium. Porro multitudini quidem mirifice actio ejus placebat. Elegantiores, in quibus eſt Demetrius Phalereus, humilem ejus geſtum, abjectum & mollem cenſebant eſſe. Æſiona refert Hermippus de veteribus rogatum oratoribus & de ſuis æqualibus dixiſſe, Illos ſi audires, ad-

μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους· ἀναγινωσκόμενοι δ' οἱ Δημοσθένους λόγοι, πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν. οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων ὅτι τὸ αὐστηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἂν λέγοι τις; ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς παρὰ τὸν καιρὸν, ἐχρῆτο καὶ τῷ γελοίῳ. Δημάδου μὲν γὰρ εἰπόντος, Ἐμὲ Δημοσθένης, ἡ ὗς τὴν Ἀθηνᾶν· αὕτη, εἶπεν, ἡ Ἀθηνᾶ πρώην ἐν Κολλυτῷ μοιχεύουσα ἐλήφθη. πρὸς δὲ τὸν κλέπτην, ὃς ἐπεκαλεῖτο Χαλκοῦς, καὶ αὐτὸν εἰς τὰς ἀγρυπνίας αὐτοῦ καὶ νυκτογραφίας πειρώμενόν τι λέγειν, οἶδα, εἶπεν, ὅτι σε λυπῶ λύχνον καίων. ὑμεῖς δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θαυμάζετε τὰς γινομένας κλοπὰς, ὅταν τοὺς μὲν κλέπτας χαλκοῦς, τοὺς δὲ τοίχους πηλίνους ἔχωμεν. ἀλλὰ περὶ μὲν τούτων καίπερ ἔτι πλείω λέγειν ἔχοντες ἐνταῦθα παυσόμεθα· τὸν δ' ἄλλον αὐτοῦ τρόπον, καὶ τὸ ἦθος, ἀπὸ τῶν πράξεων καὶ τῆς πολιτείας θεωρεῖσθαι δίκαιόν ἐστιν.

Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινὰ, τοῦ Φωκικοῦ πολέμου συνεστῶτος, ὡς αὐτός τε φησὶ, καὶ λαβεῖν ἐστιν ἀπὸ τῶν Φιλιππικῶν δημηγοριῶν. αἱ μὲν γὰρ ἤδη διαπεπραγμένων ἐκείνων γεγόνασιν, αἱ δὲ πρεσβύταται τῶν ἔγγιστα πραγμάτων ἅπτονται. δῆλος δ' ἐστὶ καὶ τὴν Μειδίου παρασκευασάμενος εἰπεῖν δίκην, δύο μὲν ἐπὶ τοῖς τριάκοντα γεγονὼς ἔτη, μηδέπω δ' ἔχων ἰσχὺν ἐν τῇ πολιτείᾳ μηδὲ δόξαν. ὃ καὶ μάλιστά μοι δοκεῖ δείσας, ἐπ' ἀργυρίῳ καταθέσθαι τὴν πρὸς τὸν ἄνθρωπον ἔχθραν.

Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων,

ἀλλ'

admirareris modeſtiam & magnificentiam eorum quæ ad populum diſſerebant. Demoſthenis vero orationes, ſi eas legas, multum excellunt artificio & acrimonia. Sane orationes ſcriptæ ejus nemo negat quin multum auſteri habeant & amari. In reſponſionibus vero ſubitis utebatur ridiculo quoque. Quum enim dixiſſet Demades, Me Demoſthenes, ſus Minervam: Hæc, inquit, Minerva non ita dudum in Colytto deprehenſa in adulterio fuit. Furi, cui cognomen erat Chalco, id eſt æreo, quum tenderet & ipſe vigilias & lucubrationes ejus perſtringere: Novi, inquit, moleſtum tibi eſſe quod lucernam habeam accenſam: at vos nolite mirari, Athenienſes, ſi furta committantur, quum fures æreos, parietes habeamus luteos. Verum de his quamvis referre plura habeamus, ſatis ſit. Reliquum ingenium & mores ex rebus ejus geſtis & reipublicæ procuratione æquum eſt contemplari.

Ad rempublicam acceſſit bello commiſſo Phocico, ut ipſe teſtatur, & diſcere licet ex orationibus Philippicis: ſiquidem aliquæ harum illis perpetratis rebus habitæ ſunt, antiquiſſimæ autem attingunt res noviſſimas. Conſtat etiam conſtituiſſe eum accuſare Midiam, annos natum duos & triginta, quum opes in republica nondum ullas vel autoritatem haberet: cujus mihi metu potiſſimum videtur pecunia accepta inimicitiam cum iſto decidiſſe.

Nam non ingenio facili fuit, aut generoſo,

ſed

ἀλλ' ἔντονος καὶ βίαιος περὶ τὰς ἀμύνας. ὁρῶν δ' οὐ φαῦλον, οὐδὲ τῆς αὐτοῦ δυνάμεως ἔργον, ἄνδρα καὶ πλούτῳ καὶ φίλοις εὖ πεφραγμένον καθελεῖν τὸν Μειδίαν, ἐνέδωκε τοῖς ὑπὲρ αὐτοῦ δεομένοις. αἱ δὲ τρισχίλιαι καθ' ἑαυτὰς οὐκ ἄν μοι δοκοῦσι τὴν Δημοσθένους ἀμβλῦναι πικρίαν, ἐλπίζοντος καὶ δυναμένου περιγενέσθαι. λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν, τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν, καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε, καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη καὶ τῆς παρρησίας· ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖστον δ' αὐτοῦ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγούντων· ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐστι. καὶ γὰρ Αἰσχίνης καὶ Ὑπερίδης τοιαῦτα ὑπὲρ αὐτοῦ κατηγοροῦντες εἰρήκασιν.

Ὅθεν οὐκ οἶδ' ὅπως παρέστη Θεοπόμπῳ λέγειν αὐτὸν ἀβέβαιον τῷ τρόπῳ γεγονέναι, καὶ μήτε πράγμασι, μήτ' ἀνθρώποις πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. φαίνεται γὰρ, εἰς ἣν ἀπ' ἀρχῆς τῶν πραγμάτων μερίδα καὶ τάξιν αὐτὸν ἐν τῇ πολιτείᾳ κατέστησε, ταύτην ἄχρι τέλους διαφυλάξας, καὶ οὐ μόνον ἐν τῷ βίῳ μὴ μεταβαλλόμενος, ἀλλὰ καὶ τὸν βίον ἐν τῷ μὴ μεταβαλέσθαι προέμενος. οὐ γὰρ, ὡς Δημάδης ἀπολογούμενος διὰ τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν, ἔλεγεν αὑτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ πόλει μηδέποτε· καὶ Μελάνωπος ἀντιπολιτευόμενος Καλλιστράτῳ, καὶ πολλάκις ὑπ' αὐτοῦ χρήμασι μετατιθέμενος, εἰώθει

ſed fervidus & ardens ad vindictam. Cæterum quum animadverteret non leve eſſe, neque ſuæ facultatis, virum opulentia, facundia & amicis valide ſuccinctum evertere Midiam, deprecantibus pro eo conceſſit. Nam ſolas ter mille drachmas illas non arbitror Demoſthenis retundere acerbitatem potuiſſe, ſi ſperaſſet & valuiſſet obtinere cauſam. Accepta materia in republica præclara, Græcorum contra Philippum defenſione; quum in ea ſplendide decertaret, brevi evaſit clarus & celebris ex eloquentia & in dicendo libertate. Unde magno in honore apud Græcos fuit. Rex magnus coluit eum: maxima exiſtimatio apud Philippum ejus fuit præ cæteris oratoribus: nec diſſimulabant vel inimici ejus eſſe ipſis cum præſtanti viro dimicationem. Etenim Æſchines & Hyperides hæc de eo, vel quum accuſabant eum, faſſi ſunt.

Quare Theopompo miror quid in mentem venerit, ingenio ut eum mobili dicat fuiſſe, neque vel rebus vel hominibus diu iiſdem delectatum. Palam eſt enim quarum actionum in republica partes & ſectam a primo ſuſcepit, in his perſtitiſſe eum uſque ad extremum: neque ſolum in vita non inflexiſſe ſe, ſed & vitam, dum invertere ſe non ſuſtinet, profudiſſe. Neque enim, ut Demades excuſans actionum ſuarum varietatem dixit, ſibi ipſum contraria ſæpe, reipub. nunquam dixiſſe: & Melanopus a Calliſtrato de republica diſſentiens, quum ſubinde ab hoc pecunia de ſententia deduceretur,

Ggg 2

εἰώθει λέγειν πρὸς τὸν δῆμον, Ὁ μὲν ἀνὴρ, ἐχθρὸς, τὸ δὲ τῆς πόλεως νικάτω συμφέρον· Νικόδημος δ' ὁ Μεσσήνιος Κασάνδρῳ προστιθέμενος πρότερον, εἶτ' αὖθις ὑπὲρ τοῦ Δημητρίου πολιτευόμενος, οὐκ ἔφη τἀναντία λέγειν· ἀεὶ γὰρ εἶναι συμφέρον ἀκροᾶσθαι τῶν κρατούντων· οὕτω καὶ περὶ Δημοσθένους ἔχομεν εἰπεῖν, οἷον ἐκτρεπομένου καὶ πλαγιάζοντος ἢ φωνὴν ἢ πρᾶξιν, ἀλλ' ὥσπερ ἐφ' ἑνὸς καὶ ἀμεταβλήτου διαγράμματος τῆς πολιτείας, ἕνα τόνον ἔχων ἐν τοῖς πράγμασιν ἀεὶ διετέλεσε. Παναίτιος δ' ὁ φιλόσοφος καὶ τῶν λόγων αὐτοῦ φησὶν οὕτω γεγράφθαι τοὺς πλείστους, ὡς μόνον τοῦ καλοῦ δι' αὐτὸ αἱρετοῦ ὄντος, τὸν περὶ τοῦ στεφάνου, τὸν κατ' Ἀριστοκράτους, τὸν ὑπὲρ τῶν ἀτελειῶν, τοὺς Φιλιππικούς· ἐν οἷς πᾶσιν οὐ πρὸς τὸ ἥδιστον ἢ ῥᾷστον ἢ λυσιτελέστατον ἄγει τοὺς πολίτας, ἀλλὰ πολλαχοῦ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ τάξει τοῦ καλοῦ ποιεῖσθαι καὶ τοῦ πρέποντος. ὡς, εἴγε περὶ τὰς ὑποθέσεις αὐτοῦ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ παρῆν ἀνδρεία τε πολεμιστήριος, καὶ τὸ καθαρῶς ἕκαστα πράττειν, οὐκ ἐν τῷ κατὰ Μυροκλέα καὶ Πολύευκτον καὶ Ὑπερείδην ἀριθμῷ τῶν ῥητόρων, ἀλλ' ἄνω μετὰ Κίμωνος καὶ Θουκυδίδου καὶ Περικλέους ἄξιος ἦν τίθεσθαι.

Τῶν γοῦν μετ' αὐτὸν ὁ Φωκίων, οὐκ ἐπαινουμένης προϊστάμενος πολιτείας, ἀλλὰ δοκῶν μακεδονίζειν, ὅμως δι' ἀνδρείαν καὶ δικαιοσύνην οὐδὲν οὐδαμοῦ χείρων ἔδοξε τοῦ Ἐφιάλτου καὶ Ἀριστείδου καὶ Κίμωνος ἀνὴρ γενέσθαι. Δημοσθένης δ' οὐκ ὢν ἐν τοῖς ὅπλοις ἀξιόπιστος, ὥς φησιν ὁ Δημήτριος, οὐδὲ πρὸς τὸ λαμβάνειν παντάπασιν ἀπωχυρωμένος, ἀλλὰ τῷ μὲν παρὰ Φιλίππου καὶ

duceretur, dicere apud populum ſolitus erat, Eſt ille quidem inimicus, ſed vincat bonum publicum: Meſſenius item Nicodemus, qui ante faverat Caſſandro, mox aggregavit ſe ad Demetrium, negavit ſe pugnantia dicere: ſemper enim conducere dicto audientem eſſe victoribus: non perinde, inquam, dicere de Demoſthene queamus; convertiſſe aut variaſſe eum vocem vel actionem: ſed quaſi in eadem & immutabili formula unum in rebus reipub. tractandis conſervavit tenorem. Panætius philoſophus vel orationes ejus ita refert conſcriptas pleraſque, ut qui decernat honeſtum propter ſeipſum eſſe expetendum, ut illam De corona, Contra Ariſtocratem, Pro immunitatibus, Philippicas: quibus in omnibus non ad id quod jucundiſſimum eſt, aut facillimum, aut utiliſſimum cohortatur cives, ſed identidem ſecuritatem atque ſalutem poſtponendam cenſet honeſto & decoro. Adeo ut ſi cum contentione ejus in rebus ſuſceptis & dicendi divinitate virtus conjuncta bellica ſit & abſtinentia, non in albo oratorum quo Myrocles fuit, & Polyeuctus, & Hyperides, ſed excelſo loco cum Cimone, Thucydide & Pericle dignus ſit qui recenſeatur.

Quippe ex illis qui ei ſucceſſere, Phocion, quamvis non optimas partes in repub. tueri, ſed ſtare videbatur a Macedonibus, fortitudinis tamen & juſtitiæ laude nulla uſquam re inferior Ephialte, vel Ariſtide, vel Cimone exiſtimabatur. Demoſthenes vero nec in armis memorabilis, ut Demetrius perhibet, neque adverſus munera capienda ſatis vallatus, quanquam à Philip-

Μακεδονίας ἀνάλωτος ὤν, τῷ δ' ἄνωθεν ἐκ Σούσων καὶ Ἐκβατάνων ἐπιβατὸς χρυσίῳ γεγονὼς καὶ κατακεκλυσμένος, ἐπαινέσαι μὲν ἱκανώτατος ἦν τὰ τῶν προγόνων καλά, μιμήσασθαι δὲ οὐχ ὅμοιος. ἐπεὶ τούς γε καθ' αὑτὸν ῥήτορας, ἔξω δὲ λόγου τίθεμαι Φωκίωνα, καὶ τῷ βίῳ παρῆλθε. φαίνεται δὲ καὶ μετὰ παρρησίας μάλιστα τῷ δήμῳ διαλεγόμενος, καὶ πρὸς τὰς ἐπιθυμίας τῶν πολλῶν ἀντιτείνων, καὶ τοῖς ἁμαρτήμασιν αὐτῶν ἐπιφυόμενος, ὡς ἐκ τῶν λόγων λαβεῖν ἐστιν. ἱστορεῖ δὲ καὶ Θεόπομπος, ὅτι τῶν Ἀθηναίων ἐπί τινα προβαλλομένων αὐτὸν κατηγορίαν, ὡς οὐχ ὑπήκουε θορυβούντων, ἀναστὰς εἶπεν, Ὑμεῖς ἐμοί, ὦ ἄνδρες Ἀθηναῖοι, συμβούλῳ μέν, κἂν μὴ θέλητε, χρήσεσθε· συκοφάντῃ δέ, οὐδὲ ἐὰν θέλητε. σφόδρα δ' ἀριστοκρατικὸν αὐτοῦ πολίτευμα καὶ τὸ περὶ Ἀντιφῶντος· ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβών, ἐπὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν παρήγαγε, καὶ παρ' οὐδὲν τὸ προσκροῦσαι τῷ δήμῳ θέμενος, ἤλεγξεν ὑπεσχημένον Φιλίππῳ τὰ νεώρια ἐμπρήσειν· καὶ παραδοθεὶς ὁ ἄνθρωπος ὑπὸ τῆς βουλῆς ἀπέθανε. κατηγόρησε δὲ καὶ τῆς ἱερείας Θεωρίδος, ὡς ἄλλα ῥᾳδιουργούσης πολλά, καὶ τοὺς δούλους ἐξαπατᾶν διδασκούσης· καὶ θανάτου τιμησάμενος ἀπέκτεινε.

Λέγεται δὲ καὶ τὸν κατὰ Τιμοθέου τοῦ στρατηγοῦ λόγον, ᾧ χρησάμενος Ἀπολλόδωρος εἷλε τὸν ἄνδρα τοῦ ὀφλήματος, Δημοσθένης γράψαι τῷ Ἀπολλοδώρῳ, καθάπερ καὶ τοὺς πρὸς Φορμίωνα καὶ Στέφανον, ἐφ' οἷς εἰκότως ἠδόξησε. καὶ γὰρ Φορμίων ἠγωνίζετο λόγῳ Δημοσθένους πρὸς τὸν Ἀπολλόδωρον, ἀτεχνῶς, καθάπερ ἐξ ἑνὸς μαχαιροπωλίου, τὰ κατ' ἀλλήλων ἐγ-

χει-

pi & Macedonum pecunia invictus: ſuperioribus tamen ex regionibus Suſis & Ecbatanis allato auro expoſitus & demerſus, prædicare majorum virtutes præclariſſime potuit, imitari non potuit. Quanquam cæteris certe ſui temporis oratoribus, Phocionem excipio, etiam vita præcelluit. Videtur etiam libere præſertim ad populum egiſſe, reluctans plebis libidini, peccataque ejus inſectans, ut accipere ex ejus orationibus licet. Jam ſcribit Theopompus, quum populus Athenienſis accuſatorem in cauſa quadam eum nominaret, obſtreperet autem morem non gerenti, ſurrexiſſe eum ac dixiſſe, Vos me Athenienſes conſiliarium vel inviti habebitis, calumniatorem ne ſi volueritis quidem. Minime vero populare fuit id quod contra Antiphontem egit, quem in concione liberatum ad conſilium rapuit Areopagi: contemptaque populi offenſione, docuit pollicitum Philippo inflammaturum ſe navalia, de cujus conſilii ſententia vir ille eſt traditus ad necem. Ad hæc ſacerdotis Theoridis nomen detulit cum de aliis delictis, tum quod fallere ſervos doceret, atque quum litem capitis æſtimaſſet, damnavit eam.

Fama quoque eſt orationem contra Timotheum prætorem, qua Apollodorus uſus pecuniam ſe ei mutuo dediſſe probavit, ſcripſiſſe Apollodoro Demoſthenem, necnon orationes contra Phormionem & Stephanum: quo nomine haud immerito eſt improbatus. Pugnavit enim ſine dubio contra Apollodorum oratione Demoſthenis Phormio, quaſi ex eadem taberna vendentis judicio conten-

χειρίδια πωλοῦντος αὐτοῦ τοῖς ἀντιδίκοις. τῶν δὲ δημοσίων, ὁ μὲν κατ' Ἀνδροτίωνος καὶ Τιμοκράτους καὶ Ἀριστοκράτους, ἑτέροις ἐγράφησαν, οὔπω τῇ πολιτείᾳ προσεληλυθότος. δοκεῖ γὰρ δυοῖν ἢ τριῶν δέοντα ἔτη τριάκοντα γεγονὼς ἐξενεγκεῖν τοὺς λόγους ἐκείνους. τὸν δὲ κατὰ Ἀριστογείτονος αὐτὸς ἠγωνίσατο, καὶ τὸν περὶ τῶν ἀτελειῶν, διὰ τὸν Χαβρίου παῖδα Κτήσιππον, ὥς φησιν αὐτός· ὡς δ' ἔνιοι λέγουσι, τὴν μητέρα τοῦ νεανίσκου μνώμενος. οὐ μὴν ἔγημε ταύτην, ἀλλὰ Σαμίᾳ τινὶ συνῴκησεν, ὡς ἱστορεῖ Δημήτριος ὁ Μάγνης ἐν τοῖς περὶ συνωνύμων. ὁ δὲ κατ' Αἰσχίνου τῆς παραπρεσβείας, ἄδηλον εἰ λέλεκται. καίτοι φησὶν Ἰδομενεὺς παρὰ τριάκοντα μόνας τὸν Αἰσχίνην ἀποφυγεῖν. ἀλλ' οὐκ ἔοικεν οὕτως ἔχειν τἀληθές, εἰ δεῖ τοῖς περὶ στεφάνου γεγραμμένοις ἑκατέρων λόγοις τεκμαίρεσθαι. μέμνηται γὰρ οὐδέτερος αὐτῶν ἐναργῶς οὐδὲ τρανῶς ἐκείνου τοῦ ἀγῶνος, ὡς ἄχρι δίκης προελθόντος. ταυτὶ μὲν οὖν ἕτεροι διακρινοῦσι μᾶλλον.

Ἡ δὲ τοῦ Δημοσθένους πολιτεία φανερὰ μὲν ἦν, ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης, οὐδὲν ἐῶντος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ Μακεδόνος, ἀλλ' ἐφ' ἑκάστῳ ταράττοντος τοὺς Ἀθηναίους, καὶ διακαίοντος ἐπὶ τὸν ἄνθρωπον. διὸ καὶ παρὰ Φιλίππῳ πλεῖστος ἦν λόγος αὐτοῦ, καὶ ὅτε πρεσβεύων δέκατος ἧκεν εἰς Μακεδονίαν, ἤκουσε μὲν πάντων Φίλιππος, ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν ἐκείνου λόγον. οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ προσήγετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον. ὅθεν ἐπαινούντων ἐκείνων τὸν Φίλιππον

tendentibus in ſe mutuo gladios. Ex publicis illas contra Androtionem, Timocratem, Ariſtocratem, quum nondum attigiſſet rempub. aliis ſcripſit. Apparet enim eum, quum eas orationes ederet, annos natum fuiſſe viginti ſeptem aut octo. Orationem contra Ariſtogitonem ipſe dixit, & illam de immunitatibus, in gratiam, ut teſtatur ipſe, Cteſippi Chabriæ filii; ut nonnulli autumant, nuptias ambiens matris adoleſcentis. Non duxit eam tamen uxorem, ſed Samiam quandam, ut tradit Demetrius Magneſius in libris de ſynonymis, in matrimonio habuit. Oratio illa de falſa legatione in Æſchinem haud liquet an habita ſit, quamvis Idomeneus ſententiis demptis ſolis triginta dicat Æſchinem abſolutum. Verum quatenus ex utriuſque de corona ſcriptis orationibus licet conjicere, res videtur ſecus ſe habere. Neuter enim horum aperte vel perſpicue iſtius contentionis meminit ut ad judicium uſque progreſſæ. Sed malo hæc ut alii melius diſceptent.

Actiones publicæ Demoſthenis hoc aperte vel tempore pacis præ ſe ferebant, ut quicquid conabatur Macedo, omne id inſimularet, & ad ſingula concitaret populum Athenienſem, atque adverſus eum inflammaret. Unde plurimam ejus Philippus rationem habuit. Ac quum inter decem legatos veniſſet in Macedoniam, audivit quidem Philippus omnes, ad illius vero orationem accuratiſſime reſpondit. Non accepit alioqui perinde Demoſthenem honorifice & comiter, ſed Æſchinem & Philocratem impenſius amplexus eſt. Quare quum hi Philippum com-

που ὡς καὶ λέγειν δυνατώτατον, καὶ κάλλιστον ὀφθῆναι, καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν, ὡς τὸ μὲν, σοφιστοῦ, τὸ δὲ, γυναικὸς, τὸ δὲ, σπογγιᾶς εἴη, βασιλέως δ' οὐδὲν ἐγκώμιον.

Ἐπεὶ δὲ εἰς τὸ πολεμεῖν ἔῤῥεπε τὰ πράγματα, τοῦ μὲν Φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ' Ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ Δημοσθένους, πρῶτον μὲν εἰς Εὔβοιαν ἐξώρμησε τοὺς Ἀθηναίους, καταδεδουλωμένην ὑπὸ τῶν τυράννων Φιλίππῳ· καὶ διαβάντες, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς Μακεδόνας. δεύτερον δὲ Βυζαντίοις ἐβοήθησε καὶ Περινθίοις ὑπὸ τοῦ Μακεδόνος πολεμουμένοις· πείσας τὸν δῆμον, ἀφέντα τὴν ἔχθραν, καὶ τὸ μεμνῆσθαι τῶν περὶ τὸν συμμαχικὸν ἡμαρτημένων ἑκατέροις πόλεμον, ἀποστεῖλαι δύναμιν αὐτοῖς, ὑφ' ἧς ἐσώθησαν. ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς Ἕλλησι, καὶ παροξύνων, συνέστησε πλὴν ὀλίγων ἅπαντας ἐπὶ τὸν Φίλιππον· ὥστε σύνταξιν γενέσθαι πεζῶν μὲν μυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ δισχιλίων, ἄνευ τῶν πολιτικῶν δυνάμεων· χρήματα δὲ καὶ μισθοὺς τοῖς ξένοις εἰσφέρεσθαι προθύμως. ὅτε καί φησι Θεόφραστος, ἀξιούντων τῶν συμμάχων ὁρισθῆναι τὰς εἰσφορὰς, εἰπεῖν Κρώβυλον τὸν δημαγωγὸν, ὡς οὐ τεταγμένα σιτεῖται πόλεμος. ἐπηρμένης δὲ τῆς Ἑλλάδος πρὸς τὸ μέλλον, καὶ συνισταμένων κατ' ἔθνη καὶ πόλεις Εὐβοέων, Ἀχαιῶν, Κορινθίων, Μεγαρέων, Λευκαδίων, Κερκυραίων, ὁ μέγιστος ὑπελείπετο τῷ Δημοσθένει τῶν ἀγώνων, Θηβαίους προσαγαγέσθαι τῇ συμμαχίᾳ, χώραν τε σύνορον τῆς Ἀττικῆς, καὶ δύναμιν ἐναγώνιον ἔχοντας, καὶ μάλιστα τότε

commendarent, ut diſertiſſimum, & ſpecie pulcherrimum, & vero etiam ſtrenuum potatorem & hilarem in convivio: non potuit abſtinere quin interverteret ea, & cavillaretur, primum ſophiſtæ, fœminæ alterum, poſtremum eſſe ſpongiæ, regis laudem eſſe ibi nullam.

Quum res ad bellum inclinarent, non ferente otium Philippo, Athenienſibus autem a Demoſthene incenſis: primum concitavit Athenienſes ad aggrediendam Eubœam, quam tyranni ſubjugaverant Philippo: quo quum trajeciſſent ex plebiſcito, quod ille ſcripſerat, exegerunt Macedonas. Inde Byzantiis & Perinthiis, quibus bellum faciebat Philippus, opem tulit, ſuadens populo ut poſita ſimultate, obliteratiſque quæ utrique bello ſociali admiſerant, ſubmitteret iis auxilium, a quo fuerant conſervati. Mox in legationem profectus, convenit civitates Græcas, ſolicitavitque, atque omnes in Philippum, demptis paucis, concivit, ut præter urbanas copias conſcriberent quindecim millia peditum & duo equitum, pecunia & ſtipendium in externos milites prompte conferretur. Quo tempore ait Theophraſtus, quum poſtularent ſocii ut certa ſumma definiretur tributi, dixiſſe Crobylum concionatorem, bellum certum modum non habere pabuli. Erecta Græcia ad eventum, quum coirent per ſingulas gentes & urbes Eubœi, Achæi, Corinthii, Megarenſes, Leucadii, Corcyræi: maximus ſupererat Demoſtheni labor, ſocietati ut adjungeret Thebanos, qui finitimi ſunt Atticæ, & vires habebant ad bellum faciendum, & imprimis tunc

τε τῶν Ἑλλήνων εὐδοκιμοῦντας ἐν τοῖς ὅπλοις. ἦν δ' οὐ ῥᾴδιον ἐπὶ προσφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν Φωκικὸν πόλεμον τετιθασσευμένους ὑπὸ τοῦ Φιλίππου μεταστῆσαι τοὺς Θηβαίους, καὶ μάλιστα ταῖς διὰ τὴν γειτνίασιν ἀψιμαχίαις ἀναξαινομένων ἑκάστοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν.

Οὐ μὴν ἀλλ' ἐπεὶ Φίλιππος ὑπὸ τῆς περὶ τὴν Ἄμφισσαν εὐτυχίας ἐπαιρόμενος, εἰς τὴν Ἐλάτειαν ἐξαίφνης ἐνέπεσε, καὶ τὴν Φωκίδα κατέσχεν, ἐκπεπληγμένων τῶν Ἀθηναίων, καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα, μηδὲ ἔχοντος ὅ, τι χρὴ λέγειν, ἀπορίας οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ Δημοσθένης, συνεβούλευε τῶν Θηβαίων ἔχεσθαι· καὶ τἄλλα παραθαρρύνας καὶ μετεωρίσας, ὥσπερ εἰώθει, τὸν δῆμον ταῖς ἐλπίσιν, ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς Θήβας. ἔπεμψε δὲ καὶ Φίλιππος, ὡς Μαρσύας φησὶν, Ἀμύνταν μὲν καὶ Κλέαρχον Μακεδόνας, Δάοχον δὲ καὶ Θεσσαλὸν καὶ Θρασυδαῖον, ἀντεροῦντας. τὸ μὲν οὖν συμφέρον οὐ διέφυγε τοὺς τῶν Θηβαίων λογισμοὺς, ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινὰ, ἔτι τῶν Φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων. ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι Θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν, καὶ διακαίουσα τὴν φιλοτιμίαν, ἐπεσκότησε τοῖς ἄλλοις ἅπασιν· ὥστε φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς, ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι, δεόμενον εἰρήνης, ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι, καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς

τῷ

tunc numerabantur inter Græcos bellatores. Verum non erat proclive recentibus Phocico bello beneficiis Philippo mancipatos ab eo revocare Thebanos, maxime quod levibus ex vicinitate certaminibus indies refricarentur, quas illæ civitates inter ſe habebant, bellicæ controverſiæ.

Verum enimvero poſtquam Philippus ſucceſſu ad Amphiſſam elatus, raptim Elateam irrupit, & Phocidem occupavit, perculſis Athenienſibus, quum conſcendere ſuggeſtum nemo auderet, nec quid diceret haberet, omnia autem deſperatio & ſilentium teneret, ſolus prodiit Demoſthenes, autorque fuit ut ſolicitarent Thebanos: quumque de cætero animaſſet & ſpe more ſuo erexiſſet populum, Thebas cum aliis legatus eſt. Ad eos refellendos miſit etiam Philippus, ut Marſyas tradit, Amyntam & Clearchum Macedonas, præterea Daochum Theſſalum, & Thraſydæum. Quid expediret non fallebat in deliberando Thebanos, ſed erant omnibus ante oculos belli incommoda, recentibus adhuc Phocicis vulneribus. At hujus vis oratoris, ut autor eſt Theopompus, quæ excitabat animos eorum & incendebat ad gloriam, obſtruxit omnibus reliquis: ut quaſi lymphati, ab oratione ejus rapti ad honeſtum, metum, rationem, gratiam abjicerent. Factum autem hujus oratoris tantum extitit & tam inſigne, ut legatos extemplo mitteret Philippus ad pacem petendam, omnis erigeret ſe Græcia, & conſurgeret ad id quod impendebat, accommodarent vero ſe Demo-

ſthe-

τῷ Δημοσθένει ποιοῦντας τὸ προστατόμενον, ἀλλὰ καὶ τοὺς Βοιωτάρχας· διοικεῖσθαι τὰς ἐκκλησίας ἁπάσας, οὐδὲν ἧττον ὑπ᾽ ἐκείνου τότε τὰς Θηβαίων ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ᾽ ἀμφοτέροις καὶ δυναστεύοντος, οὐκ ἀδίκως, οὐδὲ παρ᾽ ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως.

Τύχη δέ τις, ὡς ἔοικε, δαιμόνιος ἐν περιφορᾷ πραγμάτων, εἰς ἐκεῖνο καιροῦ συμπεραίνουσα τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, ἐναντιοῦσθαι τοῖς πραττομένοις, καὶ πολλὰ σημεῖα τοῦ μέλλοντος ἀναφαίνειν, ἐν οἷς ἥ τε Πυθία δεινὰ προὔφαινε μαντεύματα, καὶ χρησμὸς ᾔδετο παλαιὸς ἐκ τῶν Σιβυλλείων,

Τῆς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευθε γενοίμην,
Αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.
Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλε.

τὸν δὲ Θερμώδοντα φασὶν εἶναι παρ᾽ ἡμῖν ἐν Χαιρωνείᾳ ποτάμιον μικρὸν εἰς τὸν Κηφισὸν ἐμβάλλον· ἡμεῖς δὲ νῦν μὲν οὐδὲν ἴσμεν οὕτω τῶν ῥευμάτων ὀνομαζόμενον, εἰκάζομεν δὲ τὸν καλούμενον Αἵμωνα, Θερμώδοντα λέγεσθαι τότε, καὶ παραῤῥεῖ παρὰ τὸ Ἡράκλειον, ὅπου κατεστρατοπέδευον οἱ Ἕλληνες· καὶ τεκμαιρόμεθα, τῆς μάχης γενομένης, αἵματος ἐμπλησθέντα καὶ νεκρῶν τὸν ποταμὸν, ταυτηνὶ διαλλάξαι τὴν προσηγορίαν. ὁ δὲ Δοῦρις οὐ ποταμὸν εἶναί φησι τὸν Θερμώδοντα, ἀλλ᾽ ἱστάντας τινὰς σκηνὴν καὶ περιορύττοντας, ἀνδριαντίσκον εὑρεῖν λίθινον ὑπὸ γραμμάτων τινῶν διασημαινόμενον, ὡς εἴη Θερμώδων,

ſtheni, non modo prætores Athenienſes dicto ei audientes, ſed & Bœotarchæ: concionibus ille præeſſet omnibus non ſecus tunc Thebanorum quam Athenienſium: charus erat enim utrobique, & dominabatur non immerito neque abs re, ut ait Theopompus, ſed optimo jure.

Atqui fatalis quædam fortuna, quæ converſione rerum in articulo definiebat Græciæ libertatem, videtur cœptis reluctata fuiſſe, multaque ſigna edidiſſe inſequentium: in quibus vaticinia Apollinis horrenda prænunciabant. Vetus etiam canebatur ex carminibus Sibyllinis oraculum,

Ad Thermodontem pugna cupio procul eſſe,
Atq; modo hanc aquilæ ex cœlo atq; e nube videre:
Flet victus, periit quoque cui victoria ceſſit.

Thermodontem aiunt apud nos Chæroneæ parvum amnem eſſe, qui in Cephiſum illabitur. Nos profluentem qui ita nominetur nullum hoc tempore novimus: conjicimus tamen eum qui nunc vocatur Hæmon, fuiſſe tunc Thermodontem dictum. Præterlabitur fanum Herculis, ubi caſtra Græci habuere. Ducimur autem conjectura, quum ſecundum prœlium cruore cadaveribuſque exundaſſet amnis, hoc nomen commutaſſe. Fluvium negat Duris Thermodontem eſſe: ſed quum tentorium quidam erigerent & foſſa cingerent, ſigillum eos reperiſſe marmoreum, cum inſcriptione, Thermodontem eſſe, qui ul-

μώδων, ἐν ταῖς ἀγκάλαις Ἀμαζόνα φέρων τετρωμένην. ἐπὶ τούτῳ χρησμὸν ἄλλον ᾄδεσθαι, λέγοντα,

Τὴν ἐπὶ Θερμώδοντι μάχην μένε παμμέλαν ὄρνι,
Τηνεί τοι κρέα πολλὰ παρέσσεται ἀνθρώποισι.

Ταῦτα μὲν οὖν ὅπως ἔχει διαιτῆσαι χαλεπόν. ὁ δὲ Δημοσθένης λέγεται τοῖς τῶν Ἑλλήνων ὅπλοις ἐκτεθαρρηκὼς, καὶ λαμπρῶς ὑπὸ ῥώμης καὶ προθυμίας ἀνδρῶν τοσούτων προκαλουμένων τοὺς πολεμίους αἰρόμενος, οὔτε χρησμοῖς ἐᾶν προσέχειν, οὔτε μαντείας ἀκούειν· ἀλλὰ καὶ τὴν Πυθίαν ὑπονοεῖν ὡς φιλιππίζουσαν, ἀναμιμνήσκων Ἐπαμινώνδου τοὺς Θηβαίους, καὶ Περικλέους τοὺς Ἀθηναίους, ὡς ἐκεῖνοι τὰ τοιαῦτα δειλίας ἡγούμενοι προφάσεις, ἐχρῶντο τοῖς λογισμοῖς. μέχρι μὲν οὖν τούτων ἀνὴρ ἦν ἀγαθός. ἐν δὲ τῇ μάχῃ καλὸν οὐδὲν οὐδ᾽ ὁμολογούμενον ἔργον οἷς εἶπεν ἀποδειξάμενος, ᾤχετο τὴν τάξιν ἀποδρὰς αἴσχιστα καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος, ὡς ἔλεγε Πυθέας, αἰσχυνθεὶς, ἐπιγεγραμμένης γράμμασι χρυσοῖς, Ἀγαθῇ τύχῃ. παραυτίκα μὲν οὖν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας, καὶ κωμάσας ἐπὶ τοὺς νεκροὺς μεθύων, ᾖδε τὴν ἀρχὴν τοῦ Δημοσθένους ψηφίσματος, πρὸς πόδα διαιρῶν καὶ ὑποκρούων,

Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ᾽ εἶπεν.

ἐκνήψας δὲ, καὶ τὸ μέγεθος τοῦ περιστάντος αὐτὸν ἀγῶνος ἐν νῷ λαβὼν, ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος, ἐν μέρει μικρῷ μιᾶς ἡμέρας τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος ἀναρρίψαι κίνδυνον ἀναγκασθεὶς ὑπ᾽ αὐτοῦ. διῖκτο δ᾽ ἡ δόξα μέχρι τοῦ Περσῶν βασιλέ-

ως.

ulnis ferebat ſauciam Amazonem. Hac de re aliud oraculum in hunc modum cani:

Ad Thermodontem pugnam exſpectes avis atra:
Corpora tunc hominum campo permulta jacebunt.

Verum quid hujus rei ſit, difficile exiſtimatu eſt. Demoſthenes autem fertur Græcorum fretus armis, atque mire ob vires & alacritatem tanti exercitus hoſtem laceſſentis elatus, non permiſiſſe ut oraculis moverentur aut attenderent vaticinia, immo vatem Delphicam dixiſſe ſuſpectam eſſe, ut quæ cum Philippo faceret: ſuggerens Epaminondam Thebanis, & Athenienſibus Periclem, quos viros iſta timiditatis ratos prætextum ſuis conſiliis eſſe uſos. Hactenus vir ille ſtrenuus fuit. In conflictu autem nihil præclari vel quod conſentaneum eſſet orationibus ſuis edidit: ſed cepit fugam turpiſſime deſerto ordine & armis abjectis, nec inſcriptionem, ut dixit Pytheas, veritus clypei, cui fuit literis inſcriptum aureis, Bona fortuna. At Philippus recenti exultans victoria, & vino gravis, cadaveribus inſultans, initium cecinit Demoſthenis plebiſciti, ad pedem attollens vocem & ſupplodens,

Demoſthenes Demoſthenis ſic cenſuit Pæanienſis.

Diſcuſſa vero crapula quum magnitudinem ſecum reputaſſet propoſiti periculi, horror eum perſtrinxit eloquentiæ & nervorum illius oratoris: qui in diei momento unius aleam ipſum jacere de imperio & vita compuliſſet. Nomen autem ejus ad regem uſque Perſarum

per-

ὡς. κἀκεῖνος ἔπεμψε τοῖς σατράπαις γράμματα, χρήματα Δημοσθένει διδόναι κελεύων καὶ προσέχειν ἐκείνῳ μάλιστα τῶν Ἑλλήνων, ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς τὸν Μακεδόνα. ταῦτα μὲν οὖν ὕστερον ἐφώρασεν Ἀλέξανδρος, ἐν Σάρδεσιν ἐπιστολὰς ἀνευρὼν τοῦ Δημοσθένους, καὶ γράμματα τῶν βασιλέως στρατηγῶν, δηλοῦντα τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων.

Τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γενομένης, οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες, ἐπεμβαίνοντες τῷ Δημοσθένει, κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ' αὐτόν· ὁ δὲ δῆμος οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει, καὶ προσκαλούμενος αὖθις ὡς εὔνουν εἰς τὴν πολιτείαν, ὥστε καὶ τῶν ὀστέων ἐκ Χαιρωνείας κομισθέντων, καὶ θαπτομένων, τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν, οὐ ταπεινῶς οὐδ' ἀγεννῶς φέρων τὸ συμβεβηκὸς, ὡς γράφει καὶ τραγῳδεῖ Θεόπομπος, ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον, ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις. τὸν μὲν οὖν λόγον εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ψηφίσμασιν οὐχ ἑαυτὸν, ἀλλὰ ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν, ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην, ἕως αὖθις ἀνεθάῤῥησε, Φιλίππου τελευτήσαντος. ἐτελεύτησε δὲ τῇ περὶ Χαιρώνειαν εὐτυχίᾳ χρόνον οὐ πολὺν ἐπιβιώσας. καὶ τοῦτο δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησμὸς ἀποθεσπίσαι,

Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλεν.

Ἔγνω

perlatum eſt: qui per literas ſatrapis imperavit pecuniam ut darent Demoſtheni, atque conſiliis ejus præ omnibus Græcis obtemperarent: quod tumultibus Græcorum diſtinere Macedonem & involvere valeret. Comperit hæc poſtea Alexander: qui epiſtolas quaſdam Demoſthenis, & Sardibus invenit ducum regiorum monumenta, quibus exprimebatur pecuniæ ei datæ ſumma.

Hac ictis clade Græcis, oratores qui diverſam ſectam in repub. ſequebantur, inſultantes Demoſtheni, quæſtiones & judicia ſtruebant ei: at populus non his modo exemit eum, ſed colere quoque non deſtitit, atque ad rempub. capeſſendam ut bonum civem revocavit. Itaque quum relata a Chæronea conderentur tumulo oſſa, permiſit Demoſtheni ut eos qui occubuerant, laudaret. Nec abjecto vel fracto animo tulit, ut ſcribit & exagitat Theopompus, caſum: ſed eo quod ut quum maxime honoraret & ornaret ſuaſorem, declaravit non pœnitere ſe illius conſiliorum. Ac Demoſthenes quidem eam orationem habuit. Plebiſcitis vero, quod averſaretur & pro inauſpicata haberet ſortem & fortunam ſuam, non ſuum ſed amicorum viciſſim perſcripſit nomen, dum exſtincto Philippo recepit animum. Neque enim diu fuit ab hac ad Chæroneam victoria ſuperſtes: id quod noviſſimo verſu videtur prænunciaſſe oraculum,

Flet victus, periit quoque cui victoria ceſſit.

Ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν ὁ Δημοσθένης. προκαταλαμβάνων δὲ τὸ θαρρεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους, προῆλθε φαιδρὸς εἰς τὴν βουλήν, ὡς ὄναρ ἑωρακὼς ἀφ᾽ οὗ τι μέγα προσδοκᾶν Ἀθηναίοις ἀγαθόν· καὶ μετ᾽ οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. εὐθὺς οὖν ἔθυον εὐαγγέλια, καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν. καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον ἐστεφανωμένος, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ, λοιδορῶν ἐπὶ τούτῳ, καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς, εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δ᾽ ἀλύπως φέρειν ταῦτα καὶ πρᾴως, ἀπεδοκίμαζεν. ἐγὼ δὲ, ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησαμένου πταίσασιν αὐτοῖς, στεφανηφορεῖν καλῶς, εἰ δὲ καὶ θύειν, οὐκ ἂν εἴποιμι· πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς, ζῶντα μὲν τιμᾶν καὶ ποιεῖσθαι πολίτην, πεσόντος δ᾽ ὑφ᾽ ἑτέρου, μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ᾽ ἐπισκιρτᾶν τῷ νεκρῷ καὶ παιωνίζειν, ὥσπερ αὐτοὺς ἀνδραγαθήσαντας. ὅτι μέντοι τὰς οἴκοι τύχας καὶ δάκρυα καὶ ὀδυρμοὺς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτ᾽ ἔπραττεν, ἐπαινῶ, καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν ἱστάμενον, καὶ τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων· οὓς ὁρῶμεν οὔτε κλαί-

Reſcivit autem clam mortem Philippi Demoſthenes. Præparans vero Athenienſes ad audendum in futurum, hilaris in curiam, ut ſi ſomnium vidiſſet ex quo ingens bonum exſpectandum eſſet populo Athenienſi, proceſſit: nec multo poſt adfuerunt de Philippi obitu nuncii. Læti nuncii cauſa, illico Diis honorem habuerunt, & coronam decreverunt Pauſaniæ. Demoſthenes vero prodiit ſplendide amictus & coronatus, ſeptimo die quam defuncta ejus filia eſſet, ut refert Æſchines: qui ei hoc exprobrat, odium incuſans liberorum, ipſe quum degener fuerit & effœminatus, ſi luctum & ejulatum lenis & pii fecit animi ſigna, eoſque qui moderate & placide ferant eos caſus, improbavit. Equidem ob necem eos regis, qui adeo cum ipſis victis in ſucceſſu rerum egit clementer & humaniter, ſumpſiſſe honeſte coronas, vel etiam Diis immortalibus immolaſſe, nequaquam dixerim. Eſt enim cum odio digni, tum imbecillis animi, venerari & civitate donare viventem, interfecto ab alio, non ferre modice gaudium, ſed inſultare in mortuum, &, quaſi præclaram ipſi rem geſſiſſent, triumphum canere. Quod vero domeſticas calamitates & lacrymas lamentationeſque fœminis reliquerit Demoſthenes, ac quæ cenſuit in publicum utilia, hæc egerit, id comprobo: exiſtimoque politici animi & fortis multo magis eum, qui ſemper reſpicit rempublicam, & privata incommoda perturbationeſque allevat negotiis publicis, tueri dignitatem, quam hiſtriones, qui perſonas regum agunt vel tyrannorum, quos in theatris

κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. χωρὶς δὲ τούτων, εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾷν ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον, ἀλλὰ καὶ λόγοις χρηστοῖς κουφίσουσι, καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν, ὥσπερεὶ τοὺς ὀφθαλμιῶντας, ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ χλωρὰ καὶ μαλακὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντας· πόθεν ἄν τις ἀπαγάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος ἀτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν ποριζόμενος τοῖς βελτίοσιν ἀφανίζουσαν τὰ χείρω; ταῦτα μὲν οὖν εἰπεῖν προήχθημεν, ὁρῶντες ἐπικλῶντα πολλοὺς καὶ ἀποθηλύνοντα τὸν Αἰσχίνην τῷ λόγῳ τούτῳ πρὸς οἶκτον.

Αἱ δὲ πόλεις, πάλιν τοῦ Δημοσθένους ἀναρριπίζοντος αὐτὰς, συνίσταντο· καὶ Θηβαῖοι μὲν ἐπέθεντο τῇ φρουρᾷ, καὶ πολλοὺς ἀνεῖλον, ὅπλα τοῦ Δημοσθένους αὐτοῖς παρασκευάσαντος· Ἀθηναῖοι δ' ὡς πολεμήσοντες μετ' αὐτῶν παρεσκευάζοντο. καὶ τὸ βῆμα κατεῖχεν ὁ Δημοσθένης, καὶ πρὸς τοὺς ἐν Ἀσίᾳ στρατηγοὺς τοῦ βασιλέως ἔγραφε, τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον Ἀλεξάνδρῳ, παῖδα καὶ μαργίτην ἀποκαλῶν αὐτόν. ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος, παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως εἰς τὴν Βοιωτίαν, ἐξεκέκοπτο μὲν ἡ θρασύτης τῶν Ἀθηναίων, καὶ ὁ Δημοσθένης ἀπεσβήκει· Θηβαῖοι δὲ προδοθέντες ὑπ' ἐκείνων, ἠγωνίσαντο καθ' αὑτοὺς, καὶ τὴν πόλιν ἀπέβαλον. θορύβου δὲ μεγάλου τοὺς Ἀθηναίους περιεστῶτος, ἀπεστάλη μὲν ὁ Δημοσθένης· αἱρεθεὶς δὲ μεθ' ἑτέρων πρεσβευτὴς πρὸς Ἀλέξανδρον, δείσας

δὲ

theatris nec plorantes pro libitu ſuo nec ridentes cernimus, ſed ut argumentum requirit fabulæ. Ad hæc ſi afflictus non eſt relinquendus, ut inopia conſolationis in mœrore contabeſcat, verum ſermone adhibenda allevatio, & mens ad jucundiora traducenda: perinde ut iis qui laborant oculis, ad virides colores & molles præſcribimus a ſplendidis & viſum ferientibus ut aciem convertant: undenam præſentiorem ſumas conſolationem, quam oppreſſa republica ex publicis miſeriis temperaturam privatarum quærendo, quæ lætioribus obruat triſtiora? Hæc ut diceremus impulſi ſumus, quod Æſchinem videamus ea oratione inflectere pleroſque & mollire ad commiſerationem.

Porro civitates iterum inflammatæ ab Demoſthene conſpiraverunt. Thebani, quum iis arma ſuppeditaſſet Demoſthenes, adorti præſidium, multos obtruncarunt: Athenienſes accingebant ſe ad jungenda cum iis ſocia arma: dominabatur in concionibus Demoſthenes, & ad regios in Aſia duces ſcripſit ad bellum inde Alexandro concitandum, puerum vocans & margitem, id eſt morionem. Poſtquam vero rebus domi compoſitis cum exercitu ille in Bœotiam movit, concidit ferocitas Athenienſium, obtorpuit Demoſthenes, Thebani ab his deſerti ſigna ſoli cum illo contulere, quorum fuit urbs expugnata. At Athenienſes ingenti circumventi perturbatione, inſtituerunt ad illum mittere Demoſthenem. Hic delectus cum aliis ad Alexandrum legatus, quod iram ejus formida-

δὲ τὴν ὀργὴν, ἐκ τοῦ Κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω, καὶ τὴν πρεσβείαν ἀφῆκεν. εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐζήτει πέμπων τῶν δημαγωγῶν δέκα μὲν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις εἰρήκασιν· ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε, Δημοσθένην, Πολύευκτον, Ἐφιάλτην, Λυκοῦργον, Μυροκλέα, Δάμωνα, Καλλισθένην, Χαρίδημον. ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ Δημοσθένης, ὃς τοῖς λύκοις τοὺς κύνας ἐξέδωκε, διηγησάμενος, αὐτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὐτῷ κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένοις, Ἀλέξανδρον δὲ τὸν Μακεδόνα, μονόλυκον προσηγόρευσεν. ἔτι δ' ὡς, ἔφη, τοὺς ἐμπόρους ὁρῶμεν ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὐτοὺς συνεκδιδόντες. ταῦτα μὲν οὖν Ἀριστόβουλος ὁ Κασανδρεὺς ἱστόρηκε. βουλευομένων δὲ τῶν Ἀθηναίων καὶ διαπορούντων, ὁ Δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν, ὡμολόγησε πρεσβεύσειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν· εἴτε τῇ φιλίᾳ πιστεύων, εἴτε προσδοκῶν μεστὸν εὑρήσειν, ὥσπερ λέοντα, φόνου κεκορεσμένον. ἔπεισε δ' οὖν καὶ παρῃτήσατο τοὺς ἄνδρας ὁ Δημάδης, καὶ διήλλαξεν αὐτῶν τὴν πόλιν.

Ἀπελθόντος δὲ Ἀλεξάνδρου, μεγάλοι μὲν ἦσαν οὗτοι, ταπεινὰ δ' ἔπραττεν ὁ Δημοσθένης. κινουμένῳ δὲ Ἄγιδι τῷ Σπαρτιάτῃ βραχέα συνεκινήθη πάλιν, εἶτ' ἔπτηξε, τῶν μὲν Ἀθηναίων οὐ συνεξαναστάντων, τοῦ δ' Ἄγιδος πεσόντος, καὶ τῶν Λακεδαιμονίων συντριβέντων. εἰσήχθη δὲ τότε καὶ ἡ περὶ τοῦ στεφάνου γραφὴ κατὰ Κτησιφῶντος, γραφεῖσα μὲν ἐπὶ Χαιρώνδου ἄρχοντος, μικρὸν ἐπάνω

daret, omiſſa legatione ex Cithærone retro domum eſt regreſſus. Extemplo depopoſcit per legatos Alexander ex oratoribus, ut Idomeneus & Duris tradidere, decem: ut plerique & probatiſſimi ſcriptores, octo hoſce, Demoſthenem, Polyeuctum, Ephialtem, Lycurgum, Myroclem, Damonem, Calliſthenem, Charidemum. Ibi fabulam Demoſthenes recenſuit de ovibus, quemadmodum lupis canes dediderunt: qua ſe ſocioſque canibus aſſimilavit pro populo propugnantibus, atque Alexandrum Macedonem unicum lupum appellavit. Adjecit etiam, ut mercatores videmus, quum in patella circumferunt ſpecimen, per grana tritici pauca magnum diſtrahentes numerum: ita una nobiſcum vos omnes, nec opinantes ipſi proditis. Hæc Ariſtobulus Caſſandreus ſcripta reliquit. Conſultantibus Athenienſibus neque expedientibus, Demades quinque talentorum ab illis mercede accepta, legatum obtulit ſe iturum & deprecatorem pro iis ad regem; ſive amicitia ejus fretus, ſive ſperans expletum ſe reperturum velut leonem cruore exſatiatum. Induxit regem, eripuitque illos Demades, ac reduxit cum eo in gratiam civitatem.

Poſt diſceſſum Alexandri, extollebantur hi: Demoſthenes abjectus agebat. Ad motum Agidis Lacedæmonii erexit de integro nonnihil caput: mox metu trepidavit quieſcentibus Athenienſibus, Agide cæſo & obtritis Lacedæmoniis. Hac tempeſtate contra Cteſiphontem judicium de corona conſtitutum eſt. Nomen ejus delatum fuit Chæronda archonte paulo ante cladem Chæro-

ἐπάνω τῶν Χαιρωνικῶν, κριθεῖσα δ' ὕστερον ἔτεσι δέκα ἐπ' Ἀριστοφῶντος, γενομένη δὲ, ὡς οὐδεμία τῶν δημοσίων, περιβόητος; διά τε τὴν δόξαν τῶν λεγόντων, καὶ τὴν τῶν δικαζόντων εὐγένειαν· οἳ τοῖς ἐλαύνουσι τὸν Δημοσθένη, τότε πλεῖστον δυναμένοις καὶ μακεδονίζουσιν, οὐ προήκαντο τὴν κατ' αὐτοῦ ψῆφον, ἀλλ' οὕτω λαμπρῶς ἀπέλυσαν, ὥστε τὸ πέμπτον μέρος τῶν ψήφων Αἰσχίνην μὴ μεταλαβεῖν. ἐκεῖνος μὲν οὖν εὐθὺς ἐκ τῆς πόλεως ᾤχετ' ἀπιὼν, καὶ περὶ Ῥόδον καὶ Ἰωνίαν σοφιστεύων κατεβίωσε.

Μετ' οὐ πολὺ δὲ Ἅρπαλος ἧκεν ἐξ Ἀσίας εἰς τὰς Ἀθήνας, ἀποδρὰς Ἀλέξανδρον, αὐτῷ τε τὰ πράγματα συνειδὼς πονηρὰ δι' ἀσωτίαν, κἀκεῖνον ἤδη χαλεπὸν ὄντα τοῖς φίλοις δεδοικώς. καταφυγόντος δὲ πρὸς τὸν δῆμον αὐτοῦ, καὶ μετὰ τῶν χρημάτων καὶ τῶν νεῶν αὐτὸν παραδιδόντος, οἱ μὲν ἄλλοι ῥήτορες εὐθὺς ἐποφθαλμιάσαντες πρὸς τὸν πλοῦτον, ἐβοήθουν, καὶ συνέπειθον τοὺς Ἀθηναίους δέχεσθαι καὶ σώζειν τὸν ἱκέτην. ὁ δὲ Δημοσθένης πρῶτον μὲν ἀπελαύνειν συνεβούλευε τὸν Ἅρπαλον, καὶ φυλάττεσθαι μὴ τὴν πόλιν ἐμβάλωσιν εἰς πόλεμον ἐξ οὐκ ἀναγκαίας καὶ ἀδίκου προφάσεως· ἡμέραις δ' ὀλίγαις ὕστερον ἐξεταζομένων τῶν χρημάτων, ἰδὼν αὐτὸν ὁ Ἅρπαλος ἡσθέντα βασιλικῇ κύλικι, καὶ καταμανθάνοντα τὴν τορείαν καὶ τὸ εἶδος, ἐκέλευσε διαβαστάσαντα, τὴν ὁλκὴν τοῦ χρυσίου σκέψασθαι. θαυμάσαντος δὲ τοῦ Δημοσθένους τὸ βάρος, καὶ πυθομένου πόσον ἄγει, μειδιάσας ὁ Ἅρπαλος, ἄξει σοι, φησὶν, εἴκοσι τάλαντα· καὶ γενομένης τάχιστα τῆς νυκτὸς, ἔπεμψεν αὐτῷ τὴν κύλικα μετὰ τῶν εἴκοσι ταλάντων. ἦν δ' ἄρα δεινὸς ὁ Ἅρπαλος ἐρω-

ronenſem, judicatum decem annis poſt, archonte Ariſtophonte. Fuit hoc judicium ut aliud publicum nullum celebratum, qua oratorum fama qua judicum fortitudine. Qui, quum accuſatores Demoſthenis plurimum id temporis pollerent, Macedonibuſque ſtuderent, non condonaverunt iis Demoſthenis caput: ſed ita ſplendide abſolverunt, ut minus quinta quaque ſententia ſecundum Æſchinem judicaretur. Ille confeſtim ceſſit urbe, Rhodique atque in Ionia ludum habuit, ibique ætatem exegit.

Brevi poſt Harpalus, qui & male ſibi ex luxu conſcius, & Alexandrum jam terribilem amicis tremens, profugit eum, ex Aſia delatus Athenas eſt. Huic ad populum confugienti, ſeque in fidem ejus cum pecunia & navibus permittenti, cæteri oratores auro oculos adjicientes præſto fuerunt, conſulueruntque populo ut ſupplicem reciperet ac tutaretur. Demoſthenes ſuaſit primum Harpalum ut abigerent, caverentque ne ullo neceſſario aut juſto prætextu civitatem implicarent bello: inde paucis diebus quum recenſerentur divitiæ, conſpicatus delectatum calice regio Harpalus, cælaturamque conſiderantem & ſpeciem, juſſit ut manibus eum tractaret, & libramentum penſaret auri. Admirante pondus Demoſthene, atque quantum penderet, requirente, arridens, Pendet, inquit Harpalus, viginti talenta. Mox inſequente nocte calicem ei cum viginti talentis miſit. Acute autem Harpalus ex obtu-

ἐρωτικοῦ πρὸς χρυσίον ἀνδρὸς ὄψιν, καὶ διαχύσει καὶ βολαῖς ὀμμάτων ἀνευρεῖν ἦθος. οὐ γὰρ ἀντέσχεν ὁ Δημοσθένης, ἀλλὰ πληγεὶς ὑπὸ τῆς δωροδοκίας, ὥσπερ παραδεδεγμένος φρουρὰν, προσκεχωρήκει τῷ Ἁρπάλῳ. καὶ μεθ' ἡμέραν εὖ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου κατελιξάμενος, εἰς τὴν ἐκκλησίαν προῆλθε· καὶ κελευόντων ἀναστῆναι καὶ λέγειν, διένευεν ὡς ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς. οἱ δ' εὐφυεῖς χλευάζοντες, οὐκ ὑπὸ συνάγχης ἔφραζον, ἀλλὰ ἀπ' ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν. ὕστερον δὲ τοῦ δήμου παντὸς αἰσθομένου τὴν δωροδοκίαν, καὶ βουλομένου ἀπολογεῖσθαι καὶ πείθειν, οὐκ ἐῶντος, ἀλλὰ χαλεπαίνοντος καὶ θορυβοῦντος, ἀναστάς τις ἔσκωψεν, εἰπὼν, Οὐκ ἀκούσεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦ τὴν κύλικα ἔχοντος; τότε μὲν οὖν ἀπέπεμψαν ἐκ τῆς πόλεως τὸν Ἅρπαλον· δεδιότες δὲ μὴ λόγον ἀπαιτῶνται χρημάτων ὧν διηρπάκεσαν οἱ ῥήτορες, ζήτησιν ἐποιοῦντο νεανικὴν, καὶ τὰς οἰκίας ἐπιόντες ἠρεύνων, πλὴν τῆς Καλλικλέους τοῦ Ἀῤῥενίδου. μόνην γὰρ τὴν τούτου νεωστὶ γεγαμηκότος οὐκ εἴασαν ἐλεγχθῆναι, νύμφης ἔνδον οὔσης, ὡς ἱστορεῖ Θεόπομπος.

Ὁ δὲ Δημοσθένης ὁμόσε χωρῶν, εἰσήνεγκε ψήφισμα, τὴν ἐξ Ἀρείου πάγου βουλὴν ἐξετάσαι τὸ πρᾶγμα, καὶ τοὺς ἐκείνῃ δόξαντας ἀδικεῖν, δοῦναι δίκην. ἐν δὲ πρώτοις αὐτοῦ τῆς βουλῆς ἐκείνου καταψηφισαμένης, εἰσῆλθε μὲν εἰς τὸ δικαστήριον, ὄφλων δὲ πεντήκοντα ταλάντων δίκην, καὶ παραδοθεὶς εἰς τὸ δεσμωτήριον, αἰσχύνῃ τῆς αἰτίας, φασὶ, καὶ δι' ἀσθένειαν τοῦ σώματος, οὐ δυνάμενος φέρειν τὸν εἱργμὸν, ἀποδρᾶναι, τοὺς μὲν λαθόντα, τῶν δὲ λαθεῖν ἐξουσίαν

tutu, fronte exporrecta, conjectu oculorum, notavit cupidi auri hominis ingenium. Neque enim reſtitit Demoſthenes, ſed ictus munere, ut ſi præſidium recepiſſet, adjunxit ſe Harpalo. Poſtridie collo lana & faſciis diligenter obligato in concionem progreſſus, quum excitaretur ad dicendum, nutu oſtendit præcluſam ſibi vocem eſſe. Ibi homines faceti cavillantes, non angina dixerunt, ſed argentangina oratorem nocte correptum. Poſt ubi univerſus populus donis ſenſit labefactatum, purgareque ſe parantem atque placare ipſum non audivit, ſed obſtrepuit infenſus: exſurgens quidam ſalſe ait, Non audietis Athenienſes iſtum, qui manu calicem tenet? Harpalum autem urbe extemplo interdixerunt: ac veriti ne rationem reddere cogerentur pecuniæ, quam ceperant oratores, quæſtionem accurate habuerunt, domoſque perſcrutati ſunt, præterquam Calliclis filii Arrenidæ. Unum hujus domicilium, ut autor eſt Theopompus, quod nuper uxorem domum duxiſſet, ſponſæ cauſa quæ intus erat, non permiſerunt excuti.

At Demoſthenes re diſſimulata plebiſcitum ſcripſit, ut curia Areopagi hac de re quæreret, & quos judicaret illa hujus affines culpæ, ut punirentur. Quum a conſilio imprimis eſſet ille ipſe damnatus, ſtitit quidem ſe judicio: verum lite quinquaginta talentis æſtimata, quum conjectus in vincula eſſet, ob pudorem criminis & valetudinis infirmitatem imparem carceri ferendo aiunt fugæ conſuluiſſe, nonnullis inſciis, aliis ad tegendam fugam

ἐξουσίαν δόντων. λέγεται γοῦν ὡς οὐ μακρὰν τοῦ ἄστεος φεύγων, αἴσθοιτό τινας τῶν διαφόρων αὐτῷ πολιτῶν ἐπιδιώκοντας, καὶ βούλοιτο μὲν αὐτὸν ἀποκρύπτειν· ὡς δ' ἐκεῖνοι φθεγξάμενοι τοὔνομα, καὶ προσελθόντες ἐγγὺς, ἐδέοντο λαβεῖν ἐφόδια παρ' αὐτῶν, ἐπ' αὐτὸ τοῦτο κομίζοντες ἀργύριον οἴκοθεν, καὶ τούτου χάριν ἐπιδιώξαντες αὐτῷ, ἅμα δὲ θαρρεῖν παρεκάλουν, καὶ μὴ φέρειν ἀνιαρῶς τὸ συμβεβηκός· ἔτι μᾶλλον ἀνακλαύσασθαι τὸν Δημοσθένη, καὶ εἰπεῖν, Πῶς δ' οὐ μέλλω φέρειν βαρέως, ἀπολιπὼν πόλιν ἐχθροὺς τοιούτους ἔχουσαν, οἵους ἐν ἑτέρᾳ φίλους εὑρεῖν οὐ ῥᾴδιόν ἐστιν; ἤνεγκε δὲ τὴν φυγὴν μαλακῶς, ἐν Αἰγίνῃ καὶ Τροιζῆνι καθεζόμενος τὰ πολλά· καὶ πρὸς τὴν Ἀττικὴν ἀποβλέπων δεδακρυμένος, ὥστε φωνὰς οὐκ εὐγνώμονας οὐδ' ὁμολογούσας τοῖς ἐν τῇ πολιτείᾳ νεανιεύμασιν ἀπομνημονεύεσθαι. λέγεται γὰρ ἐκ τοῦ ἄστεος ἀπαλλαττόμενος, καὶ πρὸς τὴν ἀκρόπολιν ἀνατείνας τὰς χεῖρας εἰπεῖν, Ὦ δέσποινα πολιὰς, τί δὴ τρισὶ τοῖς χαλεπωτάτοις χαίρεις θηρίοις, γλαυκὶ καὶ δράκοντι καὶ δήμῳ; τοὺς δὲ προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας, λέγων, ὡς εἰ δυοῖν προκειμένων ὁδῶν ἀπ' ἀρχῆς, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ ἐκκλησίαν, τῆς δ' ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανε δὲ προειδὼς τὰ κατὰ τὴν πολιτείαν κακὰ, φόβους καὶ φθόνους, καὶ διαβολὰς, καὶ ἀγῶνας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν.

Ἀλλὰ γὰρ ἔτι φεύγοντος αὐτοῦ τὴν εἰρημένην φυγὴν, Ἀλέξανδρος μὲν ἐτελεύτησε, τὰ δ' Ἑλληνικὰ συνίσταντο πάλιν, Λεοσθένους ἀνδραγαθοῦντος,

καὶ

gam adjuvantibus. Quum non procul urbe profugiſſet, ferunt percipientem aliquot cives ex adverſariis, qui ipſum perſequebantur, quæſiviſſe latebras: cæterum quum illi nomine eum compellaſſent, & prope congreſſi petiiſſent viaticum ut acciperet ab ſe, (in id enim attuliſſe domo ſe pecuniam, atque ejus rei gratia inſequutos ipſum) confirmarentque ac monerent ne caſum ferret acerbe: in majorem erupiſſe lamentationem, ac dixiſſe Demoſthenem, Qui valeam non graviter ferre, qui reliqui urbem ubi tales habeam inimicos, quales non promptum ſit invenire in alia amicos? Tulit exilium imbecilli animo. Æginæ & Trœzene fere ſedens Atticam lacrymis oppletus reſpectabat. Voces etiam parum generoſæ neque magnificis ejus in tractanda republica auſis commemorantur conſentaneæ. Fertur urbe excedens porrectis ad arcem manibus dixiſſe, O domina Minerva, quid beſtiis tribus teterrimis delectaris, noctua, dracone, & populo? Illos qui viſebant ſe & agebant ſecum, deterruit a republica adoleſcentes. Dixit enim, ſi duabus propoſitis ab initio viis, una quæ ad ſuggeſtum & concionem duceret, altera recta ad perniciem, impendentia autem in republica mala providiſſet, terrores, invidias, calumnias, concertationes: in eam ſeſe quæ ad præſentem ferret peſtem, præcipitaturum fuiſſe.

Sed enim quum adhuc in eo de quo diximus eſſet exilio, deceſſit Alexander, ac Græcia denuo conſpiravit, Leoſthene præclaras res

καὶ περιτειχίζοντος Ἀντίπατρον ἐν Λαμίᾳ πολιορκούμενον. Πυθέας μὲν οὖν ὁ ῥήτωρ καὶ Καλλιμέδων ὁ Κάραβος, ἐξ Ἀθηνῶν φεύγοντες, Ἀντιπάτρῳ προσεγένοντο, καὶ μετὰ τῶν ἐκείνου φίλων καὶ πρέσβεων περιιόντες οὐκ εἴων ἀφίστασθαι τοὺς Ἕλληνας, οὐδὲ προσέχειν τοῖς Ἀθηναίοις. Δημοσθένης δὲ τοῖς ἐξ ἄστεος πρεσβεύουσι προσμίξας ἑαυτὸν, ἠγωνίζετο καὶ συνέπραττεν ὅπως αἱ πόλεις συνεπιθήσονται τοῖς Μακεδόσι, καὶ συνεκβαλοῦσιν αὐτοὺς τῆς Ἑλλάδος. ἐν δ' Ἀρκαδίᾳ καὶ λοιδορίαν τοῦ Πυθέου καὶ τοῦ Δημοσθένους γενέσθαι πρὸς ἀλλήλους εἴρηκεν ὁ Φύλαρχος, ἐν ἐκκλησίᾳ τοῦ μὲν ὑπὲρ τῶν Μακεδόνων, τοῦ δ' ὑπὲρ τῶν Ἑλλήνων λέγοντος. λέγεται δὲ τὸν μὲν Πυθέαν εἰπεῖν, ὅτι καθάπερ οἰκίαν, εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω καὶ πόλιν ἀνάγκη νοσεῖν εἰς ἣν Ἀθηναίων πρεσβεία παραγίνεται· τὸν δὲ Δημοσθένη στρέψαι τὸ παράδειγμα, φήσαντα καὶ τὸ γάλα τὸ ὄνειον ἐφ' ὑγείᾳ, καὶ τοὺς Ἀθηναίους παραγίνεσθαι ἐπὶ σωτηρίᾳ τῶν νοσούντων. ἐφ' οἷς ἡσθεὶς ὁ τῶν Ἀθηναίων δῆμος, ψηφίζεται τῷ Δημοσθένει κάθοδον. τὸ μὲν οὖν ψήφισμα Δήμων ὁ Παιανιεὺς ἀνεψιὸς ὢν Δημοσθένους εἰσήνεγκεν. ἐπέμφθη δὲ τριήρης ἐπ' αὐτὸν εἰς Αἴγιναν. ἐκ δὲ Πειραιῶς ἀνέβαινεν, οὔτε ἄρχοντος, οὔτε ἱερέως ἀπολειφθέντος, ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν ὁμοῦ πάντων ἀπαντώντων καὶ δεχομένων προθύμως. ὅτε καί φησιν αὐτὸν ὁ Μάγνης Δημήτριος ἀνατείναντα τὰς χεῖρας μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὐτὸν, ὡς βέλτιον Ἀλκιβιάδου κατιόντα· πεπεισμένους γὰρ οὐ βεβιασμένους ὑπ' αὐτοῦ δέχεσθαι τοὺς πολίτας.

res gerente, Antipatrumque Lamiæ obſidente atque muro circumvallante. Pytheas autem orator & Callimedon Carabus, Athenis profugi, contulerunt ſe ad Antipatrum: qui cum hujus amicis & legatis circumibant Græciam, hortantes ne deſciſcerent neu Athenienſes ſequerentur. Demoſthenes vero legatis Athenienſium aſſocians ſe, conatus eorum adjuvit, inſtititque una quo civitates conjunctis viribus Macedonas adorirentur & exigerent Græcia. In Arcadia Pytheam & Demoſthenem memorat Phylarchus, dum hic pro Græcis, ille verba facit pro Macedonibus, ad mutua progreſſos convitia fuiſſe. Perhibetur Pytheas dixiſſe, ut domum in quam lac aſininum infertur, omnino laborare aliquo morbo arbitramur: ita urbs non poſſe fieri quin ægrotet quam legatio adiret Athenienſium: Demoſthenem vero retorſiſſe exemplum hiſce verbis, & lac aſininum ad ſanitatem inferri, & ad ſalutem ægrotantium adeſſe Athenienſes. Quibus populus Athenienſis captus, ſcivit Demoſtheni reditum. Id plebiſcitum Demon Pæanienſis, Demoſthenis fratris filius, rogavit. Miſerunt Æginam ad eum triremem. Ex Piræo ſcandens in urbem, univerſa civitate, ut ne archon quidem vel ſacerdos domi remaneret, obviam effuſa lætis animis exceptus eſt. Quo tempore eum ait Demetrius Magneſius, ſublatis manibus gratulatum de illo die ſibi, quod ſuus quam Alcibiadis præclarior foret reditus: benevolentia enim adductos, non compulſos ab ſe vi, cives ſe excipere.

Quum

τας. τῆς δὲ χρηματικῆς ζημίας αὐτῷ μενούσης (οὐ γὰρ ἐξῆν χάριτι λῦσαι καταδίκην) ἐσοφίζοντο πρὸς τὸν νόμον. εἰωθότες γὰρ ἐν τῇ θυσίᾳ τοῦ Διὸς τοῦ σωτῆρος ἀργύριον τελεῖν τοῖς κατασκευάζουσι καὶ κοσμοῦσι τὸν βωμὸν, ἐκείνῳ τότε ταῦτα ποιῆσαι καὶ παρασχεῖν πεντήκοντα ταλάντων ἐξέδωκαν, ὅπερ ἦν τίμημα τῆς καταδίκης.

Οὐ μὴν ἐπὶ πολὺν χρόνον ἀπέλαυσε τῆς πατρίδος κατελθὼν, ἀλλὰ ταχὺ τῶν Ἑλληνικῶν πραγμάτων συντριβέντων, Μεταγειτνιῶνος μὲν ἡ περὶ Κρανῶνα μάχη συνέπεσε, Βοηδρομιῶνος δὲ παρῆλθεν εἰς Μουνυχίαν ἡ φρουρὰ, Πυανεψιῶνος δὲ Δημοσθένης ἀπέθανε τόνδε τὸν τρόπον. ὡς Ἀντίπατρος καὶ Κρατερὸς ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς Ἀθήνας, οἱ μὲν περὶ τὸν Δημοσθένη φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως, ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω, Δημάδου γράψαντος. ἄλλων δ' ἀλλαχοῦ διασπαρέντων, ὁ Ἀντίπατρος περιέπεμπε τοὺς συλλαμβάνοντας, ὧν ἡγεμὼν ἦν Ἀρχίας ὁ κληθεὶς Φυγαδοθήρας. τοῦτον δὲ, Θούριον ὄντα τῷ γένει, λόγος ἔχει τραγῳδίας ὑποκρίνεσθαι ποτὲ, καὶ τὸν Αἰγινήτην Πῶλον, τὸν ὑπερβαλόντα τῇ τέχνῃ πάντας, ἐκείνου γεγονέναι μαθητὴν ἱστοροῦσιν. Ἕρμιππος δὲ τὸν Ἀρχίαν ἐν τοῖς Λακρίτου τοῦ ῥήτορος μαθητὴν ἀναγράφει· Δημήτριος δὲ τῆς Ἀναξιμένους διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν. οὗτος οὖν ὁ Ἀρχίας Ὑπερείδην μὲν τὸν ῥήτορα, καὶ Ἀριστόνικον τὸν Μαραθώνιον, καὶ τὸν Δημητρίου τοῦ Φαληρέως ἀδελφὸν Ἱμεραῖον ἐν Αἰγίνῃ καταφυγόντας ἐπὶ τὸ Αἰάκειον ἀποσπάσας, ἔπεμψεν εἰς Κλεωνὰς πρὸς Ἀντίπατρον· κἀκεῖ διεφθάρησαν. Ὑπερείδου δὲ καὶ τὴν γλῶτταν ἐκτμηθῆναι λέγουσι. Τὸν

Quum vero mulcta pecuniaria diſtrictus maneret, (neque enim gratis jus erat eam remittere) hoc modo eluſerunt legem. Morem habebant ut in Jovis ſervatoris ſacrificio ei qui aram inſtrueret & adornaret, argentum penderent. Hoc munus & illa præbenda Demoſtheni locaverunt quinquaginta talentis: quanti lis fuerat ei æſtimata.

Non licuit ei tamen a reditu diu frui patria, ſed convulſis illico Græcorum cœptis, menſe Munychione pugnatum apud Cranona eſt, Boedromione impoſitum Munychiæ præſidium, Pyanepſione interiit ad hunc modum Demoſthenes. Quum allatum eſſet Antipatrum & Craterum contendere Athenas, Demoſthenes cum ſuis occupaverunt clam urbe excedere. Eos populus ex Demadis rogatione rei capitalis damnavit. Aliis alio dilapſis, circummiſit ad eos arripiendos Antipater ſatellites: quorum fuit Archias dux, quem Phygadotheram, quaſi exulum venatorem, appellabant. Hunc Thurium origine fama tenet tragœdias aliquando actitaſſe, atque Æginetam Polum, qui arte ſuperavit omnes, illius tradunt diſcipulum fuiſſe. Hermippus Archiam, inter Lacriti oratoris auditores recenſet. Demetrius operam dediſſe ſcribit eum Anaximeni. Hic igitur Archias Hyperidem oratorem, Ariſtonicum Marathonium, & Demetrii Phalerei fratrem Himeræum, ex Ajacis fano, quo Æginæ confugerant, extractos, Cleonas miſit ad Antipatrum, ubi interfecti ſunt. Hyperidi linguam quoque tradunt exciſam.

 Ad

Τὸν δὲ Δημοσθένην πυθόμενος ἱκέτην ἐν Καλαβείᾳ ἐν τῷ ἱερῷ Ποσειδῶνος καθέζεσθαι, διαπλεύσας ὑπηρετικοῖς, καὶ ἀποβὰς μετὰ Θρᾳκῶν δορυφόρων, ἔπειθεν ἀναστάντα βαδίζειν μετ' αὐτοῦ πρὸς Ἀντίπατρον, ὡς δυσχερὲς πεισόμενον οὐδέν. ὁ δὲ Δημοσθένης ἐτύγχανεν ὄψιν ἑωρακὼς κατὰ τοὺς ὕπνους ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ Ἀρχίᾳ τραγῳδίαν ὑποκρινόμενος· εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον, ἐνδείᾳ παρασκευῆς καὶ χορηγίας κρατεῖσθαι. διὸ τοῦ Ἀρχίου πολλὰ φιλάνθρωπα διαλεχθέντος, ἀναβλέψας πρὸς αὐτόν, ὥσπερ ἐτύγχανε καθήμενος, ὦ Ἀρχία, εἶπεν, οὔτε ὑποκρινόμενός με ἔπεισας πώποτε, οὔτε νῦν πείσεις ἐπαγγελλόμενος. ἀρξαμένου δ' ἀπειλεῖν τοῦ Ἀρχίου μετ' ὀργῆς, νῦν, ἔφη, λέγεις τὰ ἐκ τοῦ Μακεδονικοῦ τρίποδος, ἄρτι δὲ ὑπεκρίνου. μικρὸν οὖν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι. καὶ ταῦτ' εἰπών, ἐντὸς ἀνεχώρησε τοῦ ναοῦ· καὶ λαβὼν βιβλίον, ὡς γράφειν μέλλων, προσήνεγκε τῷ στόματι τὸν κάλαμον, καὶ δακών, ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέσχεν, εἶτα συγκαλυψάμενος ἀπέκλινε τὴν κεφαλήν. οἱ μὲν οὖν παρὰ τὰς θύρας ἑστῶτες δορυφόροι, κατεγέλων ὡς ἀποδειλιῶντος αὐτοῦ, καὶ μαλακὸν ἐκάλουν καὶ ἄνανδρον· ὁ δ' Ἀρχίας προσελθὼν ἀνίστασθαι παρεκάλει, καὶ τοὺς αὐτοὺς ἀνακυκλῶν λόγους, αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν Ἀντίπατρον. ἤδη δὲ συνῃσθημένος ὁ Δημοσθένης ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατοῦντος, ἐξεκαλύψατο· καὶ διαβλέψας πρὸς τὸν Ἀρχίαν, οὐκ ἂν φθάνοις, εἶπεν, ἤδη τὸν ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος Κρέοντα, καὶ τὸ σῶμα τοῦτο ῥίπτων ἄταφον. ἐγὼ δ',

ὦ

Ad Demoſthenem, quem in Calauria ſedere ſupplicem in delubro Neptuni acceperat, navigiis actuariis eo trajecit. Ut deſcendit cum Thracibus ſatellitibus, inſtitit ei ſuadere ut ſurgeret, ac ſecum pergeret ad Antipatrum, quod nihil ei gravius metuendum eſſet. Inſomnium Demoſthenes illa nocte novum habuerat. Viſus eſt ſibi tragœdiam agere, & adverſus Archiam certare: quanquam autem placeret & delectaret ſpectatores, apparatus eſſe tamen & ſumptus inopia inferior. Itaque quum multa Archias benigna verba adferret ei, ſuſpiciens ut ſedebat in illum, Nec hiſtrio, inquit, Archia, me moviſti unquam, nec nunc movebis promiſſor. Quo mox ad bilem & minas converſo, Nunc oracula, inquit, edis Macedonica, modo mimum agebas: ſuſtine autem quæſo parumper, dum nonnihil domum ſcribam. Sic fatus, receſſit in interiora templi. Sumpto libello ſicut ſcripturus, calamum ori admovit: quem mordens, ut in cogitando & ſcribendo aſſueverat, aliquantum temporis ita calamum tenuit, tum caput obvolutum reclinavit. Stipatores qui ad fores ſtabant, riſerunt eum velut ignavum, mollemque & effœminatum vocaverunt. Archias accedens ad illum, hortatus eum eſt ut ſurgeret, atque eoſdem iterans ſermones, reditum in gratiam oſtendit ei cum Antipatro. Jam ſentiebat Demoſthenes vim veneni præcordia penetraſſe. Tum aperto capite & intentis in Archiam oculis, Fac jam, inquit, agas ex tragœdia Creontem, corpuſque hoc abjicias inhumatum. Ego vero

ſ

optime

ὦ φίλε Πόσειδον, ἔτι ζῶν ἐξανίσαμαι τοῦ ἱεροῦ· τῷ δὲ Ἀντιπάτρῳ καὶ Μακεδόσιν οὐδ' ὁ σὸς ναὸς καθαρὸς ἀπολέλειπται. ταῦτ' εἰπὼν, καὶ κελεύσας ὑπολαβεῖν αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον, ἅμα τῷ προελθεῖν καὶ παραλλάξαι τὸν βωμὸν ἔπεσε, καὶ στενάξας ἀφῆκε τὴν ψυχήν.

Τὸ δὲ φάρμακον Ἀρίστων μὲν ἐκ τοῦ καλάμου λαβεῖν φησὶν αὐτὸν, ὡς εἴρηται. Πάππος δέ τις, οὗ τὴν ἱστορίαν Ἕρμιππος ἀνείληφε, φησὶ πεσόντος αὐτοῦ παρὰ τὸν βωμὸν, ἐν μὲν τῷ βιβλίῳ γεγραμμένης ἐπιστολῆς ἀρχὴν εὑρεθῆναι, Δημοσθένης Ἀντιπάτρῳ, καὶ μηδὲν ἄλλο. θαυμαζομένης δὲ τῆς περὶ τὸν θάνατον ὀξύτητος, διηγεῖσθαι τοὺς παρὰ ταῖς θύραις Θρᾷκας, ὡς ἔκ τινος ῥακίου λαβὼν εἰς τὴν χεῖρα, προσθοῖτο τῷ στόματι καὶ καταπίοι τὸ φάρμακον· αὐτοὶ δ' ἄρα χρυσὸν ᾠήθησαν εἶναι τὸ καταπινόμενον. ἡ δ' ὑπηρετοῦσα παιδίσκη, πυνθανομένων τῶν περὶ τὸν Ἀρχίαν, φαίη πολὺν εἶναι χρόνον ἐξ οὗ φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ Δημοσθένης ὡς φυλακτήριον. Ἐρατοσθένης δὲ καὶ αὐτὸς ἐν κρίκῳ φησὶ κοίλῳ τὸ φάρμακον φυλάσσειν· τὸν δὲ κρίκον εἶναι τοῦτον αὐτῷ φόρημα περιβραχιόνιον. τῶν δ' ἄλλων ὅσοι γεγράφασι περὶ αὐτοῦ, πάμπολλοι δέ εἰσι, τὰς διαφορὰς οὐκ ἀναγκαῖον ἐπεξελθεῖν· πλὴν ὅτι Δημοχάρης, ὁ τοῦ Δημοσθένους οἰκεῖος, οἴεσθαί φησιν αὐτὸν οὐχ ὑπὸ φαρμάκου, θεῶν δὲ τιμῇ καὶ προνοίᾳ τῆς Μακεδόνων ὠμότητος ἐξαρπαγῆναι, συντόμως καταστρέψαντα καὶ ἀλύπως. κατέστρεψε δὲ ἕκτῃ ἐπὶ δέκα τοῦ Πυανεψιῶνος μηνὸς, ἐν ᾗ τὴν σκυθρωποτάτην τῶν θεσμοφορίων ἡμέραν ἄγουσαι παρὰ τῇ θεῷ νηστεύουσιν αἱ γυναῖκες. τούτῳ μὲν ὀλίγον ὕστερον

optime Neptune tuo templo ſpirans adhuc excedo: Antipater & Macedones ne ædem quidem tuam reliquerunt inviolatam. Sic fatus, quum juſſiſſet ut trementem jam ſe & labentem ſuſtinerent, ſimul quum progrederetur & præteriret aram, concidit, miſſoque ſuſpirio efflavit animam.

Venenum ſcribit eum Ariſto ex calamo, ut dictum eſt, ſumpſiſſe: Pappus quidam, cujus hiſtoriam conſarcinavit Hermippus, refert, quum prolapſus ille apud aram eſſet, repertum in libello initium ſcriptum epiſtolæ, Demoſthenes Antipatro; præterea nihil. Quum celeritas mortis miraculo eſſet, narraſſe eos qui ad valvas ſtabant Thraces, ex panniculo ſumpſiſſe, manuque admotum ori venenum deglutiiſſe, ſe vero quod deglutiret, aurum ratos. At puellam quæ ei miniſtrabat, quærenti Archiæ, diu eſſe dixiſſe quum hoc alligatum pro amuleto tuliſſet Demoſthenes. Ipſe quoque Eratoſthenes in cavo eum annulo refert venenum habuiſſe: hunc annulum pro brachiali eum geſtaſſe. Reliquorum qui de eo ſcripſerunt (ſunt autem multi) nihil refert diſſenſiones exequi, niſi quod Demoſthenis familiaris arbitrari ſe dicat Democharis, non vi medicamenti, ſed Deorum beneficio & providentia Macedonum immanitati fuiſſe repentina morte & leni ereptum. Deceſſit decimo ſexto die menſis Pyanepſionis, quem diem ſacris Cereris triſtiſſimum agentes in templo Deæ, jejunant fœminæ. Ei paulo poſt popu-

ὕστερον ὁ τῶν Ἀθηναίων δῆμος ἀξίαν ἀποδιδοὺς τιμὴν, εἰκόνα τε χαλκῆν ἀνέστησε, καὶ τὸν πρεσβύτατον ἐψηφίσατο τῶν ἀπὸ τοῦ γένους ἐν Πρυτανείῳ σίτησιν ἔχειν. καὶ τὸ ἐπίγραμμα τὸ θρυλλούμενον ἐπεγράφη τῇ βάσει τοῦ ἀνδριάντος,

Εἴπερ ἴσην ῥώμην γνώμῃ Δημόσθενες εἶχες,
Οὔποτ' ἂν Ἑλλήνων ἦρξεν ἄρης Μακεδών.

οἱ γὰρ αὐτὸν τὸν Δημοσθένην τοῦτο ποιῆσαι λέγοντες ἐν Καλαβρείᾳ, μέλλοντα τὸ φάρμακον προσφέρεσθαι, κομιδῇ φλυαροῦσι.

Μικρὸν δὲ πρόσθεν ἢ παραβαλεῖν ἡμᾶς Ἀθήναζε, λέγεταί τι τοιοῦτον συμβῆναι. στρατιώτης ἐπὶ κρίσιν τινὰ καλούμενος ὑφ' ἡγεμόνος, ὅσον εἶχε χρυσίδιον εἰς τὰς χεῖρας ἀνέθηκε τοῦ ἀνδριάντος. ἕστηκε δὲ τοὺς δακτύλους συνέχων δι' ἀλλήλων, καὶ παραπέφυκεν οὐ μεγάλη πλάτανος. ἀπὸ ταύτης πολλὰ τῶν φύλλων, εἴτε πνεύματος ἐκ τύχης καταβαλόντος, εἴτ' αὐτὸς οὕτως ὁ θεὶς ἐκάλυψε, περικείμενα καὶ συμπεσόντα λαθεῖν ἐποίησε τὸ χρυσίον οὐκ ὀλίγον χρόνον. ὡς δ' ὁ ἄνθρωπος ἐπανελθὼν ἀνεῦρε, καὶ διεδόθη λόγος ὑπὲρ τούτου, πολλοὶ τῶν εὐφυῶν ὑπόθεσιν λαβόντες εἰς τὸ ἀδωροδόκητον τοῦ Δημοσθένους, διημιλλῶντο τοῖς ἐπιγράμμασι. Δημάδην δὲ χρόνον οὐ πολὺν ἀπολαύσαντα τῆς φυομένης δόξης ἡ Δημοσθένους δίκη κατήγαγεν εἰς Μακεδονίαν, οὓς ἐκολάκευεν αἰσχρῶς, ὑπὸ τούτων ἐξολούμενον δικαίως· ἐπαχθὴς μὲν ὄντα καὶ πρότερον αὐτοῖς, τότε δ' εἰς αἰτίαν ἄφυκτον ἐμπεσόντα. γράμματα γὰρ ἐξέπεσεν αὐτοῦ, δι' ὧν παρεκάλει Περδίκκαν ἐπιχειρεῖν Μακεδονίᾳ,

populus Athenienſis meritum honorem habens, ſtatuam ex ære poſuit, & maximo gentis victum decrevit in Prytaneo præbendum. Inſcripſit præterea baſi ſtatuæ hoc pervulgatum epigramma,

Menti Demoſthenes par ſi tu robur haberes,
Non erat Æmathia Græcia victa manu.


Nam qui ipſum hoc Demoſthenem paulo ante quam venenum hauriret, autumant in Calauria feciſſe, plane nugantur.

Paulo ante quam nos acceſſimus Athenas, hoc ferunt contigiſſe: Evocatus a præſide miles ad cauſam dicendam fuit. Hic quicquid haberet auri, in manibus ſtatuæ Demoſthenis depoſuit. Habuit illa digitos inter ſe implicatos, & juxta enata fuit non magna platanus. Ex ea multa folia (ſive ventus ea decuſſerat, ſive idem qui depoſuerat aurum, injecerat) circumjacentia & circumfuſa aurum longo tempore occuluerunt. Poſtquam homo ille reverſus eodem loco inventum aurum recepit, ac fuit rumor hic diſſipatus, multi adoleſcentes urbani ſumpto hinc in Demoſthenis abſtinentiam argumento, certarunt inter ſe epigrammatibus. Demadem, qui non diuturnum fructum cepit creſcentis gloriæ, ultio Demoſthenis egit in Macedoniam, & quibus fœde fuerat adulatus, ab iiſdem eſt perditus juſte, odioſus iis vel ante, tunc vero noxæ compertus manifeſtæ. Literæ ejus emanarant quibus Perdiccam ad Macedoniam

νία, καὶ σώζειν τοὺς Ἕλληνας, ὡς ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος, λέγων τὸν Ἀντίπατρον, ἠρτημένους. ἐφ' οἷς Δεινάρχου τοῦ Κορινθίου κατηγορήσαντος, παροξυνθεὶς ὁ Κάσανδρος ἐγκατέσφαξεν αὐτοῦ τῷ κόλπῳ τὸν υἱὸν, εἶτα οὕτως ἐκεῖνον ἀνελεῖν προσέταξεν, ἐν τοῖς μεγίστοις διδασκόμενον ἀτυχήμασιν, ὅτι πρώτους ἑαυτοὺς οἱ προδόται πωλοῦσιν. ὃ πολλάκις Δημοσθένους προαγορεύοντος, οὐκ ἐπίστευσεν. τὸν μὲν οὖν Δημοσθένους ἔχεις Σόσσιε βίον, ἐξ ὧν ἡμεῖς ἀνέγνωμεν ἢ διηκούσαμεν.

am tentandam adhortabatur, & ad conſervandos Græcos, ut a marcido & vetere filo dependentes, Antipatrum ſignificans. De his quum eum Dinarchus Corinthius accuſaſſet, infenſus Caſſander filium ejus in ipſius jugulavit ſinu, deinde eum juſſit necari. Hic maximis calamitatibus didicit proditores ſemetipſos vendere primos, quod ſæpius prædicente non crediderat Demoſthene. Habes jam Soſſi quatenus nos quidem legendo & audiendo conſequi potuimus, Demoſthenis vitam.

KIKE-



Apud Ful: Urſin: *G. V.d Gucht Sculp.*

ΚΙΚΕΡΩΝ.

ΚΙΚΕΡΩΝΟΣ δὲ τὴν μὲν μητέρα λέγουσιν Ὀλβίαν καὶ γεγονέναι καὶ καλῶς βεβιωκέναι· περὶ δὲ τοῦ πατρὸς οὐδὲν ἦν πυθέσθαι μέτριον. οἱ μὲν γὰρ ἐν κναφείῳ τινὶ καὶ γενέσθαι καὶ τραφῆναι τὸν ἄνδρα λέγουσιν· οἱ δ' εἰς Τύλλιον Ἄπιον ἀνάγουσι τὴν ἀρχὴν τοῦ γένους, βασιλεύσαντα λαμπρῶς ἐν Οὐολούσκοις. ὁ μέντοι πρῶτος ἐκ τοῦ γένους Κικέρων ἐπονομασθεὶς, ἄξιος λόγου δοκεῖ γενέσθαι· διὸ τὴν ἐπίκλησιν οὐκ ἀπέῤῥιψαν οἱ μετ' αὐτὸν, ἀλλ' ἠσπάσαντο, καίπερ ὑπὸ πολλῶν χλευαζομένην. κίκερ γὰρ οἱ Λατῖνοι τὸν ἐρέβινθον καλοῦσι. κἀκεῖνος ἐν τῷ πέρατι τῆς ῥινὸς διαστολὴν ἀμβλεῖαν εἶχεν, ὥσπερ ἐρεβίνθου διαφυὴν, ἀφ' ἧς ἐκτήσατο τὴν ἐπωνυμίαν. αὐτός γε μὴν Κικέρων, ὑπὲρ οὗ τάδε γέγραπται, τῶν φίλων αὐτὸν οἰομένων δεῖν, ὅτε πρῶτον ἀρχὴν μετῄει καὶ πολιτείας ἥπτετο, φυγεῖν τοὔνομα καὶ μεταθέσθαι, λέγεται

Ciceronis matrem tradunt Helviam claro genere & honeſta vita fuiſſe: de patre nihil mediocre refertur. Alii in officina fullonia & natum volunt & educatum: alii ad Appium Tullium clarum Volſcorum regem originem familiæ ejus referunt. Verum is qui hujus gentis Cicero primus eſt cognominatus, virum egregium arbitror fuiſſe. Quare non repudiaverunt ejus poſteri hoc cognomentum: ſed licet etiam vulgo in ora hominum pro ludibrio abiret, ſunt id tamen amplexi. A cicere enim trahitur. Habuit nempe ille in extremo naſi in modum ciceris cæcam inciſuram, unde cognomen quæſivit. Ipſe quidem, quo de hic ſcribimus Cicero, admonentibus amicis, quum primum honores peteret & rempub. attingeret, ut abjiceret hoc nomen immutaretve, fertur

glori

γεται) νεανιευσάμενος εἰπεῖν, ὡς ἀγωνιεῖται τὸν Κικέρωνα τῶν Σκαύρων καὶ τῶν Κάτλων ἐνδοξότερον ἀποδεῖξαι. ταμιεύων δ' ἐν Σικελίᾳ, καὶ τοῖς Θεοῖς ἀνάθημα ποιούμενος ἀργυροῦν, τὰ μὲν πρῶτα τῶν δύο ὀνομάτων ἐπέγραψε, τόν τε Μάρκον καὶ τὸν Τύλλιον· ἀντὶ δὲ τοῦ τρίτου σκώπτων, ἐρέβινθον ἐκέλευσε παρὰ τὰ γράμματα τὸν τεχνίτην ἐντορεῦσαι. ταῦτα μὲν οὖν περὶ τοῦ ὀνόματος ἱστόρηται.

Τεχθῆναι δὲ Κικέρωνα λέγουσιν, ἀνωδύνως καὶ ἀπόνως λοχευθείσης αὐτοῦ τῆς μητρὸς, ἡμέρᾳ τρίτῃ τῶν νέων καλανδῶν· ἐν ᾗ νῦν οἱ ἄρχοντες εὔχονται καὶ θύουσιν ὑπὲρ τοῦ ἡγεμόνος. τῇ δὲ τίτθῃ φάσμα δοκεῖ γενέσθαι, καὶ προειπεῖν ὡς ὄφελος μέγα πᾶσι Ῥωμαίοις ἐκτρεφούσῃ. ταῦτα δ' ἄλλως ὀνείρατα καὶ φλύαρον εἶναι δοκοῦντα, ταχέως αὐτὸς ἀπέδειξε μαντείαν ἀληθινὴν, ἐν ἡλικίᾳ τοῦ μανθάνειν γενόμενος, δι' εὐφυΐαν ἐκλάμψας, καὶ λαβὼν ὄνομα καὶ δόξαν ἐν τοῖς παισὶν, ὥστε τοὺς πατέρας αὐτῶν ἐπιφοιτᾷν τοῖς διδασκαλείοις, ὄψει τε βουλομένους ἰδεῖν τὸν Κικέρωνα, καὶ τὴν ὑμνουμένην αὐτοῦ περὶ τὰς μαθήσεις ὀξύτητα καὶ σύνεσιν ἱστορῆσαι· τοὺς δ' ἀγροικοτέρους ὀργίζεσθαι τοῖς υἱέσιν, ὁρῶντας ἐν ταῖς ὁδοῖς τὸν Κικέρωνα μέσον αὐτῶν ἐπὶ τιμῇ λαμβάνοντας. γενόμενος δ', ὥσπερ ὁ Πλάτων ἀξιοῖ τὴν φιλομαθῆ καὶ φιλόσοφον φύσιν, οἷος ἀσπάζεσθαι πᾶν μάθημα, καὶ μηδὲν λόγου μηδὲ παιδείας ἀτιμάζειν εἶδος, ἐῤῥύη πως προθυμότερον ἐπὶ ποιητικήν. καί τι ποιημάτιον ἔτι παιδὸς αὐτοῦ διασώζεται, Πόντιος Γλαῦκος, ἐν τετραμέτρῳ πεποιημένον. προϊὼν δὲ τῷ χρόνῳ, καὶ ποικιλώτερον ἁπτόμενος τῆς περὶ ταῦτα

glorians dixiſſe eniſurum ſe illuſtrius Ciceronis nomen Scauris & Catulis reddere. Quæſtor in Sicilia donum argenteum Diis conſecravit, in quo initia inſcripſit duorum nominum, Marci & Tullii, tertii loco ludens, cicer juſſit artifici proxime illas literas incidere. De nomine hæc prodita ſunt.

Editum ferunt Ciceronem, facili partu & nullo matris dolore, tertio Nonas Januarias; quo die magiſtratus nunc vota faciunt & ſacrificant pro incolumitate principis. Nutrici ejus ſpectrum aiunt ſe obtuliſſe, ac prædixiſſe ingens eam bonum omnibus Romanis nutrire. Hæc quum ſomnia eſſe & vana alioquin viderentur, ipſe brevi oſtendit certum fuiſſe oraculum. Nam ubi literarum fuit per ætatem capax, tanta in eo eluxit indoles, tantumque nomen inter pueros & laudem comparavit, quæ parentes eorum excitaret ut ad ludum pergerent ad Ciceronem oculis contemplandum, celebratumque ejus in diſcendo acumen & ſolertiam conſiderandam: agreſtiores ſuccenſerent filiis, quum cernerent in media eos caterva Ciceronem honoris cauſa per vias ſtipantes. Hic quum eſſet, qualem eſſe Plato vult ſtudioſam & philoſophiæ naturam amantem, ad omnes natus artes complectendas, nec ad ullum doctrinæ aut eruditionis prætereundum genus, ad poeſim ſane fuit proclivior. Extat poema quoddam parvum, quod puer etiamnum edidit, Pontius Glaucus, verſibus tetrametris compoſitum. Progreſſu temporis, quum magis ac magis hoc ſtudium excoleret, non modo ora-

ταῦτα μέσης, ἔδοξεν οὐ μόνον ῥήτωρ ἀλλὰ καὶ ποιητὴς ἄριστος εἶναι Ῥωμαίων. ἡ μὲν οὖν ἐπὶ τῇ ῥητορικῇ δόξα μέχρι νῦν διαμένει, καίπερ οὐ μικρᾶς γεγενημένης περὶ τοὺς λόγους καινοτομίας· τὴν δὲ ποιητικὴν αὐτοῦ, πολλῶν εὐφυῶν ἐπιγενομένων, παντάπασιν ἀκλεῆ καὶ ἄτιμον ἔρρειν συμβέβηκεν.

Ἀπαλλαγεὶς δὲ τῶν ἐν παισὶ διατριβῶν, Φίλωνος ἤκουσε τοῦ ἐξ Ἀκαδημίας, ὃν μάλιστα Ῥωμαῖοι τῶν Κλειτομάχου συνήθων καὶ διὰ τὸν λόγον ἐθαύμασαν, καὶ διὰ τὸν τρόπον ἠγάπησαν. ἅμα δὲ τοῖς περὶ Μούκιον ἀνδράσι συνὼν πολιτικοῖς καὶ πρωτεύουσι τῆς βουλῆς, εἰς ἐμπειρίαν τῶν νόμων ὠφελεῖτο· καί τινα χρόνον καὶ στρατείας μετέσχεν ὑπὸ Σύλλᾳ περὶ τὸν Μαρσικὸν πόλεμον. εἶθ' ὁρῶν εἰς στάσιν, ἐκ δὲ τῆς στάσεως εἰς ἄκρατον ἐμπίπτοντα τὰ πράγματα μοναρχίαν, ἐπὶ τὸν σχολαστὴν καὶ θεωρητικὸν ἐλθὼν βίον, Ἕλλησι συνῆν φιλολόγοις, καὶ προσεῖχε τοῖς μαθήμασιν· ἄχρις οὗ Σύλλας ἐκράτησε, καὶ κατάστασιν τινὰ λαμβάνειν ἔδοξεν ἡ πόλις. ἐν δὲ τῷ χρόνῳ τούτῳ Χρυσόγονος ἀπελεύθερος Σύλλα, προσαγγείλαντός τινος οὐσίαν ὡς ἐκ προγραφῆς ἀναιρεθέντος, αὐτὸς ἐωνήσατο δισχιλίων δραχμῶν. ἐπεὶ δὲ Ῥώσκιος ὁ υἱὸς καὶ κληρονόμος τοῦ τεθνηκότος ἠγανάκτει, καὶ τὴν οὐσίαν ἀπεδείκνυε πεντήκοντα καὶ διακοσίων ταλάντων οὖσαν ἀξίαν, ὅ, τε Σύλλας ἐλεγχόμενος ἐχαλέπαινε, καὶ δίκην πατροκτονίας ἐπῆγε τῷ Ῥωσκίῳ, τοῦ Χρυσογόνου κατασκευάσαντος, ἐβοήθει δ' οὐδείς, ἀλλ' ἀπετρέποντο, τοῦ Σύλλα τὴν χαλεπότητα δεδοικότες· οὕτω δὴ δι' ἐρημίαν τοῦ μειρακίου τῷ Κικέρωνι προσφυγόντος, οἱ φίλοι συμπαρώρμων, ὡς οὐκ ἂν αὐτῷ λαμπροτέραν αὖ-

θις

orator habitus eſt, ſed & poeta inter Romanos præſtantiſſimus. Cæterum laus oratoria, licet multa in dicendo novata fuerint, vel hac manet ætate: poetica vero, quia multi ei inſignes ſucceſſerunt, neglecta jacet & obſoleta.

Schola relicta puerili, Philoni dedit operam Academico: quem Romani ſupra cæteros Clitomachi alumnos & ob dicendi facultatem admirati ſunt, & dilexerunt ob morum ſuavitatem. Simul etiam Mucium Scævolam affectatus eſt, conſultum virum & principem ſenatus, ex quo juriſprudentiam hauſit. Meruit & aliquantiſper ſub Sylla bello Marſico. Inde rempub. in ſeditionem quum conſpiceret, ex ſeditione in effrænem ruere dominatum, ad caſtra ſe retulit Muſarum & bonarum artium ſtudia, vixitque cum eruditis Græcis, atque literas coluit, donec rerum eſt Sylla potitus, ac certum aliquem ſtatum vidit reipublicæ. Hac tempeſtate libertus Syllæ Chryſogonus bona cujuſdam, quem detulerat ut inter proſcriptos interfectum, viginti millibus æris emit. Id acerbum interfecti filio & hæredi quum eſſet Roſcio, probaretque hæreditatem ſexagies valere: offenſus Sylla quod argueretur, crimen ei interprete Chryſogono intulit parricidii. Hic quum nullum appareret auxilium, ſed omnes Syllæ ſævitiam exhorreſcerent, deſtitutus ab omnibus adoleſcens contulit ſe ad Ciceronem: quem accenderunt amici, ſubjeceruntque gradum ipſum

ad

θις ἀρχὴν πρὸς δόξαν ἑτέραν οὐδὲ καλλίω γενησομένην. ἀναδεξάμενος οὖν τὴν συνηγορίαν, καὶ κατορθώσας, ἐθαυμάσθη· δεδιὼς δὲ τὸν Σύλλαν, ἀπεδήμησεν εἰς τὴν Ἑλλάδα, διασπείρας λόγον ὡς τοῦ σώματος αὐτοῦ θεραπείας δεομένου. καὶ γὰρ ἦν ὄντως ἰσχνὸς καὶ ἄσαρκος, ἀῤῥωστίᾳ στομάχου μικρὰ καὶ γλισχρὰ μόγις ὀψὲ τῆς ὥρας προσφερόμενος. ἡ δὲ φωνὴ, πολλὴ μὲν καὶ ἀγαθὴ, σκληρὰ δὲ καὶ ἄπλαστος· ὑπὸ δὲ τοῦ λόγου σφοδρότητα καὶ πάθος ἔχοντος ἀεὶ διὰ τῶν ἄνω τόνων ἐλαυνομένη, φόβον παρεῖχεν ὑπὲρ τοῦ σώματος.

Ἀφικόμενος δ' εἰς Ἀθήνας Ἀντιόχου τοῦ Ἀσκαλωνίτου διήκουσε, τῇ μὲν εὐροίᾳ τῶν λόγων αὐτοῦ καὶ χάριτι κηλούμενος, ἃ δ' ἐν τοῖς δόγμασιν ἐνεωτέριζεν, οὐκ ἐπαινῶν. ἤδη γὰρ ἐξίστατο τῆς νέας λεγομένης ἀκαδημίας ὁ Ἀντίοχος, καὶ τὴν Καρνεάδου στάσιν ἐγκατέλειπεν, εἴτε καμπτόμενος ὑπὸ τῆς ἐναργείας καὶ τῶν αἰσθήσεων, εἴτε, ὥς φασιν ἔνιοι, φιλοτιμίᾳ τινὶ καὶ διαφορᾷ πρὸς τοὺς Κλειτομάχου καὶ Φίλωνος συνήθεις τὸν Στωϊκὸν ἐκ μεταβολῆς θεραπεύων λόγον ἐν τοῖς πλείστοις. ὁ δὲ Κικέρων ἐκεῖνα ἠγάπα, κἀκείνοις προσεῖχε μᾶλλον, διανοούμενος, εἰ παντάπασιν ἐκπέσοι τοῦ τὰ κοινὰ πράσσειν, δεῦρο μετενεγκάμενος τὸν βίον ἐκ τῆς ἀγορᾶς καὶ τῆς πολιτείας, ἐν ἡσυχίᾳ μετὰ φιλοσοφίας καταζῇν. ἐπεὶ δ' αὐτῷ Σύλλας τε προσηγγέλθη τεθνηκὼς, καὶ τὸ σῶμα τοῖς γυμνασίοις ἀναῤῥωννύμενον εἰς ἕξιν ἐβάδιζε νεανικὴν, ἥ τε φωνὴ λαμβάνουσα πλάσιν, ἡδεῖα μὲν πρὸς ἀκοὴν ἐτέθραπτο καὶ πολλὴ, μετρίως δὲ πρὸς τὴν ἕξιν ἥρμοστο τοῦ σώματος, πολλὰ μὲν τῶν ἀπὸ

Ῥώμης

ad gloriam habiturum poſthac ſpecioſiorem & pulchriorem nullum. Suſcepta defenſione, obtinuit cauſam: unde laudem conſequutus magnam eſt. Cæterum metu Syllæ in Græciam profectus eſt, vulgans ob corporis curam abire. Et profecto erat corpore gracili atque macilento, & propter ſtomachi infirmitatem modicum & exiguum cibi vix admodum ſero capiebat. Vox ejus canora quidem erat & bona, ſed dura & incondita: quæ ex orationis ardore & commotione ſemper altis incedens tonis minabatur vitæ periculum.

Ut applicuit Athenas, Antiochum Aſcalonitam audivit, volubilitate captus & venuſtate ejus orationis: opinionum vero ejus non probavit novationem. Jam enim a nova quam vocant Academia deſciverat Carneadeæ ſectæ Antiochus deſertor, vel evidentia permotus & ſenſibus, vel (ut alii dictitant) ambitione aliqua & diſſenſione cum Clitomachi & Philonis diſcipulis, Stoica præcepta ubique fere mutata ſententia amplexus: Cicero autem maluit illis inhærere, atque illa ſequi. Rationem vero inierat hanc, ſi nullus ei in repub. capeſſenda foret locus, huc ut ſe ex foro & publicis negotiis transferret, ac vitam in philoſophia traduceret tranquillam. Poſtquam vero accepit mortem Syllæ, & corpus exercitatione firmatum validum comparavit habitum: vox autem conformata jucunda auribus & plena accidit, fuitque mediocriter ad corporis habitum compoſita: hinc amicis quotidie ex

Roma

Ῥώμης φίλων γραφόντων καὶ δεομένων, πολλὰ δ' Ἀντιόχου παρακελευομένου τοῖς κοινοῖς ἐπιβαλεῖν πράγμασιν, αὖθις ὥσπερ ὄργανον ἐξήρτυε τὸν ῥητορικὸν λόγον, καὶ ἀνεκίνει τὴν πολιτικὴν δύναμιν, αὐτόν τε ταῖς μελέταις διαπονῶν, καὶ τοὺς ἐπαινουμένους μετιὼν ῥήτορας. ὅθεν εἰς Ἀσίαν καὶ Ῥόδον ἔπλευσε, καὶ τῶν μὲν Ἀσιανῶν ῥητόρων Ξενοκλεῖ τῷ Ἀδραμυττηνῷ, καὶ Διονυσίῳ τῷ Μάγνητι καὶ Μενίππῳ τῷ Καρὶ συνεσχόλασεν· ἐν δὲ Ῥόδῳ, ῥήτορι μὲν Ἀπολλωνίῳ τῷ Μόλωνος, φιλοσόφῳ δὲ Ποσειδωνίῳ. λέγεται δὲ τὸν Ἀπολλώνιον, οὐ συνιέντα τὴν Ῥωμαϊκὴν διάλεκτον, δεηθῆναι τοῦ Κικέρωνος Ἑλληνιστὶ μελετῆσαι· τὸν δ' ὑπακοῦσαι προθύμως, οἰόμενον οὕτως ἔσεσθαι βελτίονα τὴν ἐπανόρθωσιν. ἐπεὶ δ' ἐμελέτησε, τοὺς μὲν ἄλλους ἐκπεπλῆχθαι καὶ διαμιλλᾶσθαι πρὸς ἀλλήλους τοῖς ἐπαίνοις, τὸν δ' Ἀπολλώνιον οὔτ' ἀκροώμενον αὐτοῦ διαχυθῆναι, καὶ παυσαμένου συννοῦν καθέζεσθαι πολὺν χρόνον· ἀχθομένου δὲ τοῦ Κικέρωνος, εἰπεῖν, Σὲ μὲν, ὦ Κικέρων, ἐπαινῶ καὶ θαυμάζω, τῆς δὲ Ἑλλάδος οἰκτείρω τὴν τύχην, ὁρῶν, ἃ μόνα τῶν καλῶν ἡμῖν ὑπελείπετο, καὶ ταῦτα Ῥωμαίοις διὰ σοῦ προσγινόμενα, παιδείαν τε καὶ λόγον.

Ὁ γοῦν Κικέρων ἐλπίδων μεστὸς ἐπὶ τὴν πολιτείαν φερόμενος, ὑπὸ χρησμοῦ τινὸς ἀπημβλύθη τὴν ὁρμήν. ἐρομένῳ γὰρ αὐτῷ τὸν ἐν Δελφοῖς θεὸν ὅπως ἐνδοξότατος γένοιτο, προσέταξεν ἡ Πυθία τὴν ἑαυτοῦ φύσιν, ἀλλὰ μὴ τὴν τῶν πολλῶν δόξαν ἡγεμόνα ποιεῖσθαι τοῦ βίου. καὶ τόν τε πρῶτον ἐν Ῥώμῃ χρόνον εὐλαβῶς διῆγε, καὶ ταῖς ἀρχαῖς ὀκνηρῶς προσ-

Roma ſcribentibus ſolicitantibuſque eum, hinc Antiocho ut ad rempub. accederet cohortante, facultatem dicendi de integro tanquam organum inſtruxit ad potentiam parandam civilem, declamationibus ſe ſubigens, atque ad inſignes ſe applicans oratores. Itaque in Aſiam & Rhodum navigavit. In Aſia Xenoclem Adramyttenum, & Magnetem Dionyſium, & Menippum Carem audivit: Rhodi Apollonium oratorem Molonis filium, & philoſophum Poſidonium. Hunc Apollonium fama eſt, quod imperitus eſſet Romanæ linguæ, a Cicerone ut declamaret Græce contendiſſe: Ciceronem ei morem geſſiſſe libenter, ita fore ratum, melius ut corrigeret ſe ille: poſtquam declamavit, cæteris ſtupore defixis & certatim collaudantibus eum, Apollonium non hilarem fuiſſe dum audiret dicentem: & quum peroraſſet, diu ſediſſe cogitabundum: tandem ubi id momordit Ciceronem, dixiſſe, Te quidem laudo, Cicero, & admiror: Græciæ vero miſeret me conditionis, quum cernam, quæ reliqua nobis ſola erant ornamenta, ea quoque te ad Romanos tranſtuliſſe, literas & eloquentiam.

Ergo quum ingenti Cicero ſpe erectus ad rempub. gerendam pergeret, retudit impetum eius oraculum quoddam. Nam conſulenti Apollinem Delphicum qua potiſſimum ratione ſummam gloriam aſſequeretur, ſortes datæ fuerunt ut ſuum ipſius ingenium, non vulgi exiſtimationem, ducem ſequeretur vitæ. Ac primum quidem tempus Romæ magna cum cautione tranſegit, timideque ad honores peten-

προσῆει, καὶ παρημελεῖτο· ταῦτα δὴ τὰ Ῥωμαίων τοῖς βαναυσοτάτοις πρόχειρα καὶ συνήθη ῥήματα, Γραικὸς καὶ σχολαστικὸς, ἀκούων. ἐπεὶ δὲ φύσει φιλότιμος ὢν, καὶ παροξυνόμενος ὑπὸ τοῦ πατρὸς καὶ τῶν φίλων, ἐπέδωκεν εἰς τὸ συνηγορεῖν ἑαυτὸν, οὐκ ἠρέμα τῷ πρωτείῳ προσῆλθεν, ἀλλ' εὐθὺς ἐξέλαμψε τῇ δόξῃ, καὶ διέφερε πολὺ τῶν ἀγωνιζομένων ἐπ' ἀγορᾶς. λέγεται δὲ καὶ αὐτὸς οὐδὲν ἧττον νοσήσας τοῦ Δημοσθένους πρὸς τὴν ὑπόκρισιν, τοῦτο μὲν Ῥωσκίῳ τῷ κωμῳδῷ, τοῦτο δ' Αἰσώπῳ τῷ τραγῳδῷ προσέχειν ἐπιμελῶς. τὸν δ' Αἴσωπον τοῦτον ἱστοροῦσιν ὑποκρινόμενον ἐν θεάτρῳ τὸν περὶ τῆς τιμωρίας τοῦ Θυέστου βουλευόμενον Ἀτρέα, τῶν ὑπηρετῶν τινος ἄφνω παραδραμόντος, ἔξω τῶν ἑαυτοῦ λογισμῶν διὰ τὸ πάθος ὄντα, τῷ σκήπτρῳ πατάξαι καὶ ἀνελεῖν. οὐ μικρὰ δὲ πρὸς τὸ πείθειν ὑπῆρχεν ἐκ τοῦ ὑποκρίνεσθαι ῥοπὴ τῷ Κικέρωνι. καὶ τοὺς γε τῷ βοᾶν μεγάλα χρωμένους ῥήτορας ἐπισκώπτων, ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν, ὥσπερ χωλοὺς ἐφ' ἵππον πηδᾶν. ἡ δὲ περὶ τὰ σκώμματα καὶ τὴν παιδιὰν ταύτην εὐτραπελία, δικανικὸν μὲν ἐδόκει καὶ γλαφυρόν· χρώμενος δ' αὐτῇ κατακόρως, πολλοὺς ἐλύπει, καὶ κακοηθείας ἐλάμβανε δόξαν.

Ἀποδειχθεὶς δὲ ταμίας ἐν σιτοδείᾳ, καὶ λαχὼν Σικελίαν, ἠνώχλησε τοῖς ἀνθρώποις ἐν ἀρχῇ, σῖτον εἰς Ῥώμην ἀποστέλλειν ἀναγκαζόμενος· ὕστερον δὲ τῆς ἐπιμελείας καὶ δικαιοσύνης καὶ πρᾳότητος αὐτοῦ πεῖραν λαμβάνοντες, ὡς οὐδένα τῶν πώποθ' ἡγεμόνων ἐτίμησαν. ἐπεὶ δὲ πολλοὶ τῶν ἀπὸ Ῥώμης νέων ἔνδοξοι καὶ γεγονότες καλῶς, αἰτίαν ἔχοντες ἀταξίας καὶ μαλακίας περὶ τὸν πόλε-

tendos acceſſit, neque honore erat in ullo, appellabantque eum, quæ nomina viliſſimus quiſque Romanorum prompta & aſſueta in ore habet, Græcum & otioſum. Sed qui flagraret natura cupiditate gloriæ, atque a patre & neceſſariis incenderetur, ut contulit ad cauſas dicendas ſe, non ſenſim aſpiravit ad primas, ſed confeſtim gloria effulſit, longeque cæteris qui cauſas agebant in foro excelluit. Dicitur hic non ſecus ac Demoſthenes in actione laboraviſſe, eaque de cauſa ſedulo nunc Roſcio comœdo, nunc Æſopo tragœdo operam dediſſe. Hunc Æſopum tradunt dum in theatro agit Atreum de puniendo deliberantem Thyeſte, ita fuiſſe motum ut impos mentis miniſtrum quendam qui repente prætercurrebat, feriret ſceptro & occideret. Neque ſane parum contulit ad perſuadendum Ciceroni actio adjumenti, atque oratores qui magnos edebant clamores irridens, ex impotentia dicebat in clamorem ſicut claudos in equum inſilire. Urbanitas in facetiis ejus & in ſalibus hiſce forenſis viſa eſt & lepida: ſed quum eſſet in ea effuſior, multos offendit, & habitus eſt malignus.

Quæſtor deſignatus in difficultate annonæ, ac ſortitus Siciliam, primum multis mortalibus, quos mittere frumentum compulit ad urbem, parum fuit gratus. Inde ut induſtriæ ejus, ut innocentiæ, ut lenitatis cepere guſtum, ut nullum unquam alium honoraverunt prætorem. Porro multi Romæ clari adoleſcentes & nobili orti familia, vocati in crimen fuere quod molliter ſe & contra diſciplinam militarem geſſiſſent in

πόλεμον, ἀνεπέμφθησαν ἐπὶ τὸν στρατηγὸν τῆς Σικελίας, συνεῖπεν αὐτοῖς ὁ Κικέρων ἐπιφανῶς, καὶ περιεποίησεν. ἐπὶ τούτοις οὖν μέγα φρονῶν εἰς Ῥώμην βαδίζων, γελοῖόν τι παθεῖν φησι. συντυχὼν γὰρ ἀνδρὶ τῶν ἐπιφανῶν φίλῳ δοκοῦντι περὶ Καμπανίαν, ἔρεσθαι τίνα δὴ τῶν πεπραγμένων ὑπ' αὐτοῦ λόγον ἔχουσι Ῥωμαῖοι, καὶ τί φρονοῦσιν· ὡς ὀνόματος καὶ δόξης τῶν πεπραγμένων αὐτῷ τὴν πόλιν ἅπασαν ἐμπεπληκώς· τὸν δ' εἰπεῖν, Ποῦ γὰρ ἦς, ὦ Κικέρων, τὸν χρόνον τοῦτον; τότε μὲν οὖν ἐξαθυμῆσαι παντάπασιν, εἰ, καθάπερ εἰς πέλαγος ἀχανὲς τὴν πόλιν ἐμπεσὼν ὁ περὶ αὐτοῦ λόγος, οὐδὲν εἰς δόξαν ἐπίδηλον πεποίηκεν· ὕστερον δὲ λογισμὸν ἑαυτῷ διδοὺς, πολὺ τῆς φιλοτιμίας ὑφεῖλεν, ὡς πρὸς ἀόριστον πρᾶγμα τὴν δόξαν ἁμιλλώμενος, καὶ πέρας οὐκ ἐφικτὸν ἔχουσαν. οὐ μὴν ἀλλὰ τό γε χαίρειν ἐπαινούμενον διαφερόντως, καὶ πρὸς δόξαν ἐμπαθέστερον ἔχειν, ἄχρι παντὸς αὐτῷ παρέμεινε, καὶ πολλοὺς πολλάκις τῶν ὀρθῶν ἐπετάραξε λογισμῶν.

Ἁπτόμενος δὲ τῆς πολιτείας προθυμότερον, αἰσχρὸν ἡγεῖτο, τοὺς μὲν βαναύσους ὀργάνοις χρωμένους καὶ σκεύεσιν ἀψύχοις, μηδενὸς ἀγνοεῖν ὄνομα, μηδὲ χώραν ἢ δύναμιν αὐτῶν, τὸν δὲ πολιτικὸν, ᾧ δι' ἀνθρώπων αἱ κοιναὶ πράξεις περαίνονται, ῥαθύμως καὶ ἀμελῶς ἔχειν περὶ τὴν τῶν πολιτικῶν γνῶσιν. ὅθεν οὐ μόνον τῶν ὀνομάτων εἴθιζεν αὐτὸν, ἀλλὰ καὶ τὸν τόπον ἐν ᾧ τῶν γνωρίμων ἕκαστος οἰκεῖ, καὶ χωρίον οὗ κέκτηται, καὶ φίλους οἷς τισι χρῆται, καὶ γείτονας ἐγίνωσκε· καὶ πᾶσαν ὁδὸν Ἰταλίας διαπορευομένῳ Κικέρωνι πρόχειρον

in ſtipendiis faciendis. His ad prætorem Siciliæ remiſſis egregie patrocinatus eſt, & liberavit eos. Quibus rebus elato Romam ingredienti quiddam ſibi accidiſſe ridiculum ipſe ait. Nam quum in Campania incidiſſet in quendam ex primoribus, quicum ſibi exiſtimabat intercedere gratiam, qui ſermo eſſet quæſiſſe ſe inter cives de rebus ſuis geſtis, & quid ſentirent, arbitratum nomine & gloria ſe actionum ſuarum totam impleſſe civitatem: reſpondiſſe illum, Tu vero Cicero ubi hoc ſpatio fuiſti? Ibi animo ſe plane concidiſſe, ſi mentio ſui in urbem tanquam in vaſtum incidens pelagus, nihilo ſe ad gloriam reddidiſſet conſpectiorem. Poſt collectis rationibus ſuis, videns rem immenſam eſſe ad quam contenderet, gloriam, cujus nullum cerneret exitum, multum de ambitione remiſit. Verum enimvero avebat ſupra modum celebrari, tenebatque eum perpetuo cupiditas immenſa gloriæ, quæ multa ejus præclara conſilia frequenter interpellavit.

Quum jam animum ad rempub. totum convertiſſet, turpe duxit, ſi opifices inſtrumenta qui tractarent & armamenta ſurda, nullius nomen fugeret, nec locus, nec vis, in repub. autem verſans, qui hominum opera publica munera obiret, ſocors eſſet in cognoſcendis civibus & ſupinus. Quare non modo in comprehendendis elaboravit nominibus, ſed locum etiam ubi inſignis quiſque habitaret, prædia ubi haberet, quibus uteretur amicis, & quos haberet vicinos, tenuit, atque in via Italiam peragrans expedite nuncupabat Cicero, &

ἔργον ἦν εἰπεῖν, καὶ ἐπιδεῖξαι τοὺς τῶν φίλων ἀγροὺς καὶ τὰς ἐπαύλεις. οὐσίαν δὲ μικρὰν μὲν, ἱκανὴν δὲ, καὶ ταῖς δαπάναις ἐπαρκῆ κεκτημένος, ἐθαυμάζετο μήτε μισθοὺς μήτε δῶρα προσιέμενος ἀπὸ τῆς συνηγορίας· μάλιστα δ' ὅτε τὴν κατὰ Βέῤῥου δίκην ἀνέλαβε. τοῦτον γὰρ στρατηγὸν γεγονότα τῆς Σικελίας, καὶ πολλὰ πεπονηρευμένον, τῶν Σικελιωτῶν διωκόντων, εἷλεν, οὐκ εἰπὼν, ἀλλ' ἐξ αὐτοῦ τρόπον τινὰ τοῦ μὴ εἰπεῖν. τῶν γὰρ στρατηγῶν τῷ Βέῤῥῃ χαριζομένων, καὶ τὴν δίκην ὑπερθέσεσι πολλαῖς εἰς τὴν ὑστάτην ἐκβαλλόντων, ὡς ἦν πρόδηλον ὅτι τοῖς λόγοις ὁ τῆς ἡμέρας οὐκ ἐξαρκέσει χρόνος, οὐδὲ λήψεται πέρας ἡ κρίσις, ἀναστὰς ὁ Κικέρων ἔφη μὴ δεῖσθαι λόγων, ἀλλ' ἐπαγαγὼν τοὺς μάρτυρας καὶ ἐπικρίνας, ἐκέλευσε φέρειν τὴν ψῆφον τοὺς δικαστάς. ὅμως δὲ πολλὰ χαρίεντα διαμνημονεύεται καὶ περὶ ἐκείνην αὐτοῦ τὴν δίκην. Βέῤῥην γὰρ οἱ Ῥωμαῖοι τὸν ἐκτετμημένον χοῖρον καλοῦσιν. ὡς οὖν ἀπελευθερικὸς ἄνθρωπος ἔνοχος τῷ ἰουδαΐζειν, ὄνομα Καικίλιος, ἐβούλετο παρωσάμενος τοὺς Σικελιώτας κατηγορεῖν τοῦ Βέῤῥου, Τί Ἰουδαίῳ πρὸς χοῖρον; ἔφη ὁ Κικέρων. ἦν δὲ τῷ Βέῤῥῃ ἀντίπαις υἱὸς, οὐκ ἐλευθερίως δοκῶν προΐστασθαι τῆς ὥρας. λοιδορηθεὶς οὖν ὁ Κικέρων εἰς μαλακίαν ὑπὸ τοῦ Βέῤῥου, τοῖς υἱοῖς, εἶπεν, ἐντὸς θυρῶν δεῖ λοιδορεῖσθαι. τοῦ δὲ ῥήτορος Ὀρτησίου τὴν μὲν εὐθεῖαν τῷ Βέῤῥῃ συνειπεῖν μὴ τολμήσαντος, ἐν δὲ τῷ τιμήματι πεισθέντος παραγενέσθαι, καὶ λαβόντος ἐλεφαντίνην Σφίγγα μισθὸν, εἰπέ τι πλαγίως ὁ Κικέρων πρὸς αὐτόν. τοῦ δὲ φήσαντος αἰνιγμάτων λύσεων ἀπείρως ἔχειν, Καὶ μὴν ἐπὶ τῆς οἰκίας τὴν Σφίγγα ἔχεις.

Οὕτω

& demonſtrabat amicorum poſſeſſiones & villas. Rem habuit familiarem modicam quidem, ſed ſufficientem & qua tueri ſe facile poterat. Quo magis in admiratione habebatur, quod patrocinii cauſa neque mercedem neque munera caperet, præcipue quum Verrem ſuſcepiſſet accuſandum. Siciliam hic prætor obtinuerat, quem multa ob fœda facinora Siculis perſequentibus damnavit, non dicendo, ſed eo quodammodo quod non diceret. Siquidem quum prætores in gratiam Verris ſæpius comperendinando cauſam in ultimam diem traxiſſent, appareretque diem cauſæ perorandæ non ſatis futuram, neque exitum habiturum judicium: exſurgens Cicero negavit opus eſſe oratione, productiſque & interrogatis teſtibus ſententiam juſſit ferre judicibus. Quo tamen in judicio multa ejus commemorantur facete dicta. Verrem Romani caſtratum porcum vocant. Quum autem conditionis homo libertinæ, ſtudio aſperſus ſuperſtitionum Judaicarum, Cæcilius nomine, tenderet ſummotis Siculis nomen deferre Verris, Quid, inquit Cicero, Judæo cum porco? Erat filius Verri adultus, quem parum pudice fama tenebat formam habere. Igitur Verre Ciceroni mollitiem objiciente, Liberis, inquit, intra januam convitiandum eſt. Orator Hortenſius rectam & plenam non ſuſtinuit Verris ſuſcipere defenſionem, verum in litis æſtimatione adductus eſt ut ei adeſſet. Qui quum Sphingem eburneam mercede accepiſſet, dixit quiddam in eum Cicero oblique. Scire neganti ſe ſolvere ænigmata, Atqui Sphingem, inquit, domi habes.

Ita

Οὕτω δὲ τοῦ Βέρρου καταδικασθέντος, ἑβδομήκοντα πέντε μυριάδων τιμησάμενος τὴν δίκην ὁ Κικέρων, διαβολὴν ἔσχεν ὡς ἐπ' ἀργυρίῳ τὸ τίμημα καθυφειμένος. οὐ μὴν ἀλλ' οἱ Σικελιῶται χάριν εἰδότες, ἀγορανομοῦντος αὐτοῦ πολλὰ μὲν ἄγοντες ἀπὸ τῆς νήσου, πολλὰ δὲ φέροντες ἧκον· ὧν οὐδὲν ἐποιήσατο κέρδος, ἀλλ' ὅσον ἐπευωνίσαι τὴν ἀγορὰν, ἀπεχρήσατο τῇ φιλοτιμίᾳ τῶν ἀνθρώπων. ἐκέκτητο δὲ χωρίον καλὸν ἐν Ἄρποις, καὶ περὶ Νέαν πόλιν ἦν ἀγρὸς, καὶ περὶ Πομπηΐους ἕτερος, οὐ μεγάλοι· φερνή τε Τερεντίας τῆς γυναικὸς προσεγένετο μυριάδων δώδεκα, καὶ κληρονομία τις εἰς ἐννέα δηναρίων συναχθεῖσα μυριάδας. ἀπὸ τούτων ἐλευθερίως ἅμα καὶ σωφρόνως διῆγε μετὰ τῶν συμβιούντων Ἑλλήνων καὶ Ῥωμαίων φιλολόγων· σπάνιον εἴ ποτε πρὸ δυσμῶν ἡλίου κατακλινόμενος, οὐχ οὕτω δι' ἀσχολίαν, ὡς διὰ τὸ σῶμα τῷ στομάχῳ μοχθηρῶς διακείμενον. ἦν δὲ καὶ τὴν ἄλλην περὶ τὸ σῶμα θεραπείαν ἀκριβὴς καὶ περιττὸς, ὥστε καὶ τρίψεσι καὶ περιπάτοις ἀριθμῷ τεταγμένοις χρῆσθαι. τοῦτον τὸν τρόπον διαπαιδαγωγῶν τὴν ἕξιν, ἄνοσον καὶ διαρκῆ πρὸς πολλοὺς καὶ μεγάλους ἀγῶνας καὶ πόνους συνεῖχεν. οἰκίαν δὲ τὴν μὲν πατρῴαν τῷ ἀδελφῷ παρεχώρησεν, αὐτὸς δ' ᾤκει περὶ τὸ Παλάτιον, ὑπὲρ τοῦ μὴ μακρὰν βαδίζοντας ἐνοχλεῖσθαι τοὺς θεραπεύοντας αὐτόν. ἐθεράπευον δὲ καθ' ἡμέραν ἐπὶ θύρας φοιτῶντες οὐκ ἐλάττονες ἢ Κράσσον ἐπὶ πλούτῳ, καὶ Πομπήϊον διὰ τὴν ἐν τοῖς στρατεύμασι δύναμιν, θαυμαζομένους μάλιστα Ῥωμαίων, καὶ μεγίστους ὄντας. Πομπήϊος δὲ καὶ Κικέρωνα ἐθεράπευε, καὶ μεγάλα πρὸς δύναμιν αὐτῷ καὶ δόξαν ἡ Κικέρωνος συνέπραξε πολιτεία.

Στρα-

Ita damnato Verre & lite æſtimata tricies H S. male audivit Cicero, quaſi pecunia corruptus in æſtimanda lite eſſet prævaricatus. Siculi tamen quo gratos ſe oſtenderent, in ædilitate ejus multa ex ea inſula advecta obtulerunt ei, quorum in ſuos uſus nihil vertit, tantum ad levandam annonam illorum hominum uſus liberalitate eſt. Villam amœnam Arpini, prædium etiam prope Neapolim, & alterum Pompeiis non lata habuit. Huc acceſſit uxoris dos Terentiæ quadringentorum octoginta millium nummum. Præterea hæreditas ei venit, quæ ad trecenta ſexaginta millia nummum eſt redacta. His facultatibus liberaliter ſe & frugaliter toleravit cum familiaribus Græcis & civibus literarum cultoribus. Haud temere ante occaſum ſolis accumbebat, non tam diſtrictus occupationibus, quam valetudinis cauſa ob ſtomachi imbecillitatem. Fuit alioquin in corporis cura curioſus & nimius, ut & ad certum numerum frictionibus & ambulationibus uteretur. Ad hunc modum ſerviens habitui, validum eum & firmum ad multas & graves contentiones laboreſque conſervavit. Domum paternam conceſſit fratri: ipſe, ne eſſet clientibus ſuis moleſtum longius ire, juxta Palatium habitavit. Colebant eum qui domum ejus quotidie ventitarent, non pauciores quam ob divitias Craſſum, & Pompeium ob militarem potentiam: quorum erant eo tempore autoritas & opes maximæ. Et ipſe quoque Ciceronem obſervabat Pompeius, multumque Ciceronis actiones Pompeii potentiam & gloriam auxere.

Præ-

Στρατηγίαν δὲ μετιόντων ἅμα σὺν αὐτῷ πολλῶν καὶ μεγάλων, πρῶτος ἁπάντων ἀνηγορεύθη· καὶ τὰς κρίσεις ἔδοξε καθαρῶς καὶ καλῶς βραβεῦσαι. λέγεται δὲ καὶ Λικίνιος Μάκερ, ἀνὴρ καὶ καθ' αὑτὸν ἰσχύων ἐν τῇ πόλει μέγα, καὶ Κράσσῳ χρώμενος βοηθῷ, κρινόμενος κλοπῆς ὑπ' αὐτοῦ, τῇ δυνάμει καὶ σπουδῇ πεποιθὼς, ἔτι τὴν ψῆφον τῶν κριτῶν διαφερόντων ἀπαλλαγεὶς οἴκαδε, κείρασθαί τε τὴν κεφαλὴν κατὰ τάχος, καὶ καθαρὸν ἱμάτιον ὡς νενικηκὼς λαβὼν, αὖθις εἰς ἀγορὰν προϊέναι· τοῦ δὲ Κράσσου περὶ τὴν αὔλειον ἀπαντήσαντος αὐτῷ, καὶ φράσαντος ὅτι πάσαις ἑάλωκε ταῖς ψήφοις, ἀναστρέψας καὶ κατακλιθεὶς ἀποθανεῖν. τὸ δὲ πρᾶγμα τῷ Κικέρωνι δόξαν ἤνεγκεν, ὡς ἐπιμελῶς βραβεύσαντι τὸ δικαστήριον. ἐπεὶ δὲ Οὐατίνιος, ἀνὴρ ἔχων τι τραχὺ καὶ πρὸς τοὺς ἄρχοντας ὀλίγωρον ἐν ταῖς συνηγορίαις, χοιράδων δὲ τὸν τράχηλον περίπλεως, ᾐτεῖτό τι καταστὰς παρὰ τοῦ Κικέρωνος· καὶ μὴ διδόντος, ἀλλὰ βουλευομένου πολὺν χρόνον, εἰπεῖν ὡς οὐκ ἂν αὐτὸς διστάσειε περὶ τούτου στρατηγῶν· ἐπιστραφεὶς ὁ Κικέρων, ἀλλ' ἐγὼ, εἶπεν, οὐκ ἔχω τηλικοῦτον τράχηλον. ἔτι δ' ἡμέρας δύο ἢ τρεῖς ἔχοντι τῆς ἀρχῆς αὐτῷ προσήγαγέ τις Μανίλιον, εὐθύνων κλοπῆς. ὁ δὲ Μανίλιος οὗτος εὔνοιαν εἶχε καὶ σπουδὴν ὑπὸ τοῦ δήμου, δοκῶν ἐλαύνεσθαι διὰ Πομπήϊον· ἐκείνου γὰρ ἦν φίλος. αἰτουμένου δ' ἡμέραν αὐτοῦ μίαν, ὁ Κικέρων μόνην τὴν ἐπιοῦσαν ἔδωκε· καὶ ὁ δῆμος ἠγανάκτησεν, εἰθισμένων τῶν στρατηγῶν δέκα τοὐλάχιστον ἡμέρας διδόναι τοῖς κινδυνεύουσι. τῶν δὲ δημάρχων αὐτὸν διαγαγόντων ἐπὶ τὸ βῆμα, καλούντων, καὶ κατηγορούντων, ἀκουσθῆναι δεηθεὶς, εἶπεν, ὅτι τοῖς κινδυ-

δυ-

Præturæ candidatus, quum multos haberet & inſignes competitores, omnium eſt renunciatus primus, in qua judicia integre & innocenter diſpenſavit. Fama eſt Licinium Macrum, virum Romæ & ſuis prævalidum opibus, & Craſſi auxilio ſubnixum, ad tribunal Ciceronis repetundarum fuiſſe poſtulatum. Hunc iſta fretum potentia & ſtudio, dum judices adhuc ſententias ferunt, domum reverſum illico comam totondiſſe, ac ſumpta toga candida quaſi foret abſolutus, redire ad forum parantem: quum Craſſus ad veſtibulum ei occurriſſet, & cunctis damnatum renuntiaſſet ſententiis, recepiſſe ſe intro, mox decubuiſſe, ac vitam depoſuiſſe. Fuit Ciceroni ea res honori, quod accurate ſortitus eſſet judices. Vatinius homo fuit aſperior & minus reverens in cauſis dicendis magiſtratuum, collo ſtrumoſo. Hic ad tribunal petiit quippiam a Cicerone: quo non concedente, ſed diu deliberante, Equidem, inquit, ſi prætor ſim, de eo non hæſitarem. Tum converſus, Atqui ego, inquit Cicero, non habeo tantum collum. Quum dies ei non plus duo aut tres ſupereſſent magiſtratus, Manilium quidam de peculatu detulit. Erat Manilius hic, quod fatigari eum Pompeii cauſa, quo utebatur familiariter, crederet, gratus & acceptus plebi. Ei poſtulanti diem, unam ſolam conceſſit Cicero inſequentem: quæ res offendit populum, quod reis conſueviſſent prætores non minus decem dies tribuere. Tribunis plebis eum hac de cauſa in roſtra vocantibus lacerantibuſque, poſtulata audientia, ait, quum perpetuo

δικάζουσιν ἀεὶ καθ' ὅσον οἱ νόμοι παρείκουσι κεχρημένος ἐπιεικῶς καὶ φιλανθρώπως, δεινὸν ἡγεῖτο τῷ Μανιλίῳ ταῦτα μὴ παρασχεῖν· ἧς οὖν ἔτι μόνης κύριος ἦν ἡμέρας στρατηγῶν, ταύτην ἐπίτηδες ὁρίσαι· τὸ γὰρ εἰς ἄλλον ἄρχοντα τὴν κρίσιν ἐκβαλεῖν, οὐκ εἶναι βουλομένων βοηθεῖν. ταῦτα λεχθέντα θαυμαστὴν ἐποίησε τοῦ δήμου μεταβολήν· καὶ πολλὰ κατευφημοῦντες αὐτὸν, ἐδέοντο τὴν ὑπὲρ τοῦ Μανιλίου συνηγορίαν ἀναλαβεῖν. ὁ δ' ὑπέστη προθύμως, οὐχ ἥκιστα διὰ Πομπήιον ἀπόντα· καὶ καταστὰς πάλιν ἐξ ὑπαρχῆς ἐδημηγόρησε, νεανικῶς τῶν ὀλιγαρχικῶν καὶ τῶν Πομπηΐῳ φθονούντων καθαπτόμενος.

Ἐπὶ δὲ τὴν ὑπατείαν οὐχ ἧττον ὑπὸ τῶν ἀριστοκρατικῶν ἢ τῶν πολλῶν προήχθη διὰ τὴν πόλιν, ἐξ αἰτίας αὐτῷ τοιαύτης συναγωνισαμένων. τῆς ὑπὸ Σύλλα γενομένης μεταβολῆς περὶ τὴν πολιτείαν, ἐν ἀρχῇ μὲν ἀτόπου φανείσης, τότε δὲ τοῖς πολλοῖς ὑπὸ χρόνου καὶ συνηθείας ἤδη τινὰ κατάστασιν ἔχειν οὐ φαύλην δοκούσης, ἦσαν οἱ τὰ παρόντα διασεῖσαι καὶ μεταθεῖναι ζητοῦντες, ἰδίων ἕνεκα πλεονεξιῶν, οὐ πρὸς τὸ βέλτιστον· Πομπηΐου μὲν ἔτι τοῖς βασιλεῦσιν ἐν Πόντῳ καὶ Ἀρμενίᾳ πολεμοῦντος, ἐν δὲ τῇ Ῥώμῃ μηδεμιᾶς ὑφεστώσης πρὸς τοὺς νεωτερίζοντας ἀξιομάχου δυνάμεως. οὗτοι κορυφαῖον εἶχον, ἄνδρα τολμητὴν καὶ μεγαλοπράγμονα καὶ ποικίλον τὸ ἦθος, Λεύκιον Κατιλίναν· ὃς αἰτίαν ποτὲ πρὸς ἄλλοις ἀδικήμασι μεγάλοις ἔλαβε παρθένῳ συγγεγονέναι θυγατρὶ, κτεῖναι δὲ ἀδελφὸν αὑτοῦ. καὶ δίκην ἐπὶ τούτῳ φοβούμενος, ἔπεισε Σύλλαν, ὡς ἔτι ζῶντα τὸν ἄνθρωπον, ἐν τοῖς ἀποθανουμένοις προγράψαι. τοῦτον οὖν προστάτην οἱ πονηροὶ λαβόντες, ἄλλας τε πίστεις ἀλ-

tuo in reos fuiſſet, quatenus per leges liceret, æquus & benignus, durum arbitratum ſe ſi idem denegaret Manilio. Quæ ergo dies eſſet in prætura ſui juris ſola, eam de induſtria ſtatuiſſe: neque enim ad alium rejiciendam prætorem cauſam fuiſſe, opem ſi ferre ſtuderet. Hæc oratio mirum quantum populi animum commutavit. Multis enim laudibus cumularunt eum, rogaveruntque ut defenſionem ſuſciperet Manilii: quod ſubiit Cicero libenter, maxime abſentis cauſa Pompeii, habuitque de integro concionem, in qua acriter factioſos & Pompeii æmulos perſtrinxit.

Ad conſulatum non minus ab optimatibus eſt quam a plebe provectus. Suffragati nempe ei ob reipub. ſalutem ſunt hujuſcemodi ex cauſa. Converſio ſtatus reipub. quæ facta a Sylla fuerat, etſi principio non probaretur, dies tamen & uſus tandem utilem eſſe ad otium ſervandum oſtendit populo. Præſentem rerum ſtatum moliebantur nonnulli, nullo quidem bono publico, ſed rerum reſpectu privatarum, convellere atque mutare. Pompeius id temporis in Ponto & Armenia bellum cum regibus gerebat, Romæ vis non erat præſto ſatis valida ad reprimendos eos qui rebus novis ſtudebant. Ducem habebant hi hominem audacem, inquietum & verſipellem, L. Catilinam. Huic ante fuerat, præter alia infanda ſcelera, crimini datum quod cum virgine filia ſtuprum feciſſet, & necaſſet fratrem: cujus metu criminis egit cum Sylla, ut fratrem ſuum velut adhuc vivum referret in proſcriptos. Eo delecto improbi cives duce fidem cum aliis mo-

dis

ἀλλήλοις ἔδοσαν, καὶ καταθύσαντες ἄνθρωπον, ἐγεύσαντο τῶν σαρκῶν. διέφθαρτο δ' ὑπ' αὐτοῦ πολὺ μέρος τῆς ἐν τῇ πόλει νεότητος, ἡδονὰς καὶ πότους καὶ γυναικῶν ἔρωτας ἀεὶ προξενοῦντος ἑκάστῳ, καὶ τὴν εἰς ταῦτα δαπάνην ἀφειδῶς παρασκευάζοντος. ἐπῆρτο δ' ἥ τε Τυῤῥηνία πρὸς ἀπόστασιν ὅλη, καὶ τὰ πολλὰ τῆς ἐντὸς Ἄλπεων Γαλατίας. ἐπισφαλέστατα δ' ἡ Ῥώμη πρὸς μεταβολὴν εἶχε διὰ τὴν ἐν ταῖς οὐσίαις ἀνωμαλίαν, τῶν μὲν ἐν δόξῃ μάλιστα καὶ φρονήματι κατεπτωχευμένων εἰς θέατρα καὶ δεῖπνα καὶ φιλαρχίας καὶ οἰκοδομίας, τῶν δὲ πλούτων εἰς ἀγεννεῖς καὶ ταπεινοὺς συνεῤῥυηκότων ἀνθρώπους· ὥστε μικρᾶς ῥοπῆς δεῖσθαι τὰ πράγματα, καὶ παντὸς εἶναι τοῦ τολμήσαντος ἐκστῆσαι τὴν πολιτείαν, αὐτὴν ὑφ' αὑτῆς νοσοῦσαν.

Οὐ μὴν ἀλλὰ βουλόμενος ὁ Κατιλίνας ἰσχυρόν τι προκαταλαβεῖν ὁρμητήριον, ὑπατείαν μετῄει· καὶ λαμπρὸς ἦν ταῖς ἐλπίσιν, ὡς Γαΐῳ Ἀντωνίῳ συνυπατεύσων, ἀνδρὶ καθ' αὑτὸν μὲν οὔτε πρὸς τὸ βέλτιον οὔτε πρὸς τὸ χεῖρον ἡγεμονικῷ, προσθήκην δ' ἄγοντος ἑτέρου δυνάμεως ἐσομένου. ταῦτα δὴ τῶν καλῶν καὶ ἀγαθῶν οἱ πλεῖστοι προαισθόμενοι, τὸν Κικέρωνα προῆγον ἐπὶ τὴν ὑπατείαν· καὶ τοῦ δήμου δεξαμένου προθύμως, ὁ μὲν Κατιλίνας ἐξέπεσε, Κικέρων δὲ καὶ Γάϊος Ἀντώνιος ᾑρέθησαν. καίτοι τῶν μετιόντων ὁ Κικέρων μόνος ἦν ἐξ ἱππικοῦ πατρὸς, οὐ βουλευτοῦ γεγονώς.

Καὶ τὰ μὲν περὶ Κατιλίναν ἔμενεν ἔτι τοὺς πολλοὺς λανθάνοντα· προαγῶνες δὲ μεγάλοι τὴν Κικέρωνος ὑπατείαν ἐξεδέξαντο. τοῦτο μὲν γὰρ, οἱ κεκωλυμένοι κατὰ τοὺς Σύλλα νόμους ἄρχειν, οὔτ' ἀσθενεῖς ὄντες, οὔτ' ὀλίγοι, μετιόν-

τιόν-

dis ſanxerant inter ſe, tum mactati hominis guſtata carne. Corruperat hic magna ex parte juventutem urbanam, illecebras, comeſſationes, ſcorta cuique ſemper præbendo, neque ulli ſumptui in his ſuppeditandis modum faciendo. Spectabat tota ad defectionem Hetruria, & Gallia pleraque ciſalpina: ipſa vero propter bonorum inæqualitatem maxime ad mutationem rerum opportuna erat Roma. Nam ut quiſque nobiliſſimus erat, & animoſiſſimus, ita opes in ſpectacula, viſcerationes, largitiones magiſtratuum aſſequendorum cauſa, inſanas ſubſtructiones profuderat. Pecunia ad homines defluxerat ignavos & humiles, ut parvo momento quivis cui foret animus, valeret rempub. per ſe ægram verſare.

Arcem tamen quod ad nova cœpta haberet validam, conſulatum Catilina petebat, magnamque conceperat ſpem C. Antonium ſe collegam habiturum, virum neque ad bonum publicum neque ad perniciem idoneum principem, ſed acceſſionem futurum alterius ducis virium. Hæc ſtudia plurimorum bonorum, qui ea proſpiciebant, accenderunt ad conſulatum petendum Ciceronem: qui quum populo valde acceptus eſſet, tulit Catilina repulſam. Creati conſules ſunt M. T. Cicero, & C. Antonius; licet inter candidatos ſolus patrem Cicero habuerit equeſtris ordinis non patritii.

Quamvis vero Catilinæ conſilia nondum emanaverant in vulgus, magna præludia tamen contentionum exceperunt Ciceronis conſulatum. Hinc illi qui per leges Cornelias ab honoribus petendis arcebantur, quorum opes

ingentes,

τιόντες ἀρχὰς ἐδημαγώγουν, πολλὰ τῆς Σύλλα τυραννίδος ἀληθῆ μὲν καὶ δίκαια κατηγοροῦντες, οὐ μὴν ἐν δέοντι τὴν πολιτείαν οὐδὲ σὺν καιρῷ κινοῦντες. τοῦτο δὲ, νόμους εἰσῆγον οἱ δήμαρχοι πρὸς τὴν αὐτὴν ὑπόθεσιν, δεκαδαρχίαν καθιστάντες αὐτοκρατόρων ἀνδρῶν· οἷς ἐφεῖτο, πάσης μὲν Ἰταλίας, πάσης δὲ Συρίας, καὶ ὅσα διὰ Πομπηΐου νεωστὶ προσώριστο, κυρίους ὄντας, πωλεῖν τὰ δημόσια, κρίνειν οὓς δοκοίη, φυγάδας ἐκβάλλειν, συνοικίζειν πόλεις, χρήματα λαμβάνειν ἐκ τοῦ ταμείου, στρατιώτας τρέφειν καὶ καταλέγειν ὁπόσων δέοιντο. διὸ καὶ τῷ νόμῳ προσεῖχον ἄλλοι τε τῶν ἐπιφανῶν, καὶ πρῶτος Ἀντώνιος ὁ τοῦ Κικέρωνος συνάρχων, ὡς τῶν δέκα γενησόμενος. ἐδόκει δὲ καὶ τὸν Κατιλίνα νεωτερισμὸν εἰδὼς οὐ δυσχεραίνειν ὑπὸ πλήθους δανείων· ὃ μάλιστα τοῖς ἀρίστοις φόβον παρεῖχε. καὶ τοῦτο πρῶτον θεραπεύων ὁ Κικέρων, ἐκείνῳ μὲν ἐψηφίσατο τῶν ἐπαρχιῶν Μακεδονίαν, αὐτῷ δὲ τὴν Γαλατίαν διδομένην παρῃτήσατο, καὶ κατειργάσατο τῇ χάριτι ταύτῃ τὸν Ἀντώνιον, ὥσπερ ὑποκριτὴν ἔμμισθον, αὐτῷ τὰ δεύτερα λέγειν ὑπὲρ τῆς πατρίδος. ὡς δ' οὗτος ἑαλώκει καὶ χειροήθης ἐγεγόνει, μᾶλλον ἤδη θαῤῥῶν ὁ Κικέρων ἐνίστατο πρὸς τοὺς καινοτομοῦντας. ἐν μὲν οὖν τῇ βουλῇ κατηγορίαν τινὰ τοῦ νόμου διατιθέμενος, οὕτως ἐξέπληξεν αὐτοὺς τοὺς εἰσφέροντας, ὥστε μηδὲν ἀντιλέγειν. ἐπεὶ δ' αὖθις ἐπεχείρουν, καὶ παρεσκευασμένοι προεκαλοῦντο τοὺς ὑπάτους ἐπὶ τὸν δῆμον, οὐδὲν ὑποδείσας ὁ Κικέρων, ἀλλὰ τὴν βουλὴν ἕπεσθαι κελεύσας καὶ προελθὼν, οὐ μόνον ἐξέβαλε τὸν νόμον, ἀλλὰ καὶ τῶν ἄλλων ἀπο-

ingentes, nec exiguus erat numerus, orationes in prenſando populares habebant, graviterque in Syllæ tyrannidem invehebantur. Adferebant illi quidem de iſto argumento & vera & æqua, alieno tamen & incongruo turbabant rempub. tempore. Hinc tribuni plebis leges rogabant huic materiæ convenientes. Promulgabant nempe legem de creandis cum ſumma poteſtate decemviris, quibus jus eſſet agrum publicum tota Italia, tota Syria, & nuper a Pompeio partum vendere, quæſtionem habere de omnibus quos liberet exterminare, colonias deducere, pecuniam ex ærario ſumere, habere conſcribereque exercitum, quanto haberent opus. Quare favebant huic legi cum alii ex nobilitate, tum primus collega Ciceronis, Antonius, unum ſperans ſe fore ex decemviris. Quæ vero res perculit optimates præcipue, videbatur conjurationem Catilinæ, cujus eſſet conſcius, non moleſte ferre, quod oppreſſus eſſet multo ære alieno. Huic vulneri primum medicinam faciens, provinciam ei Macedoniam conceſſit Cicero, Galliam ſibi decretam depoſuit. Hoc ſibi beneficio devinxit Antonium, ut velut mercenarius hiſtrio ſibi in tuenda patriæ ſalute ſecundas partes ageret. Hunc jam ut ſibi habuit obſequentem & tractabilem, tunc majore animo Cicero eos qui moliebantur res novas aggreſſus eſt. Igitur in ſenatu contra legem dixit: ubi pavorem legiſlatoribus offudit tantum ut quid reſponderent non haberent. Verum quum urgerent de integro legem, & inſtructi conſules in roſtra traherent, nihil Cicero trepidans ſenatu ſequi juſſo progreſſus eſt. Nec ſolum legem antiquavit, ſed & adeo conſter-

ἀπογνῶναι τοὺς δημάρχους ἐποίησε, παρὰ τοσοῦτον τῷ λόγῳ κρατηθέντας ὑπ' αὐτοῦ.

Μάλιστα γὰρ οὗτος ὁ ἀνὴρ ἐπέδειξε Ῥωμαίοις ὅσον ἡδονῆς λόγος τῷ καλῷ προστίθησι, καὶ ὅτι τὸ δίκαιον ἀήττητόν ἐστιν, ἂν ὀρθῶς λέγηται· καὶ δεῖ τὸν ἐμμελῶς πολιτευόμενον, ἀεὶ τῷ μὲν ἔργῳ τὸ καλὸν ἀντὶ τοῦ κολακεύοντος αἱρεῖσθαι, τῷ δὲ λόγῳ τὸ λυποῦν ἀφαιρεῖν τοῦ συμφέροντος. δεῖγμα δὲ αὐτοῦ τῆς περὶ τὸν λόγον χάριτος, καὶ τὸ περὶ τὰς θέας ἐν τῇ ὑπατείᾳ γενόμενον. τῶν γὰρ ἱππικῶν πρότερον ἐν τοῖς θεάτροις ἀναμεμιγμένων τοῖς πολλοῖς, καὶ μετὰ τοῦ δήμου θεωμένων ὡς ἔτυχε, πρῶτος διέκρινεν ἐπὶ τιμῇ τοὺς ἱππέας ἀπὸ τῶν ἄλλων πολιτῶν Μάρκος Ὄθων στρατηγῶν, καὶ διένειμεν ἰδίαν ἐκείνοις θέαν, ἣν ἔτι καὶ νῦν ἐξαίρετον ἔχουσι. τοῦτο πρὸς ἀτιμίαν ὁ δῆμος ἔλαβε, καὶ φανέντος ἐν θεάτρῳ τοῦ Ὄθωνος, ἐφυβρίζων ἐσύριττεν, οἱ δ' ἱππεῖς ὑπέλαβον κρότῳ τὸν ἄνδρα λαμπρῶς. αὖθις δὲ ὁ δῆμος ἐπέτεινε τὸν συριγμὸν, εἶτα ἐκεῖνοι τὸν κρότον. ἐκ δὲ τούτου τραπόμενοι πρὸς ἀλλήλους ἐχρῶντο λοιδορίαις, καὶ τὸ θέατρον ἀκοσμία κατεῖχεν. ἐπεὶ δ' ὁ Κικέρων ἧκε πυθόμενος, καὶ τὸν δῆμον ἐκκαλέσας πρὸς τὸ τῆς Ἐνυοῦς ἱερὸν, ἐπετίμησε καὶ παρῄνεσεν, ἀπελθόντες αὖθις εἰς τὸ θέατρον ἐκρότουν τὸν Ὄθωνα λαμπρῶς, καὶ πρὸς τοὺς ἱππέας ἅμιλλαν ἐποιοῦντο περὶ τιμῶν καὶ δόξης τοῦ ἀνδρός.

Ἡ δὲ περὶ τὸν Κατιλίναν συνωμοσία πτήξασα καὶ καταδείσασα τὴν ἀρχὴν, αὖθις ἀνεθάῤῥει, καὶ συνῆγον ἀλλήλους, καὶ παρεκάλουν εὐτολμότερον ἅπτεσθαι τῶν

ſternavit dicendo tribunos, ut etiam ſuſcepta omnia abjicerent alia.

Nempe hic vir potiſſimum quantum adferat honeſto condimentum eloquentia, oſtendit populo Romano, atque invincibile quod eſt juſtum eſſe, ſi recte dicatur, debereque eum qui ſedulo tractare rempub. intendit, ſemper in rebus quidem agendis honeſtum blandienti anteferre, ſed in dicendo acerbum eximere conducibili. Indicat eius in dicendo ſuavitatem id quod in conſulatu eius circa ſpectacula accidit. Quum enim ante equites in theatris permiſti plebi & una cum populo indiſcreti ſpectarent, M. Otho prætor equites honoris cauſa primus a cætera plebe diſcrevit, ac ſeparatum iis locum in theatro, quem nunc quoque tenent præcipuum, attribuit. Id interpretatus in contumeliam factum ſuam populus, ingreſſum in theatrum exſibilavit Othonem probroſe: equites invicem magno plauſu exceperunt eum. Intendit ex integro populus ſibilum, mox plauſum illi. Ita inter ſe commiſſi laceraverunt ſe mutuo maledictis, ac confuſio theatrum magna tenebat. Qua re audita quum contuliſſet ſe illuc Cicero, concioneque ad Bellonæ convocata increpaſſet populum, caſtigaſſetque, reverſi in theatrum ingentem plauſum Othoni dederunt, certaveruntque cum equitibus de illius honoribus & laude.

At conjuratio Catilinæ trepida initio & perculſa, reſumpſit animos. Conventu autem coacto cohortati ſeſe mutuo ſunt ut majore mo-

τῶν πραγμάτων, πρὶν ἐπανελθεῖν Πομπήϊον, ἤδη λεγόμενον ὑποστρέφειν μετὰ τῆς δυνάμεως. μάλιστα δὲ τὸν Κατιλίναν ἐξηρέθιζον οἱ Σύλλα πάλαι στρατιῶται, διαπεφευγότες μὲν ὅλης τῆς Ἰταλίας, πλεῖστοι δὲ καὶ μαχιμώτατοι ταῖς Τυῤῥηνικαῖς ἐγκατεσπαρμένοι πόλεσιν, ἁρπαγὰς πάλιν καὶ διαφορήσεις πλούτων ἑτοίμων ὀνειροπολοῦντες. οὗτοι γὰρ ἡγεμόνα Μάλλιον ἔχοντες, ἄνδρα τῶν ἐπιφανῶς ὑπὸ Σύλλα στρατευσαμένων, συνίσταντο τῷ Κατιλίνᾳ, καὶ παρῆσαν εἰς Ῥώμην συναρχαιρεσιάσοντες. ὑπατείαν γὰρ αὖθις μετῄει, βεβουλευμένος ἀνελεῖν τὸν Κικέρωνα περὶ αὐτὸν τὸν τῶν ἀρχαιρεσιῶν θόρυβον. ἐδόκει δὲ καὶ τὸ δαιμόνιον προσημαίνειν τὰ πρασσόμενα σεισμοῖς καὶ κεραυνοῖς καὶ φάσμασιν. αἱ δ' ἀπ' ἀνθρώπων μηνύσεις, ἀληθεῖς μὲν ἦσαν, οὔπω δ' εἰς ἔλεγχον ἀποχρῶσαι κατ' ἀνδρὸς ἐνδόξου καὶ δυναμένου μέγα τοῦ Κατιλίνα. διὸ τὴν ἡμέραν τῶν ἀρχαιρεσιῶν ὑπερθέμενος ὁ Κικέρων, ἐκάλει τὸν Κατιλίναν εἰς τὴν σύγκλητον, καὶ περὶ τῶν λεγομένων ἀνέκρινεν. ὁ δὲ πολλοὺς οἰόμενος εἶναι τοὺς πραγμάτων καινῶν ἐφιεμένους ἐν τῇ βουλῇ, καὶ ἅμα τοῖς συνωμόταις ἐνδεικνύμενος, ἀπεκρίνατο τῷ Κικέρωνι μαλακὴν ἀπόκρισιν. τί γὰρ, ἔφη, πράττω δεινὸν, εἰ δυοῖν σωμάτων ὄντων, τοῦ μὲν ἰσχνοῦ καὶ κατεφθινηκότος, ἔχοντος δὲ κεφαλὴν, τοῦ δ' ἀκεφάλου μὲν, ἰσχυροῦ δὲ καὶ μεγάλου, τούτῳ κεφαλὴν αὐτὸς ἐπιτίθημι; τούτων εἴς τε τὴν βουλὴν καὶ τὸν δῆμον ἠνιγμένων ὑπ' αὐτοῦ, μᾶλλον ὁ Κικέρων ἔδεισε, καὶ τεθωρακισμένον αὐτὸν οἵ τε δυνατοὶ πάντες ἀπὸ τῆς οἰκίας, καὶ τῶν νέων πολλοὶ κατήγαγον εἰς τὸ πεδίον. τοῦ δὲ θώρακος ἐπίτηδες ὑπέφαινέ τι παραλύσας ἐκ τῶν

mole rem ſuſciperent, prius quam Pompeius, quem cum legionibus eſſe audiebant in itinere, reverteretur. Inflammaverunt Catilinam potiſſimum veteres Syllani milites: qui per totam quidem Italiam fuſi, ſed plurimi & fortiſſimi Hetruriæ admiſti oppidis, quum novas rapinas & direptiones paratas locupletum ſomniarent, duce Manlio, egregio viro qui ſub Sylla meruerat, conſpiraverunt cum Catilina, veneruntque Romam ad comitia, ut ejus petitionem ſuffragiis ſuis juvarent. Petebat enim iterum conſulatum, certus Ciceronem in ipſo comitiorum tumultu occidere. Porro Dii quoque clare imminentia mala terræ motibus, fulguribus & oſtentis prænuntiarunt. Indicia hominum erant illa quidem vera, ſed ad coarguendum virum nobilem & præpotentem Catilinam non ſatis firma. Quare producta comitiorum die acceſſivit in curiam Catilinam Cicero, atque de iis quæ agitata rumoribus erant interrogavit. Ille, multos ratus in ſenatu eſſe rerum novarum cupidos, ſimul etiam conjuratis oſtentans ſe, reſpondit Ciceroni leniter, Quidnam pecco, (inquit) duo quum ſint corpora, alterum gracile & tabidum, quod caput habeat, expers alterum capitis, ſed validum & magnum, huic ſi ego caput addo? Hæc eo involute de ſenatu & populo jactante, major Ciceronem inceſſit metus: quem lorica munitum primores omnes ac frequens juventus ab ipſius domo & curia deduxerunt in campum. Diſſuta de induſtria ex humeris tunica partem aperuit

τῶν ὤμων τοῦ χιτῶνος, ἐνδεικνύμενος τοῖς ὁρῶσι τὸν κίνδυνον. οἱ δ' ἠγανάκτουν καὶ συνεστρέφοντο περὶ αὐτόν· καὶ τέλος, ἐν ταῖς ψήφοις τὸν μὲν Κατιλίναν αὖθις ἐξέβαλον, εἵλοντο δὲ Σιλανὸν ὕπατον, καὶ Μουρήναν.

Οὐ πολλῷ δ' ὕστερον τούτων ἤδη τῷ Κατιλίνᾳ τῶν ἐν Τυῤῥηνίᾳ συνερχομένων, καὶ τῆς ὡρισμένης πρὸς τὴν ἐπίθεσιν ἡμέρας ἐγγὺς οὔσης, ἧκον ἐπὶ τὴν Κικέρωνος οἰκίαν περὶ μέσας νύκτας ἄνδρες οἱ πρῶτοι καὶ δυνατώτατοι Ῥωμαίων, Μάρκος τε Κράσσος, καὶ Μάρκος Μάρκελλος, καὶ Σκιπίων Μέτελλος. κόψαντες δὲ τὰς θύρας, καὶ καλέσαντες τὸν θυρωρὸν, ἐκέλευον ἐπεγεῖραι, καὶ φράσαι Κικέρωνι τὴν παρουσίαν αὐτῶν. ἦν δὲ τοιόνδε· τῷ Κράσσῳ μετὰ δεῖπνον ἐπιστολὰς ἀποδίδωσιν ὁ θυρωρὸς ὑπό δή τινος ἀνθρώπου κομισθείσας ἀγνώστου, ἄλλας ἄλλοις ἐπιγεγραμμένας, αὐτῷ δὲ Κράσσῳ μίαν ἀδέσποτον. ἣν μόνην ἀναγνοὺς ὁ Κράσσος, ὡς ἔφραζε τὰ γράμματα φόνον γενησόμενον πολὺν διὰ Κατιλίναν, καὶ παρῄνει τῆς πόλεως ὑπεξελθεῖν, τὰς ἄλλας οὐκ ἔλυσεν, ἀλλ' ἧκεν εὐθὺς πρὸς τὸν Κικέρωνα, πληγεὶς ὑπὸ τοῦ δεινοῦ, καί τι τῆς αἰτίας ἀπολυόμενος ἣν εἶχε διὰ φιλίαν τοῦ Κατιλίνα. βουλευσάμενος οὖν ὁ Κικέρων, ἅμ' ἡμέρᾳ βουλὴν συνήγαγε, καὶ τὰς ἐπιστολὰς κομίσας ἀπέδωκεν οἷς ἦσαν ἐπεσταλμέναι, κελεύσας φανερῶς ἀναγνῶναι. πᾶσαι δ' ἦσαν ὁμοίως ἐπιβουλὴν φράζουσαι. ἐπεὶ δὲ καὶ Κόϊντος Ἄῤῥιος ἀνὴρ στρατηγικὸς ἀπήγγειλε τοὺς ἐν Τυῤῥηνίᾳ καταλοχισμοὺς, καὶ Μάλλιος ἀπηγγέλλετο σὺν χειρὶ μεγάλῃ περὶ τὰς πόλεις ἐκείνας αἰωρούμενος ἀεί τι προσδοκᾶν καινὸν ἀπὸ τῆς Ῥώμης, γίνεται δόγμα τῆς βουλῆς, παρακατατίθεσθαι τοῖς

τοῖς

ruit loricæ, quo conſpectior contemplantibus periculi ſui eſſet magnitudo: qui graviter commoti latera ejus cinxere. Poſtremo repulſo iterum ſuffragiis Catilina, declarantur conſules Decius Sylanus & C. Muræna.

Non multis poſt diebus dum milites Catilinæ in Hetruria contrahuntur, & definita ad cœpta patranda dies inſtat: intempeſta nocte principes & potentiſſimi civitatis venerunt domum ad Ciceronem, M. Craſſus, M. Marcellus, Scipio Metellus. Pulſatis foribus & janitore appellato, excire ex ſomno Ciceronem, & ſe adeſſe, juſſerunt nuntiare. Erat autem res hæc: Craſſo a cœna epiſtolas reddiderat janitor ab homine allatas ignoto, alias aliis inſcriptas, ipſi Craſſo unam ſine nomine. Ea Craſſus ſola lecta, ubi literæ ſignificarunt multorum moliri Catilinam cædem, monueruntque ut civitate ſe ſubduceret, non aperuit reliquas, ſed confeſtim, tanto attonitus periculo, properavit ad Ciceronem, ſimul nonnullam, in qua ob familiaritatem erat Catilinæ, diluturus ſuſpicionem. Cicero, re deliberata, prima luce convocat ſenatum, epiſtolas reddit iis quibus erant deſtinatæ, jubetque ut eas publice legant. Continebant omnes ex æquo, inſtare inſidias. Cæterum poſtquam delectum in Hetruria haberi Quintus Martius, vir prætorius, ſignificavit, & Manlium nuntiatum eſt magna cum manu illic circa oppida conſtanter hærere, operientem aliquem motum urbanum: fit ſena-

tuſ-

τοῖς ὑπάτοις τὰ πράγματα· δεξαμένους δ' ἐκείνους, ὡς ἐπίστανται, διοικεῖν καὶ σώζειν τὴν πόλιν. τοῦτο δ' οὐ πολλάκις, ἀλλ' ὅταν τι μέγα δείσῃ, ποιεῖν εἴωθεν ἡ σύγκλητος.

Ἐπεὶ δὲ ταύτην λαβὼν τὴν ἐξουσίαν ὁ Κικέρων τὰ μὲν ἔξω πράγματα Κοΐντῳ Μετέλλῳ διεπίστευε, τὴν δὲ πόλιν εἶχε διὰ χειρὸς, καὶ καθ' ἡμέραν προῄει δορυφορούμενος ὑπ' ἀνδρῶν τοσούτων τὸ πλῆθος, ὥστε τῆς ἀγορᾶς πολὺ μέρος κατέχειν ἐμβάλλοντος αὐτοῦ τοὺς παραπέμποντας· οὐκέτι καρτερῶν τὴν μέλλησιν ὁ Κατιλίνας, αὐτὸς μὲν ἐκπηδᾶν ἔγνω πρὸς τὸν Μάλλιον ἐπὶ τὸ στράτευμα· καὶ Μάρκιον δὲ καὶ Κέθηγον ἐκέλευσε ξίφη λαβόντας ἐλθεῖν ἐπὶ τὰς θύρας ἕωθεν, ὡς ἀσπασομένους τὸν Κικέρωνα, καὶ διαχρήσασθαι προσπεσόντας. τοῦτο Φουλβία γυνὴ τῶν ἐπιφανῶν ἐξαγγέλλει τῷ Κικέρωνι, νυκτὸς ἐλθοῦσα, καὶ διακελευσαμένη φυλάττεσθαι τοὺς περὶ τὸν Κέθηγον. οἱ δ' ἧκον ἅμ' ἡμέρᾳ, καὶ κωλυθέντες εἰσελθεῖν, ἠγανάκτουν, καὶ κατεβόων ἐπὶ θύραις, ὥστε ὑποπτότεροι γενέσθαι. προελθὼν δ' ὁ Κικέρων, ἐκάλει τὴν σύγκλητον εἰς τὸ τοῦ Στησίου Διὸς ἱερὸν, ὃν Στάτωρα Ῥωμαῖοι καλοῦσιν, ἱδρυμένον ἐν ἀρχῇ τῆς ἱερᾶς ὁδοῦ, πρὸς τὸ Παλάτιον ἀνιόντων. ἐνταῦθα καὶ τοῦ Κατιλίνα μετὰ τῶν ἄλλων ἐλθόντος, ὡς ἀπολογησομένου, συγκαθίσαι μὲν οὐδεὶς ὑπέμεινε τῶν συγκλητικῶν, ἀλλὰ πάντες ἀπὸ τοῦ βάθρου μετῆλθον. ἀρξάμενος δὲ λέγειν ἐθορυβεῖτο, καὶ τέλος ἀναστὰς ὁ Κικέρων, προσέταξεν αὐτῷ τῆς πόλεως ἀπαλλάττεσθαι· δεῖν γὰρ, αὐτοῦ μὲν λόγοις, ἐκείνου δ' ὅπλοις πολιτευομένου, μέσον εἶναι τὸ τεῖχος. ὁ μὲν οὖν Κατιλίνας εὐθὺς

tuſconſultum ut committeretur conſulibus reſpublica, ii viderent ne quid reſpub. detrimenti caperet. Id non frequenter, ſed in gravi diſcrimine facere ſenatus ſolebat.

Hac poteſtate Ciceroni permiſſa, quæ agenda foris erant, Q. Metello commiſit: urbi ipſe præſidio fuit. Quotidie in publicum tanta ſtipatus caterva proceſſit, ut ejus comitatus ingredientis magna ex parte forum occuparet. Tunc Catilina, longioris moræ impatiens, excurrere ad Manlium conſtituit in caſtra, Martium & Cethegum cum gladiis juſſit ſicuti ſalutatum mane ad januam Ciceronis pergere, & irruentes eum occidere. At Fulvia hoc, nobilis fœmina, Ciceroni nocte ad eum profecta enuntiavit, monuitque eum ut caveret a Cethego & Martio. Hi quum diluculo acceſſiſſent, janua prohibiti cœperunt frendere & clamoribus inceſſere pro foribus: quæ res magis eos ſuſpectos reddidit. At Cicero progreſſus coegit ſenatum in ædem Jovis Statoris, quæ eſt in initio Sacræ viæ, qua aſcenditur in Palatium. Quo quum & Catilina veniſſet inter reliquos, velut purgaturus ſe, nemo fuit ſenator qui ei aſſidere ſuſtineret, ſed relicto ſubſellio in alteram partem tranſierunt omnes. Dicere incipienti obſtrepuerunt. Denique exſurgens Cicero urbe præcepit ei ut excederet. Opus enim eſſe, dum ipſe verbis, ille rempub. armis tractaret, ut muri in medio eſſent. Ibi Catilina confeſtim trecentis ar-

εὐθὺς ἐξελθὼν μετὰ τριακοσίων ὁπλοφόρων, καὶ περιστησάμενος αὐτῷ ῥαβδουχίας, ὡς ἄρχοντι, καὶ πελέκεις, καὶ σημαίας ἐπαράμενος, πρὸς τὸν Μάλλιον ἐχώρει. καὶ δισμυρίων ὁμοῦ τι συνηθροισμένων, ἐπῄει τὰς πόλεις ἀναπείθων καὶ ἀφιστάς· ὥστε τοῦ πολέμου φανεροῦ γεγονότος, τὸν Ἀντώνιον ἀποσταλῆναι διαμαχούμενον.

Τοὺς δ' ὑπολειφθέντας ἐν τῇ πόλει τῶν διεφθαρμένων ὑπὸ τοῦ Κατιλίνα συνῆγε καὶ παρεθάῤῥυνε Κορνήλιος Λέντλος, Σούρας ἐπίκλησιν, ἀνὴρ γένους μὲν ἐνδόξου, βεβιωκὼς δὲ φαύλως, καὶ δι' ἀσέλγειαν ἐξεληλαμένος τῆς βουλῆς πρότερον· τότε δὲ στρατηγῶν τὸ δεύτερον, ὡς ἔθος ἐστὶ τοῖς ἐξ ὑπαρχῆς ἀνακτωμένοις τὸ βουλευτικὸν ἀξίωμα. λέγεται δὲ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι τὸν Σούραν ἐξ αἰτίας τοιαύτης· ἐν τοῖς κατὰ Σύλλαν χρόνοις ταμιεύων συχνὰ τῶν δημοσίων χρημάτων ἀπώλεσε καὶ διέφθειρεν· ἀγανακτοῦντος δὲ τοῦ Σύλλα, καὶ λόγον ἀπαιτοῦντος ἐν τῇ συγκλήτῳ, προελθὼν ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, λόγον μὲν οὐκ ἔφη διδόναι, παρέχειν δὲ τὴν κνήμην· ὥσπερ πάνυ εἰώθεισαν οἱ παῖδες ὅταν ἐν τῷ σφαιρίζειν ἁμάρτωσιν. ἐκ τούτου Σούρας παρωνομάσθη· σούραν γὰρ οἱ Ῥωμαῖοι τὴν κνήμην λέγουσι. πάλιν δὲ δίκην ἔχων, καὶ διαφθείρας ἐνίους τῶν δικαστῶν, ἐπεὶ δυσὶ μόναις ἀπέφυγε ψήφοις, ἔφη παρανάλωμα γεγονέναι τὸ θατέρῳ κριτῇ δοθέν· ἀρκεῖν γὰρ εἰ καὶ μιᾷ ψήφῳ μόνον ἀπελύθη. τοῦτον ὄντα τῇ φύσει τοιοῦτον, κεκινημένον ὑπὸ τοῦ Κατιλίνα, προσδιέφθειραν ἐλπίσι κεναῖς ψευδομάντεις καὶ γόητες, ἔπη πεπλασμένα καὶ χρησμοὺς ᾄδοντες, ὡς ἐκ τῶν Σιβυλλείων

armatis comitatus urbem reliquit, ac quaſi cum imperio eſſet, cum lictoribus faſcibuſque & ſignis correptis ad Manlium contendit. Contractis ferme viginti millibus, adiit oppida, ad defectionem ea ſolicitans. Itaque quum apertum eſſet bellum, miſſus eſt cum exercitu contra eum Antonius.

Relictos in urbe, quos labefactaverat Catilina, convocavit & confirmavit Cornelius Lentulus, Sura cognomine, claro vir genere, ſed vita turpi, atque ob vitam flagitioſam ante ſenatu motus. Prætor tunc iterum erat, ut mos eſt quum quis in ſenatum eſt denuo electus. Fama eſt Suram eum appellatum fuiſſe ex hujuſcemodi cauſa. Dominante Sylla quæſtor magnam ſummam profuderat abligurieratque pecuniæ publicæ. Stomachante Sylla, ac rationes ab eo in curia repoſcente, procedens in medium ſecure admodum & contemptim, rationes ait ſe reddere non poſſe, ſed præbere ſuram, puerorum ſcilicet more: quum in ludo pilæ offenderunt. Hinc appellatus eſt Sura. Protractus iterum in judicium, quum nonnullos judices pecunia redemiſſet, atque duabus duntaxat ſententiis ſuperaſſet abſolutoriis damnatorias, quod alteri judici dediſſet nequicquam ait impenſum fuiſſe: ſatis enim eſſe modo una tantum ſententia plus eſſet liberatus. Tali hunc ingenio & a Catilina incenſum vani inſuper vates & præſtigiatores ſpe dementaverant inani, carmina conficta & ſortes canentes, quaſi ex libris Sibyllinis

βυλλείων προδηλοῦντας εἱμαρμένους εἶναι τῇ Ῥώμῃ Κορνηλίους τρεῖς μονάρχους· ὧν δύο μὲν ἤδη πεπληρωκέναι τὸ χρεὼν, Κίνναν τε καὶ Σύλλαν, τρίτῳ δὲ λοιπῷ Κορνηλίῳ ἐκείνῳ φέροντα τὴν μοναρχίαν ἥκειν τὸν δαίμονα, καὶ δεῖν πάντως δέχεσθαι, καὶ μὴ διαφθείρειν μέλλοντα τοὺς καιροὺς, ὥσπερ Κατιλίναs.

Οὐδὲν οὖν ἐπενόει μικρὸν ὁ Λέντλος ἢ ἄσημον, ἀλλ' ἐδέδοκτο τὴν βουλὴν ἅπασαν ἀναιρεῖν, τῶν τ' ἄλλων πολιτῶν ὅσους δύναιτο, τὴν πόλιν δ' αὐτὴν καταπιμπράναι· φείδεσθαί τε μηδενὸς ἢ τῶν Πομπηΐου τέκνων· ταῦτα δ' ἐξαρπασαμένους ἔχειν ὑφ' αὑτοῖς, καὶ φυλάττειν, ὅμηρα τῶν πρὸς Πομπήϊον διαλύσεων. ἤδη γὰρ ἐφοίτα πολὺς λόγος καὶ βέβαιος ὑπὲρ αὐτοῦ κατιόντος ἀπὸ τῆς μεγάλης στρατείας. καὶ νὺξ μὲν ὥριστο πρὸς τὴν ἐπίθεσιν μία τῶν Κρονιάδων· ξίφη δὲ καὶ στυππεῖα καὶ θεῖον εἰς τὴν Κεθήγου φέροντες οἰκίαν ἀπέκρυψαν. ἄνδρας δὲ τάξαντες ἑκατὸν, καὶ μέρη τοσαῦτα τῆς Ῥώμης, ἕκαστον ἐφ' ἑκάστῳ διεκληρώσαν, ὡς δι' ὀλίγου πολλῶν ἁψάντων φλέγοιτο πανταχόθεν ἡ πόλις. ἄλλοι δὲ τοὺς ὀχετοὺς ἔμελλον ἐμφράξαντες ἀποσφάττειν τοὺς ὑδρευομένους. πραττομένων δὲ τούτων, ἔτυχον ἐπιδημοῦντες Ἀλλοβρίγων δύο πρέσβεις, ἔθνους μάλιστα δὴ τότε πονηρὰ πράττοντος, καὶ βαρυνομένου τὴν ἡγεμονίαν. τούτους οἱ περὶ Λέντλον ὠφελίμους ἡγούμενοι πρὸς τὸ κινῆσαι καὶ μεταβαλεῖν τὴν Γαλατίαν, ἐποιήσαντο συνωμότας. καὶ γράμματα μὲν αὐτοῖς πρὸς τὴν ἐκεῖ βουλὴν, γράμματα δὲ πρὸς Κατιλίναν ἔδοσαν, τῇ μὲν ὑπισχνούμενοι τὴν ἐλευθερίαν, τὸν δὲ Κατιλίναν παρακαλοῦντες ἐλευθερώσαντα τοὺς δούλους ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. συναπέστελλον δὲ μετ' αὐτῶν πρὸς τὸν Κατιλίναν Τίτον τινὰ Κροτωνιάτην, κομίζοντα

linis prænuntiantes in fatis eſſe ut tres Cornelii Romæ rerum potirentur: eorum duos fatum jam impleviſſe, Cinnam & Syllam: tertio, qui ſupereſſet, Cornelio Deos ipſi dominationem deferre: quin ſuſciperet, nec cunctando ſicut Catilina corrumperet opportunitatem.

Igitur nihil Lentulus mediocre aut leve agitavit, ſed totum ſtatuit ſenatum interficere, & ex cæteris civibus quos poſſet, urbem ipſam incendere, parcere præter Pompeii liberos nemini: hos incolumes ſuæ poteſtatis facere, & pignora retinere ſuæ ad Pompeium ſecuritatis. Frequens jam enim rumor & conſtans advolabat, confecto cum illo ingenti bello ad urbem redire. Noctem huic facinori deſtinaverant unam ex Saturnalibus. Enſes, ſtuppam, ſulphur clam domum Cethegi comportaverant. Urbem in centum partes deſcripſerant, iiſque centum viros præfecerant, ſingulos ſingulis ſorte ductos, ut momento multis ignem ſubjicientibus urbs undique conflagraret. Alii obſtructuri erant aquæductus & aquantes obtruncaturi. Dum hæc parantur, forte legati duo Allobrogum Romæ agebant, gentis tum plurimum afflictæ atque exoſæ Romani imperii jugum. Hos Lentulus cum ſuis, rati opportunos ad movendam ſollicitandamque Galliam, aſſociaverunt conjurationi, & literas iis ad ipſorum magiſtratus, alias dederant ad Catilinam. Illis oſtendebant libertatem, his Catilinam adhortabantur, ut vocatis ad libertatem ſervitiis duceret ad urbem. Cum his Titum quendam Crotonienſem, qui literas fer-

μείζοντα τὰς ἐπιστολάς. οἷα δὲ ἀνθρώπων ἀσταθμήτων καὶ μετ' οἴνου τὰ πολλὰ καὶ γυναικῶν ἀλλήλοις ἐντυγχανόντων βουλεύματα, πόνῳ καὶ λογισμῷ νήφοντι καὶ συνέσει περιττῇ διώκων ὁ Κικέρων, καὶ πολλοὺς μὲν ἔχων ἔξωθεν ἐπισκοποῦντας τὰ πραττόμενα καὶ συνεξιχνεύοντας αὐτῷ, πολλοῖς δὲ τῶν μετέχειν δοκούντων τῆς συνωμοσίας διαλεγόμενος κρύφα, καὶ πιστεύων, ἔγνω τὴν πρὸς τοὺς ξένους κοινολογίαν· καὶ νυκτὸς ἐνεδρεύσας, ἔλαβε τὸν Κροτωνιάτην καὶ τὰ γράμματα, συνεργούντων ἀλλήλοις ἀδήλως τῶν Ἀλλοβρίγων.

Ἅμα δ' ἡμέρᾳ βουλὴν ἀθροίσας εἰς τὸ τῆς Ὁμονοίας ἱερὸν, ἐξανέγνω τὰ γράμματα, καὶ τῶν μηνυτῶν διήκουσεν. ἔφη δὲ καὶ Σιλανὸς Ἰούνιος ἀκηκοέναι τινὰς Κεθήγου λέγοντος, ὡς ὕπατοί τε τρεῖς καὶ στρατηγοὶ τέτταρες ἀναιρεῖσθαι μέλλουσι. τοιαῦτα δ' ἕτερα καὶ Πείσων ἀνὴρ ὑπατικὸς εἰσήγγελε. Γάϊος δὲ Σουλπίκιος, εἷς τῶν στρατηγῶν, ἐπὶ τὴν οἰκίαν πεμφθεὶς τοῦ Κεθήγου, πολλὰ μὲν ἐν αὐτῇ βέλη καὶ ὅπλα, πλεῖστα δὲ ξίφη καὶ μαχαίρας εὗρε νεοθήκτους ἁπάσας. τέλος δὲ τῷ Κροτωνιάτῃ ψηφισαμένης ἄδειαν ἐπὶ μηνύσει τῆς βουλῆς, ἐξελεγχθεὶς ὁ Λέντλος ἀπωμόσατο τὴν ἀρχὴν (στρατηγῶν γὰρ ἐτύγχανε) καὶ τὴν περιπόρφυρον ἐν τῇ βουλῇ καταθέμενος, διήλλαξεν ἐσθῆτα τῇ συμφορᾷ πρέπουσαν. οὗτος μὲν οὖν καὶ οἱ σὺν αὐτῷ παρεδόθησαν εἰς ἄδεσμον φυλακὴν τοῖς στρατηγοῖς. ἤδη δ' ἑσπέρας οὔσης, καὶ τοῦ δήμου περιμένοντος ἀθρόου, προελθὼν ὁ Κικέρων, καὶ φράσας τὸ πρᾶγμα τοῖς πολίταις, καὶ προπεμφθεὶς, παρῆλθεν εἰς οἰκίαν φίλου γειτνιῶντος· ἐπεὶ τὴν ἐκείνου γυναῖκες κατεῖχον, ἱεροῖς ἀπορρήτοις ὀργιάζουσαι Θεὸν, ἣν Ῥω-

ferret, miſerunt. Hæc, ut hominum temerariorum, & per vinum fere atque cum mulieribus inter ſe conferentium conſilia, induſtria Cicero ac ſobria mente magnaque prudentia venans, quum multos haberet etiam foris emiſſarios, qui obſervarent & ſibi inveſtigarent quæ gererentur: cum multis quoque qui eſſe conſortes credebantur conjurationis, ſecreta colloquia haberet, quibus fideret: cognovit quæ cum legatis fuerant acta: collocatiſque nocte inſidiis, Crotonienſem cum epiſtolis comprehendit, facientibus occulte cum eo Allobrogibus.

Senatu, ubi illuxit, in ædem Concordiæ advocato, recitavit literas, & indices diligenter interrogavit. Addidit Junius Silanus, eſſe qui ex Cethego audiviſſent brevi fore ut tres conſules & quatuor prætores interficerentur. Alia etiam hujuſcemodi Piſo, vir conſularis, retulit. C. Sulpitius prætor domum Cethegi miſſus, magnam vim ibi telorum & armorum, plurimos pugiones & gladios, omnes recens exacutos, deprehendit. Poſtremo Crotonienſi fide publica dicere a ſenatu quæ ſciret juſſo, convictus Lentulus, magiſtratum, quod prætor eſſet, abdicavit, depoſitaque in curia prætexta, veſtem ſumpſit præſenti calamitati convenientem: atque is itemque conſortes ejus prætoribus traditi ſunt, ut in liberis cuſtodiis haberentur. Obſcura jam luce quum frequens plebs exſpectaret, progreſſus Cicero, quæ acta eſſent, expoſuit populo. Inde deduxerunt eum in ædes amici vicini: nam ipſius domum tenebant mulieres quæ ar-

Ῥωμαῖοι μὲν Ἀγαθὴν, Ἕλληνες δὲ Γυναικείαν ὀνομάζουσι. θύεται δ' αὐτῇ κατ' ἐνιαυτὸν ἐν τῇ οἰκίᾳ τοῦ ὑπάτου διὰ γυναικὸς ἢ μητρὸς αὐτοῦ, τῶν ἑστιάδων παρθένων παρουσῶν. εἰσελθὼν οὖν ὁ Κικέρων καθ' αὑτὸν, ὀλίγων παντάπασιν αὐτῷ παρόντων, ἐφρόντιζεν ὅπως χρήσαιτο τοῖς ἀνδράσι. τήν τε γὰρ ἄκραν καὶ προσήκουσαν ἀδικήμασι τηλικούτοις τιμωρίαν ἐξευλαβεῖτο καὶ κατώκνει, δι' ἐπιείκειαν ἤθους ἅμα, καὶ ὡς μὴ δοκοίη τῆς ἐξουσίας ἄγαν ἐμφορεῖσθαι, καὶ πικρῶς ἐπεμβαίνειν ἀνδράσι γένει τε πρώτοις, καὶ φίλους δυνατοὺς ἐν τῇ πόλει κεκτημένοις· μαλακώτερόν τε χρησάμενος, ὠῤῥώδει τὸν ἀπ' αὐτῶν κίνδυνον. οὐ γὰρ ἀγαπήσειν μετριώτερόν τι θανάτου παθόντας, ἀλλ' εἰς ἅπαν ἀναῤῥαγήσεσθαι τόλμης, τῇ παλαιᾷ κακίᾳ νέαν ὀργὴν προσλαβόντας· αὐτός τε δόξειν ἄνανδρος καὶ μαλακὸς, οὐδ' ἄλλως δοκῶν εὐτολμότατος εἶναι τοῖς πολλοῖς.

Ταῦτα τοῦ Κικέρωνος διαποροῦντος, γίνεταί τι ταῖς γυναιξὶ σημεῖον θυούσαις. ὁ γὰρ βωμὸς, ἤδη τοῦ πυρὸς κατακεκοιμῆσθαι δοκοῦντος, ἐκ τῆς τέφρας καὶ τῶν κεκαυμένων φλοιῶν φλόγα πολλὴν ἀνῆκε καὶ λαμπράν. ὑφ' ἧς αἱ μὲν ἄλλαι διεπτοήθησαν, αἱ δ' ἱεραὶ παρθένοι τὴν τοῦ Κικέρωνος γυναῖκα Τερεντίαν ἐκέλευσαν ᾗ τάχος χωρεῖν πρὸς τὸν ἄνδρα, καὶ κελεύειν οἷς ἔγνωκεν ἐγχειρεῖν ὑπὲρ τῆς πατρίδος· ὡς μέγα πρός τε σωτηρίαν καὶ δόξαν αὐτῷ τῆς Θεοῦ φῶς διδούσης. ἡ δὲ Τερεντία (καὶ γὰρ οὐδ' ἄλλως ἦν πρᾳεῖά τις οὐδὲ ἄτολμος τὴν φύσιν, ἀλλὰ φιλότιμος γυνὴ, καὶ μᾶλλον, ὡς αὐτός φησιν ὁ Κικέρων, τῶν πολιτικῶν μεταλαμβάνουσα παρ' ἐκείνου φροντίδων, ἢ με-

arcanis ſacris Bonæ Deæ, quam Græci appellant Muliebrem, operabantur. Hæc ſacra quotannis in ædibus conſulis uxor ejus aut mater virginibus Veſtalibus præſentibus obit. Ingreſſus Cicero, perpaucis præſentibus volvit ſecum quid de iſtis hominibus ſtatueret. Siquidem extremum & tam atrocibus par facinoribus ſupplicium dubitabat & verebatur perſequi, cum miti ſuo inductus ingenio, tum ne poteſtate ſua luxuriare videretur, inſolentiuſque inſultare viris nobiliſſimis & potentes habentibus amicos: ſin mollius conſuleret, formidabat propoſitum ſibi ab iis periculum: neque enim acquieturos eos ſi leviore quam capitali defungerentur pœna, ſed adjuncta ad priſtinam improbitatem nova ira in omnem exarſuros audaciam: deinde notam ſe timiditatis & mollitiei incurſurum, qui alioqui non haberetur vulgo nimium animoſus.

Hæc agitante Cicerone, fœminis offertur in ſolennibus oſtentum. Ara, quum ignem jam appareret ſopitum, ex cinere & deuſtis corticibus ingentem & luculentam edidit flammam: quæ res alias defixit terrore, verum virgines Veſtales uxori Ciceronis Terentiæ imperarunt ad virum properaret, moneretque eum conſilia ſua pro patriæ incolumitate ut exequeretur: magnum ei a Dea adferri ad ſalutem & gloriam lumen. Terentia, quæ nec alias leni eſſet, nec pavido ingenio, verum ambitioſo, magiſque, (ut ipſe refert Cicero) in conſilia quæ de republica ha-

μεταδιδοῦσα τῶν οἰκειακῶν ἐκείνῳ) ταῦτά τε πρὸς αὐτὸν ἔφρασε, καὶ παρώξυνεν ἐπὶ τοὺς ἄνδρας. ὁμοίως δὲ καὶ Κόϊντος ὁ ἀδελφὸς, καὶ τῶν ἀπὸ φιλοσοφίας ἑταίρων Πόπλιος Νιγίδιος, ᾧ τὰ πλεῖστα καὶ μέγιστα παρὰ τὰς πολιτικὰς ἐχρῆτο πράξεις. τῇ δ' ὑστεραίᾳ γινομένων ἐν συγκλήτῳ λόγων περὶ τιμωρίας τῶν ἀνδρῶν, ὁ πρῶτος ἐρωτηθεὶς γνώμην Σιλανὸς, εἶπε τὴν ἐσχάτην δίκην δοῦναι προσήκειν, ἀχθέντας εἰς τὸ δεσμωτήριον. καὶ προσετίθεντο τούτῳ πάντες ἐφεξῆς, μέχρι Γαΐου Καίσαρος, τοῦ μετὰ ταῦτα δικτάτωρος γενομένου. τότε δὲ νέος ὢν ἔτι, καὶ τὰς πρώτας ἔχων τῆς αὐξήσεως ἀρχὰς, ἤδη δὲ τῇ πολιτείᾳ καὶ ταῖς ἐλπίσιν εἰς ἐκείνην τὴν ὁδὸν ἐμβεβηκὼς ᾗ τὰ Ῥωμαίων εἰς μοναρχίαν μετέστησε πράγματα, τοὺς μὲν ἄλλους ἐλάνθανε, τῷ δὲ Κικέρωνι πολλὰς μὲν ὑποψίας, λαβὴν δ' οὐδεμίαν εἰς ἔλεγχον παρέδωκεν, ἀλλὰ καὶ λεγόντων ἦν ἐνίων ἀκούειν, ὡς ἐγγὺς ἐλθὼν ἁλῶναι, διεκφύγοι τὸν ἄνδρα. τινὲς δέ φασι παριδεῖν ἑκόντα καὶ παραλιπεῖν τὴν κατ' ἐκείνου μήνυσιν, φόβῳ τῶν φίλων αὐτοῦ καὶ τῆς δυνάμεως· παντὶ γὰρ εἶναι πρόδηλον ὅτι μᾶλλον ἂν ἐκεῖνοι γένοιντο προσθήκη Καίσαρι σωτηρίας, ἢ Καῖσαρ ἐκείνοις κολάσεως.

Ἐπεὶ δ' οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτὸν, ἀναστὰς ἀπεφήνατο μὴ θανατοῦν τοὺς ἄνδρας, ἀλλὰ τὰς οὐσίας εἶναι δημοσίας, αὐτοὺς δ' ἀπαχθέντας εἰς πόλεις τῆς Ἰταλίας ἃς ἂν δοκῇ Κικέρωνι, τηρεῖσθαι δεδεμένους, ἄχρις ἂν οὗ καταπολεμηθῇ Κατιλίνας. οὔσης δὲ τῆς γνώμης ἐπιεικοῦς, καὶ τοῦ λέγοντος εἰπεῖν δυνατωτάτου, ῥοπὴν ὁ Κικέρων προσέθηκεν οὐ μικράν. αὐτός τε γὰρ

haberet, inferret ſe, quam ei participaret domeſtica: aperuit ei hæc, & in conjuratos incendit: Quintus item ejus frater & in philoſophia ſocius P. Nigidius, cujus fere graviſſimis in negotiis publicis utebatur conſilio. Poſtero die quum ad ſenatum de conjuratorum ſupplicio eſſet relatum, Silanus primo loco ſententiam rogatus condendos cenſuit in carcerem, atque ibi ultimo ſupplicio in eos animadvertendum. Hujus ſententiæ omnes deinceps aſſenſi ſunt uſque ad C. Cæſarem, qui poſt dictator fuit. Juvenis tunc erat & in primis incrementi rudimentis: qui jam tum actionibus ſuis & ſpe eam ingreſſus viam qua rempub. vertit in principatum, cæteros fefellit, Ciceroni multis modis ſuſpectus, cavit tamen ne aliquo indicio ſe teneret: immo multi ſunt qui dicunt quamvis eſſet tantum non compertus, elapſum fuiſſe Ciceroni tamen. Alii referunt metu ejus amicorum & opum ultro eum conniviſſe, & repudiaſſe delata adverſus eum indicia. Omnibus enim conſtitit citius illos Cæſari acceſſionem fore ad ſalutem, quam ad punitionem illis Cæſarem.

Ut vero ad eum ventum eſt ut diceret ſententiam, exſurgens cenſuit non infligendam iis mortem, ſed publicandam pecuniam, ipſos per municipia, quæ Cicero probaret, dum eſſet cum Catilina debellatum, in vinculis habendos. Cui ſententiæ, quia mitis erat, & ille qui dixerat, diſertiſſimus, non parum Cicero adjecit momenti. Surgens enim diſſeruit

γὰρ ἀναστὰς ἐνεχείρησεν εἰς ἑκάτερον, τὰ μὲν τῇ προτέρᾳ, τὰ δὲ τῇ γνώμῃ Καίσαρος συνειπών· οἵ τε φίλοι πάντες, οἰόμενοι τῷ Κικέρωνι συμφέρειν τὴν Καίσαρος γνώμην (ἧττον γὰρ ἐν αἰτίαις ἔσεσθαι μὴ θανατώσαντα τοὺς ἄνδρας) ᾑροῦντο τὴν δευτέραν μᾶλλον γνώμην, ὥστε καὶ τὸν Σιλανὸν αὖθις μεταβαλλόμενον παραιτεῖσθαι, καὶ λέγειν ὡς οὐδ' αὐτὸς εἴποι θανατικὴν γνώμην· ἐσχάτην γὰρ ἀνδρὶ βουλευτῇ Ῥωμαίων εἶναι δίκην τὸ δεσμωτήριον. εἰρημένης δὲ τῆς γνώμης, πρῶτος ἀντέκρουσεν αὐτῇ Κάτλος Λουτάτιος· εἶτα δεξάμενος Κάτων, καὶ τῷ λόγῳ σφοδρῶς συναπερείσας ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν, ἐνέπλησε θυμοῦ καὶ φρονήματος τὴν σύγκλητον, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν. περὶ δὲ δημεύσεως χρημάτων ἐνίστατο Καῖσαρ, οὐκ ἀξιῶν τὰ φιλάνθρωπα τῆς ἑαυτοῦ γνώμης ἐκβαλόντας, ἑνὶ χρήσασθαι τῷ σκυθρωποτάτῳ. βιαζομένων δὲ πολλῶν, ἐπεκαλεῖτο τοὺς δημάρχους. οἱ δ' οὐχ ὑπήκουον, ἀλλὰ Κικέρων αὐτὸς ἐνδοὺς ἀνῆκε τὴν περὶ δημεύσεως γνώμην.

Ἐχώρει δὲ μετὰ τῆς βουλῆς ἐπὶ τοὺς ἄνδρας. οὐκ ἐν ταὐτῷ δὲ πάντες ἦσαν, ἀλλ' ἄλλος δ' ἄλλον ἐφύλαττε τῶν στρατηγῶν. καὶ πρῶτον ἐκ Παλατίου παραλαβὼν τὸν Λέντλον, ἦγε διὰ τῆς ἱερᾶς ὁδοῦ, καὶ τῆς ἀγορᾶς μέσης, τῶν μὲν ἡγεμονικωτάτων ἀνδρῶν κύκλῳ περιεσπειραμένων καὶ δορυφορούντων, τοῦ δὲ δήμου φρίττοντος τὰ δρώμενα, καὶ παριόντος σιωπῇ· μάλιστα δὲ τῶν νέων, ὥσπερ ἱεροῖς τισι πατρίοις ἀριστοκρατικῆς τινὸς ἐξουσίας, τελεῖσθαι μετὰ φόβου

ſeruit in utramque partem, hinc priori, hinc Cæſaris aſtipulans ſententiæ. Amici quoque magis arbitrati omnes ſententiam expedire Cæſaris Ciceroni, (minus enim calumniæ ſubiturum ſi non interfeciſſet conjuratos) maluerunt in alteram ſententiam diſcedere: ut etiam immutatus Silanus retractaret ſe, negaretque capitalem ſe dixiſſe ſententiam: ultimum enim ſenatori populi Romani eſſe carcerem ſupplicium. Poſtquam aſſedit Cæſar, primus eam ſententiam Lutatius Catulus impugnavit. Hunc Cato ſequutus, & in dicendo gravi ſuſpicione aſpergens Cæſarem, inflammavit erexitque ſenatum. Decernunt itaque in eos ſupplicium capitale. De publicandis bonis repugnavit Cæſar, ne, qui mitiſſimam partem ſententiæ ſuæ rejeciſſent, excerperent ex ea quod haberet triſtiſſimum. Inſiſtentibus multis appellavit tribunos, nec illi interceſſere, at ceſſit Cicero ipſe, remiſitque illam de publicandis bonis ſententiæ partem.

Inde profectus cum ſenatu Cicero ad conjuratos: non erant autem eodem omnes loco, ſed diverſi prætores alius alium in cuſtodia habebat. Primum ex palatio Lentulum accepit, quem ſacra via medioque foro deduxit. Primores civitatis undique circumfuſi ſtipabant eum. Populus ſilentio præteribat trepidus ea rerum facie. Juventus præcipue ſpeciem præbebat quaſi ſacris patriis ſummæ optimatium poteſtatis cum trepidatione &

φόβου καὶ θάμβους δοκούντων. διελθὼν δὲ τὴν ἀγορὰν, καὶ γενόμενος πρὸς τῷ δεσμωτηρίῳ, παρέδωκε τὸν Λέντλον τῷ δημίῳ, καὶ προσέταξεν ἀνελεῖν· εἶθ' ἑξῆς τὸν Κέθηγον, καὶ οὕτω τῶν ἄλλων ἕκαστον καταγαγὼν ἀπέκτεινεν. ὁρῶν δὲ πολλοὺς ἔτι τῆς συνωμοσίας ἐν ἀγορᾷ συνεστῶτας ἀθρόους, καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας, ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρπασθῆναι, φθεγξάμενος μέγα πρὸς αὐτοὺς, ἔζησαν, εἶπεν. οὕτω δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι, τὸ τεθνάναι σημαίνουσιν. ἤδη δ' ἦν ἑσπέρα, καὶ δι' ἀγορᾶς ἀνέβαινεν εἰς τὴν οἰκίαν, οὐκέτι σιωπῇ τῶν πολιτῶν οὐδὲ τάξει προπεμπόντων αὐτὸν, ἀλλὰ φωναῖς καὶ κρότοις δεχομένων καθ' οὓς γένοιτο, σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. τὰ δὲ φῶτα πολλὰ κατέλαμπε τοὺς στενωποὺς, λαμπάδια καὶ δᾷδας ἱστάντων ἐπὶ ταῖς θύραις. αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν προὔφαινον ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρὸς ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος· ὧν οἱ πλεῖστοι πολέμους τε κατειργασμένοι μεγάλους, καὶ διὰ θριάμβων εἰσεληλακότες, καὶ προσκεκτημένοι γῆν καὶ θάλατταν οὐκ ὀλίγην, ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον, ἀσφαλείας δὲ καὶ σωτηρίας ἑνὶ μόνῳ Κικέρωνι, τηλικοῦτον ἀφελόντι καὶ τοσοῦτον αὐτοῦ κίνδυνον. οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα, καὶ κολάσαι τοὺς πράττοντας, ἐδόκει θαυμαστόν· ἀλλ' ὅτι μέγιστος ὢν τῶν πώποτε νεωτερισμῶν, οὗτος ἐλαχί-

στοις

& horrore initiarentur. Ut medio foro ad carcerem acceſſit, tradidit Lentulum carnifici necandum. Inde Cethegum, mox reliquorum quemque deduxit in carcerem, ac ſupplicio affecit. Qui quum frequentes adhuc conſpiceret conjurationis conſortes in foro ſtantes conglobatos, ignaros eorum quæ facta fuerant, & quaſi etiamnum ſupereſſent iſti atque eripi valerent, noctem operientes, alta voce dixit ad eos, Vixerunt. Ita Romani vitantes verbi atrocitatem, interfectos ſignificant eſſe. Jam nox erat quum per forum reciperet ſe domum: tum non ultra tenuerunt ſilentium cives, neque ſedate deduxerunt eum: ſed ut quoſque præteribat, acclamationibus exceperunt & plauſibus, ſervatorem & conditorem patriæ appellantes. Viæ crebris lampadibus & facibus, quas accenderant pro foribus, collucebant. Prælucebant ex tectis matronæ, ornandi & contemplandi cauſa Ciceronis, quem ampliſſima frequentia domum reducebant principes: quorum plerique magnis perpetratis bellis, poſt triumphos actos, & in multum auctum terra marique imperium, incedebant aperte inter ſe ferentes populum Romanum multis ejus ævi imperatoribus & ducibus pecuniam, manubias, & incrementum potentiæ referre accepta: ſecuritatem & ſalutem uni tantum Ciceroni, qui tantum & tam ſævum ipſorum diſcuſſiſſet periculum. Neque enim reprimere cœpta potuiſſe & punire flagitioſos videbatur mirandum: ſed quæ maxima fuiſſet omnis memoriæ conjuratio, hanc quod quam minimo detrimento ſine ſe-

στοις κακοῖς ἄνευ στάσεως καὶ ταραχῆς κατέσβεσε. καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συνερρυηκότων πρὸς αὐτὸν, ἅμα τῷ πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον, ἐγκαταλιπόντες ᾤχοντο· καὶ μετὰ τῶν συμμεμενηκότων αὐτῷ διαγωνισάμενος πρὸς Ἀντώνιον, αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον.

Οὐ μὴν ἀλλ' ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς· ἔχοντες ἡγεμόνας τῶν εἰς τὸ μέλλον ἀρχόντων, Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν δημαρχοῦντας. οἳ τὴν ἀρχὴν παραλαβόντες ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἄρχοντος, οὐκ εἴων δημηγορεῖν αὐτὸν, ἀλλ' ὑπὲρ τῶν ἐμβόλων βάθρα θέντες, οὐ παρίεσαν, οὐδ' ἐπέτρεπον λέγειν· ἀλλ' ἐκέλευον, εἰ βούλοιτο μόνον περὶ τῆς ἀρχῆς ἀπομόσασθαι, καταβαίνειν. κἀκεῖνος ἐπὶ τούτοις ὡς ὀμόσων προῆλθε· καὶ γενομένης αὐτῷ σιωπῆς, ὤμνυεν οὐ τὸν πάτριον ἀλλ' ἴδιόν τινα καὶ καινὸν ὅρκον, ἦ μὴν σεσωκέναι τὴν πατρίδα, καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. ἐπώμνυε δὲ τὸν ὅρκον αὐτῷ σύμπας ὁ δῆμος. ἐφ' οἷς ἔτι μᾶλλον ὅ, τε Καῖσαρ οἵ, τε χιλίαρχοι χαλεπαίνοντες, ἄλλας τε τῷ Κικέρωνι ταραχὰς ἐμηχανῶντο· καὶ νόμος ὑπ' αὐτῶν εἰσήγετο, καλεῖν Πομπήϊον μετὰ τῆς στρατιᾶς, ὡς δὴ καταλύσοντα τὴν Κικέρωνος δυναστείαν. ἀλλ' ἦν ὄφελος μέγα τῷ Κικέρωνι καὶ πάσῃ τῇ πόλει δημαρχῶν τότε Κάτων, καὶ τοῖς ἐκείνου πολιτεύμασιν ἀπ' ἴσης μὲν ἐξουσίας, μείζονος δὲ δόξης ἀντιτασσόμενος. τά τε γὰρ ἄλλα ῥᾳδίως ἔλυσε, καὶ τὴν Κικέρωνος ὑπατείαν οὕτως ἦρε τῷ λόγῳ μεγάλην δημηγορήσας, ὥστε τιμὰς αὐτῷ τῶν πώποτε μεγίστας ψηφίσασθαι, καὶ προσαγορεῦσαι πα-

ſeditione & motu reſtinxiſſet. Etenim Catilinam plerique, qui ad eum confluxerant, audito caſu Lentuli & Cethegi illico deſeruere. Ille iis copiis quas reliquas ſecum habebat, collatis cum Antonio ſignis, cum exercitu eſt cæſus.

Neque vero defuerunt nonnulli qui horum factorum ratione lacerare Ciceronem & fatigare intenderent, ducibus deſignatis magiſtratibus Cæſare prætore, Metello & Beſtia tribunis plebis: qui inito magiſtratu, quum pauci adhuc dies Ciceroni conſulatus ſupereſſent, non fecerunt ei copiam concionis habendæ: ſed poſitis pro roſtris ſubſelliis, non fecerunt ei jus neque poteſtatem dicendi: tantum permiſerunt, ſi ei videretur, ut ejuraret magiſtratum, ſtatimque deſcenderet. Ita ille ut juraturus progreſſus, facto ſilentio juravit non ſolenne, ſed peculiare quoddam & novum jusjurandum, Se patriam conſervaſſe & tutatum imperium: quod vere eum juraſſe, populus univerſus juravit. Qua re vehementius Cæſar & tribuni acerbati, cum alias procellas excitaverunt Ciceroni, tum legem ſuaſerunt, ut Pompeius acciretur cum exercitu ad dominatum reprimendum Ciceronis. Verum cecidit opportune Ciceroni atque univerſæ reipublicæ quod id temporis tribunus plebis eſſet Cato: qui illorum actionibus pari præditus poteſtate & majore exiſtimatione objecit ſe. Hic enim & alia nullo negotio reflexit, & Ciceronis conſulatum ita extulit concionibus ſuis, ut honores ei decernerentur omnium ampliſſimi, & pater patriæ

ſ

ap-

πατέρα πατρίδος. πρώτῳ γὰρ ἐκείνῳ δοκεῖ τοῦτο καθυπάρξαι, Κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος.

Καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε, πολλοῖς δ' ἐπίφθονον ἑαυτὸν ἐποίησεν ἀπ' οὐδενὸς ἔργου πονηροῦ, τῷ δ' ἐπαινεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν ὑπὸ πολλῶν δυσχεραινόμενος. οὔτε γὰρ βουλὴν, οὔτε δῆμον, οὔτε δικαστήριον ἦν συνελθεῖν, ἐν ᾧ μὴ Κατιλίναν ἔδει θρυλλούμενον ἀκοῦσαι καὶ Λέντλον. ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματα τῶν ἐγκωμίων. καὶ τὸν λόγον ἥδιστον ὄντα καὶ χάριν ἔχοντα πλείστην, ἐπαχθῆ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηρὸς αὐτῷ τῆς ἀηδίας ταύτης προσούσης. ὅμως δὲ καίπερ οὕτως ἀκράτῳ φιλοτιμίᾳ συνὼν, ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ καὶ τοὺς καθ' αὐτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν ἐστι. πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσιν· οἷον περὶ Ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη ῥέοντος· καὶ περὶ τῶν Πλάτωνος διαλόγων, ὡς τοῦ Διὸς, εἰ λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλεγομένου. τὸν δὲ Θεόφραστον εἰώθει τρυφὴν ἰδίαν ἀποκαλεῖν. περὶ δὲ τῶν Δημοσθένους λόγων ἐρωτηθεὶς τίνα δοκοίη κάλλιστον εἶναι, τὸν μέγιστον εἶπε. καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν, ἐπιφύονται φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινας τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ, γράψας ἐνιαχοῦ τῶν λόγων ἀπονυστάζειν τὸν Δημοσθένην· τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρὸς, καὶ ὅτι περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων, τοὺς κατ' Ἀντωνίου, Φιλιππικοὺς ἐπέγραψεν,

appellaretur. Quod ei nomen tributum ſane eſt primo, quum eum ita in concione nominaſſet Cato.

Fuit ea tempeſtate autoritas ejus in civitate ſumma: verum invidiam conflavit ſibi, nullo ille quidem flagitio, ſed quod ſe ipſe laudaret & celebraret aſſidue, offendit multos. Ubique enim, ſive in ſenatu, ſive in concione, ſive in judiciis, habuit in ore Catilinam & Lentulum. Libros denique & ſcripta laudibus complevit ſuis, jucundiſſimamque ſuam & venuſtiſſimam dictionem odioſam reddidit & ingratam auditoribus, hac eum quaſi morbo aliquo ſemper comitante importunitate. Veruntamen quanquam ſupra modum cupiditate flagravit gloriæ, caruit invidiæ tamen adverſus alios vitio. Quippe, ut teſtantur ejus monumenta, effuſiſſime & veteres & æquales ſuos celebravit, & multa memorantur dicta ejus: velut de Ariſtotele, manantis eſſe eum flumen auri: & de dialogis Platonis, Jovem ſi loqui vellet, ita dicturum. Theophraſtum aſſueverat delicias ſuas vocare. De orationibus Demoſthenis rogatus quam maxime probaret, longiſſimam reſpondit. Licet nonnulli, qui ſe Demoſtheni ſimulant favere, mordeant dictum Ciceronis, quod in epiſtola ad quoſdam amicos ſcripta poſuerit, in orationibus interdum indormire Demoſthenem: immemores quantis & quam inſignibus laudibus illum paſſim extollat, & quod orationes, in quibus præ cæteris ſuis elaboravit, in Antonium habitas, appellaverit

ψεν, ἀμνημονοῦσι. τῶν δὲ κατ' αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ σοφίας οὐκ ἔστιν οὐδεὶς ὃν οὐκ ἐποίησεν ἐνδοξότερον, ἢ λέγων ἢ γράφων εὐμενῶς περὶ ἑκάστου. Κρατίππῳ δὲ τῷ Περιπατητικῷ διεπράξατο μὲν Ῥωμαίῳ γενέσθαι παρὰ Καίσαρος ἄρχοντος ἤδη· διεπράξατο δὲ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ψηφίσασθαι καὶ δεηθῆναι μένειν αὐτὸν ἐν Ἀθήναις, καὶ διαλέγεσθαι τοῖς νέοις, ὡς κοσμοῦντα τὴν πόλιν. ἐπιστολαὶ δὲ παρὰ τοῦ Κικέρωνος εἰσὶ πρὸς Ἡρώδην, ἕτεραι δὲ πρὸς τὸν υἱόν, ἐγκελευομένου συμφιλοσοφεῖν Κρατίππῳ. Γοργίαν δὲ τὸν ῥήτορα αἰτιώμενος εἰς ἡδονὰς καὶ πότους προάγειν τὸ μειράκιον, ἀπελαύνει τῆς συνουσίας αὐτοῦ. καὶ σχεδὸν αὕτη τε τῶν Ἑλληνικῶν μία, καὶ δευτέρα πρὸς Πέλοπα τὸν Βυζάντιον ἐν ὀργῇ τινι γέγραπται, τὸν μὲν Γοργίαν αὐτοῦ προσηκόντως ἐπισκώπτοντος, εἴπερ ἦν φαῦλος καὶ ἀκόλαστος, ἧπερ ἐδόκει· πρὸς δὲ τὸν Πέλοπα μικρολογουμένου καὶ μεμψιμοιροῦντος, ὥσπερ ἀμελήσαντα τιμάς τινας αὐτοῦ καὶ ψηφίσματα παρὰ Βυζαντίων γενέσθαι.

Ταῦτά τε δὴ φιλότιμα, καὶ τὸ πολλάκις ἐπαιρόμενον τοῦ λόγου τῇ δεινότητι τὸ πρέπον προΐεσθαι. Νουματίῳ μὲν γάρ ποτε συνηγορήσας, ὡς ἀποφυγὼν τὴν δίκην ἐκεῖνος ἐδίωκεν ἑταῖρον αὐτοῦ Σαβῖνον, οὕτω λέγεται προσπεσεῖν ὑπ' ὀργῆς ὁ Κικέρων, ὥστ' εἰπεῖν, Σὺ γὰρ ἐκείνην ὦ Νουμάτιε τὴν δίκην ἀπέφυγες διὰ σαυτόν, οὐκ ἐμοῦ πολὺ σκότος ἐν φωτὶ τῷ δικαστηρίῳ περιχέαντος; Μάρκον δὲ Κράσσον ἐγκωμιάζων ἀπὸ τοῦ βήματος εὐημέρησε, καὶ μεθ' ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτόν, ὡς ἐκεῖνος εἶπεν, Οὐ

γὰρ

verit Philippicas. Ex coævis ſuis, qui eloquentia aut ſapientia præcelleret, prætermiſit neminem, quem non dicendo vel ſcribendo candide de unoquoque magis illuſtraverit. Cratippo Peripatetico impetravit a Cæſare jam rerum potito civitatem Romanam. Perfecit præterea ut ſenatus Areopagitarum per decretum peteret ab eo, ſicut ornamento urbis, ut Athenis remaneret & inſtitueret juventutem. Extant Ciceronis ad Herodem epiſtolæ, & ad filium aliæ, præcipientis ei ut in ſtudio ſapientiæ Cratippum ſectaretur. Gorgiam rhetorem inſimulavit deliciis & compotationibus adoleſcentem aſſuefacere, ideoque interdicit illi hujus conſuetudine. Hæc pene una ex Græcis eſt, & altera ad Byzantinum Pelopem cum ſtomacho ſcripta. Gorgiam quidem merito momordit: ſiquidem fuit, ut habebatur, improbus & luxui deditus. Cum Pelope abjecte expoſtulat & queritur, quod neglexiſſet honores quoſdam ſibi decerni a Byzantinis.

Cæterum iſta ambitioni ejus expenſa ferenda ſunt, item quod crebro vi dicendi elatus projecerit decorum. Quum enim aliquando Numatio patrocinatus eſſet, atque abſolutus neceſſarium ille Ciceronis poſtularet Sabinum, eo prorupiſſe Ciceronem ira ferunt, ut jactaverit, Quid? an tu ex illo judicio tua, Numati, evaſiſti innocentia? annon mea opera, qui multum caliginis lumini offudi tribunalis? Quum pro roſtris M. Craſſum magno populi plauſu ornaſſet, eundemque rurſus haud magno interpoſito intervallo laceraret probris: ubi ille

dixit,

γὰρ ἐνταῦθα πρώην αὐτὸς ἡμᾶς ἐπῄνεις; ναὶ, φησὶ, μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν. εἰπόντος δέ ποτε τοῦ Κράσσου μηδένα Κράσσων ἐν Ῥώμῃ βεβιωκέναι μακρότερον ἑξηκονταετίας, εἶθ᾽ ὕστερον ἀρνουμένου καὶ λέγοντος, Τί δ᾽ ἂν ἐγὼ παθὼν τοῦτ᾽ εἶπον; ᾔδεις, ἔφη, Ῥωμαίους ἡδέως ἀκουσομένους, καὶ διὰ τοῦτο ἐδημαγώγεις. ἀρέσκεσθαι δὲ τοῦ Κράσσου τοῖς Στωϊκοῖς φήσαντος, ὅτι πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, ὅρα μὴ μᾶλλον, εἶπεν, ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι. διεβάλλετο δ᾽ εἰς φιλαργυρίαν ὁ Κράσσος. ἐπεὶ δὲ τοῦ Κράσσου τῶν παίδων ὁ ἕτερος, Ἀξίῳ τινὶ δοκῶν ὅμοιος εἶναι, καὶ διὰ τοῦτο τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπὶ τῷ Ἀξίῳ διαβολὴν, εὐδοκίμησε λόγον ἐν βουλῇ διελθὼν, ἐρωτηθεὶς ὁ Κικέρων τί φαίνεται αὐτῷ, ἄξιος, εἶπε, Κράσσου.

Μέλλων δὲ Κράσσος εἰς Συρίαν ἀπαίρειν, ἐβούλετο τὸν Κικέρωνα μᾶλλον αὐτῷ φίλον ἢ ἐχθρὸν εἶναι· καὶ φιλοφρονούμενος ἔφη βούλεσθαι δειπνῆσαι παρ᾽ αὐτῷ. κἀκεῖνος ὑπεδέξατο προθύμως. ὀλίγαις δ᾽ ὕστερον ἡμέραις περὶ Βατινίου φίλων τινῶν ἐντυγχανόντων, ὡς μνωμένου διαλύσεις καὶ φιλίαν· ἦν γὰρ ἐχθρός· οὐ δήπου καὶ Βατίνιος, εἶπεν, δειπνῆσαι παρ᾽ ἐμοὶ βούλεται; πρὸς μὲν οὖν Κράσσον τοιοῦτος. αὐτὸν δὲ τὸν Βατίνιον ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ, καὶ λέγοντα δίκην, οἰδοῦντα ῥήτορα προσεῖπεν. ἀκούσας δ᾽ ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς ὅτι ζῇ, Κακὸς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος. ἐπεὶ δὲ Καίσαρι ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώ-

dixit, Annon me ex hoc loco non ita pridem laudaſti? Ego vero, inquit, ſed commentandi gratia argumentum infame declamans. Quum Craſſus aliquando dixiſſet, neminem ſuæ gentis ſuperaſſe Romæ ſexageſimum ætatis annum, & poſt iret id inficias, diceretque, Qui factum eſt, hoc dictum ut exciderit mihi? Sciebas, inquit, auditurum id populum Romanum libenter, ideo dediſti hoc ejus auribus. Quum placere ſibi Stoicorum ferret ſententiam Craſſus, Bonum virum divitem eſſe: ſubjecit, Vide ne magis, quod contendant omnia eſſe ſapientis: infamis enim erat Craſſi avaritia. Alter Craſſi filius Axium quendam videbatur ſpecie referre, ideoque matri maculam Axii cauſa turpem inurebat. Quum hic orationem in ſenatu magna comprobatione habuiſſet, interrogatus Cicero quid ei videtur, Ἄξιος inquit Græce, Κράσσου.

Profecturus Craſſus in Syriam, maluit amicum quam inimicum Ciceronem relinquere: quare amice eum appellans, apud eum dixit velle ſe cœnare: invitavit Cicero eum comiter. Paucis interpoſitis diebus adierunt Ciceronem amici aliquot rogatu Vatinii de reconciliatione gratiæ: nam erat inter eos ſimultas. Ibi infit Cicero, Num & Vatinius apud me cœnare vult? Ac cum Craſſo quidem ad hunc modum egit. Vatinium ipſum, cui ſtrumæ erant in collo, quum cauſam diceret, tumidum oratorem appellavit. Quum nuntiatum ei eſſet de illius morte, mox intelligeret incolumem eſſe: Male pereat, inquit, qui male mentitus eſt. Quum Cæſar legem tuliſſet de agro

χώραν κατανεμηθῆναι τοῖς στρατιώταις, πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ· Λεύκιος δὲ Γέλλιος ὁμοῦ τι πρεσβύτατος ὤν, εἶπεν ὡς οὐ γενήσεται τοῦτο ζῶντος αὐτοῦ, περιμείνωμεν, εἶπεν ὁ Κικέρων· μακρὰν γὰρ οὐκ αἰτεῖται Γέλλιος ὑπέρθεσιν. ἦν δέ τις Ὀκταούϊος αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι· πρὸς τοῦτον ἔν τινι δίκῃ λέγοντα τοῦ Κικέρωνος μὴ ἐξακούειν, καὶ μὴν οὐκ ἔχεις, εἶπε, τὸ οὖς ἀτρύπητον. Μετέλλου δὲ Νέπωτος εἰπόντος ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν, ἢ συνηγορῶν σέσωκεν· ὁμολογῶ γὰρ, ἔφη, πίστεως ἐν ἐμοὶ πλέον ἢ δεινότητος εἶναι. νεανίσκου δέ τινος, αἰτίαν ἔχοντος ἐν πλακοῦντι φάρμακον τῷ πατρὶ δεδωκέναι, θρασυνομένου, καὶ λέγοντος ὅτι λοιδορήσει τὸν Κικέρωνα, τοῦτο, ἔφη, παρὰ σοῦ βούλομαι μᾶλλον ἢ πλακοῦντα. Ποπλίου δὲ Σηστίου συνήγορον μὲν αὐτὸν ἔν τινι δίκῃ παραλαβόντος μεθ' ἑτέρων, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν, καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν, ἤδη τῆς ψήφου φερομένης, χρῶ σήμερον, ἔφη, τῷ καιρῷ Σήστιε· μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι. Πόπλιον δὲ Κώνσταν, νομικὸν εἶναι βουλόμενον, ὄντα δ' ἀμαθῆ καὶ ἀφυῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος, ἴσως, ἔφη, δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι. Μετέλλου δὲ Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγοντος, Τίς σου πατήρ ἐστιν, ὁ Κικέρων; σοὶ ταύτην τὴν ἀπόκρισιν, ἔφη, ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν. ἐδόκει δ' ἀκόλαστος ἡ μήτηρ εἶναι τοῦ Νέπωτος, αὐτὸς δέ τις εὐμετάβολος. καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω, πρὸς

Πομ-

Campano militibus dividendo; multis res in ſenatu diſplicuit: L. Gellius autem, qui fere natu erat maximus, hoc ſe vivo negavit futurum. Hic Cicero, Exſpectemus, inquit, haud longam diem poſtulat Gellius. Octavius erat quidam, quem dictitabant ex Africa ortum: huic in cauſa quadam Ciceronem ſe non exaudire dicenti, Atqui auris tua, inquit, non caret foramine. Quum Metellus Nepos objiceret ei, plures ipſum teſtimonio ſuo oppreſſiſſe, quam ſervaſſe patrocinio: Fateor, inquit, plus mihi fidei quam eloquentiæ eſſe. Adoleſcens erat quidam in crimine, virus parenti obtuliſſe in placenta: Eo ferociter jactante Ciceronem probris ſe inſectaturum, Hoc, inquit Cicero, malo abs te, quam placentam. P. Seſtius adhibuerat eum cum nonnullis aliis in judicio advocatum: qui quum dicere ipſe omnia vellet, neque cuiquam permitteret verbum facere, ubi patuit abſolutum iri, quia judices jam ſententias ferebant, Utere hodie, inquit, Seſti, tempore: cras enim privatus eris. Publium Cottam, qui haberi juriſperitus affectabat, quum indoctus eſſet & iners, ad teſtimonium dicendum in quadam cauſa citavit. Nihil quum diceret ſe ſcire, Putas fortaſſis, inquit, te aliquid de jure interrogari. Quum Metellus Nepos aliquando inter diſputandum identidem repeteret, Quis eſt pater tuus Cicero? Tibi, inquit, hanc reſponſionem mater tua effecit difficiliorem: ſiquidem Nepotis matrem fama erat impudicam eſſe: ipſe autem habebatur levior; ac relicto aliquando tribunatu plebis raptim

in

Πομπήϊον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον. θάψας δὲ Φίλαγρον τὸν καθηγητὴν ἐπιμελέστερον, ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον. καὶ ὁ Κικέρων, τοῦτ', ἔφη, σοφώτερον ἐποίησας. πέτεσθαι γάρ σε μᾶλλον ἢ λέγειν ἐδίδαξεν. ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν ἐπιμέλειαν καὶ λογιότητα καὶ πίστιν. εἶθ' οὕτως, ἔφη, σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων ὧν ἠτήσατο φίλος παρασχεῖν;

Τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις, δοκεῖ ῥητορικὸν εἶναι· τὸ δ' οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου, πολὺ συνῆγε μῖσος αὐτῷ. γράψω δὲ καὶ τούτων ὀλίγα. Μάρκον Ἀκύϊνιον ἔχοντα δύο γαμβροὺς φυγάδας, Ἄδραστον ἐκάλει. Λευκίου δὲ Κόττα τιμητικὴν ἔχοντος ἀρχὴν, φιλοινοτάτου δὲ ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν, ὀρθῶς φοβεῖσθε, εἶπε, μή μοι γένοιτο χαλεπὸς ὁ τιμητὴς, ὅτι ὕδωρ πίνω. Βωκωνίῳ δ' ἀπαντήσας ἄγοντι μεθ' ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας, ἀνεφθέγξατο,

Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα.

Μάρκου δὲ Γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος, μὴ θαυμάζητε, εἶπε, καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων. ἐπεὶ δὲ Φαῦστος ὁ Σύλλα τοῦ μοναρχήσαντος ἐν Ῥώμῃ, καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος, ἐν

in Syriam navigavit ad Pompeium, mox inde majore eſt inconſtantia reverſus. Quum Philagrum præceptorem tumulaſſet accuratius, impoſuit ejus tumulo marmoreum corvum. Tum Cicero, Intelligentius, inquit, hoc feciſti: volare enim potius docuit te quam dicere. M. Appio in exordio cauſæ cujuſdam amicum ſuum oraſſe ſe dicenti ut curam & facundiam & fidem ſibi præſtaret, Adeone tu, inquit, durus es, nihil ut omnium quæ te oraverit amicus, præſtiteris?

Sane cavillari quidem in inimicos & adverſarios in foro acerbius, oratori dicas convenire: verum quod incurrerit in quoſvis riſus excitandi cauſa, id ſimultates ei paravit multas. Horum quoque pauca commemorabo. M. Aquilium, qui duos generos habebat exules, vocabat Adraſtum. L. Cotta cenſore, qui ſupra modum effuſus in vinum erat, candidatus Cicero conſularis in prenſando quum ſitiſſet: circumfuſis amicis, ut bibit, Recte veremini, inquit, ne quod aquam bibam, ſuccenſeat mihi cenſor. Voconio occurrens ſecum ducenti tres inſigniter deformes filias, exclamavit,

Invito Apolline ſeminavit liberos.

M. Gellius, quem rumor erat non eſſe ingenuis natalibus ortum, quum clara voce & alta literas in ſenatu recitaſſet, Nolite mirari, inquit, & hic ex iis eſt qui proclamarunt. Quum Fauſtus Sylla, dictatoris Syllæ, qui multos proſcripſerat, filius, ære alieno obrutus,

ἐν δανείοις γενόμενος, καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας, ἁμαρτίαν προέγραψε, ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν ἀρέσκειν, ἢ τὴν πατρῴαν.

Ἐκ τούτων ἐγίνετο πολλοῖς ἐπαχθής· καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν, ἀρχὴν τοιαύτην λαβόντες. ἦν Κλώδιος ἀνὴρ εὐγενὴς, τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. οὗτος ἐρῶν Πομπηΐας τῆς Καίσαρος γυναικὸς, εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα, λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας. ἔθυον γὰρ αἱ γυναῖκες τὴν ἀπόρρητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν ἐν τῇ τοῦ Καίσαρος οἰκίᾳ· καὶ παρῆν ἀνὴρ οὐδείς. ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος, ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηΐαν μετὰ τῶν γυναικῶν. ὡς δ' εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπορεῖτο τῶν διόδων· καὶ πλανώμενον αὐτὸν ἰδοῦσα Αὐρηλία θεραπαινὶς τῆς Καίσαρος μητρὸς, ᾔτησεν ὄνομα. φθέγξασθαι δ' ἀναγκασθέντος ἐκείνου, καὶ φήσαντος ἀκόλουθον Πομπηΐας ζητεῖν Αὔραν τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικείαν οὖσαν, ἀνέκραγε καὶ συνεκάλει τὰς γυναῖκας. αἱ δ' ἀποκλείσασαι τὰς θύρας, καὶ πάντα διερευνώμεναι, λαμβάνουσι τὸν Κλώδιον εἰς οἴκημα παιδίσκης, ᾗ συνῆλθε, καταπεφευγότα. τοῦ δὲ πράγματος περιβοήτου γενομένου, Καῖσάρ τε τὴν Πομπηΐαν ἀφῆκε, καὶ δίκην ἀσεβείας ἀπεγράψατο τῷ Κλωδίῳ.

Κικέρων δ' ἦν μὲν αὐτοῦ φίλος, καὶ τῶν περὶ Κατιλίναν πραττομένων ἐχρῆτο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι τοῦ σώματος· ἰσχυριζομένου δὲ πρὸς τὸ ἔγ-

tus, re familiari magna ex parte diſſipata, bonorum auctionem proſcripſiſſet, Hanc, inquit, proſcriptionem malo quam paternam.

Hinc multos offendit. At Clodii factio coitionem adverſus eum fecit, ex hac cauſa incitata. Clodius nobili familia erat, ætate florente, feroci animo & procaci. Hic captus uxoris Cæſaris amore Pompeiæ, aſſumpta veſte & ornatu pſaltriæ furtim penetravit in domum ejus. Nam ſacra tum in ædibus Cæſaris arcana illa, quibus nefas eſt viros intereſſe, agebantur, nec aderat vir ullus: ſed ille, quod adoleſcens eſſet, & imberbis etiam tum, ſperabat occulte poſſe cum mulieribus ad Pompeiam pervenire. Noctu in amplas ingreſſus ædes, hæſit in diverticulis. Vagantem conſpicata Aurelia matris Cæſaris ancilla, quæſivit nomen ejus: coacto loqui illo, atque pediſſequam demonſtrante quærere ſe Pompeiæ, nomine Auram, ut vocem animadvertit abhorrentem a fœmina, tollit clamorem, convocatque mulieres: quæ obſeratis foribus, omnibuſque excuſſis, deprehendunt Clodium in cubiculo puellæ, cum qua ingreſſus fuerat, latitantem. Quum ea res percrebuiſſet, repudiavit Cæſar Pompeiam, ac nomen Clodii de violatis ſacris detulit.

Erat Ciceroni cum eo amicitia, & conjuratione flagrante Catilinæ expertus promptiſſimum fuerat adjutorem & cuſtodem corporis ſui. Quum cardinem ille hujus depellen-

ἔγκλημα, τῷ μήτε γεγονέναι κατ' ἐκεῖνον ἐν Ῥώμῃ τὸν χρόνον, ἀλλ' ἐν τοῖς πορρωτάτω χωρίοις διατρίβειν, κατεμαρτύρησεν ὡς ἀφιγμένου πρὸς αὐτὸν οἴκαδε, καὶ διειλεγμένου περί τινων. ὅπερ ἦν ἀληθές. οὐ μὴν ἐδόκει μαρτυρεῖν ὁ Κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὴν αὐτοῦ γυναῖκα Τερεντίαν ἀπολογούμενος. ἦν γὰρ αὐτῇ πρὸς τὸν Κλώδιον ἀπέχθεια, διὰ τὴν ἀδελφὴν τὴν ἐκείνου Κλωδίαν, ὡς τῷ Κικέρωνι βουλομένην γαμηθῆναι, καὶ τοῦτο διὰ Τύλλου τινὸς πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα Κικέρωνος, ἀεὶ δὲ πρὸς τὴν Κλωδίαν φοιτῶν, καὶ θεραπεύων ἐγγὺς οἰκοῦσαν, ὑποψίαν τῇ Τερεντίᾳ παρεῖχε. χαλεπὴ δὲ τὸν τρόπον οὖσα, καὶ τοῦ Κικέρωνος ἄρχουσα, παρώξυνε τῷ Κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι. κατεμαρτύρουν δὲ τοῦ Κλωδίου πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἐπιορκίας, ῥᾳδιουργίας, ὄχλων δεκασμοὺς, φθορὰς γυναικῶν. Λούκουλλος δὲ καὶ θεραπαινίδας παρεῖχεν, ὡς συγγένοιτο τῇ νεωτάτῃ τῶν ἀδελφῶν ὁ Κλώδιος, ὅτε Λουκούλλῳ συνῴκει. πολλὴ δὲ ἦν δόξα καὶ ταῖς ἄλλαις δυσὶν ἀδελφαῖς πλησιάζειν τὸν Κλώδιον, ὧν Τερεντίαν μὲν Μάρκιος Ῥὴξ, Κλωδίαν δὲ Μέτελλος ὁ Κέλερ εἶχεν· ἣν Κουαδραντίαν ἐκάλουν, ὅτι τῶν ἐραστῶν τις αὐτῇ χαλκοῦς ἐμβαλὼν εἰς βαλάντιον, ὡς ἀργύριον εἰσέπεμψε. τὸ δὲ λεπτότατον τοῦ χαλκοῦ νομίσματος κουαδράντην ἐκάλουν. ἐπὶ ταύτῃ μάλιστα τῶν ἀδελφῶν κακῶς ἤκουσεν ὁ Κλώδιος. οὐ μὴν ἀλλὰ τότε τοῦ δήμου πρὸς τοὺς καταμαρτυροῦντας αὐτοῦ καὶ συνεστῶτας ἀντιταττομένου, φοβηθέντες οἱ δι-

lendi criminis poneret in eo quod contenderet ne Romæ quidem eo die ſe fuiſſe, ſed procul urbe egiſſe: dixit pro teſtimonio in eum Cicero, veniſſe ad ſe domum eum, certiſque de rebus ſermonem ſecum habuiſſe. Quod licet verum foret, teſtimonium dixiſſe tamen viſus eſt Cicero non veritatis cauſa, ſed uxori ut ſatisfaceret Terentiæ. Simultas enim huic cum Clodio erat cauſa ſororis Clodiæ, quam ambire Ciceronis nuptias ſuſpicabatur, & eam ad rem interprete uti Tullo quodam, cui familiaritas cum Cicerone & conſuetudo intercedebat arctiſſima: qui, quod ad Clodiam frequens ventitaret, & coleret vicinam, in ſuſpicionem venit Terentiæ. Acerba autem mulier & viri potens, ſtimulavit Ciceronem ad conſpirandum contra Clodium, & ad eum teſtimonio ſuo premendum. Multa etiam a bonis & honeſtis viris teſtimonia dicta fuerunt de Clodii perjuriis, teſtamentorum ſuppoſitionibus, ambitu, ſtupris matronarum: Lucullus etiam ancillas produxit, ſtupraſſe Clodium minimam ſororem ſuam, quum in matromonio ſuo eſſet. Fama divulgata erat & cum duabus ſororibus aliis eum conſueviſſe: quarum Martius Rex Terentiam, Clodiam duxerat uxorem Metellus Celer, quam Quadrantulam appellabant, quod quidam amatorum ejus pro argenteis minuta æra in loculos ejus immiſiſſet. Minutiſſimum æreum nummum quadrantem vocabant. Hujus nomine ſororis fuit infamatus potiſſimum Clodius. Verum enimvero quum plebs id temporis adverſus eos qui in eum teſtimonium dixerant coierantque, inſur-

δικασταὶ φυλακὴν περιεστήσαντο, καὶ τὰς δέλτους οἱ πλεῖστοι συγκεχυμένας τοῖς γράμμασιν ἤνεγκαν. ὅμως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύοντες γενέσθαι· καί τις ἐλέχθη καὶ δεκασμὸς διελθεῖν. ὅθεν ὁ μὲν Κάτλος ἀπαντήσας τοῖς κριταῖς, ὑμεῖς, εἶπεν, ὡς ἀληθῶς ὑπὲρ ἀσφαλείας ᾐτήσασθε τὴν φυλακὴν, φοβούμενοι μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον. Κικέρων δὲ, τοῦ Κλωδίου πρὸς αὐτὸν λέγοντος ὅτι μαρτυρῶν οὐκ ἔχε πίστιν παρὰ τοῖς δικασταῖς, ἀλλ' ἐμοὶ μὲν, εἶπεν, οἱ πέντε καὶ εἴκοσι τῶν δικαστῶν ἐπίστευσαν· τοσοῦτοι γάρ σου κατεψηφίσαντο. σοὶ δὲ τριάκοντα οὐκ ἐπίστευσαν· οὐ γὰρ πρότερον ἀπέλυσαν ἢ ἔλαβον τὸ ἀργύριον. ὁ μέντοι Καῖσαρ οὐ κατεμαρτύρησε κληθεὶς ἐπὶ τὸν Κλώδιον, οὐδ' ἔφη μοιχείαν κατεγνωκέναι τῆς γυναικός· ἀφεικέναι δ' αὐτὴν, ὅτι τὸν Καίσαρος ἔδει γάμον οὐ πράξεως αἰσχρᾶς μόνον, ἀλλὰ καὶ Φήμης καθαρὸν εἶναι.

Διαφυγὼν δὲ τὸν κίνδυνον ὁ Κλώδιος, καὶ δήμαρχος αἱρεθεὶς, εὐθὺς εἴχετο τοῦ Κικέρωνος, πάνθ' ὁμοῦ πράγματα καὶ πάντας ἀνθρώπους συνάγων καὶ ταράττων ἐπ' αὐτόν. τόν τε γὰρ δῆμον ᾠκειώσατο νόμοις φιλανθρώποις, καὶ τῶν ὑπάτων ἑκατέρῳ μεγάλας ἐπαρχίας ἐψηφίσατο, Πείσωνι μὲν Μακεδονίαν, Γαβινίῳ δὲ Συρίαν. πολλοὺς δὲ τῶν ἀπόρων συνέταξεν εἰς τὸ πολίτευμα, καὶ δούλους ὡπλισμένους περὶ αὐτὸν εἶχε. τῶν δὲ πλεῖστον δυναμένων τότε τριῶν ἀνδρῶν Κράσσου μὲν ἄντικρυς Κικέρωνι πολεμοῦντος, Πομπηΐου δὲ θρυπτομένου πρὸς ἀμφοτέρους, Καίσαρος δὲ μέλλοντος εἰς Γαλατίαν ἐξιέναι μετὰ στρατεύματος, ὑπὸ τοῦτον ὑποδὺς ὁ Κικέρων, καίπερ οὐκ ὄντα φίλον,

ſurgeret, trepidantes judices ſepſerunt ſe præſidio, tabulaſque plerique confuſis literis attulere. Videbatur a majore tamen parte abſolutus fuiſſe. Rumor autem fuit etiam adulteratum pecunia judicium fuiſſe. Quare Catulus quum occurriſſet judicibus, Recte vos, inquit, ad ſecuritatem præſidium petiſtis: verebamini enim ne quis vobis eriperet nummos. Cicero exprobrante ſibi Clodio quod teſtimonium dicenti judices non crediſſent, Immo, inquit, quinque & viginti judices mihi crediderunt. tot enim damnaverunt te: triginta, quia ante nummos, quam abſolverunt te, acceperunt, tibi vero nihil crediderunt. Cæſar tamen citatus non dixit in Clodium teſtimonium, neque uxorem ſibi compertam adulterii eſſe: dimiſiſſe eam autem, quod Cæſaris cubile non modo crimine oporteret, ſed & ſuſpicione vacare.

Ex hac elapſus flamma Clodius, & factus tribunus plebis, protinus appetivit Ciceronem, ſimulque omnes res atque omnes homines adverſus eum ſolicitavit concitavitque. Populum demulſit legibus popularibus, utrique conſuli amplas provincias decrevit, Piſoni Macedoniam, Syriam Gabinio; colluviem inopum ad cœpta ſua decuriavit, ſervitiis armatis latera ſua ſepſit. Ex tribus quorum ea tempeſtate ſumma potentia erat, Craſſus Ciceronem aperte oppugnabat, Pompeius venditabat ſe utrique. Ad Cæſaris igitur gratiam, qui cum exercitu profecturus in Galliam erat, quamvis

λον, ἀλλ' ὕποπτον ἐκ τῶν περὶ Κατιλίναν, ἠξίωσε πρεσβευτὴν αὐτῷ συστρατεύειν. δεξαμένου δὲ τοῦ Καίσαρος, ὁ Κλώδιος ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ τὸν Κικέρωνα, προσεποιεῖτο συμβατικῶς ἔχειν, καὶ τῇ Τερεντίᾳ τὴν πλείστην ἀνατιθεὶς αἰτίαν, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ, καὶ λόγους εὐγνώμονας ἐνδιδοὺς, ὡς ἄν τις οὐ μισῶν οὐδὲ χαλεπαίνων, ἀλλ' ἐγκαλῶν μέτρια καὶ φιλικὰ, παντάπασιν αὐτοῦ τὸν φόβον ἀνῆκεν· ὥστ' ἀπειπεῖν τῷ Καίσαρι τὴν πρεσβείαν, καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. ἐφ' ᾧ παροξυνθεὶς ὁ Καῖσαρ, τόν τε Κλώδιον ἐπέρρωσε καὶ Πομπήϊον ἀπέστρεψε κομιδῆ τοῦ Κικέρωνος. αὐτός τε κατεμαρτύρησεν ἐν τῷ δήμῳ, μὴ δοκεῖν αὐτῷ καλῶς μηδὲ νομίμως ἄνδρας ἀκρίτους ἀνῃρῆσθαι τοὺς περὶ Λέντλον καὶ Κέθηγον. αὕτη γὰρ ἦν ἡ κατηγορία, καὶ ἐπὶ τοῦθ' ὁ Κικέρων ἐκαλεῖτο. κινδυνεύων οὖν καὶ διωκόμενος, ἐσθῆτα μετήλλαξε καὶ κόμης ἀνάπλεως περιϊὼν ἱκέτευε τὸν δῆμον. πανταχοῦ δ' ὁ Κλώδιος ἀπήντα κατὰ τοὺς στενωποὺς, ἀνθρώπους ἔχων ὑβριστὰς περὶ αὐτὸν καὶ θρασεῖς, οἳ πολλὰ μὲν χλευάζοντες ἀκολάστως εἰς τὴν μεταβολὴν καὶ τὸ σχῆμα τοῦ Κικέρωνος, πολλαχοῦ δὲ πηλῷ καὶ λίθοις βάλλοντες, ἐνίσταντο ταῖς ἱκεσίαις.

Οὐ μὴν ἀλλὰ τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγου δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα, καὶ δισμυρίων οὐκ ἐλάττους νέων παρηκολούθουν κομῶντες καὶ συνικετεύοντες. ἔπειτα τῆς βουλῆς συνελθούσης, ὅπως ψηφίσαιτο τὸν δῆμον ὡς ἐπὶ πένθεσι μεταβαλεῖν τὰ ἱμάτια, καὶ τῶν ὑπάτων ἐναντιωθέντων, Κλωδίου δὲ σιδηροφορουμένου περὶ τὸ βουλευτήριον, ἐξέδραμον

vis ab ſe alieni & ſuſpecti ex Catilinæ temporibus, recurrit, contenditque ab eo legatum ut ſe duceret in provinciam. Quum recepiſſet eum Cæſar, cernens evadere Clodius Ciceronem ex tribunatu ſuo, ſimulavit non abhorrere ſe a reconciliatione: rejectaque in Terentiam maxima culpæ parte, factaque ubique benigna ejus mentione, & leniter agendo, quaſi non odiſſet hominem, nec eſſet ei infenſus, ſed modice & amice expoſtularet, omnem illius metum diſcuſſit. Itaque renuntiavit Cæſari Cicero legationem, vertitque iterum ſe ad rempub. gerendam. Unde Cæſar acerbatus, hinc corroboravit Clodium, hinc Pompeium plane a Cicerone alienavit. Dixit præterea aperte in concione, Lentulum & Cethegum non videri ſibi recte aut jure necatos: hoc enim fuit cujus Cicero arceſſebatur crimen. Reus igitur factus, veſtem in periculo mutavit, ſordidatuſque ac ſupplex prenſavit populum. Omnibus in viis Clodius cum improborum & audacium manu occurrit Ciceroni: qui mira protervia illudentes conditioni & ſqualori ejus, paſſimque cœnum & lapides in eum jactantes, interpellabant ſupplicantem.

At primum ordo equeſtris veſtem cum eo pene totus mutavit. Ex juventute comitabantur eum non minus viginti millia, qui pro eo ſordidati deprecabantur. Deinde ubi ſenatus convenit ad decernendum, ut populus ſicut in luctu mutaret veſtem, conſulibus adverſantibus, & obſidente cum gladiis curiam Clodio, permulti patrum

μον οὐκ ὀλίγοι τῶν βουλευτικῶν καταῤῥηγνύμενοι τοὺς χιτῶνας, καὶ βοῶντες. ὡς δ᾽ ἦν οὔτ᾽ οἶκτος οὔτέ τις αἰδὼς πρὸς τὴν ὄψιν, ἀλλ᾽ ἔδει τὸν Κικέρωνα φεύγειν, ἢ σιδήρῳ κριθῆναι πρὸς τὸν Κλώδιον, ἐδεῖτο Πομπηΐου βοηθεῖν, ἐπίτηδες ἐκποδὼν γεγονότος, καὶ διατρίβοντος ἐν ἀγροῖς περὶ τὸν Ἀλβανόν. καὶ πρῶτον μὲν ἔπεμψε Πείσωνα τὸν γαμβρὸν δεησόμενον, ἔπειτα καὶ αὐτὸς ἀνέβη. πυθόμενος δ᾽ ὁ Πομπήϊος, οὐχ ὑπέμεινεν εἰς ὄψιν ἐλθεῖν· δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα, μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ, καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ πεπολιτευμένον· ἀλλὰ Καίσαρι γαμβρὸς ὢν δεομένῳ προὔδωκε τὰς παλαιὰς χάριτας, καὶ κατὰ θύρας ἄλλας ὑπεξελθὼν, ἀπεδίδρασκε τὴν ἔντευξιν. οὕτω δὴ προδοθεὶς ὁ Κικέρων ὑπ᾽ αὐτοῦ, καὶ γεγονὼς ἔρημος, ἐπὶ τοὺς ὑπάτους κατέφυγε. καὶ Γαβίνιος μὲν ἦν χαλεπὸς ἀεί· Πείσων δὲ διελέχθη πρᾳότερον, αὐτὸν παραινῶν ἐκστῆναι, καὶ ὑποχωρῆσαι τῇ τοῦ Κλωδίου ῥύμῃ, καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγκεῖν, καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἐν στάσεσι καὶ κακοῖς δι᾽ ἐκεῖνον οὔσης. τοιαύτης τυχὼν ἀποκρίσεως ὁ Κικέρων, ἐβουλεύετο σὺν τοῖς φίλοις· καὶ Λεύκουλλος μὲν ἐκέλευε μένειν ὡς περιεσόμενον, ἄλλοι δὲ φεύγειν, ὡς ταχὺ τοῦ δήμου ποθήσοντος αὐτὸν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας. ταῦτ᾽ ἔδοξε Κικέρωνι· καὶ τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον, ἐτίμα διαφερόντως, εἰς Καπετώλιον κομίσας ἀνέθηκεν, ἐπιγράψας, ΑΘΗΝΑ ΡΩΜΗΣ ΦΥΛΑΚΙ. πομποὺς δὲ παρὰ

patrum veſtibus laceratis curia ſe cum magno fremitu effudere. Poſtquam nec miſericordiam nec verecundiam ea movit facies, ſed aut eundum in exilium fuit Ciceroni, aut ferro cum Clodio decernendum, opem imploravit Pompeii: qui ex compoſito abſceſſerat, & ruri agebat in Albano ſuo. Primum generum ad orandum eum, Piſonem allegavit, inde eſt ipſe quoque profectus. Eo nunciato non ſuſtinuit in conſpectum ejus venire Pompeius. Mirum enim ei pudorem incuſſit vir ille, qui contentiones ſubierat pro eo maximas, multaſque ſuas in republica actiones ad ejus inſtituerat commodum. Verum quod gener eſſet Cæſaris, huic inſtanti prodidit veteres neceſſitudines: ac ne cum eo colloqueretur, alia ſubduxit ſe janua. Ita ab eo proditus & deſertus confugit ad conſules Cicero. Ac Gabinius quidem ſemper erat durus: benignius eum eſt Piſo affatus, monuitque ut cedendo & locum dando Clodii impetui, temporiſque ferendo viciſſitudinem, iterum ſervaret rempublicam ipſius cauſa ſeditionibus & procellis jactatam. Eo accepto reſponſo deliberavit Cicero cum amicis. Lucullus manendum cenſuit, ipſius fore victoriam; alii fugiendum: futurum enim brevi ut exſatiatus Clodii furore & ſcelere populus ipſum eſſet deſideraturus. Hoc conſilium Cicero ſequutus eſt, ac ſignum Minervæ, quod magna in veneratione diu habuerat domi, in Capitolio poſuit, ibique dedicavit cum hac inſcriptione, MINERVÆ URBIS ROMÆ PRÆSIDI. Inde accepto ab amicis præſidio

παρὰ τῶν φίλων λαβὼν, περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως, καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο, λαβέσθαι Σικελίας βουλόμενος.

Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγὼς, ἐπήγαγε μὲν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος, καὶ διάγραμμα προὔθηκεν, εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα, καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων Ἰταλίας. τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος ἦν τοῦ διαγράμματος τούτου λόγος, αἰδουμένοις τὸν Κικέρωνα· καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην, παρέπεμπον αὐτόν. ἐν δ' Ἱππωνίᾳ πόλει τῆς Λευκανίας, ἣν Οὐιβῶνα νῦν καλοῦσιν, Οὐίβιος Σικελὸς ἀνὴρ ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς, καὶ γεγονὼς ὑπατεύοντος αὐτοῦ τεκτόνων ὕπαρχος, οἰκίᾳ μὲν οὐκ ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν ἐπηγγέλλετο. καὶ Γάϊος Οὐεργίνιος, ὁ τῆς Σικελίας στρατηγὸς, ἐν τοῖς μάλιστα Κικέρωνι κεχρημένος, ἔγραψεν ἀπέχεσθαι τῆς Σικελίας. ἐφ' οἷς ἀθυμήσας, ὥρμησεν ἐπὶ Βρεντέσιον, κἀκεῖθεν εἰς Δυῤῥάχιον ἀνέμῳ φορῷ περαιούμενος, ἀντιπνεύσαντος πελαγίου μεθ' ἡμέραν ἐπαλινδρόμησεν, εἶτα αὖθις ἀνήχθη. λέγεται δὲ καὶ καταπλεύσαντος εἰς Δυῤῥάχιον αὐτοῦ, καὶ μέλλοντος ἀποβαίνειν, σεισμόν τε τῆς γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάττης. ἀφ' ὧν συνέβαλλον οἱ μαντικοὶ μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι· μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα. πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας, καὶ τῶν Ἑλληνίδων πόλεων διαμιλλωμένων πρὸς αὐτὸν, ὅμως ἀθυμῶν καὶ περίλυπος διῆγε, τὰ πολλὰ πρὸς τὴν Ἰταλίαν, ὥσπερ οἱ δυσέρωτες, ἀφορῶν, καὶ τῷ φρονήματι μικρὸς ἄγαν καὶ ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς

καὶ

dio clam media nocte profugit ex urbe. Lucaniam pedeſtri itinere percurrit, cupiens Siciliam tenere.

Ubi vulgatum eſt eum fugiſſe, Clodius ſcivit ei exilium, edictumque propoſuit, quo aqua & igni interdixit, ac ne quis eum intra quingenta millia paſſuum ab Italia tecto reciperet. At aliis adeo fuit Cicero venerandus ut ſemel contemnerent edictum, omnique eum officiorum genere proſequerentur. Hipponii vero (quod oppidum eſt Lucaniæ, Vibonem dicunt nunc) Vibius, Siculus genere, qui cum alios fructus ex Ciceronis amicitia retulerat, tum fuerat eo conſule præfectus fabrum, non admiſit eum domi, ſed locum oſtendit ei ſe deſignaturum in agro quo poſſet ſe recipere. Prætor Siciliæ C. Verginius, Ciceroni arctiſſima conjunctus familiaritate, ſcripſit ei ut Sicilia abſtineret. Tum vero fracto animo contendit Brunduſium. Inde quum ſecundo vento ſolviſſet, vento a mari exorto adverſo rejectus poſtero die ad Italiam eſt. Mox altum repetiit. Fama tenet, poſtquam Dyrrhachium appulſus exiturus erat, terram moviſſe, & fuiſſe æſtu retro abſorptum æquor. Unde conjectarunt haud fore diuturnum ei exilium vates: prænuntiare enim ea mutationem. Quamvis autem frequentes eum celebrarent amici, Græciæ quoque civitates officiis erga eum certarent, animo tamen manſit abjecto & mœſto, crebro Italiam inſanorum more amatorum reſpiciens, itaque fractus calamitate & dejectus & æger animi, ut non exſpectares de viro in

literis

καὶ συνεσταλμένος, ὡς οὐκ ἄν τις ἄνδρα παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε. καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐτὸν, ἀλλὰ φιλόσοφον· φιλοσοφίαν γὰρ, ὡς ἔργον, ᾑρῆσθαι, ῥητορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας. ἀλλ' ἡ δόξα δεινὴ τὸν λόγον, ὥσπερ βαφὴν, ἀποκλύσαι τῆς ψυχῆς, καὶ τὰ τῶν πολλῶν ἀνομόρξασθαι πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολιτευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος, οὕτω συμφέρηται τοῖς ἐκτὸς, ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

Ὁ δὲ Κλώδιος ἐξελάσας τὸν Κικέρωνα, κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν, καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε. τὴν δ' ἄλλην οὐσίαν ἐπώλησε, καὶ διεκήρυττε καθ' ἡμέραν, μηδὲν ὠνουμένου μηδενός. ἐκ δὲ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς καὶ τὸν δῆμον ἀνειμένον εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος, ἐπεχείρει τῷ Πομπηΐῳ, τῶν διῳκημένων ὑπ' αὐτοῦ κατὰ τὴν στρατείαν ἔνια σπαράττων. ἐφ' οἷς ὁ Πομπήϊος ἀδοξῶν, ἐκάκιζεν αὐτὸς αὐτὸν, προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγίνετο, πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων. ἐνισταμένου δὲ τοῦ Κλωδίου, συνέδοξε τῇ βουλῇ μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν μηδὲ πράττειν δημόσιον, εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο. τῶν δὲ περὶ Λέντλον ὑπατευόντων, καὶ τῆς στάσεως πρόσω βαδιζούσης, ὥστε τρωθῆναι μὲν ἐν ἀγορᾷ δημάρχους, Κόϊντον δὲ τὸν Κικέρωνος ἀδελφὸν ἐν τοῖς νεκροῖς, ὡς τεθνηκότα κείμενον, διαλαθεῖν, ὅ, τε δῆμος ἤρχετο τρέπεσθαι τῇ γνώμῃ· καὶ τῶν δη-

literis enutrito tam multis. Quanquam ab amicis petiit ſubinde ne oratorem ſe, ſed appellarent philoſophum. Philoſophiam enim ſe ut opus ſectatum: eloquentia ad rempublicam gerendam, ubi uſus ſit, uti tanquam inſtrumento. Atqui mirificam vim habet gloria doctrinam menti veluti colorem abluendi, imprimendique longo uſu & conſuetudine ſenſus vulgi iis qui rempublicam tractant, niſi admodum religioſe eam capeſſas: ut in negotiorum offeras te ſocietatem, non, quos negotia ſecum trahunt, affectuum.

Exterminato Cicerone, Clodius villas ejus incendit, concremavit domum, & areæ ædem Libertatis inædificavit, reliqua bona haſtæ ſubjecit: quæ quotidie quum proclamaret, nemo ad haſtam acceſſit tamen. Hinc trepidis ejus timore optimatibus, populo, quem in omnem præcipitaverat inſolentiam & audaciam, ſtipatus adoritur Pompeium, vellicatque nonnulla ejus in bello acta. Quorum cauſa quum male audiret ille, pœnituit eum quod Ciceronem dereliquiſſet, mutatoque animo in omnes ſe partes incubuit cum amicis ad eum revocandum. Quum repugnaret Clodius, ſenatuſconſultum factum eſt ut nulla de re antequæ ad rempublicam pertineret, decerneretur aut ageretur, quam de Ciceronis reditu latum eſſet. Gliſcebat Lentulo conſule ſeditio: tribuni plebis vulnerati in foro fuere. Quintus, Ciceronis frater, inter cadavera pro mortuo latuit. Hic demum cœpit animum plebs flec-

δημάρχων Ἄννιος Μίλων πρῶτος ἐτόλμησε τὸν Κλώδιον εἰς δίκην ἀπάγειν βιαίως, καὶ Πομπηΐῳ πολλοὶ συνῆλθον ἔκ τε τοῦ δήμου καὶ τῶν πέριξ πόλεων. μεθ' ὧν προελθὼν, καὶ τὸν Κλώδιον ἀναστήσας ἐκ τῆς ἀγορᾶς, ἐπὶ τὴν ψῆφον ἐκάλει τοὺς πολίτας. καὶ λέγεται μηδέποτε μηδὲν ἐκ τοσαύτης ὁμοφροσύνης ἐπιψηφίσασθαι τὸν δῆμον. ἡ δὲ σύγκλητος ἁμιλλωμένη πρὸς τὸν δῆμον, ἔγραψεν ἐπαινεθῆναι τὰς πόλεις ὅσαι τὸν Κικέρωνα παρὰ τὴν φυγὴν ἐθεράπευσαν, καὶ τὴν οἰκίαν αὐτῷ καὶ τὰς ἐπαύλεις ἃς Κλώδιος διεφθάρκει, τέλεσι δημοσίοις ἀνασταθῆναι. κατῄει δὲ Κικέρων ἑκκαιδεκάτῳ μηνὶ μετὰ τὴν φυγήν· καὶ τοσαύτη τὰς πόλεις χαρὰ, καὶ σπουδὴ τοὺς ἀνθρώπους περὶ τὴν ἀπάντησιν εἶχεν, ὥστε τὸ ῥηθὲν ὑπὸ Κικέρωνος ὕστερον, ἐνδεέστερον εἶναι τῆς ἀληθείας. ἔφη γὰρ αὐτὸν ἐπὶ τῶν ὤμων τὴν Ἰταλίαν φέρουσαν, εἰς τὴν Ῥώμην εἰσενεγκεῖν. ὅπου καὶ Κράσσος ἐχθρὸς ὢν αὐτῷ πρὸ τῆς φυγῆς, τότε προθύμως ἀπήντα καὶ διελύετο, τῷ παιδὶ Ποπλίῳ χαριζόμενος, ὡς ἔλεγε, ζηλωτῇ τοῦ Κικέρωνος ὄντι.

Χρόνον δ' οὐ πολὺν διαλιπὼν, καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον, ἐπῆλθε μετὰ πολλῶν τῷ Καπετωλίῳ, καὶ τὰς δημαρχικὰς δέλτους ἐν αἷς ἀναγραφαὶ τῶν διῳκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν. ἐγκαλοῦντος δὲ περὶ τούτου τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι, καὶ κύριον οὐδὲν εἶναι τῶν πεπραγμένων ὑπ' αὐτοῦ· Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις· δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων, ἀναίρε-

σιν

flectere. Annius Milo tribunus plebis auſus primus vi fuit Clodium in judicium trahere. Magna pars populi, frequenteſque ex municipiis cum Pompeio conſpiravere. Horum ille agmine forum occupavit dejecto Clodio, ac populum in ſuffragia miſit. Proditum memoriæ eſt nullam unquam rem tanto conſenſu ſciviſſe populum. Senatus cum populo certans decrevit ut honos haberetur civitatibus quæ in Ciceronem, dum exulaſſet, fuiſſent officioſæ: domus ejus & villæ, quas diruerat Clodius, ut ex publico inſtaurarentur. Reverſus ab exilio Cicero eſt menſe decimo ſexto, tantaque municipiorum omnium lætitia & favore hominum proditum ei obviam eſt, ut quod jactavit poſtea Cicero, minus eſſet vero. Ait enim Italiæ ſe humeris Romam reportatum. Siquidem ipſe quoque Craſſus, qui geſſerat ante exilium cum eo inimicitias, magno ſtudio tunc ei occurrit, rediitque cum eo in gratiam, indulgens, ut ferebat, filio Publio, ſtudioſo Ciceronis.

Non multo interjecto ſpatio, quum captaſſet opportunitatem Cicero per abſentiam Clodii, magna frequentia ſcandit in Capitolium, tabulaſque, quæ acta continebant Clodii tribunatus, revulſit corrupitque. De eo querente Clodio, non rite reſpondit eum Cicero ex patriciis aſpiraſſe ad tribunatum, neque eſſe ejus actorum quicquam ratum. Quo offenſus reſtitit Cato Ciceroni, non in gratiam Clodii, (quippe cui diſplicerent iſtius actiones) verum grave contendit

eſſe

σιν ψηφίσασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον· ἐν οἷς εἶναι καὶ τὴν ἑαυτοῦ τὴν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν. ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.

Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων· καὶ διωκόμενος φόνου, Κικέρωνα παρεστήσατο συνήγορον. ἡ δὲ βουλὴ φοβηθεῖσα μὴ κινδυνεύοντος ἀνδρὸς ἐνδόξου καὶ θυμοειδοῦς τοῦ Μίλωνος, ταραχὴ γένηται περὶ τὴν πόλιν, ἐπέτρεψε Πομπηΐῳ ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι, παρέχοντα τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. ἐκείνου δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων περιλαβόντος τοῖς στρατιώταις, ὁ Μίλων τὸν Κικέρωνα δείσας, μὴ πρὸς τὴν ὄψιν ἀηθείᾳ διαταραχθεὶς, χεῖρον διαγωνίσηται, συνέπεισεν ἐν φορείῳ κομισθέντα πρὸς τὴν ἀγορὰν ἡσυχάζειν, ἄχρις οὗ συνίασιν οἱ κριταὶ, καὶ πληροῦται τὸ δικαστήριον. ὁ δ' οὐ μόνον ἦν, ὡς ἔοικεν, ἐν ὅπλοις ἀθαρσὴς, ἀλλὰ καὶ τῷ λέγειν μετὰ φόβου προσῄει, καὶ μόλις ἐπαύσατο παλλόμενος καὶ τρέμων ἐπὶ πολλῶν ἀγώνων, ἀκμὴν τοῦ λόγου καὶ στάσιν λαβόντος. Λικιννίῳ δὲ Μουρήνᾳ φεύγοντι δίκην ὑπὸ Κάτωνος βοηθῶν, καὶ φιλοτιμούμενος Ὁρτήσιον ὑπερβάλλειν εὐημερήσαντα, μέρος οὐδὲν ἀνεπαύσατο τῆς νυκτὸς, ὡς ὑπὸ τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθεὶς, ἐνδεέστερος αὑτοῦ φανῆναι. τότε δ' οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν, καὶ θεασάμενος τὸν Πομπήϊον ἄνω καθεζόμενον, ὥσπερ ἐν στρατοπέδῳ, καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγορὰν, συνεχύθη, καὶ μόλις ἐνήρξατο τοῦ λόγου,

eſſe neque tolerandum, ut aboleret ſenatus tam multa decreta & acta: in quibus continerentur etiam ea quæ in Cypro & Byzantii ipſe geſſerat. Hinc offenſio extitit inter Ciceronem & Catonem: quæ in inimicitiam tamen non erupit apertam, tantum frequentiorem conſuetudinem diremit.

Sub hæc Clodium occidit Milo. Defenſorem hic in judicium adductus adhibuit Ciceronem. At ſenatus timens ne viro claro & acri reo civitatis quies turbaretur, permiſit Pompeio uti huic & cæteris judiciis præeſſet, præſidiumque haberet ad ſecuritatem urbis & judiciorum. Quum ille ante lucem ſumma fori cum armatis inſediſſet, metuens Milo ne ſpectaculo inſolito Cicero territus minus recte cauſam diceret, perſuaſit ei ut lectica delatus in forum, quieſceret dum convenirent judices, & frequens eſſet corona. Enimvero non modo ſcilicet in bello ille timidus erat, ſed accedebat etiam ad dicendum trepidus, ac multis in cauſis vix tandem horrere & tremere medio deſinebat ardore & ſtatu orationis. L. Murænam, quem accuſavit Cato, defenſurus, totam noctem lucubravit, dum Hortenſium contendit, cujus mire placuerat oratio, ſuperare: ut præ nimia ſolicitudine & vigiliis ita affecerit valetudinem, ut concedere illi videretur. Ac tunc ut ad judicium Milonis lectica delatus fuit, & Pompeium contemplatus locis ſuperioribus velut in caſtris conſidentem, atque circumfulgens undique armis forum, obſtupuit, & orationem ægre cum tre-

λόγου, κραδαινόμενος τὸ σῶμα, καὶ τὴν φωνὴν ἐνισχόμενος, αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀνδρείως παρισταμένου τῷ ἀγῶνι, καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος· ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης. ἀλλ᾽ ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον ἢ δειλὸς ἔδοξεν εἶναι.

Γίνεται δὲ καὶ τῶν ἱερέων, οὓς αὐγούρας Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου τοῦ νέου μετὰ τὴν ἐν Πάρθοις αὐτοῦ τελευτήν. εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν, καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ δισχιλίων ἑξακοσίων, ἔπλευσε. προσταχθὲν αὐτῷ, καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. ταῦτά τε δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄτερ πολέμου· τούς τε Κίλικας ὁρῶν πρὸς τὸ Παρθικὸν πταῖσμα Ῥωμαίων, καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμένους, κατεπράϋνεν ἡμέρως ἄρχων. καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν. αὐτοὺς δὲ καθ᾽ ἡμέραν τοὺς χαρίεντας ἀνελάμβανεν ἑστιάσεσιν, οὐ πολυτελῶς, ἀλλ᾽ ἐλευθερίως. ἡ δ᾽ οἰκία θυρωρὸν οὐκ εἶχεν, οὐδ᾽ αὐτὸς ὤφθη κατακείμενος ὑπ᾽ οὐδενὸς, ἀλλ᾽ ἕωθεν ἑστὼς ἢ περιπατῶν πρὸ τοῦ δωματίου τοὺς ἀσπαζομένους ἐδεξιοῦτο. λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα, μήτ᾽ ἐσθῆτα περισχίσαι, μήτε βλασφημίαν ὑπ᾽ ὀργῆς ἢ ζημίας προσβαλεῖν μεθ᾽ ὕβρεων. ἀνευρὼν δὲ πολλὰ τῶν δημοσίων κεκλεμμένα, τάς τε πόλεις εὐπόρους ἐποίησε, καὶ τοὺς ἀποτίνοντας, οὐδὲν τούτου πλεῖον παθόντας, ἐπιτίμους διεφύλαξεν. ἥψατο δὲ καὶ πολέμου, λῃστὰς τῶν περὶ τὸν Ἀμανὸν οἰκούντων τρεψάμενος·

tremore corporis & linguæ hæſitantia exorſus eſt: quum Milo ipſe forti animo & celſo præſto eſſet certamini, nec capillos demittere, vel ſumere atram veſtem ſuſtinuiſſet: quod maximum momentum feciſſe apparet ad ejus damnationem. Cæterum Cicero ex eo anxius potius de ſalute amicorum fuiſſe, quam timidus habitus eſt.

Augur factus eſt loco Craſſi junioris, qui apud Parthos ceciderat. Hinc ſortitus provinciam Ciliciam, & exercitum duodecim millium peditum, & duorum millium ſexcentorum equitum, Roma navigavit. Injunctum ei fuit inſuper ut Cappadociam Ariobarzani regi conciliaret & dicto audientem præſtaret: quod confecit & compoſuit ſine armis, & multa cum gratia. Ciliciam cernens ad Parthicam Romanorum cladem & tumultum Syriæ animis elatam, leni imperio placavit. Dona ne a regibus quidem accepit oblata. Cœnis provinciales remiſit. Ipſe probos & doctos viros in convivio excepit, non ſumptuoſe ſed liberaliter. Domus ejus carebat janitore. Decumbentem conſpexit nemo, ſed mane conſiſtens aut inambulans pro cubiculo comiter appellabat ſalutatores. Neminem dicitur virgis cecidiſſe, nec veſtem ullius laceraſſe, neque ira provectus aut mulctæ cauſa dictum jeciſſe in quenquam contumelioſum aut probroſum. Quum multam pecuniam publicam comperiſſet averſam, civitates locupletavit, & reſolventibus quæ ablata erant, nulla præterea pœna impoſita, integram famam conſervavit. Bellum etiam attigit, latroneſque qui Amanum tenebant, fudit

ψάμενος· ἐφ' ᾧ καὶ αὐτοκράτωρ ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. Κεκιλίου δὲ τοῦ ῥήτορος δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις, γράφει πρὸς αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· πεφευγέναι γὰρ εἰς Καρίαν, ἀγανακτούσας ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων. πλέων δ' ἀπὸ τῆς ἐπαρχίας, τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος, πόθῳ τῶν πάλαι διατριβῶν. ἀνδράσι δὲ τοῖς πρώτοις ἀπὸ παιδείας συγγενόμενος, καὶ τοὺς τότε φίλους καὶ συνήθεις ἀσπασάμενος, καὶ τὰ πρέποντα θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος, εἰς τὴν πόλιν ἐπανῆλθεν, ἤδη τῶν πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων περὶ τὸν ἐμφύλιον πόλεμον.

Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων αὐτῷ θρίαμβον, ἥδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι συμβάσεων γενομένων. ἰδίᾳ δὲ συνεβούλευε, πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ Πομπηΐου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. ὡς δ' ἦν ἀνήκεστα, καὶ Καίσαρος ἐπερχομένου Πομπήϊος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι. καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ δυσπαθήσας. γράφει γὰρ ἐν ταῖς ἐπιστολαῖς, Ποτέρωσε χρὴ τρέπεσθαι, Πομπηΐου μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου, καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σώζοντος;

dit fugavitque: unde appellatus ab exercitu imperator eſt. Cœlio oratori, ut pantheras ſibi ex Cilicia Romam mitteret ad ludos roganti, cum jactantia aliqua rerum ſuarum reſcripſit non eſſe in Cilicia pantheras, in Cariam fugiſſe, querentes in communi pace ſecum tantum geri bellum. Provincia decedens primum Rhodum appulit, inde hæſit libenter priſtinæ deſiderio converſationis Athenis. Viſis ibi excellentiſſimis doctrina viris, ſalutatiſque quos tunc ibi habebat amicis & familiaribus, celebratus a Græcia eximiis honoribus, tandem ad urbem regreſſus eſt, ubi res jam quaſi ex inflammatione quadam in bellum exarſerant civile.

Quum vero decerneret ei triumphum ſenatus, malle ait ſe facta concordia Cæſaris ſequi currum. Privatim autem conſuluit utrique, hinc Cæſari multa ſcribens, hinc obteſtans Pompeium: utrumque vero demulcens ac placans. Sed quum eſſet res deplorata, & Cæſare invadente Pompeius urbem relinquens cum multis & primariis fugam caperet, huic ſe fugæ non conjunxit Cicero, ſed Cæſari exiſtimatus eſt adhærere. Conſtat ſane multum eum animo in utramque partem fluctuatum & anxium fuiſſe. Scribit enim in epiſtolis, Utro me convertam? Specioſam habet Pompeius & honeſtam belli materiam: rem melius gerit Cæſar, rectiuſque ſibi & amicis conſulit.

ζοντος; ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς ὃν φύγῃ. Τρεβατίου δέ τινος τῶν Καίσαρος ἑταίρων γράψαντος ἐπιστολὴν ὅτι Καῖσαρ οἴεται δεῖν μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι μεθ' αὐτοῦ, καὶ τῶν ἐλπίδων μετέχειν· εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν, κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν, ἐκποδὼν ἀμφοτέροις γενόμενον· θαυμάσας ὁ Κικέρων ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργὴν, ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. τὰ μὲν οὖν ἐν ταῖς ἐπιστολαῖς γεγραμμένα, τοιαῦτά ἐστι.

Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος, εὐθὺς ὡς Πομπήϊον ἔπλευσε· καὶ τοῖς μὲν ἄλλοις ἀσμένος ὤφθη, Κάτων δ' αὐτὸν ἰδὼν, ἰδίᾳ πολλὰ κατεμέμφετο Πομπηΐῳ προσθέμενον. αὐτῷ μὲν γὰρ οὐχὶ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν, ἐκεῖνον δὲ χρησιμώτερον ὄντα τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσα ἐκεῖ πρὸς τὸ ἀποβαῖνον ἡρμόζετο, κατ' οὐδένα λογισμὸν οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι, καὶ τοσούτου μεθέξοντα κινδύνου δεῦρ' ἥκειν. οὗτοι δὲ δὴ τοῦ Κικέρωνος ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην, καὶ τὸ μέγα μηδὲν αὐτῷ χρῆσθαι Πομπήϊον. αἴτιος δ' ἦν αὐτὸς, οὐκ ἀρνούμενος μεταμέλεσθαι, φλαυρίζων δὲ τοῦ Πομπηΐου τὴν παρασκευὴν, καὶ πρὸς τὰ βουλεύματα δυσκολαίνων ὑπούλως, καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν χάριεν εἰς τοὺς συμμάχους οὐκ ἀπεχόμενος· ἀλλ' αὐτὸς μὲν ἀγέλαστος ἀεὶ περιιὼν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπὸς, ἑτέροις δὲ παρέχων

ſulit. Itaque quem fugiam habeo, non habeo ad quem fugiam. Cæterum ut Trebatius, unus ex Cæſaris familiaribus, ſignificavit ei per literas, Cæſarem arbitrari ipſum eſſe ſuarum partium debere, & ſuæ conſortem ſpei: ſin hoc ei non permitteret ætas, in Græciam ut conferret ſe, ibique neutri parti addictus quieti ſuæ conſuleret: miratus nihil ipſum ad ſe Cæſarem ſcripſiſſe Cicero, cum ſtomacho reſpondit, Nihil ſe indignum rebus ſuis geſtis facturum. Ejuſcemodi ſunt quæ ſcripſit in epiſtolis.

Profecto in Hiſpaniam Cæſare navigavit extemplo ad Pompeium. Ac cæteri quidem gaviſi adventu ejus ſunt: Cato, ubi eum vidit, objurgavit eum graviter, remotis arbitris, quod eſſet Pompeium ſequutus. Sibi quidem parum honeſtum fore, ſi quas a principio probaſſet, eas reliquiſſet reipub. partes: ipſum vero, qui plus profuturus patriæ & amicis eſſet ſi domi manens medius rebus ad eventum moderaretur, temere nunc nulla compulſum neceſſitate hoſtem factum Cæſari eſſe, & ad tanti diſcriminis illuc veniſſe ſocietatem. Cum hæ rationes ſententiam commutaverunt Ciceronis, tum quod non magnopere ejus opera Pompeius uteretur: cujus rei fuit ipſe tamen in cauſa. Quippe aperte præ ſe ferebat pœnitere ipſum conſilii ſui. Ridebat etiam apparatum Pompeii, occulte improbans conſilia ejus, neque a dicteriis & facetiis abſtinebat in ſocios jaciendis: verum quum vultuoſus ipſe per caſtra incederet & triſtis, aliis non perinde animatis riſum excitabat.

παρέχων γέλωτα μηδὲν δεομένοις. βέλτιον δὲ καὶ τούτων ὀλίγα παραθέσθαι. Δομιτίου τοίνυν ἄνθρωπον εἰς τάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικόν, καὶ λέγοντος ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ σώφρων, τί οὖν, εἶπεν, οὐκ ἐπίτροπον αὐτὸν τοῖς τέκνοις φυλάσσεις; ἐπαινούντων δέ τινων Θεοφάνην τὸν Λέσβιον, ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόνων ἔπαρχος, ὡς εὖ παραμυθήσαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας, ἡλίκον, εἶπεν, ἀγαθόν ἐστι, τὸ Γραικὸν ἔχειν ἔπαρχον; Καίσαρος δὲ κατορθοῦντος τὰ πλεῖστα, καὶ τρόπον τινὰ πολιορκοῦντος αὐτούς, Λέντλῳ μὲν εἰπόντι πυνθάνεσθαι συγνοὺς εἶναι τοὺς Καίσαρος φίλους, ἀπεκρίνατο, Λέγεις αὐτοὺς δυσνοεῖν Καίσαρι. Μαρκίου δέ τινος ἥκοντος ἐξ Ἰταλίας νεωστί, καὶ λέγοντος ἐν Ῥώμῃ φήμην ἐπικρατεῖν ὡς πολιορκοῖτο Πομπήϊος, εἶτ' ἐξέπλευσας, εἶπεν, ἵνα τοῦτο πιστεύσῃς αὐτὸς θεασάμενος; μετὰ δὲ τὴν ἧτταν Νοννίου μὲν εἰπόντος ὅτι δεῖ χρηστὰς ἐλπίδας ἔχειν· ἑπτὰ γὰρ ἀετοὺς ἐν τῷ στρατοπέδῳ τοῦ Πομπηΐου λελεῖφθαι· καλῶς ἄν, ἔφη, παρῄνεις, εἰ κολοιοῖς ἐπολεμοῦμεν. Λαβιηνοῦ δὲ μαντείαις τισὶν ἰσχυριζομένου, καὶ λέγοντος ὡς δεῖ περιγενέσθαι Πομπήϊον, οὐκοῦν, ἔφη, στρατηγήματι τούτῳ χρώμενοι νῦν ἀποβεβλήκαμεν τὸ στρατόπεδον.

Ἀλλὰ γὰρ γενομένης τῆς κατὰ Φάρσαλον μάχης, ἧς οὐ μετέσχε δι' ἀῤῥωστίαν, καὶ Πομπηΐου φυγόντος, ὁ μὲν Κάτων καὶ στράτευμα συχνὸν ἐν Δυῤῥαχίῳ καὶ στόλον ἔχων μέγαν, ἐκεῖνον ἠξίου στρατηγεῖν κατὰ νόμον, καὶ τὸ τῆς ὑπατείας ἀξίωμα προὔχοντα. διωθούμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων, καὶ ὅλως φεύγων τὸ συστρατεύεσθαι, παρ' οὐδὲν ἦλθεν ἀναιρεθῆναι, Πομπηΐου τοῦ νέου καὶ τῶν φίλων προ-

bat. Operæ pretium autem eſt nonnulla ex his attexere. Quum Domitius hominem imbellem ad præfecturam proveheret, diceretque probum virum & modeſtum eſſe, Quin igitur, inquit, tutorem hunc liberis tuis ſervas? Commendantibus quibuſdam Lesbium Theophanem, qui præfectus fabrum erat in caſtris, quod egregie Rhodios, quum amiſiſſent claſſem, eſſet conſolatus, Quanti intereſt, inquit, Græcum habere præfectum? Quum eſſent Cæſari prœlia fere ſecunda, & ille ipſos pene obſideret, nuntiari dicenti Lentulo amicos Cæſaris contracto vultu eſſe, reſpondit, Narras male eos Cæſari velle? Quum Martius quidam ex Italia recens adveniſſet, referretque rumorem Romæ increbuiſſe obſideri Pompeium, Et tu, infit, huc navigaſti quod tibi fidem oculis faceres? Fuſo Pompeio, quum hortaretur ad bene ſperandum Nonius: ſeptem enim ſupereſſe in caſtris Pompeii aquilas: Recte moneres, inquit, ſi pugnandum cum graculis eſſet. Quum certis fretus oraculis demonſtraret Labienus fore Pompeium victorem, Scilicet, inquit, hoc militari artificio ſubnixi caſtra nunc amiſimus.

At enim ſecundum prœlium Pharſalicum, cui valetudinis cauſa non interfuit, ut fugit Pompeius, Cato, qui magnas copias & claſſem habebat Dyrrachii, contendit ut exercitui Cicero cum imperio præeſſet: ita conveniens legibus eſſe, quod dignitate conſulari præcelleret. Cicero, quia repudiaret imperium, planeque detrectaret eorum arma ſequi, pene fuit interemptus, Pompeio adoleſcente ejuſque

προδότην ἀποκαλούντων, καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστὰς μόλις ἀφείλετο καὶ διηνώστηκεν αὐτὸν ἐκ τοῦ στρατοπέδου. κατασχὼν δ᾽ εἰς Βρεντέσιον, ἐνταῦθα διέτριβε, Καίσαρα περιμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον ἀσχολίας. ἐπεὶ δ᾽ εἰς Τάραντα καθωρμισμένος ἀπηγγέλλετο, καὶ πεζῇ περιιὼν ἐκεῖθεν εἰς Βρεντέσιον, ὥρμησε πρὸς αὐτὸν, οὐ πάνυ μὲν ὢν δύσελπις, αἰδούμενος δὲ πολλῶν παρόντων ἀνδρὸς ἐχθροῦ καὶ κρατοῦντος λαμβάνειν πεῖραν. οὐ μὴν ἐδέησεν αὐτῷ πρᾶξαί τι παρ᾽ ἀξίαν ἢ εἰπεῖν. ὁ γὰρ Καῖσαρ ὡς εἶδεν αὐτὸν πολὺ πρὸ τῶν ἄλλων ἀπαντῶντα, κατέβη καὶ ἠσπάσατο, καὶ διαλεγόμενος μόνῳ συχνῶν σταδίων ὁδὸν προῆλθεν. ἐκ δὲ τούτου διετέλει τιμῶν καὶ φιλοφρονούμενος, ὥστε καὶ γράψαντι λόγον ἐγκώμιον Κάτωνος ἀντιγράφων, τόν τε λόγον αὐτοῦ καὶ τὸν βίον, ὡς μάλιστα τῷ Περικλέους ἐοικότα καὶ Θηραμένους, ἐπαινεῖν. ὁ μὲν οὖν Κικέρωνος λόγος, Κάτων, ὁ δὲ Καίσαρος, Ἀντικάτων ἐπιγέγραπται. λέγεται δὲ καὶ Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτι τῶν Καίσαρος πολεμίων εἷς ἐγεγόνει, καὶ Κικέρωνος αὐτῷ βοηθοῦντος, εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους, Τί κωλύει διὰ χρόνου Κικέρωνος ἀκοῦσαι λέγοντος, ἐπεὶ πάλαι κέκριται πονηρὸς ἀνὴρ καὶ πολέμιος; ἐπεὶ δ᾽ ἀρξάμενος λέγειν ὁ Κικέρων ὑπερφυῶς ἐκίνει, καὶ προὔβαινεν αὐτῷ πάθει τε ποικίλος καὶ χάριτι θαυμαστὸς ὁ λόγος, πολλὰς μὲν ἱέναι χρόας ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα, πάσας δὲ τῆς ψυχῆς τρεπόμενον τροπὰς κατάδηλον εἶναι. τέλος δὲ τῶν κατὰ Φάρσαλον ἁψαμένου τοῦ ῥή-

ejuſque amicis proditorem eum vocantibus & gladios diſtringentibus, ni obſtitiſſet Cato, qui ægre eripuit eum & caſtris eduxit. Ut appulit Brunduſium, ſubſtitit ibi, Cæſarem propter occupationes in Aſia & Ægypto morantem opperiens. Ubi applicuiſſe allatum eum eſt Tarentum, atque illinc pedeſtri itinere progredi Brunduſium, perrexit ad eum, non quidem admodum diffidens, verecundans tamen multis præſentibus inimici animum & victoris experiri. Atqui nihil fuit opus ei vel facere vel dicere præter dignitatem ſuam. Ut enim longe præ cæteris conſpexit Cæſar occurrentem, ad pedes digreſſus ſalutavit eum, multorumque viam ſtadiorum cum ſolo ſermocinans proceſſit. Deinceps etiam eum perpetuo & coluit & humanitate ſua complexus eſt, ut quum ſcripſit in laudem Catonis Cicero orationem, ipſe ex adverſo ſcribens dictionem ejus & vitam ſicut Periclis germaniſſimam & Theramenis extolleret. Oratio Ciceronis, Cato: Cæſaris, Anticato titulum habet. Perhibent, quum accuſaretur Ligarius quod hoſtis Cæſaris fuiſſet, defendente reum Cicerone, dixiſſe ad amicos Cæſarem, Quid obſtat quin Ciceronem tanto intervallo audiamus dicentem, quando iſtum quidem jamdudum conſtat improbum hominem & hoſtem noſtrum eſſe? Poſtea vero quam Cicero dicere orſus mirifice eum movit, variiſque affectibus & mira gratia ejus progreſſa eſt oratio, colorem identidem Cæſaris faciem variaſſe, perſpicuumque fuiſſe omnibus eum animi motibus verſatum. Denique ubi pugnam Pharſalicam orator atti-

ῥήτορος ἀγώνων, ἐκπαθῆ γενόμενον, τιναχθῆναι τῷ σώματι, καὶ τῆς χειρὸς ἐκβαλεῖν ἔνια τῶν γραμματίων. τὸν γοῦν ἄνθρωπον ἀπέλυσε τῆς αἰτίας βεβιασμένος.

Ἐκ τούτου Κικέρων, εἰς μοναρχίαν τῆς πολιτείας μεθεστώσης, ἀφειμένος τοῦ τὰ κοινὰ πράττειν, ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων, καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας εὐγενεστάτους καὶ πρώτους ὄντας, αὖθις ἴσχυεν ἐν τῇ πόλει μέγιστον. αὐτῷ δ' ἔργον μὲν ἦν τὸ τοὺς φιλοσόφους συντελεῖν διαλόγους καὶ μεταφράζειν, καὶ τῶν διαλεκτικῶν ἢ φυσικῶν ὀνομάτων ἕκαστον εἰς Ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον. ἐκεῖνος γάρ ἐστιν, ὥς φασιν, ὁ καὶ τὴν φαντασίαν, καὶ τὴν κατάθεσιν, καὶ τὴν ἐποχὴν, καὶ τὴν κατάληψιν, ἔτι δὲ τὸ ἄτομον, τὸ ἀμερὲς, τὸ κενὸν, ἄλλα τε πολλὰ τῶν τοιούτων ἐξονομάσας πρῶτος, ἢ μάλιστα Ῥωμαίοις, τὰ μὲν μεταφοραῖς, τὰ δ' οἰκειότησιν ἄλλαις γνώριμα καὶ προσήγορα μηχανησάμενος. τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο. λέγεται γοῦν, ὁπηνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔπη ποιεῖν πεντακόσια. τὸ μὲν οὖν πλεῖστον τοῦ χρόνου τούτου περὶ Τοῦσκλον ἐν χωρίοις αὐτοῦ διάγων, ἔγραφε πρός τοὺς φίλους Λαέρτου βίον ζῆν, εἴτε παίζων, ὡς ἔθος εἶχεν, εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν, καὶ ἀθυμῶν τοῖς καθεστῶσι. σπανίως δ' εἰς ἄστυ θεραπείας ἕνεκα τοῦ Καίσαρος κατῄει, καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς, καὶ λέγειν ἀεί τι καινὸν εἰς τὸν ἄνδρα καὶ τὰ πραττόμενα φιλοτιμουμένων. οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηΐου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν

attigit, fuiſſe uſque adeo permotum ut toto corpore tremuerit, ac libelli aliquot, quos tenebat manibus, ei exciderint. Ligarium igitur expugnatus crimine abſolvit.

Hinc Cicero converſa in regnum repub. reduxit ſe a publicis actionibus, ac ſtudioſis philoſophiæ juvenibus vacavit. Quorum ex conſuetudine (erant enim nobiliſſimi & primi) potentiam paravit denuo in civitate prope ſummam. Induſtriam ſuam ponebat in dialogis conſcribendis philoſophicis, aliiſque interpretandis, & verbis quibuſque dialecticis aut phyſicis in Romanam convertendis linguam. Ille eſt enim, uti ferunt, qui viſionem, aſſenſum, aſſenſionis retentionem, comprehenſionem, adhæc corpuſcula individua, ſimplex corpus, vacuum, multaque ejuſcemodi alia, vel primus vel præ cæteris Romano nomine donavit, eaque partim tranſlationibus, partim proprietate alia in notitiam & appellationem adduxit. Dexteritate in verſibus condendis animi gratia utebatur. Dicitur quum ad id ferretur, carmina facere una nocte quingenta ſolitus. Tempus hoc pene totum in Tuſculano ſuo tranſigens, Laertis ſe vitam ſcripſit amicis agere, ſive joco pro more ſuo, ſive præ ambitione ad rempub. geſtiens, & ſtatum pertæſus præſentem. Raro ad urbem, idque ſalutandi cauſa Cæſaris, commeabat, princepſque erat inter eos qui Cæſaris honoribus ſuffragarentur, ac ſemper novas laudes in illum illiuſque facta elaborabat adferre. Ut eſt quod de Pompeii ſtatuis dixit, quas everſas & dejectas juſſit Cæſar reponi, & reſtitutæ fue-

λυσεν ἀνασταθῆναι· καὶ ἀνεστάθησαν. ἔφη γὰρ ὁ Κικέρων ὅτι ταύτῃ τῇ φιλανθρωπίᾳ Καῖσαρ τοὺς μὲν Πομπηΐου ἵστησι, τοὺς δ' αὑτοῦ πήγνυσιν ἀνδριάντας.

Διανοούμενος δ', ὡς λέγεται, τὴν πάτριον ἱστορίαν γραφῇ περιλαβεῖν, καὶ πολλὰ συμμίξαι τῶν Ἑλληνικῶν, καὶ ὅλως τοὺς εἰρημένους λόγους αὐτῶν καὶ μύθους ἐνταῦθα γράψαι, πολλοῖς μὲν δημοσίοις, πολλοῖς δ' ἰδίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν, ὧν αὐθαίρετα δοκεῖ πλεῖστα συμβῆναι. πρῶτον μὲν γὰρ ἀπεπέμψατο τὴν γυναῖκα Τερεντίαν, ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι, καὶ μηδ', ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν, τυχεῖν εὐγνώμονος. αὕτη μὲν γὰρ οὐκ ἦλθεν ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον· ἐρχομένῃ δὲ τῇ θυγατρὶ παιδίσκῃ νέᾳ τοσαύτην ὁδὸν, οὐ πομπὴν πρέπουσαν, οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν ἀπέδειξεν ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις. αὗται γὰρ εἰσὶν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέσταται προφάσεις. τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀρνουμένῃ λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος, μετ' οὐ πολὺν χρόνον γήμας παρθένον, ὡς μὲν ἡ Τερεντία κατεφήμιζεν, ἔρωτι τῆς ὥρας, ὡς δὲ Τύρων ὁ τοῦ Κικέρωνος ἀπελεύθερος γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων. ἦν γὰρ ἡ παῖς σφόδρα πλουσία, καὶ τὴν οὐσίαν αὖθις ὁ Κικέρων ἐν πίστει κληρονόμος ἀπολειφθεὶς διεφύλαττεν. ὀφείλων δὲ πολλὰς μυριάδας, ἀπὸ τῶν φίλων καὶ οἰκείων ἐπείσθη τὴν παῖδα γῆμαι παρ' ἡλικίαν,

fuerunt. Ait enim Cicero, ea humanitate Cæſarem, dum Pompeii ſtatuas erigit, ſuas ſtabilire.

Inſtituerat, uti fama eſt, patriam hiſtoriam conſcribere, & Græcorum multa intexere, ſimulque complecti integras eorum narrationes & fabulas: at multis publicis, privatis item multis diſtractus eſt occupationibus & motibus adverſis, quæ ſibimet ipſum apparet fere accerſiviſſe. Primum uxorem repudiavit Terentiam, quod neglectus in bello fuiſſet ab ea, ut dimitteretur ſine neceſſario viatico, & quum recepiſſet ſe in Italiam, parum benevola uſus. Nam nec Brunduſii eum, quum diu illic hæreret, inviſit: neque proficiſcenti eo filiæ adoleſcentulæ comitatum aut viaticum præbuit tam longo itineri honeſtum. Immo vero domum Ciceroni deſolatam & plane inanem reddidit, multoque oppreſſam & gravi ære alieno. Hæ cauſæ prætexuntur ſpecioſiſſimæ divortii. Terentiæ vero, quæ vel has ivit inficias, defenſionem ille ipſe egregiam præbuit, quod mox virginem duxerit, ut exprobravit ei Terentia, forma illius captus: ut Tyro memoriæ prodidit, Ciceronis libertus, quo illius facultatibus diſſolveret creditum. Nam fuit puella locuples admodum, cujus patrimonium adminiſtravit Cicero hæres fiduciarius inſtitutus. Quod vero eſſet ſupra modum obæratus, amici & neceſſarii induxerunt eum ut præter ætatem duceret hanc puellam, dimitteret-

ἡλικίαν, καὶ τοὺς δανειστὰς ἀπαλλάξαι, τοῖς ἐκείνης χρησάμενον. Ἀντώνιος δὲ τοῦ γάμου μνησθεὶς ἐν ταῖς πρὸς τὰς Φιλιππικὰς ἀντιγραφαῖς, ἐκβαλεῖν αὐτόν φησι γυναῖκα παρ' ᾗ ἐγήρασε· χαριέντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρασκώπτων τοῦ Κικέρωνος. γήμαντι δ' αὐτῷ, μετ' οὐ πολὺν χρόνον ἡ θυγάτηρ ἀπέθανε τίκτουσα παρὰ Λέντλῳ. τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν Πείσωνος τοῦ προτέρου ἀνδρὸς τελευτήν. καὶ συνῆλθον μὲν ἐπὶ τὴν παραμυθίαν τῷ Κικέρωνι πανταχόθεν οἱ φιλόσοφοι· βαρέως δ' ἄγαν ἤνεγκε τὸ συμβεβηκός, ὥστε καὶ τὴν γαμηθεῖσαν ἀποπέμψασθαι δόξασαν ἡσθῆναι τῇ τελευτῇ τῆς Τυλλίας.

Τὰ μὲν οὖν κατ' οἶκον οὕτως εἶχε τῷ Κικέρωνι. τῆς δ' ἐπὶ Καίσαρι συνισταμένης πράξεως οὐ μετέσχε, καίπερ ὢν ἑταῖρος ἐν τοῖς μάλιστα Βρούτου, καὶ βαρύνεσθαι τὰ παρόντα καὶ τὰ πάλαι ποθεῖν πράγματα δοκῶν, ὡς ἕτερος οὐδείς. ἀλλ' ἔδεισαν οἱ ἄνδρες αὐτοῦ τήν τε φύσιν, ὡς ἐνδεᾶ τόλμης, τόν τε χρόνον, ἐν ᾧ καὶ ταῖς ἐρρωμενεστάταις φύσεσιν ἐπιλείπει τὸ θαῤῥεῖν. ὡς δ' οὖν ἐπέπρακτο τοῖς περὶ Βροῦτον καὶ Κάσιον τὸ ἔργον, καὶ τῶν Καίσαρος φίλων συνισταμένων, αὖθις ἦν δέος ἐμφυλίοις πολέμοις περιπετῆ γενέσθαι τὴν πόλιν· Ἀντώνιος μὲν ὑπατεύων τὴν βουλὴν συνήγαγε, καὶ βραχέα διελέχθη περὶ ὁμονοίας, Κικέρων δὲ πολλὰ πρὸς τὸν καιρὸν οἰκείως διελθών, ἔπεισε τὴν σύγκλητον, Ἀθηναίους μιμησαμένην, ἀμνηστίαν τῶν ἐπὶ Καίσαρι ψηφίσασθαι, νεῖμαι δὲ τοῖς περὶ Κάσιον καὶ Βροῦτον ἐπαρχίας. ἔσχε δὲ τούτων τέλος οὐδέν. ὁ γὰρ δῆμος, αὐτὸς μὲν ἀφ' ἑαυτοῦ πρὸς οἶκτον ἐξαχθείς, ὡς εἶ-

δε

retque ejus pecunia creditores. Antonius in orationibus quas contra Philippicas ſcripſit, ubi mentionem facit harum nuptiarum, uxorem eum memorat, apud quam conſenuerat, ejeciſſe, ſimul feſtive domi reſidem ut ignavum & imbellem notans. Non diu ſub has nuptias filia ejus apud Lentulum deceſſit ex partu: huic enim priore defuncto viro Piſone nuptum data fuerat. Ad Ciceronem conſolandum undique concurrerunt philoſophi: nam hunc caſum tulit acerbiſſime, ut etiam novam nuptam, quod morte Tulliæ videretur exultaſſe, repudiarit.

Ac domi quidem ad hunc modum Ciceronis res habebant. Conſpirationis in Cæſarem, quamvis ſumma eſſet familiaritate cum Bruto conjunctus, & præſentem rerum ſtatum inique ferre, priſtinamque expetere rempub. ut nullus alius exiſtimaretur, non fuit conſors. Metuerunt ſcilicet illi cum ejus naturam, ut parum animoſam, tum ætatem, qua vel firmiſſima ingenia deficit audacia. Ut ergo perpetrarunt Brutus & Caſſius hoc facinus, & coitione Cæſaris amicorum facta periculum fuit ne civili bello denuo implicaretur civitas: Antonius conſul convocato ſenatu pauca de concordia diſſeruit, Cicero vero, multa commemorans tempori accommodata, induxit patres ut Athenienſium exemplo omnium ſub Cæſare actorum decernerent oblivionem, præterea ut Caſſio & Bruto provincias darent: ſed nihil horum effectum habuit. Siquidem populus, ſua ſponte in commiſerationem præceps, ut efferri per forum ca-

δὲ τὸν νεκρὸν ἐκκομιζόμενον δι' ἀγορᾶς, Ἀντωνίου δὲ καὶ τὴν ἐσθῆτα δείξαντος αὐτοῖς αἵματος κατάπλεων, καὶ κεκομμένην πάντη τοῖς ξίφεσιν, ἐκμανέντες ὑπ' ὀργῆς, ἐν ἀγορᾷ ζήτησιν ἐποιοῦντο τῶν ἀνδρῶν, καὶ πῦρ ἔχοντες ἐπὶ τὰς οἰκίας ἔθεον, ὡς ἀνάψοντες. οἱ δὲ τοῦτον μὲν τῷ προπεφυλάχθαι διέφυγον τὸν κίνδυνον, ἑτέρους δὲ πολλοὺς καὶ μεγάλους προσδοκῶντες, ἐξέλιπον τὴν πόλιν.

Εὐθὺς οὖν ὁ Ἀντώνιος ἐπῆρτο, καὶ πᾶσι μὲν ἦν φοβερὸς ὡς μοναρχήσων, τῷ δὲ Κικέρωνι φοβερώτατος. ἀναῤῥωννυμένην τε γὰρ αὐτῷ πάλιν ὁρῶν τὴν δύναμιν ἐν τῇ πολιτείᾳ, καὶ τοῖς περὶ Βροῦτον ἐπιτήδειον εἰδὼς, ἤχθετο παρόντι. καί πού τι καὶ προϋπῆρχεν ὑποψίας αὐτοῖς πρὸς ἀλλήλους κατὰ τὴν τῶν βίων ἀνομοιότητα καὶ διαφοράν. ταῦτα δείσας ὁ Κικέρων, πρῶτον μὲν ὥρμησε πρεσβευτὴς Δολοβέλλᾳ συνεκπλεῦσαι εἰς Συρίαν. ἐπεὶ δ' οἱ μέλλοντες ὑπατεύειν μετ' Ἀντώνιον, Ἵρτιος καὶ Πάνσας, ἄνδρες ἀγαθοὶ καὶ ζηλωταὶ τοῦ Κικέρωνος, ἐδέοντο μὴ σφᾶς καταλιπεῖν, ὑποδεχόμενοι καταλύσειν Ἀντώνιον ἐκείνου παρόντος· ὁ δ' οὔτ' ἀπιστῶν παντάπασιν, οὔτε πιστεύων, Δολοβέλλαν μὲν εἴασε χαίρειν, ὁμολογήσας δὲ τοῖς περὶ τὸν Ἵρτιον τὸ θέρος ἐν Ἀθήναις διάξειν, ὅταν δ' ἐκεῖνοι παραλάβωσι τὴν ἀρχὴν, ἀφίξεσθαι πάλιν, αὐτὸς καθ' ἑαυτὸν ἐξέπλευσε. γενομένης δὲ περὶ τὸν πλοῦν διατριβῆς, καὶ λόγων ἀπὸ Ῥώμης, οἷα φιλεῖ, καινῶν προσπεσόντων, μεταμεμελῆσθαι μὲν Ἀντώνιον θαυμαστὴν μεταβολὴν, καὶ πάντα πράττειν καὶ πολιτεύεσθαι πρὸς τὴν σύγκλητον, ἐνδεῖν δὲ τῆς ἐκείνου παρουσίας τὰ πράγ-

cadaver Cæſaris conſpexit, Antonio inde veſtem Cæſaris ei oſtendente oppletam cruore & gladiis undique perfoſſam, ira furens inveſtigavit in foro percuſſores & cum ardentibus titionibus ad ædes eorum inflammandas concurrit. Verum illi, quod præcaviſſent, periculum hoc quidem declinavere: ſed quia multa videbant & ingentia propoſita alia, ceſſerunt urbe.

Hic vero Antonius extemplo ſuſtulit animos, omnibuſque fuit terrori, Ciceroni maxime. Nam creſcere quum rurſus opes ejus cerneret in repub. ſciens cupidum eſſe Bruti, præſentiam ejus moleſte ferebat. Et vero etiam ob utriuſque diſſimilitudinem & diverſitatem morum ſuberat & ante materia nonnulla inter eos ſuſpicionis. Hæc metuens Cicero, ſtatuit primum legatus in Syriam cum Dolobella proficiſci. Verum quia conſules deſignati, Hirtius & Panſa, egregii cives atque fautores Ciceronis, ne deſereret ſe precabantur, pollicentes Antonium ſe ipſo præſente oppreſſuros: hærens Cicero inter ſpem & metum, Dolobellam miſſum fecit, Hirtio æſtatem ſe Athenis acturum, atque ubi magiſtratum ille iniſſet, recepit recurſurum. Ita ſolus navigavit. Mora in navigatione intercedente, quum recens Roma, ut ſolet, nuntiatum eſſet plane immutatum eſſe Antonium, omniaque agere & inſtituere ex ſenatus autoritate, neque deeſſe quicquam ad rempub. optime conſtituendam, niſi ipſius præ-

πράγματα, μὴ τὴν ἀρίστην ἔχειν διάθεσιν· καταμεμψάμενος αὐτοῦ τὴν πολλὴν εὐλάβειαν, ἀνέστρεψεν αὖθις εἰς Ῥώμην. καὶ τῶν πρώτων οὐ διημάρτανεν ἐλπίδων· τοσοῦτον πλῆθος πρὸς τὴν ἀπάντησιν ἐξεχύθη, καὶ σχεδὸν ἡμερήσιον ἀνήλωσαν χρόνον αἱ περὶ τὰς πύλας καὶ τὴν εἴσοδον αὐτοῦ δεξιώσεις καὶ φιλοφροσύναι. τῇ δ' ὑστεραίᾳ βουλὴν συναγαγόντος Ἀντωνίου, καὶ καλοῦντος αὐτὸν, οὐκ ἦλθεν, ἀλλὰ κατέκειτο, μαλακῶς ἔχειν ἐκ τοῦ κόπου σκηπτόμενος. ἐδόκει δὲ τἀληθὲς ἐπιβουλῆς εἶναι φόβος, ἔκ τινος ὑποψίας καὶ μηνύσεως καθ' ὁδὸν αὐτῷ προσπεσούσης. Ἀντώνιος δὲ χαλεπῶς μὲν εἶχεν ἐπὶ τῇ διαβολῇ, καὶ στρατιώτας ἔπεμψεν ἄγειν αὐτὸν, ἢ καταπρῆσαι τὴν οἰκίαν κελεύσας· ἐνστάντων δὲ πολλῶν καὶ δεηθέντων, ἐνέχυρα λαβὼν μόνον ἐπαύσατο. καὶ τὸ λοιπὸν οὕτως ἀντιπαρεξιόντες ἀτρέμα καὶ φυλαττόμενοι διετέλουν. ἄχρις οὗ Καῖσαρ ὁ νέος ἐξ Ἀπολλωνίας παραγενόμενος, τόν τε κλῆρον ἀνεδέξατο τοῦ Καίσαρος ἐκείνου, καὶ περὶ τῶν δισχιλίων πεντακοσίων μυριάδων, ἃς Ἀντώνιος ἐκ τῆς οὐσίας κατεῖχεν, εἰς διαφορὰν κατέστη πρὸς αὐτόν.

Ἐκ δὲ τούτου Φίλιππος, ὁ τὴν μητέρα τοῦ νέου Καίσαρος ἔχων, καὶ Μάρκελλος ὁ τὴν ἀδελφὴν, ἀφικόμενοι μετὰ τοῦ νεανίσκου πρὸς τὸν Κικέρωνα, συνέθεντο Κικέρωνα μὲν ἐκείνῳ τὴν ἀπὸ τοῦ λόγου καὶ τῆς πολιτείας δύναμιν ἔν τε τῇ βουλῇ καὶ τῷ δήμῳ παρέχειν, ἐκεῖνον δὲ Κικέρωνι τὴν ἀπὸ τῶν χρημάτων καὶ τῶν ὅπλων ἀσφάλειαν. ἤδη γὰρ οὐκ ὀλίγους τῶν ὑπὸ Καίσαρι στρατευσαμένων περὶ αὐτὸν εἶχε τὸ μειράκιον. ἐδόκει δὲ καὶ ἀναδέξασθαι προθύμως

præſentiam: reprehendens ipſe metum anxium ſuum, repetit urbem. Neque vero prima eum ſpes fefellit. Adeo frequentes ei obviam effuſi ſunt, ſalutationeſque & amplexus ad portam & ingreſſum ejus prope integrum diem conſumpſere. Poſtridie ſenatum habente Antonio, & ipſum accerſente, non venit in ſenatum, ſed decubuit, languere ſe ex via cauſans. Apparebat revera formidinem ſubeſſe inſidiarum ex ſuſpicione quadam & delato in itinere ad eum indicio. At Antonius tulit acerbe eam calumniam, ac militibus miſſis imperare intendit ut adducerent eum, aut inflammarent domum. Sed quum intercederent frequentes deprecarenturque, pignoribus tantummodo captis quievit. Deinceps quum inter ſe occurrerent, præteribant ſine ſalutatione, & mutua in ſuſpicione agebant, donec Cæſar Octavius Apollonia veniens dictatoris hæreditatem Cæſaris cerneret, ambigeretque cum Antonio de millies H. S. quod ex hæreditate Cæſaris detinebat Antonius.

Inde Philippus, qui matrem adoleſcentis in matrimonio habebat, ac qui ſororem Marcellus, adducentes eum ad Ciceronem pepigerunt ut illi Cicero eloquentiæ præſidio & urbanis opibus in ſenatu & ad populum præſto eſſet, ille Ciceroni pecunia & armorum propugnaculo. Jam enim manum non contemnendam habebat ſecum adoleſcens veteranorum Cæſaris. Et ſane apparuit eum cupide

θύμως τὴν Καίσαρος φιλίαν. ἔτι γὰρ, ὡς ἔοικε, Πομπηΐου ζῶντος καὶ Καίσαρος, ἔδοξε κατὰ τοὺς ὕπνους ὁ Κικέρων καλεῖν τινας τοὺς τῶν συγκλητικῶν παῖδας εἰς τὸ Καπιτώλιον, ὡς μέλλοντος ἐξ αὐτῶν ἕνα τοῦ Διὸς ἀποδεικνύειν τῆς Ῥώμης ἡγεμόνα· τοὺς δὲ πολίτας ὑπὸ σπουδῆς θέοντας ἵστασθαι περὶ τὸν νεών· καὶ τοὺς παῖδας ἐν τοῖς περιπορφύροις καθέζεσθαι σιωπὴν ἔχοντας. ἐξαίφνης δὲ τῶν θυρῶν ἀνοιχθεισῶν, καθ' ἕνα τῶν παίδων ἀνισταμένων, κύκλῳ παρὰ τὸν Θεὸν παραπορεύεσθαι· τὸν δὲ πάντας ἐπισκοπεῖν καὶ ἀποπέμπειν ἀχθομένους. ὡς δ' οὗτος ἦν προσιὼν κατ' αὐτὸν, ἐκτεῖναι τὴν δεξιὰν, καὶ εἰπεῖν, Ὦ Ῥωμαῖοι, πέρας ὑμῖν ἐμφυλίων πολέμων οὗτος ἡγεμὼν γενόμενος. τοιοῦτόν φασιν ἐνύπνιον ἰδόντα τὸν Κικέρωνα, τὴν μὲν ἰδέαν τοῦ παιδὸς ἐκμεμάχθαι καὶ κατέχειν ἐναργῶς, αὐτὸν δὲ οὐκ ἐπίστασθαι. μεθ' ἡμέραν δὲ καταβαίνοντος εἰς τὸ πεδίον τὸ Ἄρειον αὐτοῦ, τοὺς παῖδας ἤδη γεγυμνασμένους ἀπέρχεσθαι, κἀκεῖνον ὀφθῆναι τῷ Κικέρωνι πρῶτον, οἷος ὤφθη καθ' ὕπνον· ἐκπλαγέντα δὲ, πυνθάνεσθαι τίνων εἴη γονέων. ἦν δὲ πατρὸς Ὀκταουΐου τῶν οὐκ ἄγαν ἐπιφανῶν, Ἀττίας δὲ μητρὸς, ἀδελφῆς Καίσαρος. ὅθεν Καῖσαρ αὐτῷ, παῖδας οὐκ ἔχων ἰδίους, τὴν οὐσίαν ἑαυτοῦ καὶ τὸν οἶκον ἐν ταῖς διαθήκαις ἔδωκεν. ἐκ τούτου φασὶ τὸν Κικέρωνα τῷ παιδὶ κατὰ τὰς ἀπαντήσεις ἐντυγχάνειν ἐπιμελῶς, κἀκεῖνον οἰκείως δέχεσθαι τὰς φιλοφροσύνας. καὶ γὰρ ἐκ τύχης αὐτῷ γεγονέναι συμβεβήκει Κικέρωνος ὑπατεύοντος.

Αὗται μὲν οὖν προφάσεις ἦσαν λεγόμεναι· τὸ δὲ πρὸς Ἀντώνιον μῖσος Κικέρωνα πρῶτον, εἶτα ἡ φύσις ἥττων οὖσα τῆς τιμῆς προσεποίησε Καίσαρι, vo-

cupide Cæſaris amicitiam ampleċti. Siquidem Pompeio & Cæſare adhuc incolumibus, ſomnium fuit Ciceroni, accire ſe in Capitolium nonnullos ſenatorum filios, ex quibus Jupiter unum deſignaturus Romanum principem eſſet: cujus ſtudio contemplandi cives templum cinxiſſe, pueros prætextatos conſediſſe tacitos: hinc foribus ſubito patefactis ſingulos ordine exſurrexiſſe pueros, & in orbem Deum præteriſſe: Deum omnes, ut conſideravit eos, remiſiſſe triſtes: ubi vero hic acceſſit, dextram porrexiſſe ad eum cum hiſce verbis, Bellis civilibus hic, Quirites, quum erit principatum adeptus, imponet finem. Ex hac oblata in ſomnio viſione Ciceronem ferunt clare pueri effigiem animo impreſſiſſe & mente complexum eſſe, neque qui eſſet cognoviſſe tamen. Poſtero die quum in campum Martium deſcenderet Cicero, pueros ab exercitatione rediiſſe, Ciceronique primum illum viſum qualis ei obverſatus fuerat per ſomnium: obſtupefactum, qui parentes ejus eſſent, rogaſſe. Filius fuit Octavii, viri non perinde clari, & Attiæ ſororis Cæſaris. Qua de cauſa orbus liberis Cæſar hæredem eum teſtamento ſcripſit & in familiam adoptavit. Ciceronem deinceps, ſiquando in puerum incideret, ſtudioſe eum ſalutaſſe, illique fuiſſe eam comitatem jucundam: forte fortuna namque acciderat ut naſceretur conſule Cicerone.

Hæ ferebantur vulgo cauſæ: at odium primum Antonii, deinde natura hominis plus ſatis avida laudis conglutinavit Ciceronem Cæſari, ſpe-

νομίζοντα προσλαμβάνειν τῇ πολιτείᾳ τὴν ἐκείνου δύναμιν. οὕτω γὰρ ὑπῄει πρὸς τὸ μειράκιον αὐτὸν, ὥστε καὶ πατέρα προσαγορεύειν. ἐφ' ᾧ σφόδρα Βροῦτος ἀγανακτῶν, ἐν ταῖς πρὸς Ἀττικὸν ἐπιστολαῖς καθήψατο τοῦ Κικέρωνος, ὅτι διὰ φόβον Ἀντωνίου, θεραπεύοντος Καίσαρα, δῆλός ἐστιν οὐκ ἐλευθερίαν τῇ πατρίδι πράττων, ἀλλὰ δεσπότην φιλάνθρωπον αὑτῷ μνώμενος. οὐ μὴν ἀλλὰ τόν γε παῖδα τοῦ Κικέρωνος ὁ Βροῦτος ἐν Ἀθήναις διατρίβοντα παρὰ τοῖς φιλοσόφοις ἀναλαβὼν, εἶχεν ἐφ' ἡγεμονίας, καὶ πολλὰ χρώμενος αὐτῷ κατώρθου. τοῦ δὲ Κικέρωνος ἀκμὴν ἔσχεν ἡ δύναμις ἐν τῇ πόλει τότε μεγίστην, καὶ κρατῶν ὅσων ἐβούλετο, τὸν μὲν Ἀντώνιον ἐξέκρουσε καὶ κατεστασίασε, καὶ πολεμήσοντας αὐτῷ τοὺς δύο ὑπάτους Ἵρτιον καὶ Πάνσαν ἐξέπεμψε· Καίσαρι δὲ ῥαβδούχους καὶ στρατηγικὸν κόσμον, ὡς δὴ προπολεμοῦντι τῆς πατρίδος, ἔπεισε ψηφίσασθαι τὴν σύγκλητον. ἐπεὶ δὲ Ἀντώνιος μὲν ἥττητο, τῶν δ' ὑπάτων ἀμφοτέρων ἀποθανόντων, ἐκ τῆς μάχης πρὸς Καίσαρα συνέστησαν αἱ δυνάμεις, δείσασα ἡ βουλὴ νέον ἄνδρα, καὶ τύχῃ λαμπρᾷ κεχρημένον, ἐπειρᾶτο τιμαῖς καὶ δωρεαῖς ἀποκαλεῖν αὐτοῦ τὰ στρατεύματα, καὶ περισπᾶν αὐτοῦ τὴν δύναμιν, ὡς μὴ δεομένη τῶν προπολεμούντων, Ἀντωνίου πεφευγότος. οὕτως ὁ Καῖσαρ φοβηθεὶς, ὑπέπεμπε τῷ Κικέρωνι τοὺς δεομένους καὶ πείθοντας ὑπατείαν μὲν ἀμφοτέροις ὁμοῦ πράττειν, χρῆσθαι δὲ τοῖς πράγμασιν ὅπως αὐτὸς ἔγνωκε, παραλαμβάνοντα τὴν ἀρχὴν, καὶ τὸ μειράκιον διοικεῖν ὀνόματος καὶ δόξης γλιχόμενον. ὡμολόγει δὲ Καῖσαρ αὐτὸς, ὡς δεδιὼς κατάλυσιν, καὶ κινδυνεύων ἔρημος γενέσθαι, χρήσαιτο τῇ Κικέρωνος ἐν δέ-

οντι

ſperantem conjungere reipub. illius vires. Uſque adeo enim ſubiit eum adoleſcens, patrem ut appellaret. Quare ſtomachans majorem in modum in epiſtolis quas ad Atticum ſcripſit Brutus, Ciceronem reprehendit quod metu Antonii obſervans Cæſarem, demonſtraret non patriæ ſe libertatem, ſed dominum magis propitium ſibi quærere. Brutus tamen filium Ciceronis, qui audiebat Athenis philoſophos, duxit ſecum, deditque ei præfecturam: cujus opera multa ex ſententia geſſit. Fuit Ciceronis ea tempeſtate potentia Romæ maxima: & cum omnia efficeret quæ vellet, Antonium factione oppreſſit & expulit urbe. Inſuper duos conſules, qui bello eum perſequerentur, Hirtium & Panſam, miſit. Induxit etiam ſenatum ut lictores Cæſari, velut pro patria propugnanti, & prætoriam dignitatem decerneret. Poſtquam vero fuſus fugatuſque eſt Antonius, exercitus autem conſulum, quum ambo ex prœlio occubuiſſent, conjunxerunt ſe Cæſari, quod timeret ſenatus juvenem & inſigni nixum fortuna, moliebatur honoribus & præmiis avocare ab eo legiones, vireſque ejus diſtrahere, ſimulans, quia fugatus eſſet Antonius, non opus eſſe ad defenſionem reipub. exercitibus. Unde territus Cæſar, miſit clam certos ad Ciceronem qui eum rogarent & inducerent ad conſulatum utrique ſimul parandum, ipſe omnibus rebus in magiſtratu moderaretur pro arbitrio, & adoleſcentem regeret nominis tantum & gloriæ avidum. Faſſus ipſe eſt Cæſar, quum formidaret ruinam & deſertum iri ſe, conſilium in tempore a

Ci-

ὄντι φιλαρχίᾳ· προτρεψάμενος αὐτὸν ὑπατείαν μετιέναι, συμπράττοντος αὐτοῦ καὶ συναρχαιρεσιάζοντος.

Ἐνταῦθα μέντοι μάλιστα Κικέρων ἐπαρθεὶς ὑπὸ νέου γέρων, καὶ φενακισθεὶς, καὶ συναρχαιρεσιάσας, καὶ παρασχὼν αὐτῷ τὴν σύγκλητον, εὐθὺς μὲν ὑπὸ τῶν φίλων αἰτίαν εἶχεν, ὀλίγῳ δ' ὕστερον αὐτὸν ἀπολωλεκὼς ᾔσθετο, καὶ τοῦ δήμου προϊέμενος τὴν ἐλευθερίαν. αὐξηθεὶς γὰρ ὁ νεανίας, καὶ τὴν ὑπατείαν λαβὼν, Κικέρωνα μὲν εἴασε χαίρειν, Ἀντωνίῳ δὲ καὶ Λεπίδῳ φίλος γενόμενος, καὶ τὴν δύναμιν εἰς ταὐτὸ συνενεγκὼν, ὥσπερ ἄλλό τι κτῆμα τὴν ἡγεμονίαν ἐνείματο πρὸς αὐτούς. καὶ κατεγράφησαν ἄνδρες οὓς, ἔδει θνήσκειν, ὑπὲρ διακοσίους. πλείστην δὲ τῶν ἀμφισβητημάτων αὐτοῖς ἔριν ἡ Κικέρωνος προγραφὴ παρέσχεν· Ἀντωνίου μὲν ἀσυμβάτως ἔχοντος, εἰ μὴ πρῶτος ἐκεῖνος ἀποθνήσκοι· Λεπίδου δ' Ἀντωνίῳ προστιθεμένου, Καίσαρος δὲ πρὸς ἀμφοτέρους ἀντέχοντος. ἐγίνοντο δ' αἱ σύνοδοι μόνοις ἀπόρρητοι περὶ πόλιν Βονωνίαν ἐφ' ἡμέρας τρεῖς, καὶ συνῄεσαν εἰς τόπον τινὰ πρόσω τῶν στρατοπέδων ποταμῷ περιρρεόμενον. λέγεται δὲ τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ Καῖσαρ, ἐνδοῦναι τῇ τρίτῃ, καὶ προέσθαι τὸν ἄνδρα. τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν. ἔδει Κικέρωνος ἐκστῆναι Καίσαρα, Παύλου δὲ τἀδελφοῦ Λέπιδον, Λευκίου δὲ Καίσαρος Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης τῶν ἀνθρωπίνων λογισμῶν, μᾶλλον δ' ἀπέδειξαν ὡς οὐδὲν ἀνθρώπου θηρίον ἐστὶν ἀγριώτερον ἐξουσίαν πάθει προσλαβόντος.

Πρατ-

Ciceronis ſe ambitione mutuatum fuiſſe, atque adhortatum eum ut ſubſidio opum ſuarum & gratia peteret conſulatum.

Ita a juvene Cicero impulſus atque illuſus, quod petenti conſulatum ſuffragatus eſſet, ſenatumque ei adjunxiſſet, ſtatim apud amicos male audivit, nec multo poſt ſenſit ſemetipſum perdidiſſe, & populi prodidiſſe libertatem. Quippe evectus adoleſcens conſulari dignitate, Ciceroni ſalutem dixit, Antonioque & Lepido conciliatus conjunxit cum iis copias, imperiumque inſtar prædii alicujus inter eos eſt partitus. Proſcripſerunt plus ducentos morti deſtinatos. Maximam inter omnes contentiones præbuit iis diſceptationem Ciceronis proſcriptio. Nullam enim conciliationem recipiebat Antonius, niſi interficeretur ante omnes Cicero. Antonio aſſentiebatur Lepidus: Cæſar utrique reluctabatur. Colloquuti ſoli ſunt remotis arbitris tres dies juxta urbem Bononiam. Locus ubi convenerunt, procul a caſtris erat amne cinctus. Dicitur primis diebus Cæſar decertaſſe pro Cicerone, tertio ceſſiſſe & eum deſtituiſſe. Inierunt autem hanc commutationem: Cæſar ex pacto ceſſit Cicerone, Lepidus fratre Paulo, L. Cæſare avunculo Antonius. Ita ira & rabies omnem iis humanam excuſſit mentem: immo docuerunt animal eſſe homine nullum ſævius, ſi libidini habeat potentiam conjunctam.

Dum

Πραττομένων δὲ τούτων, ὁ Κικέρων ἦν μὲν ἐν ἀγροῖς ἰδίοις περὶ Τοῦσκλον, ἔχων τὸν ἀδελφὸν μεθ' αὐτοῦ. πυθόμενοι δὲ τὰς προγραφάς, ἔγνωσαν εἰς Ἄστυρα μεταβῆναι, χωρίον πάραλον τοῦ Κικέρωνος· ἐκεῖθεν δὲ πλεῖν εἰς Μακεδονίαν πρὸς Βροῦτον. ἤδη γὰρ ὑπὲρ αὐτοῦ λόγος ἐφοίτα κρατοῦντος. ἐκομίζοντο δ' ἐν φορείοις, ἀπειρηκότες ὑπὸ λύπης· καὶ κατὰ τὴν ὁδὸν ἐφιστάμενοι, καὶ τὰ φορεῖα παραβάλλοντες ἀλλήλοις, προσωλοφύροντο. μᾶλλον δ' ὁ Κόϊντος ἠθύμει, καὶ λογισμοὺς αὐτὸς εἰσῄει τῆς ἀπορίας. οὐδὲν γὰρ ἔφη λαβεῖν οἴκοθεν. ἀλλὰ καὶ τῷ Κικέρωνι γλίσχρον ἦν ἐφόδιον. ἄμεινον οὖν εἶναι, τὸν μὲν Κικέρωνα προλαμβάνειν τῇ φυγῇ, αὐτὸν δὲ μεταθεῖν, οἴκοθεν συσκευασάμενον. ταῦτ' ἔδοξε· καὶ περιβαλόντες ἀλλήλους καὶ ἀνακλαυσάμενοι διελύθησαν. ὁ μὲν οὖν Κόϊντος οὐ πολλαῖς ὕστερον ἡμέραις ὑπὸ τῶν οἰκετῶν προδοθεὶς τοῖς ζητοῦσιν, ἀνῃρέθη μετὰ τοῦ παιδός· ὁ δὲ Κικέρων εἰς Ἄστυρα κομισθείς, καὶ πλοῖον εὑρών, εὐθὺς ἐνέβη, καὶ παρέπλευσεν ἄχρι Κιρκαίου, πνεύματι χρώμενος. ἐκεῖθεν δὲ βουλομένων εὐθὺς αἴρειν τῶν κυβερνητῶν, εἴτε δείσας τὴν θάλασσαν, εἴτ' οὔπω παντάπασι τὸν Καίσαρος ἀπεγνωκὼς πίστιν, ἀπέβη, καὶ παρῆλθε πεζῇ σταδίους ἑκατὸν ὡς εἰς Ῥώμην πορευόμενος. αὖθις δ' ἀλύων καὶ μεταβαλλόμενος κατῄει πρὸς θάλασσαν. κἀκεῖ διενυκτέρευσεν ἐπὶ δεινῶν καὶ ἀπόρων λογισμῶν· ὥστε καὶ παρελθεῖν εἰς τὴν Καίσαρος οἰκίαν διενοήθη κρύφα, καὶ σφάξας ἑαυτὸν ἐπὶ τῆς ἑστίας ἀλάστορα προσβαλεῖν. ἀλλὰ καὶ ταύτης αὐτὸν ἀπέκρουσε τῆς ὁδοῦ δέος βασάνων. καὶ τἆλλα ταραχώδη πάλιν προβουλεύματα τῆς γνώ-

Dum hæc aguntur, erat Cicero cum fratre in Tuſculano ſuo. Nuntiata proſcriptione ſtatuerunt villam maritimam Ciceronis Aſtyra petere, illinc tranſmittere in Macedoniam ad Brutum: illum enim jam rumor erat præpollentem eſſe. Ferebantur lecticis mœrore confecti, reſtitanteſque in itinere conjunctis inter ſe lecticis miſere lamentabantur. Gravius Quintus affligtabatur, quum cogitaret omnium rerum inopia deſtitutum ſe: nihil enim domo ſecum attulerat. Immo Ciceroni quoque tenue erat viaticum. Conſultius igitur viſum Ciceronem fugam ante capere, illum percurrere ad neceſſaria domo accipienda. Hæc probaverunt. Ita ſe mutuo complexi & cum ejulatu digreſſi ſunt. Quintus paucis poſt diebus cum filio, proditus a ſervis ſuis quum eſſet percuſſoribus, interemptus eſt: Cicero ad Aſtyra delatus, & navigium ibi nactus, illico conſcendit, provectuſque eſt ſecundo vento ad Circeios uſque. Parantibus inde gubernatoribus extemplo vela facere, ſive mare timens, ſive nondum depoſita omnino de Cæſare ſpe, egreſſus de navi eſt, ac quaſi urbem peteret, progreſſus eſt pedeſtri itinere duodecim millia quingentos paſſus. Mox inopia conſilii langueſcens, mutato inſtituto mare repetiit. Noctem ibi in mentis agitationibus traduxit acerbis & perplexis. Statuit ſemel occulte domum Cæſaris ingredi, atque, quo ultrices diras in eum concitaret, apud focum ejus ſe ipſe interficere. Sed & ab hoc itinere metus repulit eum tormentorum: alia ſubinde inquieta conſilia ani-

γνώμης μεταλαμβάνων παρέδωκε τοῖς οἰκέταις ἑαυτὸν εἰς Καπίτας κατὰ πλοῦν κομίζειν, ἔχων ἐκεῖ χωρία καὶ καταφυγὴν ὥρᾳ θέρους φιλάνθρωπον, ὅταν ἥδιστον οἱ ἐτησίαι καταπνέωσιν. ἔχει δ' ὁ τόπος καὶ ναὸν Ἀπόλλωνος μικρὸν ὑπὲρ τῆς θαλάττης. ἐντεῦθεν ἀρθέντες ἀθρόοι κόρακες, ὑπὸ κλαγγῆς προσεφέροντο τῷ πλοίῳ τοῦ Κικέρωνος ἐπὶ γῆν ἐρεσσομένῳ· καὶ καθίσαντες ἐπὶ τὴν κεραίαν ἑκατέρωθεν, οἱ μὲν ἐβόων, οἱ δ' ἔκοπτον τὰς τῶν μηρυμάτων ἀρχάς. καὶ πᾶσιν ἐδόκει τὸ σημεῖον εἶναι πονηρόν. ἀπέβη δ' οὖν ὁ Κικέρων, καὶ παρελθὼν εἰς τὴν ἔπαυλιν, ὡς ἀναπαυσόμενος κατεκλίθη. τῶν δὲ κοράκων οἱ πολλοὶ μὲν ἐπὶ τῆς θυρίδος διεκάθηντο φθεγγόμενοι θορυβῶδες· εἷς δὲ καταβὰς ἐπὶ τὸ κλινίδιον, ἐγκεκαλυμμένου τοῦ Κικέρωνος, ἀπῆγε τῷ στόματι κατὰ μικρὸν ἀπὸ τοῦ προσώπου τὸ ἱμάτιον. οἱ δὲ οἰκέται ταῦθ' ὁρῶντες, καὶ κακίσαντες ἑαυτοὺς, εἰ περιμένουσι τοῦ δεσπότου φονευομένου θεαταὶ γενέσθαι, θηρία δ' αὐτοῦ βοηθεῖ καὶ προκήδεται παρ' ἀξίαν πράττοντος, αὐτοὶ δ' οὐκ ἀμύνουσι· τὰ μὲν δεόμενοι, τὰ δὲ βίᾳ λαβόντες, ἐκόμιζον ἐν τῷ φορείῳ πρὸς τὴν θάλασσαν.

Ἐν τούτῳ δ' οἱ σφαγεῖς ἐπῆλθον, ἑκατοντάρχης Ἑρέννιος καὶ Ποπίλλιος χιλίαρχος, ᾧ πατροκτονίας ποτὲ δίκην φεύγοντι συνεῖπεν ὁ Κικέρων, ἔχοντες ὑπηρέτας. ἐπεὶ δὲ τὰς θύρας κεκλεισμένας εὑρόντες ἐξέκοψαν, οὐ φαινομένου τοῦ Κικέρωνος, οὐδὲ τῶν ἔνδον εἰδέναι φασκόντων, λέγεται νεανίσκον τινὰ τεθραμμένον μὲν ὑπὸ τοῦ Κικέρωνος ἐν γράμμασιν ἐλευθερίοις καὶ μαθήμασιν, ἀπελεύθερον δὲ Κοΐντου τοῦ ἀδελφοῦ, Φιλόλογον τοὔνομα, φράσαι τῷ

animi verſans, permiſit ſervis ad Capuam ſe navigio deportandum. Habuit prædia ibi & villam æſtivo tempore amœnam, quum gratiſſime ſpirant eteſiæ. Eſt etiam eo in loco haud procul a mari ſacellum Apollinis. Hinc ſublatum agmen corvorum magno crocitu ad Ciceronis navem, dum remis terræ appellitur, volavit: qui conſederunt utrinque in antennæ cornibus, partim crocitantes, partim capita funium tundentes. Id omnibus dirum viſum oſtentum. Cicero ibi egreſſus de navi eſt, villamque ingreſſus ad quietem compoſuit ſe. Hic corvi frequentes conſederunt in feneſtra, ac diros ediderunt ſtrepitus: unus in grabatum demiſit ſe, togamque qua opertus erat Cicero, roſtro paulatim a facie detraxit. Quod ſervi contemplantes, ac ſe ipſi increpantes, ſi dominum paterentur in conſpectu ſuo trucidari, quum opem ei beſtiæ ferrent, ejuſque curam agerent indigna patientis, ipſi autem non protegerent: hinc precibus, hinc vi ſublatum in lectica detulerunt ad mare.

Interea ſupervenerunt cum manu percuſſores, Herennius centurio & Popilius tribunus, quem parricidii quondam reum defenderat Cicero. Fores, quas offenderunt occluſas, ruperunt. Non invento Cicerone, negantibuſque qui intus erant ſcire, fama tenet adoleſcentulum a Cicerone ingenuis inſtitutum literis & doctrina, libertum Quinti fratris, (Philologo nomen erat) lecticam tribuno in-

τῷ χιλιάρχῳ τὸ φορεῖον κομιζόμενον διὰ τῶν καταφύτων καὶ συσκίων περιπάτων ἐπὶ τὴν θάλατταν. ὁ μὲν οὖν χιλίαρχος, ὀλίγους ἀναλαβὼν μεθ' ἑαυτοῦ, περιέθει πρὸς τὴν ἔξοδον. τοῦ δ' Ἑρεννίου δρόμῳ φερομένου διὰ τῶν περιπάτων ὁ Κικέρων ᾔσθετο, καὶ τοὺς οἰκέτας ἐκέλευσεν ἐνταῦθα καταθέσθαι τὸ φορεῖον. αὐτὸς δ', ὥσπερ εἰώθει, τῇ ἀριστερᾷ χειρὶ τῶν γενείων ἁπτόμενος, ἀτενὲς ἑώρα τοῖς σφαγεῦσιν, αὐχμοῦ καὶ κόμης ἀνάπλεως, καὶ συντετηκὼς ὑπὸ φροντίδων τὸ πρόσωπον· ὥστε τοὺς πλείστους ἐγκαλύψασθαι τοῦ Ἑρεννίου σφάζοντος αὐτόν. ἐσφάγη δὲ τὸν τράχηλον ἐκ τοῦ φορείου προτείνας, ἔτος ἐκεῖνο γεγονὼς ἑξηκοστὸν καὶ τέταρτον. τὴν δὲ κεφαλὴν ἀπέκοψεν αὐτοῦ καὶ τὰς χεῖρας, Ἀντωνίου κελεύσαντος, αἷς τοὺς Φιλιππικοὺς ἔγραψεν. αὐτός τε γὰρ ὁ Κικέρων τοὺς κατ' Ἀντωνίου λόγους Φιλιππικοὺς ἐπέγραψε, καὶ μέχρι νῦν τὰ βιβλία Φιλιππικοὶ καλοῦνται.

Τῶν δ' ἀκρωτηρίων εἰς Ῥώμην κομισθέντων, ἔτυχε μὲν ἀρχαιρεσίας τελῶν ὁ Ἀντώνιος, ἀκούσας δὲ καὶ ἰδὼν ἀνεβόησεν ὡς νῦν αἱ προγραφαὶ τέλος ἔχοιεν. τὴν δὲ κεφαλὴν καὶ τὰς χεῖρας ἐκέλευσεν ὑπὲρ τῶν ἐμβόλων ἐπὶ τοῦ βήματος θεῖναι, θέαμα Ῥωμαίοις φρικτὸν, οὐ τὸ Κικέρωνος ὁρᾶν πρόσωπον οἰομένοις, ἀλλὰ τῆς Ἀντωνίου ψυχῆς εἰκόνα. πλὴν ἕν γέ τι φρονήσας μέτριον ἐν τούτοις, Πομπωνίᾳ τῇ Κοΐντου γυναικὶ τὸν Φιλόλογον παρέδωκεν. ἡ δὲ, κυρία γενομένη τοῦ σώματος, ἄλλαις τε δειναῖς ἐχρήσατο τιμωρίαις, καὶ τὰς σάρκας ἀποτέμνοντα τὰς αὐτοῦ κατὰ μικρὸν, ὀπτᾶν, εἶτ' ἐσθίειν ἠνάγκασεν. οὕτω γὰρ ἔνιοι τῶν συγγραφέων ἱστορήκασιν· ὁ δ' αὐτοῦ τοῦ Κικέρωνος ἀπελεύθερος Τύρων τοπαράπαν οὐδὲ μέμνηται τῆς τοῦ Φιλολόγου προδοσίας.

πυν-

indicaſſe per conſitas arboribus & umbroſas ambulationes ad mare deferri. Tum tribunus paucis aſſumptis circumcurrit ad exitum. Herennium per ambulationes advolantem quum ſenſiſſet Cicero, imperavit ſervis ut eo loci ponerent lecticam: ac ſiniſtra mentum more ſuo contrectans, immotis oculis intuitus eſt percuſſores, ſqualore & ſitu oppletus, & facie ex curis marcida, ut plerique, dum Herennius eum obtruncat, contexerint oculos. Cervicem ex lectica protendit ad cædem, annos tum natus quatuor & ſexaginta. Caput ejus & manus, quibus ſcripſerat Philippicas, Antonii imperio præcidit. Etenim orationes in Antonium ipſe Cicero Philippicas inſcripſit, quo nomine etiam nunc appellantur.

Quum Romam allata ſunt hæc membra, habebat forte comitia Antonius. Re audita & conſpecta, tunc finem habere exclamavit proſcriptiones. Caput & manus pro roſtris in tribunali juſſit figi, ſpectaculum horrendum populo Romano, qui non Ciceronis aſpicere ſe faciem exiſtimavit, ſed animi imaginem Antonii. Unum tamen edidit Antonius inter iſta laudabile exemplum, quod uxori Quinti Pomponiæ tradidit Philologum. Quæ poteſtatem ejus nacta cum aliis eum diris ſuppliciis excruciavit, tum carnes ſuas ipſum præcidere paulatim, eas aſſare, inde vorare adegit. Nam ita nonnulli ſcriptores memoriæ prodiderunt. Ipſius Ciceronis libertus Tiro nullam prorſus mentionem fecit Philologi proditionis.

Cæſa-

πυνθάνομαι δὲ Καίσαρα χρόνοις πολλοῖς ὕστερον εἰσελθεῖν πρὸς ἕνα τῶν θυγατριδῶν· τὸν δὲ, βιβλίον ἔχοντα Κικέρωνος ἐν ταῖς χερσὶν, ἐκπλαγέντα τῷ ἱματίῳ περικαλύπτειν· ἰδόντα δὲ Καίσαρα, λαβεῖν καὶ διελθεῖν ἑστῶτα μέρος πολὺ τοῦ βιβλίου· πάλιν δ' ἀποδιδόντα τῷ μειρακίῳ, φάναι, Λόγιος ἀνὴρ, ὦ παῖ, λόγιος καὶ φιλόπατρις. ἐπεὶ μέντοι τάχιστα κατεπολέμησεν Ἀντώνιον, ὑπατεύων αὐτὸς εἵλετο συνάρχοντα τοῦ Κικέρωνος τὸν υἱὸν, ἐφ' οὗ τάς τ' εἰκόνας ἡ βουλὴ ἀνεῖλεν Ἀντωνίου, καὶ τὰς ἄλλας ἠκύρωσε τιμὰς, καὶ προσεψηφίσατο μηδενὶ τῶν Ἀντωνίων ὄνομα Μάρκον εἶναι. οὕτω τὸ δαιμόνιον εἰς τὸν Κικέρωνος οἶκον ἐπανήνεγκε τὸ τέλος τῆς Ἀντωνίου κολάσεως.

Cæſarem accepi longo tempore poſt ad quendam ex filia nepotem acceſſiſſe: illum autem, quod volumen quoddam Ciceronis manibus teneret, conſternatum id veſte contexiſſe: Cæſarem vero, qui animadverterat, ſumpſiſſe volumen, & ſtantem magna ex parte evolviſſe: reddidiſſe inde puero, ac dixiſſe, Doctus hic vir, fili, doctus fuit & patriæ amans. Non magno inde intervallo, quum debellaret Antonium, conſul collegam cooptavit filium Ciceronis: cujus in magiſtratu Antonii ſtatuas ſenatus dejecit, omniaque abrogavit ejus alia ornamenta. Decrevit inſuper ne quis ex Antoniorum gente Marcus nominaretur. Ita ad extremum ultio Antonii divinitus ad domum fuit Ciceronis reducta.

A MEN οὖν ἄξια μνήμης τῶν περὶ Δημοσθένους καὶ Κικέρωνος ἱστορουμένων εἰς τὴν ἡμετέραν ἀφῖκται γνῶσιν, ταῦτ᾽ ἐστίν. ἀφεικὼς δὲ τὸ συγκρίνειν τὴν ἐν τοῖς λόγοις ἕξιν αὐτῶν, ἐκεῖνό μοι δοκῶ μὴ παρήσειν ἄρρητον, ὅτι Δημοσθένης μὲν εἰς τὸ ῥητορικὸν ἐνέτεινε πᾶν ὅσον εἶχεν ἐκ φύσεως, ἢ ἀσκήσεως λόγιον, ὑπερβαλλόμενος ἐνεργείᾳ μὲν καὶ δεινότητι τοὺς ἐπὶ τῶν ἀγώνων καὶ τῶν δικῶν συνεξεταζομένους, ὄγκῳ δὲ καὶ μεγαλοπρεπείᾳ τοὺς ἐπιδεικτικοὺς, ἀκριβείᾳ δὲ καὶ τέχνῃ τοὺς σοφιστάς. Κικέρων δὲ καὶ πολυμαθὴς καὶ ποικίλος τῇ περὶ τοὺς λόγους σπουδῇ γενόμενος, συντάξεις μὲν ἰδίας φιλοσόφους ἀπολέλοιπεν οὐκ ὀλίγας εἰς τὸν Ἀκαδημαϊκὸν τρόπον· οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν πρὸς τὰς δίκας καὶ τοὺς ἀγῶνας γραφομένων λόγων δῆλός ἐστιν ἐμπειρίαν τινὰ γραμμάτων παρεπιδείκνυσθαι βουλόμενος. ἔστι δέ τις καὶ τοῦ ἤθους ἐν τοῖς λόγοις ἑκατέρου δίοψις. ὁ μὲν γὰρ Δημοσθενικὸς ἔξω παντὸς ὡραϊσμοῦ καὶ παιδιᾶς εἰς δεινότητα καὶ σπουδὴν συνηγμένος, οὐκ ἐλλυχνίων ὄδωδεν, ὥσπερ ὁ Πυθέας ἔσκωπτεν, ἀλλ᾽ ὑδροποσίας καὶ φροντίδων, καὶ τῆς λεγομένης πικρίας τοῦ τρόπου καὶ συγνότητος· Κικέρων δὲ πολλαχοῦ τῷ σκωπτικῷ πρὸς

Habes quæ memoratu digna de Demoſthene & Cicerone prodita ad notitiam noſtram pervenere. Ut prætermittam facultatem utriuſque in dicendo conferre, illud certe mihi ſilentio non eſt prætereundum, Demoſthenem in artem contuliſſe dicendi, quicquid ei vel natura, vel exercitatio ſolertiæ & eruditionis tribuiſſet. Tranſgreſſus eſt nervis & vi dicendi æquales ſuos qui in judiciis & foro verſabantur, gravitate & ſplendore eos qui demonſtrativum genus & oſtentationi natum tractaverunt, argutia & arte ſophiſtas. Ciceronem, qui omni genere doctrinæ & literarum fuit tinctus, etſi peculiares libros in philoſophia non paucos Academico ſcriptos more reliquerit, conſtat tamen & in orationibus, quas in foro & judiciis habuit, eruditionem voluiſſe obiter oſtentare ſuam. Licet etiam mores ſpeculari utriuſque in orationibus. Demoſthenes extra omnem oſtentationem & jocum in gravitatem coactus & ſerium, non lucernam, ut cavillatus Pytheas eſt, olet, ſed aquæ potationem, ſed ſollicitudines, ſed acerbitatem quæ objiciebatur morum, & triſtitiam: Cicero dicacitate ſubinde ad ſcur-

πρὸς τὸ βωμολόχον ἐκφερόμενος, καὶ πράγματα σπουδῆς ἄξια γέλωτι καὶ παιδιᾷ κατειρωνευόμενος ἐν ταῖς δίκαις εἰς τὸ χρειῶδες, ἠφείδει τοῦ πρέποντος. ὥσπερ ἐν τῇ Κελίου συνηγορίᾳ, μηδὲν ἄτοπον ποιεῖν αὐτὸν ἐν τοσαύτῃ πολυτελείᾳ καὶ τρυφῇ ταῖς ἡδοναῖς χρώμενον. τὸ γὰρ ὧν ἔξεστι μὴ μετέχειν, μανικὸν εἶναι, καὶ ταῦτα, ἐν ἡδονῇ τὸ εὔδαιμον τῶν ἐπιφανεστάτων φιλοσόφων τιθεμένων. λέγεται δὲ, Κάτωνος Μουρήναν διώκοντος, ὑπατεύων ἀπολογεῖσθαι, καὶ πολλὰ διὰ τὸν Κάτωνα κωμῳδεῖν τὴν Στωϊκὴν αἵρεσιν, ἐπὶ ταῖς ἀτοπίαις τῶν παραδόξων λεγομένων δογμάτων· γέλωτος δὲ λαμπροῦ κατιόντος ἐκ τῶν περιεστώτων πρὸς τοὺς δικαστὰς, ἡσυχῇ διαμειδιάσας πρὸς τοὺς καθημένους εἰπεῖν, Ὡς γελοῖον, ὦ ἄνδρες, ἔχομεν ὕπατον. δοκεῖ δὲ καὶ γέλωτος οἰκεῖος ὁ Κικέρων γεγονέναι, καὶ φιλοσκώπτης· τό, τε πρόσωπον αὐτοῦ μειδίαμα καὶ γαλήνην παρεῖχεν. τῷ δὲ Δημοσθένους ἀεί τις ἐπῆν σπουδὴ καὶ τὸ πεφροντικός. τοῦτο καὶ συννοῦν, οὐ ῥᾳδίως ἀπέλιπεν. ὅθεν καὶ δύσκολον αὐτὸν οἱ ἐχθροὶ καὶ δύστροπον, ὡς αὐτός φησιν, ἀπεκάλουν.

Ἔτι τοίνυν ἐν τοῖς συγγράμμασιν κατιδεῖν ἐστὶ τὸν μὲν ἐμμελῶς καὶ ἀνεπαχθῶς τῶν εἰς αὐτὸν ἀπτόμενον ἐγκωμίων, ὅτε τούτου δέησαι πρὸς ἕτερόν τι μεῖζον, τἄλλα δ' εὐλαβῆ καὶ μέτριον· ἡ δὲ Κικέρωνος ἐν τοῖς λόγοις ἀμετρία τῆς περιαυτολογίας, ἀκρασίαν τινὰ κατηγόρει πρὸς δόξαν, βοῶντος, ὡς τὰ ὅπλα ἔδει τῇ τηβέννῳ καὶ τῇ γλώττῃ τὴν θριαμβικὴν ὑπείκειν δάφνην. τελευτῶν δὲ, οὐ τὰ ἔργα καὶ τὰς πράξεις μόνον, ἀλλὰ καὶ τοὺς λόγους ἐπαινεῖ τοὺς εἰρημένους ὑπ' αὐτοῦ καὶ γεγραμμένους, ὥσπερ Ἰσοκράτει καὶ Ἀνα-

ſcurrilitatem devolutus, & negotiis perquam ſeriis riſu jocoque in judiciis illudens, ut cauſæ prodeſſet, neglexit decorum: ut in oratione pro Cœlio, Non eſſe mirum ſi in tanto ille luxu & deliciis ad voluptates dediſſet ſe. Nam non frui iis quæ in promptu ſunt, dementiam eſſe, præcipue quum in voluptate ſummum bonum ponant clariſſimi philoſophi. Ferunt eum, quum conſul Murenam, qui accuſabatur a Catone, defenderet, multum ex perſona Catonis deriſiſſe Stoicæ ſectæ abſurda & nova præcepta. Quum magnus inde riſus a corona ad ipſos perlatus judices eſſet, ſubridentem Catonem ad conſeſſum dixiſſe, Dii boni quam ridiculum conſulem habemus! Videtur autem natura Cicero ſalſus & facetus fuiſſe. Vultus ejus quoque riſum & hilaritatem præ ſe ferebat. Demoſthenis ori perpetua inerat ſedulitas, nec temere vultuoſum illud & tetricum deponebat. Quare aſperum eum & moroſum vocarunt, ut teſtatur ipſe, adverſarii.

Præterea ex ſcriptis utriuſque perſpicias ſobrie hunc & modeſte ſuas ipſum laudes attingere, & quum id poſtularet major uſus, cætera verecundum & moderatum: Cicero immodicus in orationibus laudum ſuarum prædicator ambitionem gloriæ nimiam arguit ſuam, dum clamat,

Cedant arma togæ, concedat laurea linguæ.

Denique non facta modo & res ſuas geſtas, verum etiam quas habuerat & ſcripſerat extollit orationes, quaſi contra ſophiſtas adoleſcentis modo ſe jactaret Iſocratem & Anaximenem,

Ἀναξιμένει τοῖς σοφισταῖς διαμειρακευόμενος, οὐ τὸν Ῥωμαίων δῆμον ἄγειν ἀξιῶν καὶ ὀρθοῦν,

Βριθὺν, ὁπλιτοπάλαν, δάϊον ἀντιπάλοις.

ἰσχύειν μὲν γὰρ διὰ λόγου τὸν πολιτευόμενον ἀναγκαῖον, ἀγαπᾶν δὲ ἀγεννὲς, καὶ λιχνεύειν τὴν ἀπὸ τοῦ λόγου δόξαν. ὅθεν ἐμβριθέστερος ταύτῃ καὶ μεγαλοπρεπέστατος ὁ Δημοσθένης, τὴν μὲν αὐτοῦ δύναμιν, ἐμπειρίαν τινὰ πολλῆς δεομένην τῆς παρὰ τῶν ἀκροωμένων εὐνοίας ἀποφαινόμενος, ἀνελευθέρους δὲ καὶ βαναύσους, ὥσπερ εἰσὶ, τοὺς ἐπὶ τούτῳ φυσωμένους ἡγούμενος.

Ἡ μὲν οὖν ἐν τῷ δημηγορεῖν καὶ πολιτεύεσθαι δύναμις ὁμαλῶς ἀμφοτέροις ὑπῆρξεν, ὥστε καὶ τοὺς τῶν ὅπλων καὶ στρατοπέδων κυρίους δεῖσθαι· Δημοσθένους μὲν, Χάρητα καὶ Διοπείθην καὶ Λεωσθένην· Κικέρωνος δὲ, Πομπήϊον καὶ Καίσαρα τὸν νέον, ὡς αὐτὸς ὁ Καῖσαρ ἐν τοῖς πρὸς Ἀγρίππαν καὶ Μαικήναν ὑπομνήμασιν εἴρηκεν. ὃ δὲ δοκεῖ μάλιστα καὶ λέγεται τρόπον ἀνδρὸς ἐπιδεικνύναι καὶ βασανίζειν, ἐξουσία καὶ ἀρχὴ, πᾶν πάθος κινοῦσα, καὶ πᾶσαν ἀποκαλύπτουσα κακίαν, Δημοσθένει μὲν οὐχ ὑπῆρξεν, οὐδ' ἔδωκεν τοιαύτην διάπειραν ἑαυτοῦ, μηδεμίαν ἀρχὴν τῶν ἐπιφανῶν ἄρξας, οὐδὲ τῆς ὑφ' ἑαυτοῦ συντεταγμένης ἐπὶ Φίλιππον ἐστρατήγησε δυνάμεως· Κικέρων δὲ, ταμίας εἰς Σικελίαν, καὶ ἀνθύπατος εἰς Κιλικίαν καὶ Καππαδοκίαν ἀποσταλεὶς, ἐν ᾧ καιρῷ τῆς φιλοπλουτίας ἀκμαζούσης, καὶ τῶν πεμπομένων στρατηγῶν καὶ ἡγεμόνων, ὡς τοῦ κλέπτειν ἀγεννοῦς ὄντος, ἐπὶ τὸ ἁρπάζειν τρεπομένων, οὐ τὸ λαμβάνειν ἐδόκει δεινὸν, ἀλλ' ὁ μετρίως τοῦτο ποιῶν ἠγαπᾶτο· πολλὴν μὲν ἐπι-

menem, non autem populum Romanum ducere & dirigere intenderet,

Durum, potentem armis, gravem adverſariis.

Pollere ex eloquentia eum qui tractat rempub. neceſſe eſt: acquieſcere vero in ea & avide ſectari inde laudem, imbecilli eſt animi. Fuit igitur hac parte gravior Demoſthenes & præ cæteris celſus: qui facultatem ſuam demonſtravit uſum quendam eſſe qui favorem auditorum magnum requireret: abjectos eſſe & humiles, ut re vera ſunt, cenſens eos qui hac ſeſe venditant.

